40

ΦΩΤΙΟΥ,
ΠΑΤΡΙΑΡΧΟΥ
ΚΩΝΣΤΑΝΤΙΝΟΥ-ΠΟΛΕΩΣ
ΕΠΙΣΤΟΛΑΙ.

PHOTII,
SANCTISSIMI PATRIARCHÆ
CONSTANTINOPOLITANI
EPISTOLÆ.

Per Reverendum Virum RICHARDUM MONTACUTIUM Norvicensem *nuper Episcopum, Latinè redditæ, & Notis subinde illustratæ.*

DEPRESSA RESVRGO

LONDINI,
Ex Officina ROGERI DANIELIS, ad ædem hederaceam in *Aula Lovelliana* prope Cœmiterium D. *Pauli*,
MDCLI.

LECTORI Typographus.

POſt Diuturnos labores noſtros, & intercisſam aliquandiu præli operam, exhibemus tibi tandem (Lector humaniſsime) *Photii* Epiſtolas, celeberrimi illius *Patriarchæ Conſtantinopolitani*, quas quidem è Vetuſtiſsimo M. S$^{pto.}$ Codice (qui ex oriente delatus etiamnum in archivis *Bodleianis* locum habet) tranſcriptas Latinè vertit, notiſque ſuis illuſtravit *R. Montacutius Antiſtes* nuper Norvicenſis, eáſque fidei noſtræ commiſit excudendas. Quibus acceſſerunt Epiſtolæ aliæ quinque de rebus in *jure Canonico Orientalium* dubiis; has inter alia plurima ex oriente ſecum in *Angliam* advexit *Chriſtianus Ravius*, eáſque cum Cl. viro *Patricio Junio* communicavit, qui pro ſummo ſuo in Remp. literariam ſtudio earum mihi liberam fecit poteſtatem, eo nimirum animo ut publici juris fierent. De *Photio* noſtro multa dicere ut mihi non moleſtum foret, at tibi fortaſſe ſupervacuum, præſertim cùm abundè habeas quæ plenâ manu congeſsit vir Doctiſs. *A.Schottus* in ſua præfatione ad *Photii* noſtri *Myriobiblon*, ſive *Bibliothecam*, in qua velut arcâ quàdam conſervata tot clariſsimorum ingeniorum monumenta ad noſtra uſque tempora defluxêre. Præſens autem hoc Epiſtolarum opus cùm utilitatis tum certè voluptatis habet plurimum; mira ſiquidem elucet in eo ſermonis elegantia, fœlix in difficilioribus Scripturæ locis enodandis acumen, & (quod primo quidem loco dictum oportebat) incredibile eſt quantum veritati lumen, quanta fax Hiſtoriæ accendi poſsit,

si præclarissimorum hominum Epistolæ diligentiore manu versarentur; scribunt siquidem illi ad familiares suos, sine larva aut cerussa; qui dum aut publicè verba faciunt, aut justam historiam profitentur in scenam intrant, & personam plerumque induunt. Eò autem magis facere ad Historiam temporum hæ Epistolæ censendæ sunt, quòd in iis motibus earum Author primas partes egerit, qui ad fatale illud *Orientalis* & *Occidentalis Ecclesiæ* dissidium gradus aliquando extitere.

Vale, (Lector) fruere, & conatibus nostris fave; sic enim semper subduxi rationes meas, ut non tam privato mei unius commodo, quàm publicæ literatorum utilitati consulendum esse arbitrarer. Vale.

R. D.

ZONARAS ANNALIUM TOMO III.

Προχειρίζεται δὲ Πατριάρχην τὸν Φώτιον, ἄνδρα τῶν ἐπισήμων πρωτασηκρῆτις τότε τυγχάνοντα, καὶ ἐν λόγοις ὀνομαστότατον. *In ejus locum ſuffecit Photium, virum inſignem, primarium à ſecretis, & eruditionis nomine celeberrimum.*

CEDRENUS.

Ὁ Βάρδας Φώτιον, ἄνδρα ἐπὶ σοφίᾳ γνώριμον, πρωτοασηκρῆτιν τηνικαῦτα ὑπάρχοντα, προχειρίζεται Πατριάρχην. *Bardas ergo Photium, celebrem ſapientiâ virum, & ſecretariorum eo tempore principem, Patriarcham creat.*

ΜΑΞΙΜΟΣ Ὁ ΜΑΡΓΟΥΝΙΟΣ,

Ταπεινὸς Κυθήρων Ἐπίσκοπος, τοῖς τῶν λόγων ἐρασταῖς,

ἐν τοῖς καλοῖς ἐπίδοσιν.

Ἄλλοι μὲν ἄλλως τῶν περὶ τὴν σοφίαν περιττῶν θαυμαζόντων, καὶ ᾗ ἕκαστος ἔχει ἐπιτηδειότητος καὶ δυνάμεως, ταύτῃ πλεκέτω τούτων ἑκάστου καὶ τὰ ἐγκώμια, εἴτε τὴν ἐν λόγοις ἐπαίρων δεινότητα, εἴτε τὸ ἀνθηρὸν καὶ κεκομψευμένον τῆς φράσεως, εἴτε τὸ περὶ τὴν φιλοσοφίαν ἐμβριθές τε καὶ ὅλως ἐξηκριβωμένον, καὶ πάγιον· ἐμοὶ δὲ πρὸς τοῖς ἄλλοις παντὸς ἄξιος ἐγκωμίου καὶ μάλα ὁ σοφώτατος ἐκεῖνος καὶ ἱερὸς πολλάκις ἔδοξε Φώτιος. οὐ μόνον ὅτι τοὺς τῆς ἱερᾶς ἐκκλησίας ἐμπιστευθεὶς οἴακας, τὸ τοῦ Χριστοῦ λογικὸν ποίμνιον εἰς νομὰς εἰσῆγε τὲ καὶ ἐξῆγε σωτηριώδεις, εὐσεβείᾳ τε τῇ πάνυ διαπρέπων, καὶ βίου κατακαλλύνων ὀρθότητι· ἀλλ' ὅτι καὶ πᾶσαν μετελθὼν παιδείαν, πάντας τοὺς ἐπ' αὐτοῦ πολλῷ τῷ μέσῳ ὑπερηκόντισε. μαρτυροῦσιν αὐτοῦ τὸ πολὺ τῆς σοφίας οἱ πανηγυρικοὶ τῶν λόγων, οἷς τηλικαύτην ἐνέθηκε τὴν χάριν καὶ τὴν γλυκύτητα, ὡς δεινὸν τίθεσθαι τοὺς ἐντυγχάνοντας τὴν ὁπωσοῦν ἀπὸ τούτων ἀπαλλαγήν. οὕτω τὰς τῶν ἀκουόντων καταθέλγει ψυχὰς ταῖς τῶν οἰκείων Σειρήνων σωστικαῖς ἐπῳδαῖς, καὶ τῷ τῶν πίστεων ἐφελκυστικῷ τὸ τοῦ πάθους αὐταῖς ἐγγυνᾶσθαι καταναγκάζει θέλγητρον. τοιαῦται δὲ αἱ θαυμασταὶ τούτου πρὸς διαφόρους ἐπιστολαί. τὸ δὲ πρὸς τὰς τῶν

ἀποριῶν

ἀπορειῶν λύσεις ἕτοιμον, ἄλλως τε καὶ ὅσαι ἐπὶ τὴν ἱερὰν τείνουσι φιλοσοφίαν, καὶ τὸ τῆς θείας γραφῆς, ἐν οἷς μάλιστα μυστικώτερόν τι ἐναποκέκρυπται, ἀγχίνουν τε καὶ διερμηνευτικόν, τίς τῷ τῶν Ἀμφιλοχίων αὐτῷ πεπονημένῳ συγγράμματι ἐντυχών, οὐκ ἂν εἰκότως θαυμάσειεν; ἀλλὰ γὰρ καὶ τὴν περὶ τὴν ἱστορίαν ἀκρίβειαν, καὶ τὸ τῆς σοφίας ποικίλον, καὶ τὸ περὶ τὴν κρίσιν τῶν τοῖς ἄλλοις συντεθειμένων ἔντεχνόν τε ἅμα καὶ εὐκρινέστατον, ἡ μετὰ χεῖρας αὕτη βίβλος, τοῖς γοῦν ἂν ἐλομένοις καταμαθεῖν, ἐπιδείξει τρανότατα: πολλὴν μὲν τοῖς περὶ τοὺς λόγους καὶ τὴν ἔξω φιλοσοφίαν καταγινομένοις τὴν ὠφέλειαν προξενοῦσα· τοσαύτην δὲ καὶ τοῖς τῆς ἱερᾶς ἀντεχομένοις θρησκείας χορηγοῦσα τὴν λυσιτέλειαν, ὡς παμφορόν τινα οἷον ταύτην εἶναι χώραν, ποικίλοις μὲν κομῶσαν τοῖς καρποῖς, καὶ τοῖς ἄνθεσιν, οὐχ ἧττον δὲ τῇ γεύσει τῶν δρεπομένων τὴν αἴσθησιν κορεννῦσαν, ἢ τῇ ὄψει καὶ τῇ ὀσμῇ καθηδύνουσάν τε καὶ κατατέρπουσαν. ταύτην οὖν φιλοφρόνως δεξάμενοι, πολλὰς τῷ σοφωτάτῳ Εχελίῳ τὰς χάριτας ἔχοιτε, οὗτο καὶ μόνον ἀεὶ διὰ μελέτης ἔχοντι, ὅπως χρήσιμόν τι καὶ τῷ κοινῷ τῶν λογίων ἐπωφελὲς ἐκδιδῶται καὶ μάλιστα. ἔρρωσθε ἐν Χριστῷ σωτῆρι, κατὰ τὸ ᾳχ′ ἔτος τὸ σωτήριον, Ἰουλίου τρίτῃ φθίνοντος.

INDEX

INDEX
Eorum ad quos PHOTIUS has Epistolas Scripserit.

Joanni

FINIS.

PHOTII,

Sanctissimi Patriarchæ CONSTANTINOPOLITANI, *epistola ad Michaelem Bulgariæ Principem; de officio Principis.*

ALia quidem dona, Illustrissime ac nobis dilecte Fili, exiguam planè eámq; non diu adeò duraturam utilitatem iis afferunt in quos conferuntur. Quæcunq; verò illâ conditione naturali prædita sunt, ut animam nobis reddant meliorem, dum ab errore & pravis affectibus repurgant, luce verò & splendore virtutum ipsiúsq; veritatis collustrãt, hæc jam verissima dona nobis data dicenda sunt; utpote quæ menti, divinæ cuipiam rei & immortali, magna nec unquam emoritura largiuntur emolumenta: divitias autem illiusmodi ei comparant negotiando, quæ cùm sint cœlestes non possunt sacrilegè compilari. Primas inter ista & principatum tenet illud quod nos manu velut apprehensos sine ulla aberratione ad Deum perducit & salutem. Hoc ipsum autem imprimis, quin potiùs sola, præstat fides nostra Christiana, purissima illa ac ideo inculpata, cùm mysteria ejus edocti edidicerimus. Hæc enim homines, postquam ab errore multiformi *liberatos expediverit, illiúsque tenebras omnino dispulerit, facultatem illis* præbet in Divini cultûs pulchritudinem oculis defixis intuendi. Atque ità per istam, ad essentiam illam quæ superat intellectum, rerum scilicet omnium causam & opificem, subvecti, Trinitatis illius uniformem & transcendentem divinitatem, quatenus illam homines assequi poterimus, tanquam in speculo contuemur. Istiusmodi ergò gratiâ atque dono dignum & capacem prudentem tuum animum agnoscentes (virtutem te siquidem ac pietatem amare persuasum habemus) munus ad te tibi gratum futurum, in se magnificum, afferimus. Cui quidem fidei nostræ incontaminatæ & defæcatæ, & Divinam & à Deo edoctam inserentes disciplinam, sacris septem universalibus Synodis, non aliter quàm vallo quodam & sepimento, doctrinam hanc cœlestem & orthodoxam communivimus, quas perspicuâ & brevi

ΦΩΤΙΟΥ

τοῦ ἁγιωτάτου πατριάρχου τοῦ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ἐκ τῆς πρὸς Μιχαὴλ τὸν ἄρχοντα Βουλγαρίας ἐπιστολῆς, Τί ἐστιν ἔργον ἄρχοντος.

ΑΙ μὲν ἄλλαι χάριτες, περιφανέστατε καὶ ἠγαπημένε ἡμῶν υἱέ, μικρὰς καὶ προσκαίρους, οἷς προσάγονται, τὰς ὠφελείας παρέχουσιν· ὅσαι δὲ πεφύκασι ψυχὴν βελτίονα ἀπεργάζεσθαι, πλάνης μὲν καθαίρουσαι καὶ παθῶν, τὴν αἴγλην δὲ καὶ λαμπρότητα τῶν ἀρετῶν καὶ τῆς ἀληθείας διαυγάζουσαι, αὗται δὲ ἄρα χάριτές εἰσιν, ὡς ἀληθῶς, μεγάλα κέρδη καὶ ἀθάνατα ἀθανάτῳ καὶ θεοειδεῖ πράγματι χορηγοῦσαι, τῇ ψυχῇ, καὶ τὸν ἄσυλον αὐτῇ καὶ οὐράνιον ἐμπορευόμεναι πλοῦτον. ὧν ἡ τιμιωτάτη καὶ τῶν ἄλλων πρωτεύουσα χάρις ἡ πρὸς τὸ θεῖόν ἐστιν ἀπλανὴς καὶ σωτήριος χειραγωγία. ἣν πρώτη καὶ μόνη χαρίζεται τῆς καθαρᾶς καὶ ἀμωμήτου πίστεως ἡμῶν, τῶν Χριστιανῶν, ἡ μάθησις καὶ μυσταγωγία. α.

Αὕτη γὰρ τῆς πολυμόρφου πλάνης τὸν ἄνθρωπον ····· τῷ κάλλει τῆς λατρείας καθαρῶς ἐνατενίζειν παρέχεται· δι' ἧς εἰς τὴν ὑπερούσιον οὐσίαν καὶ πάντων αἰτίαν καὶ δημιουργὸν ἀναγόμενοι, τὴν ἑνοειδῆ καὶ ὑπέρθεον τῆς Τριάδος θεότητα, καθ' ὅσον ἐστὶν ἀνθρώπῳ δυνατόν, ἐνοπτριζόμεθα. Τῆς τηλικαύτης τοίνυν χάριτος καὶ δωρεᾶς τὴν ἔμφρονά σου ψυχὴν εὑρηκότες ἀξίαν, (ἐρᾶν γάρ σε ἀρετῆς καὶ εὐσεβείας πεπείσμεθα) τῷ φιλουμένῳ δώρῳ καὶ μεγαλοπρεπεῖ δεξιούμεθα. ἐν ᾧ, τῆς ἀχράντου καὶ καθαρᾶς ἡμῶν πίστεως τὸ ἱερὸν καὶ θεόσοφον ἐντάξαντες μάθημα, τὰς ἁγίας καὶ οἰκουμενικὰς ἑπτὰ συνόδους, οἱονεὶ χάρακάς τινας καὶ περιβόλους οὔσας τοῦ θείου τούτου καὶ ὀρθοδόξου μαθήματος, σαφεῖ τε καὶ συντόμῳ β.

λόγῳ συμπαραπεθέμεθα· οὐδ' ὅσα βίον ἰθύνει, καὶ μαρτυρεῖ τῆς πίστεως τὴν ὀρθότητα, παντελῶς ἀποσιωπήσαντες. Ὥσπερ γὰρ τὸ πάντα καταρχὰς πειρᾶσθαι λέγειν, ἀπειρόκαλον· οὕτω καὶ τὸ μηδὲν εἰπεῖν, ἀφιλόκαλον. Δεῖ δὲ τὰς ἀρετὰς τῇ πίστει συμπεπηγέναι, καὶ δι' ἀμφοῖν τὸν σπουδαῖον καταρτίζεσθαι. καὶ γὰρ δογμάτων μὲν εὐθύτης πολιτείας περιβάλλεται κοσμιότητα· πράξεων δὲ καθαρότης τῆς πίστεως ἀπαγγέλλει θειότητα· ὧν ἑκάτερον χωρὶς τοῦ ἑτέρου ῥᾷον εἴωθεν ὑπορρεῖν καὶ παρασύρεσθαι, μὴ ἀνεχόμενον καταμόνας ψυχαῖς ἀνθρώπων ἐγκατοικίζεσθαι. Ἀλλὰ περὶ μὲν τούτων καὶ ὕστερον. Νῦν δέ ἐστι τὸ ἱερὸν καὶ θεόληπτον τῆς ἱερᾶς ἡμῶν λατρείας ἀναπτθέμεθα μάθημα.

oratione, unà cognoſcendas, adjunximus. Nec interea, quæ ad vitam rectè inſtituendam pertinent, Fideíq; rectitudini teſtimonium perhibent, prorſus ſilentio præteribimus. Certè ſicut omnia ſigillatim ab initio velle dicere, ineptum eſt; ità nihil omnino dicere,turpe & inhoneſtum eſt. Oportet autem virtutes *& bona opera* à fide non divelli, ſed utrinq; virum bonum perfici & conſummari: Fides enim recta mores producit honeſtos; & operum puritas fidem eſſe divinam planè probat: Iſtorum verò alterum ſine altero facilè diffluere ſolet & aliorſum rapi: neque enim poſſunt ſejuncta & divulſa in animis hominum ſedem figere. Sed de iſtis videbimus in ſequentibus. In præſenti ſacram & Divino oraculo fuſam ſacroſanctæ noſtræ religionis doctrinam repræſentamus.

δ'. Symbolum fidei Conſtantinopolitanum.

Πιστεύω εἰς ἕνα Θεὸν Πατέρα παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων· Καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστὸν, τὸν Υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ, τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων· φῶς ἐκ φωτὸς, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ· γεννηθέντα, οὐ ποιηθέντα· ὁμοούσιον τῷ Πατρὶ, δι' οὗ τὰ πάντα ἐγένετο· τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐξ οὐρανῶν· καὶ σαρκωθέντα ἐκ Πνεύματος ἁγίου καὶ Μαρίας τῆς παρθένου, καὶ ἐνανθρωπήσαντα, σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου, καὶ παθόντα, καὶ ταφέντα, καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς γραφὰς, καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς, καὶ καθεζόμενον ἐν δεξιᾷ τοῦ Πατρός· καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκρούς· οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος· Καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τὸ Κύριον καὶ ζωοποιὸν, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, τὸ σὺν Πατρὶ καὶ Υἱῷ προσκυνούμενον καὶ συνδοξαζόμενον, τὸ λαλῆσαν διὰ τῶν προφητῶν· Εἰς μίαν ἁγίαν καθολικὴν καὶ ἀποστολικὴν ἐκκλησίαν. Ὁμολογῶ ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν· προσδοκῶ ἀνάστασιν νεκρῶν, καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος. Ἀμήν.

Credo in unum Deum Patrem omnipotentem, cœli & terræ creatorem, necnon viſibilium omnium ac inviſibilium: Et in unum Dominum Jeſum Chriſtum, Filium Dei unigenitum, ex Patre natum ante omnia ſecula; lumen de lumine, Deum verum de Deo vero; genitum, non factum; Patri conſubſtantialem, per quem omnia facta ſunt: qui propter nos homines & propter noſtram ſalutem deſcendit de cœlis; incarnatus ex Spiritu ſancto & Maria virgine; & homo factus eſt, crucifixuſq; pro nobis ſub Pontio Pilato, paſſus, & ſepultus; & reſurrexit tertiâ die ſecundùm Scripturas; & aſſcendit in cœlos, & ſedet à dexteris Patris: & iterum venturus eſt cum gloria, judicaturus vivos atque mortuos; cujus regni non erit finis: Et in Spiritum ſanctum Dominum & autorem vitæ; qui procedit à Patre; qui cum Patre ac Filio adoratur & glorificatur; qui locutus eſt per Prophetas: In unam Catholicam & Apoſtolicam Eccleſiam. Confiteor unum baptiſma, in remiſſionem peccatorum. Exſpecto reſurrectionem mortuorum, & vitam venturi ſeculi. Amen.

Ad hunc ergò modum sentiens ac credens tu secundùm traditionem sanctæ catholicæ & apostolicæ Ecclesiæ, ô laborum meorum eximium ornamentu, sacras & Oecumenicas septem Synodos, partim tanquam pietatis magistras, partim ut propugnatrices, suscipe & amplectere: Per illas etenim & illarum ope omnis innovatio, hæresis omnis, repellitur; & quod orthodoxum est, puro & ab antiquis tradito intellectu conservatur, atq; in piorum mentibus, dubitatione exclusâ, collocatur. Harum ego Synodorum narrationem aggredior instituere; locum simul, numerum, multitudinem, Præsides porrò singularum, unà cum actionibus, quò res meliùs intelligantur, descripturus.

Prima ideo Synodus Universalis apud Niceam Bithyniæ civitatem coacta fuit. Convenerant eò trecenti decem & octo Dei sacerdotes: De veritate judicium latum. Erant istius cœtûs principes, Alexander Constantinopolitanum Archiepiscopalem thronum sortitus administrandum; (erat ille vir profundâ quidem canitie, & consimili prudentiâ, venerabilis; plurimam porrò possidens apud Deum fiduciam, propter vitæ splendorem, animi sanctimoniam, & accuratam fidei professionem:) sed & insuper Silvester atq; Julius insignes illi celeberrimiq; Romanæ ecclesiæ Præsules, neuter tamen eorum personaliter præsens, aderant: sed uterq; suâ vice, sui Pontificatûs tempore, Vitum & Vincentium communi illi consessui adesse jusserunt, homines virtute præditos, quíque ad Presbyteratûs dignitatem asscenderant: cum quibus & Cordubæ Episcopus (Hosius) sociabatur; qui per Paganorum persecutiones nomen sibi veraciter impositum declaraverat: Hosius enim (i. e. sanctus) nominatus puram & sanctam professionem à cultu idololatrico conservarat. Aderat etiam & Alexandriæ Episcopus Alexander, vir rebus sanctè & præclarè gestis eximius. Adduxit ille secum colluctatorem & Athanasium, qui tunc Diaconorum primicerius erat, pòst paulò autem in Archiepiscopali throno successor. Unà quoq; aderat & illustris

Ὅυτω τοιγαροῦν φρονῶν καὶ πιστεύων, κατὰ τὴν παράδοσιν τῆς ἁγίας τοῦ Θεοῦ καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας, ὦ καλὸν ἄγαλμα τῶν ἐμῶν πόνων, τὰς ἁγίας καὶ οἰκουμενικὰς ἑπτὰ συνόδους, τὰς μὲν ὡς διδασκάλους, τὰς δὲ ὡς προμάχους τῆς εὐσεβείας, ἀποδέχου τε καὶ περίεπε. δι' αὐτῶν γὰρ πᾶσα καινοτομία καὶ αἵρεσις ἀπελαύνεται· τὸ δὲ τῆς ὀρθοδοξίας ἀκήρατον τε καὶ ἀρχαιοπαράδοτον φρόνημα ταῖς τῶν εὐσεβούντων ψυχαῖς εἰς ἀδίστακτον σεβασμιότητα καθιδρύεται. Ὧν ἀπάρχομαι τὴν ἀφήγησιν, καὶ τόπον, καὶ ἀριθμὸν τοῦ πλήθους, καὶ τοὺς ἀρχηγοὺς ἑκάστης, χάριν εὐμαθίας, ταῖς οἰκείαις * συνυποτυπούμενος πράξεσιν. ε΄.

* ἴσ. --- νους.

Ἡ τοίνυν πρώτη τε καὶ οἰκουμενικὴ ἁγία σύνοδος, ἐν τῇ κατὰ Βιθυνίαν Νικαίᾳ συνεκροτήθη· * ὀκτὼ καὶ δέκα δὲ τριακόσιοι, θείων ἀρχιερέων ὁμήγυρις, τὴν τῆς ἀληθείας κρίσιν ἐνεχειρίζοντο. Ὧν ἦσαν προέχοντες, Ἀλέξανδρός τε, ὁ τὸν Κωνσταντινουπόλεως ἀρχιερατικὸν θρόνον λαχὼν διευθύνειν· ἀνὴρ βαθείᾳ μὲν πολιᾷ, παραπλησίῳ δὲ φρονήματι, σεμνυνόμενος, βίου δὲ λαμπρότητι καὶ ὁσιότητι γνώμης καὶ πίστεως ἀκριβείᾳ τὴν εἰς τὸ θεῖον παῤῥησίαν πολλὴν οἰκειούμενος· τε δὴ καὶ Σίλβεστρος, τε Ἰούλιος, τῆς Ῥωμαϊκῆς ἐκκλησίας ἐπίσημοί τε καὶ διαβόητοι πρόεδροι· αὐτῶν μὲν οὐδέτερος παραγεγονώς· Βίτωνα δὲ καὶ Βικέντιον, ἑκάτερος ἀνθ' ἑαυτοῦ, κατὰ τὸν οἰκεῖον τῆς ἀρχιερατείας χρόνον, τῇ κοινῇ παρεῖναι συνελεύσει προβαλλόμενοι, ἀνθρώπους ἀρετὴν τιμῶντας, καὶ εἰς τὸ τοῦ πρεσβυτερίου ἀξίωμα παραγγέλλοντας. οἷς τε ὁ Κορδούβης Ἐπίσκοπος συνετέτακτο· ὃς κατὰ τοὺς Ἑλληνικοὺς διωγμοὺς τὴν κλῆσιν ἐπαληθεύουσαν ἔδειξεν· Ὅσιος γὰρ ὀνομαζόμενος, ἀβέβηλον αὐτοῦ τὴν ὁμολογίαν τῆς εἰδωλικῆς λατρείας διετήρησεν.

ϛ΄. Nicena Synodus.

* Lego, ὀκτὼ τε καὶ δέκα καὶ τριακόσιοι.

Ὁ μέντοι Ἀλεξανδρείας Ἀλέξανδρος, αὐτός τε παρῆν, ἱεροῖς ἐνδιαπρέπων κατορθώμασιν· ἦγε δὲ συναγωνιστὴν ἑαυτῷ καὶ Ἀθανάσιον, ὃς τότε μὲν τοῦ τάγματος τῶν διακόνων ἡγεῖτο· μετ' οὐ πολὺ δὲ, καὶ τοῦ ἀρχιερατικοῦ θρόνου κατέστη διάδοχος. καὶ ζ΄.

δὴ καὶ ὁ κλεινὸς Εὐστάθιος συμπαρῆν, τῆς Ἀντιοχέων ἐκκλησίας τὸ ἐγκαλλώπισμα, πίστεως μὲν ἐναστράπτων καθαρότητι, λόγων δὲ καὶ νοημάτων σωφροσύνῃ θαυμαζόμενος. μεθ' ὧν καὶ ὁ Ἱεροσολύμων Μακάριος, πολλαῖς ἰδέαις ἀρετῆς ἐνευθυνόμενος· ἄλλοι τε πλεῖστοι ἀποστολικοῖς χαρίσμασι καὶ μαρτυρικοῖς παθήμασι διαλάμποντες. ὧν Παφνούτιος, καὶ Σπυρίδων, Ἰάκωβός τε, καὶ Μάξιμος, ἀγαθοῦ καὶ θαυμασίου συστήματος ἀγαθοὶ καὶ θαυμάσιοι πρωτοστάται ἐγνωρίζοντο. ἐφ' οἷς ἅπασιν, καὶ ὁ μέγας καὶ ἀξιάγαστος Κωνσταντῖνος, τῆς Ῥωμαϊκῆς ἀρχῆς ἰθύνων τὰ σκῆπτρα, διέπρεπε, τήν τε σύνοδον ἀθροίζων, καὶ λαμπροτέραν τῇ παρουσίᾳ ἀπεργαζόμενος. Ἀλλ' ἐκ τοσούτων μὲν καὶ τοιούτων ὁ ἱερὸς ἐκεῖνος συνίστατο σύλλογος, Ἀρεῖόν τινα νεωτεροποιὸν δυσσεβείας δίκας εἰσπραττόμενος, καὶ τὸ ἀποστολικὸν καὶ θεῖον κρατύνοντες κήρυγμα. Ἦν δ' οὗτος ὁ δείλαιος ἕλκων μὲν τὸ γένος ἐκ τῆς Ἀλεξάνδρου· εἰς κλῆρον δὲ καταλεγεὶς τῆς ἐκεῖσε ἐκκλησίας, καὶ εἰς πρεσβυτέρου βαθμὸν ἀνελθὼν, πρότερον μὲν κατὰ τοῦ ἰδίου ποιμένος ὑπερήφανον ἀνέλαβε φρόνημα, ἐκεῖθεν δὲ κατὰ τοῦ κοινοῦ ποιμένος καὶ δεσπότου παρέτεινε τὴν ἀπόνοιαν· τὸν γὰρ Υἱὸν καὶ Λόγον τοῦ Θεοῦ (ὢ τῆς τολμηρᾶς ἐκείνης καὶ γλώττης καὶ διανοίας) εἰς κτίσμα καὶ ποίημα κατεβίβαζεν, οὐδὲ τοῦτο συνιδεῖν ἐθέλων, κοινὸν ὑπάρχον πᾶσι καὶ αὐτοδίδακτον ὁμολόγημα, ὡς ἅπας υἱὸς τῆς αὐτῆς ἐστι τῷ γεγεννηκότι οὐσίας καὶ φύσεως· καὶ ὁ τὸν υἱὸν τάττων ἐν κτίσμασι, καὶ τὸν πατέρα κτίσμα προκατηγόρευσεν· ὥσπερ ὁ τὸν πατέρα δημιουργικῆς οὐσίας καὶ ἀϊδίου φύσεως εἰδὼς, τῆς αὐτῆς εἶναι καὶ τὸν υἱὸν συνανομολογήσειεν. Ποῦ δ' ἂν εἴη τὸ γνήσιον τῆς υἱότητος, ἄλλης μὲν οὐσίας τοῦ πατρὸς, ἑτέρας δὲ τοῦ υἱοῦ χρηματίζοντος; Πῶς δ' οὐ τῆς Ἑλληνικῆς πλάνης ἀνακύψει τὸ πολύθεον, εἰς ἐλάττω καὶ μείζω οὐσίαν τεμνομένης τῆς

ille Eustathius, decus Antiochenæ ecclesiæ singulare, qui propter fidei puritatem celebris habebatur, propter orationis & judicii castitatem erat omnibus admirationi. Cum illis aderat & Macarius Hierosolymitanus multis virtutum generibus rectè conformatus. Sed & alii ab istis multi, donis Apostolicis & Martyrum passionibus conspicui: Inter quos censebantur, Paphnutius, & Spyridion, Jacobus, & Maximus, qui præstantis illius & admirandi conventûs præclari quidam & admirandi ductores & principes agnoscebantur. Cum istis porrò omnibus Magnus ille & meritò dignus admiratione Constantinus, qui tum Romani Imperii sceptra moderabatur, præsens eminebat. Ille autem & Synodum illam convocarat, & suâ ipsius præsentiâ, ut honoratior esset, effecit. Et tot igitur & tam egregiis viris sacra illa Synodus cùm constaret, ab Ario quodam rebus innovandis dedito pœnas hæreticæ pravitatis exigebat; Apostolicam ac Divinam tum retinendo tum confirmando doctrinam. Erat autem miser ille maledictus Arius Alexandrinus ortu: Qui cùm in clerum illius ecclesiæ fuisset cooptatus, & ad presbyteri gradum ascendisset, primùm insolentiùs se contra proprium suum pastorem efferebat; ut itâ deinceps fastum suum & insaniam ad communem Pastorem & Dominum porrò protenderet: Filium namque ac Verbum Dei (ô audacissimam tum linguam tum etiam mentem!) ad creaturarum usque & rerum productarum statum & conditionem dejiciebat. Ac nè illud quidem, quod tamen omnes per se intelligunt & communiter in confesso ponunt, volebat videre, Quòd nimirum quilibet filius ejusdem sit essentiæ ac naturæ cum suo genitore; & quòd is qui filium inter creaturas collocat, patrem eo ipso quoque, & quidem priùs, creaturam statuat: uti & is qui patrem essentiâ creatoris præditum esse intelligit, & naturâ æternâ, unâ simul & eâdem operâ & filium ejusdem naturæ ac essentiæ esse confitetur. Ubi autem erit Filialitatis (ut sic loquar) veritas, si unius essentiæ exsistat pater, alterius autem dicatur esse filius. Imò autem, quomodo non Paganici erroris illa Deorum multiplicitas sese exseret, si in substantiam majorem & minorem

Divinitas

Divinitas diſcindatur: atque illa ipſa quoq; in primum, creatorem, & ſeniorem Deum diſpertiatur; necnon in ſecundum, in ſubſtitutum, & juniorem Deum diſcerpatur? Hęc ſunt enim impii illius Ariani ſeminis genimina. Hominem autem iſtum, utpote contra Creatorem ſuum labia blaſphema armantem ſua, ſanctus ille cœtus privavit ſacerdotio: Impiam porrò & Deo bellum inferentem hęreſim anathemati ſubjecit. Ejuſdem autem ſubſtantiæ exſiſtere, naturæ ejuſdem velut coæternum, Filium atq; Verbum Dei, ſuo Genitori, pari præditum poteſtate, Domino exæquatum, quod divina ſtatuunt oracula, & ſecundùm ea rectè omnium ſentientium ſententiæ, quas in unum collegerant, verum eſſe perſpicuè ſatis declarabant. Illud enim optimè cognoſcebant, quòd quemadmodum Judaicum & Chriſti odium præ ſe fert, Monarchiam & Dominatum Trinitatis in unicam Perſonam concluſam retinere, ità quoq; & in naturas inæquales ac ſubſtantias diſſimilares omnem ſubſtantiam excedentem, omnem naturam exſuperantem unam, unicam, & unientem Deitatem dividere, Paganorum proprium eſt multitudinem deorum ſubintroducentium. Atque in iſtis illa ſancta univerſalis prima Synodus verſabatur.

Secunda porrò ſancta Oecumenica Synodus urbem Regiam (*nimirum Conſtantinopolim*) ſacrarum deliberationum conſiliis locum ſacrum, deſtinatum velut Muſeum referebat. Eò namq; congregati fuerunt centum quinquaginta ſacrati viri. Principes inter illos erant, Timotheus, qui ſedem Archiepiſcopalem Alexandrinam; ſpectabilis Meletius, qui Antiochenam; Cyrillus, qui Hieroſolymitanam adminiſtrabat, eccleſias. Certè quidem Nectarius ibi, qui non ità pridem de Catechumenorum grege ſeparatus Divino lavacro ſordes ſuæ vitæ abluerat, mundus factus mundiſſimâ Pontificatûs dignitate conveſtitur: de ſententia illius Synodi generali, per manuum verò prædictorum Præſulum impoſitionem, ità ut ſimul Regię urbis Epiſcopus & Synodi Præſes nominaretur. Aderat & iſtis Gregorius, Nyſſę in Cappadocia Epiſcopus, & qui *Theologi* ex operibus nomen habebat. Cum quibus conſpirare

θεότητος, καὶ τῆς μὲν εἰς πρῶτον καὶ δημιουργὸν καὶ πρεσβύτερον θεὸν ἀφοριζομένης, τῆς δὲ εἰς δεύτερον θεὸν διακρινομένης καὶ ὑπουργὸν καὶ νεώτερον; ταῦτα γὰρ τοῦ Ἀρείου πονηρᾶς σπορᾶς τὰ γεννήματα. Ἀλλὰ τοῦτον μὲν, ὡς χείλη βλάσφημα κατὰ τοῦ πεποιηκότος ὁπλισάμενον, τῆς ἱερωσύνης ὁ ἱερὸς ἀπεγύμνωσεν ὅμιλος· τὴν δὲ δυσσεβεστάτην καὶ θεομάχον αὐτοῦ αἵρεσιν τῷ ἀναθέματι καθυπέβαλεν· ὁμοούσιον δὲ, καὶ ὁμοφυῆ, καὶ συναΐδιον τὸν Υἱὸν καὶ Λόγον τοῦ Θεοῦ τῷ γεγεννηκότι Πατρὶ, καὶ τῆς αὐτῆς ἐξουσίας καὶ κυριότητος, ὡς οἱ θεῖοι χρησμοὶ, καὶ τῶν εὐσεβούντων τὰ κοινὰ δόγματα, ἱερολογήσαντες διετράνωσαν· καλῶς εἰδότες, ὅτι ὥσπερ τὸ εἰς ἓν συγκλείειν πρόσωπον τὴν τριαδικὴν μοναρχίαν καὶ κυριότητα, Ἰουδαϊκόν ἐστι καὶ μισόχριστον, οὕτω καὶ τὸ κατατέμνειν εἰς ἀνίσους φύσεις καὶ ἀνομοίους οὐσίας τὴν ὑπερούσιον καὶ ὑπερφυῆ καὶ ἑνιαίαν θεότητα, Ἑλληνικὸν ὑπάρχει καὶ πολύθεον. Ἀλλ' ἐν τούτοις μὲν ἡ ἁγία καὶ οἰκουμενικὴ πρώτη σύνοδος.

Ἡ δὲ ἁγία καὶ οἰκουμενικὴ δευτέρα σύνοδος τὴν μὲν ἱερῶν φροντισμάτων τὴν βασιλίδα πόλιν ἱερὸν ἐδείκνυ φροντιστήριον· εἰς πεντήκοντα δὲ καὶ ἑκατὸν ἄνδρας ἱεροὺς συνηγείρετο· ἐξάρχους ἔχουσα * Τιμόθεόν τε τὸν Ἀλεξανδρείας, καὶ τὸν ἀξιοθαύμαστον τῆς Ἀντιοχείας Μελέτιον, Κύριλλόν τε τῆς Ἱεροσολύμων, τοὺς ἱεραρχικοὺς θρόνους ἰθύνοντας· καὶ δὴ καὶ Νεκτάριον, ὃς ἄρτι τῆς τῶν κατηχουμένων ἀγέλης ἀφορισθεὶς, καὶ τῷ θείῳ λουτρῷ τὸν τοῦ βίου ῥύπον ἀποπλυνάμενος, καθαρὸς ἤδη, τὸ καθαρώτατον τῆς ἱεραρχίας ἀξίωμα περιβάλλεται, ψήφῳ μὲν κοινῇ τῆς συνόδου, χειροθεσίᾳ δὲ τῶν προκρίτων· καὶ ἅμα τε τῆς βασιλευούσης ἐπίσκοπος, καὶ τῆς συνόδου ἐχρημάτιζεν ἔξαρχος. μεθ' ὧν Γρηγόριος, ὅ, τε τῆς ἐν Καππαδοκίᾳ Νύσσης Ἐπίσκοπος, καὶ ὁ τῆς Θεολογίας ἐξ ἔργων ἐπώνυμος· οἷς, οὐ πολὺς χρόνος, καὶ Δάμασος, ὁ τῆς Ῥώμης, τὰ αὐτὰ

θ'.
Synod. Conſtant. I.

* ἴσ. Τιμόθεον τότε.

κρατιώων, ἐγνωρίζετο, σύμφωνος τοῖς παρει-
ι. λαβοῦσι καθιστάμενος. Οὗτος δὴ οὖν ὁ
ἱεροφάντης χορὸς Μακεδόνιόν τινα, τὸν Κων-
σταντινουπόλεως θρόνον ἅρπαγμα πάλαι ποιη-
σάμενον, ὅτι τὸ πανάγιον καὶ ζωαρχικὸν
* ἐβλασφήμει. * ἐδυσφήμει Πνεῦμα, εὐθύνας ἐδικαίου δοῦναι.
ὡς γὰρ Ἄρειος κατὰ τοῦ Υἱοῦ, οὕτω καὶ αὐτὸς
κατὰ τοῦ παναγίου παραταττόμενος Πνεύμα-
τος, εἰς δούλοις καὶ ὑπηρέτας τῆς δεσποτι-
κῆς καὶ ὑπερκειμένης αὐτοῦ συνέταττε κυ-
ριότητα. Καί τοι ῥᾷον ἦν, εἴπερ ἐβούλετο,
τῷ ἀθλίῳ συνορᾷν, ὅτι, καθάπερ οἱ τὸν
Υἱὸν εἰς κτίσμα τάττοντες, τὴν ὕβριν
οὐδὲν ἧττον προσάπτουσι τῷ Πατρὶ, οὕτω
καὶ οἱ τὸ πανάγιον αὐτοῦ Πνεῦμα τοῖς ποι-
ήμασιν ἐναριθμοῦντες, τὴν ἴσην καὶ ὁμοί-
αν βλασφημίαν ἀφίασι κατ' αὐτοῦ. Εἰ
γὰρ τὸ Πνεῦμα κτίσμα, κἀκεῖνος οὗ τὸ
Πνεῦμα, μετὰ τῶν κτισμάτων. Εἰ δὲ καὶ
ἀκοαῖς ἀφόρητον ἡ τῆς ἀθεότητος ταύτης
ὑπερβολὴ, πῶς οὐ συνῆκεν ὁ ταλαίπωρος
ἐκεῖνο φεύγειν, δι' οὗ περὶ τούτοις ἀνάγκη
πεσεῖν τοὺς θεομάχους λογισμούς; Ἀθετεῖς
τὸ Πνεῦμα εἶναι Θεόν; πῶς ἐρευνᾷ τὰ βά-
θη τοῦ Θεοῦ, κρύφιον ἀπ' αὐτοῦ; πῶς ἐστιν
ἄλλος, παράκλητος; πῶς συντάττεται
Πατρὶ καὶ Υἱῷ; Πορευθέντες, γὰρ αὐτὸς
φησιν ὁ Υἱὸς, μαθητεύσατε πάντα τὰ
ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ
Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύμα-
τος. Εἰ ἕν τι τῶν τριῶν κτίσμα, ἐν οἷς
φωτιζόμεθα, οὐδὲ τὰ λοιπὰ καθαρεύσει
τῆς ὕβρεως. ἀλλ' εἰ κτίσμα, πῶς, κτίζει;
* ἁγνίζει. πῶς * ἁγιάζει; πῶς ζωοποιεῖ; πῶς δι-
αιρεῖ χαρίσματα; πῶς δὲ Θεός; ἀλλὰ
τούτων οὐδὲν ἐκεῖνος ὁ φρενοβλαβὴς ἐπὶ
νοῦν βαλλόμενος, τῆς μοναρχικῆς αὐτὸ καὶ
μιᾶς ἀδιαιρέτου θεότητος διασπᾶν ἐτόλ-
μα καὶ ἀπεθρασύνετο. διὸ καὶ τῆς ἀσεβεί-
ας ἐπάξια εἴληφε τὰ ἐπιχείρα, αὐτός τε
ἀφαιρέσει τῆς ἱερωσύνης ζημιωθεὶς, καὶ πάν-
τες ὅσοι τῆς αὐτοῦ θεομαχίας τὸ ἀνίατον

agnoscebatur Damasus Romanus Episcopus, dum Synodi istius acta, eandem cum ipsis sententiam fovens, confirmaret. Sacratissimus porrò chorus iste Macedonium quendam, qui sedem quondam Constantinopolitanam arreptam invaserat, justè censuit pœnas dare debuisse, eo quòd in sanctissimum Spiritum vitæ fontem blasphemus exstiterat. Sicut enim Arius contra Filium, ità & iste contra Spiritum sanctum armis instructus prodierat in aciem: cujus dominium supremum & principatum excellentem ad servilem & subjectitiam redigebat conditionem. Quanquam facilè poterat, si in id intendere voluisset, infelix & improbus iste animadvertere, quòd ut illi qui Filium compingunt in ordinem creaturarum, contumeliâ nihilominus afficiunt Patrem, ità & qui sacrosanctum ejus Spiritum annumerant creaturis, simili prorsus & æquali modo blasphemi in eundem sunt. Nam si spiritus creatura est, certè & ille creatura fuerit cujus spiritus est. Quòd si istius impietatis excessum aures nostræ ferre nequeant, unde factum ut miser ille non intellexerit, omni modo illud declinandum sibi esse unde fieri omnino debuit ut in istiusmodi impias & cum Deo pugnantes opiniones recidat? Concedere non vis Spiritum esse Deum? at quomodo profunda Dei scrutatur, ab ipso abstrusa? quomodo erit *Alius* Paracletus? unde factum ut cum Patre & Filio componatur? *Euntes enim*, ait ipsemet Filius, *in mundum universum, docete omnes nationes, baptizantes eas in nomine Patris, & Filii, & Spiritûs sancti.* Quòd si autem è tribus istis, in quorum nominibus baptizati illuminamur, unus erit creatura, certè quidem nec cęteri ab injuria hac & contumelia immunes fuerint. Quòd si creatura sit, quomodo quicquam creat? quomodo sanctificat, vel vivificat? quomodo distribuit charismata? quomodo Deus? Nihil autem istorum delirus ille apud animam suam reputans cogitabat; sed ausus est homo importunus, insolenter à monarchicâ unicâ, indivisâ Deitate divellere Spiritum. Quocirca dignam suâ molitione impiâ mercedem recepit. nam & sacerdotio privatus mulctabatur; & unà cum eo quotcunque incorrigibiles eandem hæresim in Deum blasphemi sectabantur.

ſectabantur. Et quemadmodum ille ſanctum Spiritum alienum à Trinuna Deitate & Dominatione jactitabat, ità illum ſancta & univerſalis Synodus, tanquam alterum Arium, à ſacerdotio & fidelium ſodalitio ac portione declaravit alienum. Sanctiſsimum porrò & vitæ Autorem principalem Spiritum, juxta Patrum & Theologorum ſententias, publico præconio demonſtravit, unà cum Patre ac Filio adorandum & ſimul glorificandum, utpote ejuſdem exſiſtentem cum illis naturæ ſubſtantiæque, pari præditum vi, potentiâ, facultate. Quin & ſi quod zizaniorum adhuc de ſemine Arii ſuppullulaverat, & illud ſtirpitus evellebant. Imperii porrò tunc temporis fræna moderabatur magnus ille & magno laudum præconio celebrandus Theodoſius; qui religioſæ pietatis propugnator egregius exſiſtebat. Atq; ad hunc modum habuit ſe iſta Synodus.

Tertia autem ſancta & univerſalis Synodus Epheſi in Aſia congregabatur, numero ducenario completa. Principes porrò ferebantur, Cyrillus ille inter Patres nominatiſsimus, qui & virtute & prudentiâ inſtructiſsimus magnæ illius Alexandri urbis thronum inſidebat: necnon Celeſtini Romanæ urbis Epiſcopi obibat & peragebat vices. Aderat & Memnon, qui ad clavum Epheſinæ Eccleſiæ ſedebat: Juvenalius quoq; Hieroſolymorum. Iſti, unà cum totius Synodi conſeſſu cætero, ab impio Neſtorio impietatis ſuæ pœnas repoſcebant. Ille autem Antiochiâ ortus ad Orontem flumen ſitâ, atq; indè profectus, ſolium Conſtantinopolitanum haud ſanè legitimè conſcenderat. Infelix iſte homo de lutulentis Diodori & Theodori impietatum ſcaturiginibus, ubi potaverat ipſe, & mente ebrius eſſe cœperat, ad perniciem gregis ſui, abſurdas & abhorrendas quaſdam voces multorum auribus ingerebat. Chriſtum etenim, Dei Filium unicum, Deum noſtrum verum, qui propter nos & ſalutem noſtram carnis atque ſanguinis noſtri, ſimilis nobis factus, participavit, & in ſeipſum noſtram ſuſcipiens & ſubſtituens maſſam, unus è duobus contrariis

παρεζήλωσε. καὶ ὡς ἐκεῖνος τὸ πανάγιον Πνεῦμα τῆς τριαδικῆς μιᾶς θεότητός τε καὶ κυριότητος ἀλλοτριοῦν ἐφρυάττετο, οὕτως αὐτὸν ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος καὶ τῆς ἱερωσύνης καὶ τῆς τῶν πιστῶν μερίδος καὶ συναυλίας οἷα δεύτερον ἠλλοτρίωσεν Ἄρειον. Τὸ δὲ πανάγιον καὶ ζωαρχικὸν Πνεῦμα, ἅτε δὴ ὁμοφυὲς καὶ ὁμοούσιον, ἰσοσθενές τε καὶ παντοδύναμον, τῷ Πατρὶ καὶ τῷ Υἱῷ συμπροσκυνεῖσθαι καὶ συνδοξολογεῖσθαι, κατὰ τὰς πατρικάς τε καὶ θεολογικὰς φωνὰς, ἀνεκήρυξαν· ἐκθερίσαντες τέλεον καὶ εἴτι τῆς Ἀρειανῆς σπορᾶς ζιζάνιον ὑπεφύετο. Τηνικαῦτα δὲ τὰς τῆς βασιλείας ἡνίας ὁ μέγας ὡς ἀληθῶς καὶ μεγάλης εὐφημίας ἄξιος περιεζώννυτο Θεοδόσιος, πρόμαχος καὶ αὐτὸς τῆς εὐσεβείας γνωριζόμενος. Ἀλλ' ἐν τούτοις μὲν καὶ αὕτη ἡ ἁγία σύνοδος.

Ἡ δὲ ἁγία καὶ οἰκουμενικὴ τρίτη σύνοδος ἐν μὲν τῇ κατὰ τὴν Ἀσίαν Ἐφέσῳ συνεκροτήθη· εἰς διακοσίους δὲ ἐπληθύνετο· Ἐν οἷς ἡγεμόνες ἐγνωρίζοντο, Κύριλλός τε ὁ ἐν πᾶσι περιώνυμος, ὃς δι' ἀρετὴν καὶ σοφίας πλοῦτον τῆς Ἀλεξάνδρου μεγαλοπόλεως ἰθύνων τὸν θρόνον, καὶ τοῦ Ῥώμης Κελεστίνου τὴν καθέδραν ἀνεπλήρου καὶ τὸ πρόσωπον. μεθ' ὧν καὶ Μέμνων, ὁ τῆς Ἐφεσίων ἐκκλησίας ἐμπεπιστευμένος τοὺς οἴακας· καὶ δὴ καὶ ὁ τῶν Ἱεροσολύμων, Ἰουβενάλιος. Οἵτινες σὺν παντὶ τῷ τῆς συνόδου πληρώματι, τὸν δυσσεβῆ Νεστόριον, ὧν ἠσέβει, δίκας εἰσεπράττοντο. ὃς ἐκ τῆς Ἀντιόχου, τῆς πρὸς τῷ Ὀρόντῃ, ὁρμώμενος, τὸν Κωνσταντινουπόλεως θρόνον οὐκ εὐαγῶς ἐγκεχείριστο. ἀλλ' ὅγε ταλαίπωρος οὗτος, ἐκ τῶν Διοδώρου καὶ Θεοδώρου θολερῶν τῆς ἀσεβείας ἐκροφήσας ναμάτων, καὶ εἰς φρενῶν μέθην ἐμπεσὼν, ἀπηχεῖς καὶ ἐκτόπους φωνὰς, ἐπὶ λύμῃ τοῦ ποιμνίου, πολλῶν ἀκοαῖς ἐναπηρεύξατο. Χριστὸν γὰρ, τὸν ἕνα Θεοῦ Υἱὸν, τὸν ἀληθινὸν Θεὸν ἡμῶν, ὃς δι' ἡμᾶς καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν σαρκὸς, ἡμῖν παραπλησίως, κοινωνήσας καὶ αἵματος, καὶ εἰς ἑαυτὸν τὸ ἡμέτερον ὑποστησάμενος φύραμα, εἷς ἐκ δύο ἐχρημάτισε

ιά. Tertia Synodus.

τῶν

τῶν ἐναντίων, Θεὸς ὁ αὐτὸς ὑπάρχων καὶ ἄνθρωπος· εἷς Χριστός, εἷς Υἱός, ὁ αὐτὸς ἄνω ἐκ Πατρὸς ἀμήτωρ, καὶ κάτω ἐκ μητρὸς ἀπάτωρ· ὁ αὐτὸς καὶ οὐκ ἄλλος· ἓν πρόσωπον, μία ὑπόστασις· Τοῦτον δὴ τὸν ἕνα, Κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστόν, εἰς δύο τέμνειν καὶ διαιρεῖν ὑποστάσεις, ὁ τρισάθλιος ἐκεῖνος οὐ πεφρικώς, τὸν μὲν ψιλὸν ἄνθρωπον, καὶ χωρὶς τοῦ προσλαβόντος Λόγου, καθ' ἰδίαν ὑπόστασιν, ἔπλαττε, τὸν δὲ Θεὸν ἀνὰ μέρος, καὶ γυμνὸν τοῦ προσλήμματος· ὥσπερ δεδοικὼς ὁ ἀνόητος, μή τι Θεὸς πάθοι, τὸ οἰκεῖον πλάσμα δι' ἄφατον φιλανθρωπίαν, εἰς θεραπείαν καὶ ἀνάπλασιν ὑποδυόμενος. οὐδὲ τοῦτο συνιδών, ὡς οἷς τὴν ἀνθρωπίνην φύσιν τῆς τοῦ Λόγου ἐδίχαζεν ὑποστάσεως, ἀνίατον αὐτὴν καὶ ἀθεράπευτον ἀνεκήρυττε, καὶ τῆς ἰδίας ἔξαρνος σωτηρίας ἐγίγνετο. Ἀλλὰ γάρ,

*ἴσ. ὡς κ. * τοὺς λογισμοὺς ὅλως ἐκ τούτων διαστραφείς, οὐδὲ τὴν αὐτοῦ κατὰ σάρκα μητέρα, τὴν παναγίαν παρθένον, τὴν κυρίως καὶ ἀληθῶς τὸν Θεὸν Λόγον σεσαρκωμένον τεκοῦσαν, οὐδὲ ταύτην καλεῖν Θεοτόκον ἠνέχετο· ἀλλ' ὥσπερ τὸν υἱὸν ἀπεστέρει τῆς θεότητος, οὕτως ἠλλοτρίου καὶ τὴν γεννησαμένην τῆς Θεοτόκου

ιβ'. κλήσεως. Δι' ὃ τοῦτον, ἀξίως τῆς τηλικαύτης ἀπονοίας καὶ τῆς βλασφήμου γλώσσης, τῶν μακαρίων πατέρων ὁ σύλλογος πάσης τε ἱερωσύνης ἐγύμνωσε, καὶ σὺν τῷ οἰκείῳ καὶ βδελυρωτάτῳ φρονήματι τῷ αἰωνίῳ παρέπεμψαν ἀναθέματι. τὸν δὲ Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ἐν μιᾷ καὶ τῇ αὐτῇ ὑποστάσει πατροπαραδότως καὶ ὁσιοπρεπῶς προσκυνεῖσθαι καὶ κηρύττεσθαι δογματίσαντες, ἀκολούθως καὶ τὴν πανάχραντον αὐτοῦ καὶ ἀειπαρθένον μητέρα κυρίως καὶ ἀληθῶς καλεῖσθαι καὶ ἀνευφημεῖσθαι Θεοτόκον παραδεδώκασιν. ᾗ γὰρ τὸν Θεὸν Λόγον, σαρκὶ γεννηθῆναι καταδεξάμενον, τέτοκεν, Θεοτόκος ἐνδίκως δοξολογεῖσθαι καὶ ὀνομάζεσθαι ἐξωσίωται. Ἀλλ' ἐπὶ τούτοις μὲν καὶ αὕτη τὸ τέλος ἔσχηκεν, ἡνίκα τὸν νέον Θεοδόσιον ἡ Ῥωμαϊκὴ πολιτεία γαληνοῖς ἑώρα ὀφθαλμοῖς τὴν πατρῴαν καὶ βασίλειον ἀρχὴν ἐκ τριγονίας διανύοντα.

conflatus dicebatur: Deus nempe idem atq; homo exsistens, unus Christus, Filius unus; idem desursum è Patre sine matre, qui deorsum erat è matre sine patre: ipse & non alius, eadem persona, hypostasis una: Hunc scilicet unum Dominum nostrum Jesum Christum infelicissimus ille nihil veritus in duas hypostases dissecare & dividere, alteram merum & purum hominem confinxit in sua propria hypostasi subsistentem, separatim à Verbo assumente, alteram verò divisim Deum assumento omni corporeo denudatum: Veritus fortassis, quâ fuit stultitiâ, nè quid pateretur Deus, dum propter amorem erga homines inexplicabilem suam ipsius subiit creaturam, ut illam refingeret & persanaret. Neq; illud animadvertit, quòd eo ipso in quo naturam humanam ab hypostasi Verbi separavit, eandem planè insanabilem atq; incurabilem prædicaverit; ipséq; adeò suam propriam salutem aversetur, eam planè abnegando. Sed & ulteriùs, quasi ratio ipsi penitus fuisset expectorata à perversis hisce opinionibus suis, pati noluit matrem ejus secundùm carnem, sanctissimam nempe Virginem, quæ veraciter quidem at peculiari suo modo Deum Verbum incarnatum pepererat, Deiparam nominari: Sed uti Filium privarat Deitate, ità parentem ejus à titulo Deiparæ alienam fecit. Quocirca hunc, prout meritus fuerat per hanc suam insaniam & linguam blasphemam, sacer hic beatorum Patrum consessus omni sacerdotio denudavit, &, unà cum ipsius propria & detestanda sententia, sempiterno subjecit anathemati. Dominum verò nostrum Jesum Christum, in una & eadem Hypostasi, more veteri & à Patrum traditione accepto, prædicandum & adorandum decrevere: Necnon, prout consequens erat, immaculatam & semper virginem ejus matrem propriè & verè nominandam & prædicandam Deiparam prodidere. Eo enim ipso quòd Deum Verbum, in carne dignatum nasci, peperit, Deiparam nec injuriâ & dici & coli & par & sanctum est. Atq; hisce ità determinatis finem suscepit & ista Synodus, quo tempore Theodosium juniorem Romana Respublica oculis serenis intuebatur, regnum à patre acceptum suo, tertio jam ordine generis, gubernantem.

Sancta

Sancta & Oecumenica quarta Synodus religioſiſſimum Principem Marcianum præſentem vidit & conſpirantem, quæ veritatis dogmatum auditorium Chalcedonem Bithyniæ urbem celebrem conſecravit. Ad ſexcentos & triginta numerus pertingebat convenarum. Quorum præcipui dicebantur Anatolius, qui in ſacerdotale Regiæ urbis ſolium fuerat inunctus: Paſchaſinus quoq; & Lucentius Epiſcopali dignitate fulgentes, unà cum presbytero Bonifacio, locum Leonis ſanctiſſimi Papæ Romani obtinebant. cujus Leonis ingens gloria & multus pro pietate zelus. Aderant præterea Maximus Antiochiæ, & Juvenalius Hieroſolymorum. Iſti Eutychen infelicem & inſolentiſsimum illum ipſius protectorem Dioſcorum rationes reddere de impietate coegerunt. E diametro iſti contrarium Neſtorio errorem ſibi appropriaverant; unde in parem cum illo impietatem proruerant. Unicum enim Dominum noſtrum Jeſum Chriſtum à Divina natura agnitum & humana, atque in utraq; natura adoratum, ſummam per audaciam & ſtultitiam in unam naturam commiſcentes, confuderunt. Nec miſeri ut erant intelligebant, quòd per hanc irritam rationem illum alienigenam, à Paterna ſubſtantia diverſum, necnon differenti ab hominibus naturâ conſtantem, definirent. Nam ſi unica tantummodo ſit natura Chriſti, vel Divina prorſus ea fuerit, vel humana. Quòd ſi merè Divina ſit, ubi tunc humana? quòd ſi tantùm humana, fieri non poteſt quin negetur Divina. quod ſi quid diverſum ab utraq; natura fuerit (nam hoc in hac cauſa unicum iis relinquitur, & eò videntur propendere) quomodo non erit apud ipſos Chriſtus alterius cujuſdam & diverſæ naturæ cùm à ſuo Patre tum à nobis? quo quid magis impium aut delirum magis fingi poteſt? aſſerere nimirum Verbum Dei, Deum, hominem factum in eum finem, ut cùm Divinitas deſtrueretur propria, etiam aſſumta humanitas in nihilum redigeretur. Hoc enim itâ planè conſequetur, ſi quis tueri auſus fuerit Chriſtum non alterius iſtarum, ſed præter iſtas alîus naturæ

ιγ΄. Ἡ δὲ ἁγία καὶ οἰκουμενικὴ τετάρτη σύνοδος, τὸν ἐν βασιλεῦσιν εὐσεβέστατον Μαρκιανὸν συμπαρόντα καὶ συμπνέοντα ἔχουσα, τὴν ἀληθινὴν μὲν δογμάτων ἀκροατήριον ἀνιέρου τὴν Χαλκηδόνα, πόλιν Βιθυνίας οὖσαν ἐπίσημον. ἐν τριάκοντα δὲ καὶ ἑξακοσίοις τὸν ἀριθμὸν ἐξετείνετο. ἧς λαγάδες ἐχρημάτιζον Ἀνατόλιός τε ὁ τῆς βασιλίδος πόλεως τοὺς ἱεραρχικοὺς θεσμοὺς *ἐγκεχλισμένος· καὶ δὴ Πασχασῖνός τε καὶ Λουκίνσιος, ἐπισκοπικῷ διαπρέποντες ἀξιώματι, σὺν Βονιφατίῳ πρεσβυτέρῳ, τὸν τόπον ἐπέχοντες Λέοντος τοῦ ἁγιωτάτου πάπα Ῥώμης· οὗ κλέος μέγα, καὶ πολὺς ὁ ὑπὲρ τῆς εὐσεβείας ζῆλος. μεθ᾽ ὧν Μάξιμός τε ὁ Ἀντιοχείας, καὶ ὁ Ἱεροσολύμων Ἰουβενάλιος. Οἵτινες Εὐτυχῆ τε τὸν δυστυχῆ καὶ τὸν προασπιστὴν αὐτοῦ τὸν ἀλαζόνα Διόσκορον δυσσεβημάτων εἰς πράξεις ἀπῄτησαν. καὶ γὰρ καὶ οὗτοι, τὴν ἐκ διαμέτρου Νεστορίῳ πλάνην οἰκειωσάμενοι, εἰς τὴν ὁμοίαν ἐκείνῳ ἐξέπεσον ἀθλιότητα. Τὸν γὰρ ἕνα κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, ἐκ θεότητος καὶ ἀνθρωπότητος γνωριζόμενον, καὶ ἐν ταύταις ταῖς δυσὶ προσκυνούμενον φύσεσιν, εἰς μίαν φύσιν τολμηρῶς καὶ ἀφρόνως ἀνακίρνων καὶ συνέχεον. ἐξ ὧν, τῆς τε πατρικῆς οὐσίας ἑτερόφυλον, καὶ τοῖς ἀνθρώποις ἑτεροφυᾶ, οὐ συνίεσαν οἱ δείλαιοι συμπεραίνοντες. Εἰ γὰρ μία ἡ τοῦ Χριστοῦ φύσις, ἢ θεία πάντως ἢ ἀνθρωπίνη ἔσται. ἀλλ᾽ εἰ μὲν μόνη θεία, ποῦ τὸ ἀνθρώπινον; εἰ δὲ ἀνθρωπίνη*, πῶς οὐκ ἔξαρνοι τῆς θεότητος; εἰ δ᾽ ἕτερόν τι παρὰ ταῦτα (τοῦτο γὰρ ὑπολείπεται, καὶ πρὸς τοῦτο μᾶλλον αὐτῶν νεύει τὸ φρόνημα) πῶς οὐχ ἑτεροφυὴς αὐτοῖς ὁ Χριστὸς καὶ τοῦ Πατρὸς καὶ ἡμῶν ἀναπλασθήσεται; οὗ τί ἂν δυσσεβέστερον ἢ ἀφρονέστερον; ἄνθρωπον γενέσθαι φάσκειν τὸν τοῦ Θεοῦ Λόγον καὶ Θεὸν, ἐπί τε φθορᾷ τῆς ἰδίας θεότητος, καὶ ἐπὶ ἀναιρέσει τῆς προσληφθείσης ἀνθρωπότητος; τοῦτο γὰρ ἕπεται πάντως τοῖς μηδετέρας φύσεως, ἀλλ᾽ ἑτέρας παρὰ ταύτας, τὸν Χριστὸν εἰπεῖν ἐκτολμήσασι. Διὸ καὶ τῆς τοσαύτης δυσ- ιδ΄.

Synodus quarta.

* Leg. ἐγκεχειρισμένος.

* ἴσ. μόνη.

σεβείας οἱ τῶν χριστομάχων τούτων δογμάτων εἰσηγηταί, ἀξίαν τὴν δίκην δεδωκότες, ἀφῃρέθησάν τε τῆς ἱερωσύνης, καὶ ἀπὸ πάσης τῆς ἐκκλησίας γεγόνασιν ἀνάθεμα· συναπελαθείσης αὐτοῖς καὶ τῆς χριστομάχου αἱρέσεως. τὸ δὲ ὀρθὸν καὶ ἀπαράτρωτον τῆς ὀρθοδοξίας φρόνημα ἔτι μᾶλλον ταῖς γραφικαῖς τε καὶ πατρικαῖς μαρτυρίαις ἀνεκηρύχθη καὶ διέλαμψεν· Ἕνα τὸν Χριστόν, ἤτοι μίαν αὐτοῦ τὴν ὑπόστασιν, καὶ δύο τὰς φύσεις, θεότητά τε καὶ ἀνθρωπότητα, ἀσυγχύτως καὶ ἀδιαιρέτως ἐνθεωρουμένας, τῶν τρισμακαρίστων ἀρχιερέων περιφανῶς θεολογησάντων, καὶ παραδεδωκότων ἀδιστάκτως ὁμολογεῖν καὶ κηρύσσειν εἰς πάντα τῆς οἰκουμένης τὰ πέρατα. Δῆλον δὲ κἀντεῦθεν, ὡς δι' ὧν μὲν χωλοῖς αἱ βάσεις ὠρθοῦντο, καὶ τυφλοῖς τὸ πάθος εἰς ὀμμάτων βλάστην ὑπεφύετο, νεκροί τε τῶν πυλῶν ἀνεσπῶντο τοῦ ᾅδου, καὶ πρὸς τὸ ζῆν μετετάττοντο, αἵ τε ἄλλαι θεοσημεῖαι, ἃς οὐ ῥᾴδιον ἀριθμεῖν, ἐπετελοῦντο καὶ ἐπεδείκνυντο, τῆς θείας φύσεως ἐναργῶς παρεδηλοῦτο τὸ ἀξίωμα. δι' ὧν δὲ κόπους καὶ πόνους, καὶ δίψαν καὶ πεῖναν, καὶ τὰ τούτοις ὑφίστατο συγγενῆ καὶ παραπλήσια, τῆς ἀνθρωπίνης οὐσίας ἐφανεροῦτο τὸ ἰδίωμα. ὧν τὰ μὲν θεοπρεπῶς, τὰ δὲ ἀνθρωποπρεπῶς, ὁ αὐτὸς Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν ἐπιτελέσας καὶ διαπραξάμενος, μίαν μὲν αὐτοῦ καὶ ἑνιαίαν τὴν ὑπόστασιν, δύο δὲ καὶ διαφερούσας τὰς φύσεις, ἐν ἀσυγχύτῳ ἑνώσει, σαφῶς τε καὶ ἀναντιρρήτῳ λόγῳ παρέστησε καὶ ἐπιστώσατο. Ἀλλ' ἐν τούτοις καὶ τὰ τῆς τετάρτης συνόδου.

ιε'. Quinta ſynodus.

Ἡ δὲ ἁγία καὶ οἰκουμενικὴ πέμπτη σύνοδος, τέμενος μὲν ἱερὸν αὐτῇ ἡ Κωνσταντίνου μεγαλόπολις ἀφιέρωτο. πέντε δὲ καὶ ἑξήκοντα καὶ ἑκατὸν θεοφόρων πατέρων παρουσίᾳ καὶ συνδρομῇ ἐκρατύνετο. ὧν ἡγοῦντο καὶ προέλαμπον, Μηνᾶς μὲν τὴν ἀρχήν, εἶτα δὲ καὶ Εὐτύχιος, τῆς αὐτῆς βασιλίδος, ἐκ διαδοχῆς, τοὺς ἀρχιε-

participaſſe. Quocirca dignum ſuâ impietate ſupplicium ſubiere, qui dogmatum iſtorum, per quæ Chriſto bellum indicitur, autores fuerant, ſacerdotio nempe dejecti, & per omnes eccleſias anathemati ſubjecti, cum quibus & ipſa hæreſis expellebatur. Recta autem & orthodoxa ſententia, nullis vulneribus confoſſa, majorem in modum teſtimoniis & è Scriptura & è Patribus deductis confirmatur, præconiis celeberrima clareſcebat. Unum enim Chriſtum, id eſt, unicam ejus hypoſtaſin, naturam verò duplicem, Divinam nempe & humanam, inconfuſim & indiviſim conſideratam, per beatiſſimos hoſce ſacerdotes & theologos, in mundum univerſum & mundi extremos terminos, confeſſione & prędicatione agnoſcendam, clarè, perſpicuè & ſine hæſitatione propagabant. Hinc quoque liquet, quòd cùm claudis greſſus confirmarentur, & cæcis cæcitas in eflloreſcentiam oculorum ſuccreſceret, cùm mortui ab inferni portis retraherentur, & in vitam denuo tranſmitterentur, necnon cùm & aliæ divinæ virtutes, quæ non eſt facilè enumerare, perpetrarentur, & in conſpectu omnium propalarentur, Divinæ naturæ dignitas & eminentia evidenter demonſtrabatur. Rurſus per id, quòd defatigationem, laborem, ſitim, famem ſuſtinuerit & paupertatem, atq; his ſimilia & congenita, proprietas humanæ ſubſtantiæ manifeſtabatur. Quædam iſtorum ut Deo dignum erat, alia pro conditionis humanæ modo, idem & unus Chriſtus, verus Deus noſter, cùm operaretur & perficeret, certè unam & unitate conſiſtentem hypoſtaſin ſuam, duas autem & diverſas naturas in unione illa inconfuſa, perſpicuè clarâ nec ullo pacto contradicendâ ratione tum exhibuit tum confirmavit. Atq; hactenus de quarta Synodo.

Sancta Univerſalis quinta Synodus ſequitur. Cui conveniendæ ſacrabatur, tanquam ſeptum ſacrum, magna Conſtantini civitas. Obtinuit autem vim & confirmabatur per præſentiam & concurſum quinq; ſexaginta centum Epiſcoporum. Horum duces & tanquam lumina fuerunt, Mennas quidem ab initio, tum Eutychius ſucceſſor, qui clavum Regiæ iſtius & Archiepiſcopalis ſedis

ſedis moderabantur. Vigilius aderat (qui & ipſe Romam ſuſceperat procurandam) apud urbem quidem, Synodo tamen non interfuit, eò quòd nolebat ſponte ſe ad illum aggregare conventum. Ille autem nihilominus, quòd minimè volebat ſacri illius conſeſſûs ſodalitio intereſſe, fidem communi Patrum ſuffragio editam, libello ſuo dato, confirmavit. Hiſce aderant Apolinarius Alexandriæ, Domnus dignitate Antiochenæ eccleſiæ Archiepiſcopali prędití. Aderant Didymus & Euagrius, locum tenentes Euſtochii Hieroſolymitani Archiepiſcopi. Per id temporis Juſtinianus maximus Imperator, Romani principatûs curam manibus gubernabat, & cum eccleſiaſticis dogmatibus conſpirabat. Hæc itaq; ſancta & univerſalis Synodus impura Neſtorii dogmata repullulaſcentia penitus iterum demeſſuit, unà cum zizaniorum ipſo ſeminatore: Et poſt eum, Theodorum atque Diodorum: quorum iſte Tarſi civitatis, ille autem Mopſueſtiæ Epiſcopus erat. Iſti enim Neſtorio priores illam ipſam hæreſim parturiebant, & poſt ſe defunctos, ſcriptis traditos reliquere ſpuriæ ſuæ ſententiæ ſpurios partus. Condemnavit inſuper & anathemate feriit Origenem, Didymum, Euagrium, ab antiquis temporibus in fide languidos, quippe qui in eccleſiam Dei ſubintroducere Paganorum fabulas tentaverant. Delirabant enim, Animas ante corpora præexſtitiſſe, necnon, Unam & eandem animã multa corpora ſubingredi. impium dogma & conſpuendum, nullis dignum præter ipſos fautoribus. Finem quoque & terminum ſupplicii interminabilis conſtituebant: quæ eſt maxima omnium ad peccandum illecebra & præcipitium in ruinam ducens. Sed & impiis dæmonibus ſuum antiquum locum & dignitatem largiebantur: nam regreſſum illis ad cœleſtem gloriam patefactum iri docebant, unde olim exciderant. Sed nec corpora cum ſuis animabus conjuncta reſurrectura fingebant, ſed nudas animas ſine corporibus. neſcio quam rem interea comminiſcentes Reſurrectionem, ſiquidem Reſurrectio illius eſt quod conciderat & moriebatur, non ejus

ἱερατικοὺς πηδαλιουχήσαντες οἴακας· καὶ Βιγίλιος ὁ τῆς Ῥώμης τὴν ἱερὰν λαχὼν ἐφορείαν, παρὼν μὲν τῇ πόλει, οὐ παρὼν δὲ τῇ συνόδῳ· ὃς εἰ καὶ μὴ πρόθυμος εἰς τὴν συνδρομὴν τῆς ἱερᾶς ὁμηγύρεως κατέστη, ἀλλ' οὐδὲν ἔλαττον ὅμως τὴν κοινὴν τῶν πατέρων πίστιν ἐπεκύρου λιβέλλῳ. Σὺν οἷς Ἀπολινάριός τε ὁ Ἀλεξανδρείας, καὶ Δόμνος ὁ Ἀντιοχείας, τῷ ἀρχιερατικῷ ἀξιώματι κεκοσμημένοι. καὶ δὴ καὶ Δίδυμος καὶ Εὐάγελος, Εὐστοχίου τοῦ Ἱεροσολύμων ἀρχιερέως τὸν τόπον ἀναπληροῦντες. τηνικαῦτα δὲ καὶ Ἰουστινιανὸς ὁ κράτιστος ἐν βασιλεῦσι, τῆς Ῥωμαϊκῆς ἀρχῆς τὰς φροντίδας ἐχείριζεν, καὶ τῷ ἐκκλησιαστικῷ συνεφώνει φρονήματι. Αὕτη τοιγαροῦν ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος Νεστορίου πάλιν τὰ μιαρὰ παραφυόμενα δόγματα εἰς τὸ παντελὲς ἐξεθέρισεν, ἅμα αὐτῷ ἐκείνων τῷ σπορεῖ τῶν ζιζανίων· Μεθ' ὃν, Θεόδωρον καὶ Διόδωρον· ὧν ὁ μὲν Ταρσοῦ πόλεως, ὁ δὲ Μοψουεστίας ἐπεσκόπησεν. Οἱ, Νεστορίου πρότερον, τὴν τοιαύτην ὠδίνοντες αἵρεσιν, καὶ ἔγγραφον ἀπολελοίπασι, τῆς νόθου διανοίας τὰ νόθα καὶ ἔκφυλα κυήματα. Ἔτι δὲ κατεδίκασε καὶ ἀνεθεμάτισεν Ὠριγένην, Δίδυμον, Εὐάγριον, παλαιὰ τῶν πιστῶν ἀῤῥωστήματα, ἄνδρας τὴν Ἑλληνικὴν μυθολογίαν ἐν τῇ τοῦ Θεοῦ ἐκκλησίᾳ παρεισενεγκεῖν φιλονεικήσαντας. Προϋπάρχειν τε γὰρ οὗτοι τὰς ψυχὰς τῶν σωμάτων ἐληρῴδουν, καὶ πολλὰ σώματα τὴν αὐτὴν μετενδύεσθαι· δόγμα μιαρὸν καὶ κατάπτυστον, καὶ μόνων, ὡς ἀληθῶς, ἐκείνων τῶν ψυχῶν ἄξιον. Καὶ τέλος δὲ τῆς ἀτελευτήτου κολάσεως ἐψηφίζοντο. ἄλλη, τοῦτο, παράκλησις πρὸς ἁμαρτίαν πᾶσαν καὶ ἀπώλειαν. Καὶ τοῖς πονηροῖς δαίμοσι τὸ ἀρχαῖον ἀξίωμα ἐχαρίζοντο, ἐπαναδραμεῖν αὐτοὺς εἰς τὴν ἄνωθεν δόξαν ἐξ ἧς ἐξέπεσον, ἀναπλάττοντες. Ἔτι δὲ, οὐδὲ τὰ σώματα ταῖς ψυχαῖς ἐβούλοντο συνανίστασθαι· γυμνὰς δὲ αὐτὰς σωμάτων ἀνιστῶσιν· οὐκ οἶδ' ὅ,τι καὶ καλοῦντες ἀνάστασιν, εἴπερ τοῦ πεπτωκότος καὶ θανόντος ἡ ἀνάστασις, οὐχὶ δὲ τοῦ ἀεὶ ἑστῶτος

καὶ ἐν ἀφθαρσίᾳ διαμένοντος, οἷόν πέρ ἐστιν ἡ ψυχή· οὐδὲ τοῦτο δυσωπηθέντες οἱ
* ληρῦσι. ἄθλιοι, ἡλίκον ἐστὶ ἀδίκημα, δι' ὧν * ληθοῦσι, τοῦ δικαίου Κριτοῦ κατηγοροῦσι. πῶς γὰρ οὐκ ἐσχάτην ἀδικίαν αὐτοῦ καταμαρτυροῦσι, τὰ μὲν συναθλήσαντα σώματα ταῖς ψυχαῖς τοῖς κατ' ἀρετὴν πόνοις, τῶν κοινῶν ἐπάθλων ἀποστερεῖν αὐτὸν βλασφημοῦντες· τὰ δ' αὖ πάλιν συνεξαμαρτόντα, τῆς κοινῆς αἰτίας καὶ πράξεως ἀνεπιτίμητα καταλιμπάνειν, μόνας δὲ τὰς ψυχάς, χωρὶς τῶν συνδιαπραξαμένων σωμάτων, ἢ διπλῆν εἰσπράττειν τιμωείαν, ἢ διπλῆς ἀξιοῦν
ις'. μισθαποδοσίας. Οὐ μόνον δὲ τὰ τοιαῦτα τῶν δυσφημιῶν ὁ ἱερὸς οὗτος τῶν πατέρων χορὸς ἀπεκήρυξεν, ἀλλὰ καὶ πρός γε τούτοις (οὐ πολλῷ ἔμπροσθεν χρόνῳ) καθεῖλε καὶ ἀνεθεμάτισεν Ἄνθιμόν τε τὸν Τραπεζούντιον, τὸ Εὐτυχοῦς ὑποθάλποντα
* Ἀπαμείας. φρόνημα, καὶ Σεβῆρον, Πέτρον τε τὸν * ἀπ' Ἀμείας, καὶ Ζωορᾶν, καὶ πᾶσαν τὴν πονηρὰν ἐκείνην καὶ πολυκέφαλον διασπορὰν καὶ συμμορίαν· Ἀγαπητοῦ μὲν μάλιστα, τοῦ Ῥώμης, τῆς εὐαγοῦς προκατάρξαντος πράξεως· συμψήφων δὲ καὶ συνεργῶν ἀναφανέντων τῶν περιωνύμων ἀρχιερέων· ὧν ὁ μὲν Εὐφραίμιος (ὁ κλεινὸς τῆς Ἀντιόχου δὲ οὗτος) τῶν Ἱεροσολύμων δὲ Πέτρος ὁ ἱερὸς ἐπετρόπευεν. Τούτους οὖν ἅπαντας τὸ θεῖον τῶν ἀρχιερέων συνάθροισμα ἐκκηρύξαντές τε καὶ ἀποβαλλόμενοι, τὰ ἀπλανῆ καὶ θεῖα τῆς καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας ἐκράτυνάν τε καὶ ἐπεκύρωσαν δόγματα. Καὶ τὰ μὲν τῆς οἰκουμενικῆς πέμπτης συνόδου, ἐν τούτοις.

ιζ'. Sexta Synodus. Ἡ δὲ ἁγία καὶ οἰκουμενικὴ ἕκτη σύνοδος, ἐν τῇ βασιλίδι μὲν τῶν πόλεων καὶ αὐτὴ τῶν μυστικῶν τῆς ἀληθείας θεαμάτων τὸ ἱερὸν ἐπήγνυτο θέατρον. ἑβδομήκοντα δὲ καὶ ἑκατὸν θεοφόροις ἀνδράσι τὸν ἀ-
* --μένοις. γῶνα * ὑποδυομένη, λαμπρῶς νικῶσαν ἀπεδείκνυ τὴν εὐσέβειαν. ταύτης ἀρχηγοὶ καὶ τῶν ἄλλων προνομεύειν ἐκρίνοντο ἄξιοι, Γεώργιός τε, ᾧ τῆς βασιλίδος πόλεως
* ἴσ. ἄλλῳ. ὁ ἀρχιερατικὸς θεσμὸς ὑπῆρχεν ἐγκεχειρισμένος, καὶ Θεόδωρος, καὶ Γεώργιος *, ἐν πρεσ-

quod jugiter consistebat & incorruptibile permanebat, cujusmodi animæ status est. nec intelligebant miseri aut reverebantur, quàm magnâ injustitiâ justum interea Judicem onerabant. Nam quomodo non contra illum perhibent de summa injustitia testimonium, qui blasphemè pronunciant, corpora illa quæ unà cum animabus in stadio virtutis decertaverant, præmiis illorum laborum communibus privanda: aut ut quæ unà peccaverant, ab omni reatu & pœna pro actibus solverentur; animæ autem solæ & solitariæ ac semotę à corporibus unà operantibus, vel duplici pœnâ, vel duplicatâ mercede, retributionem haberent? Neq; istiusmodi solùm blasphemias sanctus ille Patrum illorum consessus proscripsit, sed & insuper sede suâ deposuit & anathematizavit Anthimum, qui non ità tum pridem Trapezuntiorum Episcopus fuerat, qui tacitè apud animum fovebat Eutychetis sententiam, & unà cum illo, Severum, Petrum Apameæ episcopum, Zooran, & universam illam impiam, multicipitem, dispersam variè societatem. Principes in hoc negotio sancto partes Agapetus Romæ Episcopus obibat; conspirantibus autem & conjunctas operas conferentibus celeberrimis illis antedictis Archisacerdotibus. In quorum dein numero censebantur Euphraimius inclytus Antiochiæ, & sanctus Petrus Hierosolymorum Episcopi. Sanctus istorum Archisacerdotum consessus illos suprà omnes ejectos ex ecclesia publicavit: dum certa infallibilia divina Catholicæ ecclesiæ dogmata confirmant & corroborant. Atq; ità se habuit quinta Synodus quæ fuit Universalis.

Sacrum œcumenicum sextum Concilium; & ipsum in urbe Regiâ habebatur; ibi enim mysticis spectaculis peragendis sanctum theatrum figebatur. Ubi centum & septuaginta divini viri certamen subiere, & splendidam veritati victoriam reportavere. Hujus Concilii principes, utpote digni judicati qui cæteris præessent, erant Georgius, cui Regiam urbem legibus moderari episcopalibus concredebatur; Theodorus &

Georgius

Georgius, qui in sacerdotali ordine constituti, & Johan. Diacon⁹ pro Agathone sanctissimo Papa Romano aderant, inter primores patrum allecti. Locum magnæ urbis Alexand. Episc. Petrus monachus supplebat. Cum quibus aderat missus à sede Hierosol. Georgius monachus & presbyter. Qui unà cum cæteris sanctis Patribus Sergium, Pyrrhum, Paulum Constantinop. Honorium Romanum, Cyrum Alexand. & Theodor. Pharan, implicatilē mendacii catenā contexentes diripuerunt. Justæ quinetiam condemnationi subjecerunt Macarium Episcopum Antiochię, unà cum hæresis suæ discipulo Stephano, & misero quodam sene Polychronio, superioribus conjunctos, & patrocinium ipsorum impietatis suscipientes: dum voluntatem unam, unam operationem in Christo Deo nostro vero, è duabus naturis subsistente, sine omni ratione cum impietate constitutam sententiam promunt. Imprudentes nimiùm, qui cogitatione illud non revolvunt quod facilè cuivis obviàm venire potest, Non esse unius & ejusdem operationis, claudum per potentiam rectificare, & fatigationem contrahere ex itinere: non ejusdem facultatis esse cæcis visum reddere, & sputo, digitorum opę, terram commiscere, lutum coagulare, oculis imponere; neque mortuos suscitare, & vitā functum plangere. Ità nec ejusdem fuit voluntatis, deprecari ut transeat mortis poculum, & eandem rursus Glorificationem dicere, atque ità velle non-volitum. Quî fieri potuit ut non perciperent se naturarum tollere, his sublatis, differentiam! Est enim operationis cujuscunque fons, natura: & juxta diversas naturales operationes voluntates naturales dispertiuntur. Quòd si, secundùm illorum hæresin, operatio unica sit & voluntas, certè & natura quoq; unica fuerit necessariò unde illæ oriuntur: Quòd si dederint naturas duas (neque enim hoc insaniæ eruperunt, utpote habentes ante oculos dispersionem & perditionem eorum qui ità docuere primi) quomodo non utraq; natura propriam emittet operationem & voluntatem? Verùm dum suam pro-

βυτέρων ἀξιώματι κατειλεγμένοι, ἅμα διακόνῳ Ἰωάννῃ, οἱ ἀντὶ Ἀγάθωνος, τοῦ ἁγιωτάτου Πάπα Ῥώμης, εἰς τὴν τῶν ἐξάρχων τάξιν ἠριθμοῦντο· καὶ τοῦ τῆς Ἀλεξανδρου δὲ μεγαλοπόλεως θρόνου Πέτρος μοναχὸς τὸν τόπον ἀνεπλήρου. μεθ' ὧν καὶ Γεώργιος μοναχὸς καὶ πρεσβύτερος, εἰς τὸν βαθμὸν τῆς ἀρχιερατικῆς τῶν Ἱεροσολύμων παρήγγελε καθέδρας· οὗτοι δὲ, σὺν τοῖς ἄλλοις ἱεροῖς καὶ ἁγίοις πατράσι, Σέργιον, Πύῤῥον, Παῦλον, Κωνσταντινουπόλεως κατάρξαντας, καὶ Ὁνώριον Ῥώμης, Κῦρόν τε Ἀλεξανδρείας, καὶ Θεόδωρον τὸν τῆς Φαρὰν, τὴν ἀλληλόπλοκον τοῦ ψεύδους σειρὰν διαῤῥήξαντες· οὐ μὴν ἀλλὰ καὶ Μακάριον Ἀντιοχείας, ἅμα Στεφάνῳ τῷ αἱρέσεως μαθητῇ, σὺν γέροντί τινι ἀθλίῳ τοὔνομα Πολυχρονίῳ, ἐπιπλακέντας αὐτοῖς, καὶ τῆς ἐκείνων δυσσεβείας ὑπερμαχεῖν μελετήσαντας, ὑπὸ δικαίαν καταδίκην ἐποιήσαντο· ὅτι μίαν θέλησιν καὶ μίαν ἐνέργειαν ἐπὶ Χριστοῦ, τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν, τοῦ ἐκ δύο πεφυκότος φύσεων, δυσσεβεῖ καὶ ἀλόγῳ φρονήματι ἐτόλμησαν ἀποφήνασθαι· μηδὲ τοῦτο λογισμοῖς ἀναλαβόντες οἱ ἀσύνετοι, ῥᾴδιον ὂν καὶ πρόχειρον εἰς κατάληψιν, Ὡς οὐκ ἔστι τῆς αὐτῆς ἐνεργείας, χωλὸν κατ' ἐξουσίαν ὀρθῶσαι, καὶ κόπους ὁδοιπορίας μετέρχεσθαι· οὐδὲ τυφλοὺς ὀμματῶσαι, καὶ γῆν σιάλῳ δακτύλων ἔργοις φυρᾶσαι, καὶ πηλὸν ποιῆσαι καὶ ἐπιβαλεῖν τοῖς ὄμμασιν· οὐδὲ νεκρὸν ἀναστῆσαι, καὶ δακρύειν ἐπὶ τελευτήσαντι. οὐ μὴν οὐδὲ τῆς αὐτῆς ἐστι θελήσεως, παρελθεῖν αἰτεῖσθαι τὸ ποτήριον τοῦ θανάτου, καὶ δόξαν αὐτῷ* καλεῖν πάλιν, καὶ βούλεσθαι τὸ ἀθέλητον. ἀλλὰ πῶς οὐχὶ συνῄσθοντο διὰ τούτων, καὶ τῶν φύσεων τὴν διαφορὰν ἐξαρνούμενοι; πᾶσα γὰρ φύσις πηγὴ ἐνεργείας, καὶ ταῖς διαφόροις ἐνεργείαις αἱ φυσικαὶ θελήσεις συνδιαχίζονται. καὶ εἰ, κατὰ τὴν ἐν αὐτοῖς πλάνην, ἡ ἐνέργεια καὶ ἡ θέλησις μία· καὶ ἡ φύσις πάντως ἐξ ἧς ταῦτα, μία. εἰ δὲ δύο αἱ φύσεις (οὔπω γὰρ εἰς τοῦτο μανίας ἐξώκειλαν, ἐν ὀφθαλμοῖς ἔχοντες τὴν διασπορὰν τῶν καταρξάντων καὶ ἀπώλειαν) πῶς οὐχὶ ἑκατέρα πηγάσει τὴν οἰκείαν ἐνέργειαν καὶ τὴν θέλησιν; ἀλλ' οὗτοι μὲν

* γρ. αὐτό.

μὲν τῆς ἰδίας αὐτῶν καὶ δυσφήμου δόξης οὐδὲν προτιμήσαντες, σὺν αὐτῇ ἐκείνῃ, τῷ αἰωνίῳ κατεδικάσθησαν ἀναθέματι. Δύο δὲ θελήσεις φυσικὰς καὶ δύο ἐνεργείας ἐπὶ τοῦ ἑνὸς Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, τῶν θεοφόρων πατέρων ἱερολογήσας ὁ σύλλογος, ταῖς ἁπανταχοῦ ἐκκλησίαις τὸ διπλοῦν ὁμολογεῖν καὶ κηρύσσειν, ὥσπερ τῶν φύσεων, οὕτω καὶ τῶν ἐνεργειῶν καὶ θελήσεων, ὀρθοδόξως παραδεδώκασι. Κωνσταντῖνος δὲ τηνικαῦτα, ὁ ἀπόγονος Ἡρακλείου, τὸν προγενικὸν τῆς βασιλείας κλῆρον ἐχρημάτιζεν ἀναδεδειγμένος· τά τε ἄλλα συμπράττων τῇ συνόδῳ, καὶ τὸ ὀρθὸν τῆς ἐκκλησίας φρόνημα πρεσβεύων. Ἀλλ' ἐν τούτοις μὲν καὶ ἡ ἕκτη.

ιη'. Septima ſynodus.

Ἡ δὲ ἁγία καὶ οἰκουμενικὴ ἑβδόμη σύνοδος, Νικαίαν μὲν, τῆς Βιθυνῶν μητρόπολιν οὖσαν, καὶ τῶν ὀρθῶν δογμάτων δικαστήριον πάλαι γεγονυῖαν, καὶ αὐτὴ τῆς εὐσεβείας κριτήριον ἔδειξεν· ἑπτὰ μὲν καὶ ἑξήκοντα καὶ τριακοσίων ἱερῶν ἀνδρῶν τῷ πλήθει πλατυνομένη· ταξιάρχους δὲ καὶ πρωτοστάτας τῆς ἱερᾶς αὐτῶν καὶ μεγάλης φάλαγγος προβαλλομένη, Ταράσιόν τε τὸν ἐν ἀρχιερεῦσι Θεοῦ πρεσβεύοντα (θεῖος οὗτος καὶ πανάριστος ἀνὴρ, καὶ τῆς βασιλίδος πόλεως τοὺς ἱεραρχικοὺς οἴακας, εἴπερ τις ἄλλος, περιάγειν ἄξιος) καὶ δὴ καὶ Πέτρον τὸν εὐλαβέστατον, πρωτοπρεσβύτερον τῆς κατὰ Ῥώμην ἁγίας ἐκκλησίας· καὶ Πέτρον ἄλλον, πρεσβύτερον καὶ αὐτὸν, καὶ τῆς ἐκεῖσε μονῆς ἡγούμενον τοῦ ἁγίου Σάββα· οἱ τῆς ἀποστολικῆς καθέδρας διεκληροῦντο τὸν τόπον, Ἀδριανοῦ τότε τὸ ἀρχιερατικὸν κοσμοῦντος ἀξίωμα. ἅμα δὲ τούτοις, Ἰωάννην καὶ Θωμᾶν, ἄνδρας μοναδικῇ πολιτείᾳ περιωνύμους, καὶ ἱερατικῇ τιμῇ διαλάμποντας, καὶ τῆς ἀνατολικῆς ἁπάσης διοικήσεως τῶν ἀποστολικῶν καὶ μεγάλων θρόνων τοποτηρητὰς, καὶ τὸ τῶν ἀρχιερέων περιώνυμον ἔχοντας· λέγω δὴ Ἀπολιναρίου τε, καὶ Θεοδωρήτου, καὶ Ἠλία· ὧν ὁ μὲν Ἀλεξανδρείας, ὁ δὲ Ἀντιοχείας, καὶ ὁ λοιπὸς δὲ Ἱεροσολύμων, ἱεροπρεπῶς τε καὶ πανσόφως προειστήκεισαν. Τότε Κωνσταντῖνος καὶ Εἰρήνη, Ὀρθοδοξίας στεφάνῳ κοσμούμενοι, [καὶ] τὴν αὐτοκράτορα τῆς Ῥωμαίων ἀρχῆς πορφυρίδα ἐστολίζετο. Αὕτη τοι-

priam & blaſphemam ſententiam omni modo præferunt, anathemate æterno condemnantur. Duas porrò voluntates, duas operationes in uno Chriſto Deo noſtro, dum ſanctus divinorum Patrum cœtus ſtatuit, ubivis terrarum poſitis Eccleſiis orthodoxam confeſsionem & prædicationem duarum cùm voluntatum tum operationum tradidere. Erat autem eo tempore Conſtantinus Heraclii proles cum regia majorum ſorte conſtitutus: qui & ſuam aliàs operam Synodo contulit,& orthodoxam Eccleſiæ ſententiam tuebatur. Atq; ità ſexta Synodus fuit.

Sancta univerſalis ſeptima Synodus Metropolin Bithyniæ Niceam, olim illud tribunal ſanorum dogmatum, & nunc demum pietati judicandæ deſtinavit. Implebatur porrò Synodus numero ter centum ſexaginta ſeptem virorum, quorum primi fuerant ductores, & ſacroſanctæ ac numeroſæ phalangis principes, Taraſius, inter Dei ſacerdotes illuſtris, divinus planè & optimus omni modo vir, dignus certè (ſi quis alius) qui Regiæ urbis clavum gubernaret: Petrus deinceps Archipresbyter ſanctæ Romanæ Eccleſiæ piiſſimus: & Petrus quoque alter aderat ipſe quoque presbyter, qui Monaſterii, quod ibi eſt, ſancti Sabbæ Præfectus vel Archimandrita fuit. Iſti ſortiebantur locum cathedræ Apoſtolicæ, cui tum digniſſimè præerat Adrianus, Archipræſul. Aderant unà cum iſtis Johannes & Thomas, viri celebres in profeſſione Monachatûs, & honore fulgentes ſacerdotali, qui quidem locum tenebant univerſæ orientalis, Apoſtolicæ, & magnę diœceſis, & Archiepiſcoporum ejuſdem dignitatem habebant, Apolinarii nempe, Theodoreti & Heliæ: quorum primus Alexandriæ, ſecundus Antiochiæ, tertius Hieroſolymorum eccleſias prudenter, & ut ſacerdotes decebat, gubernabant. Eo tempore Conſtantinus & Irene, Orthodoxiæ coronâ redimiti, Romani imperii purpurâ veſtiebantur. Iſta porrò ſancta &

magna

magna Synodus barbaram quandam hæresin, tunc nuper ab impiis & profanis hominibus introductam, communi suo & Divinitus gubernato suffragio condemnabat; ejusdémque autores & propugnatores iisdem sententiis damnatos subjecerunt. Miseri autem isti Christum Deum verum ore non ausi vel confessione suâ blasphemare, operibus tamen suis quoquo modo contumeliis affecerunt, & licentiosè blasphemantibus viam adinvenerunt. Immediatè ipsum insectari convitiis, & nudo ore, sine velo cùm non audeant, voluntatem suam omnem adimplerunt, & Christo oppositam mentem & sententiam per venerandam ejus imaginem dehonestatam demonstrarunt. Idolum venerandam Christi imaginem (ô nimis audacem impiæ linguæ sonum, & cordis atheistici boatum!) appellant, per quam Idololatricus error eliminatur: hanc convitiis & omnibus dehonestamentis fœdatam per compita, forum & plateas pedibus proculcant, distrahunt variè, igni demum comburendam tradunt. spectaculum Christianis deplorandum, dignum Paganorum in Christum odio! Talismodi & in cæteras imagunculas sacras pedibus citi ad fundendum sanguinem exstiterunt: quas manibus sacrilegis, labris profanis fœdarunt. Neque exsatiari voluerunt alastores ad hunc modum insaniendo & furiendo. Neque certè minùs quàm Paganorum exsecranda facinora, si non fortè magis, Christianorum sacra signa & repræsentationes odio perciti conspuerunt: adeò ut bellum videantur internecinum contra Christum & ipsius sanctos susceptum indixisse. Patet quippe cunctis, quòd Imaginibus honor habitus, eorum honor sit qui repræsentantur; quemadmodum & infamia atque dedecus transit ab Imagine in Imaginatum. Isti autem, nupera Judæorum, Christi hostium, progenies, in eo quòd venerandam Christi imaginem illiúsque sanctorum inhonorant, quod in ipsorum atavis desiderabatur, adimplerunt: nam usque ad audacia Judæorum facinora delati feruntur; imò id agunt contentione summâ, ut progenitores suos longè supergrediantur voluntate. Porrò, cùm in medio Christianorum siti,

γαροῦν ἡ ἱερὰ καὶ μεγάλη σύνοδος ἀρτιφανῆ τε καὶ βάρβαρον αἵρεσιν, ὑπὸ δυσσεβῶν τε καὶ ἀνιέρων ἀνδρῶν παρεισαχθεῖσαν, θεοκρίτῳ καὶ κοινῷ ψηφίσματι κατεδίκασε, καὶ τοὺς εἰσηγητὰς καὶ προμάχους αὐτῆς τῷ αὐτῷ συνυποβάλλουσα κρίματι. Οὗτοι γὰρ οἱ δείλαιοι Χριστὸν τὸν ἀληθινὸν Θεὸν ἡμῶν βλασφημεῖν οὐχ ὁμολογοῦντες τοῖς ῥήμασι, διὰ τῶν ἔργων πᾶσαν ἐπενόουν ὕβριν καὶ βλασφημίαν καὶ ἀσέλγειαν· καὶ αὐτὸν ἐκεῖνον δυσφημεῖν ἀμέσως καὶ χωρίς τινος παραπετάσματος οὐ θαρρήσαντες, διὰ τῆς σεπτῆς εἰκόνος τὸ πᾶν αὐτῶν τῆς χριστομάχου γνώμης ἐξεπλήρουν θέλημα. εἴδωλον γὰρ (ὢ τολμηρᾶς καὶ ἀθέου γλώσσης καὶ διανοίας ἀπήχημα) τὴν προσκυνητὴν εἰκόνα Χριστοῦ, δι᾽ ἧς εἰδώλων πλάνη διώκεται, καθυβρίζοντες, καὶ πάσαις αὐτὴν ἀτιμίαις περιβάλλοντες, ἀνὰ τὰς ἀγορὰς καὶ τὰς λεωφόρους ποσὶ κατεπάτουν, περιέσυρον, πυρὶ παρεδίδοσαν. θέαμα χριστιανοῖς ἐλεεινόν, καὶ τῆς Ἑλληνικῆς χριστομαχίας μόνης ἄξιον. τὰ αὐτὰ δὲ καὶ κατὰ τῶν ἄλλων ἱερῶν εἰκονισμάτων, ποσὶ ταχεινοῖς ἐκχέαι αἷμα, χερσί τε παλαμναίαις καὶ βεβήλοις χείλεσιν ἐνησέλγαινον. καὶ κόρον οὐδένα τῆς τηλικαύτης μανίας καὶ παραπληξίας οὐδαμοῦ ἐλάμβανον οἱ ἀλάστορες· ἀλλὰ τῶν Ἑλληνικῶν βδελυγμάτων οὐδὲν ἔλαττον, εἰ καὶ μὴ μᾶλλον, τὰ χριστιανῶν ἱερὰ σύμβολά τε καὶ ἐκτυπώματα, διὰ μίσους ἄγοντες, ἐβδελύσσοντο· δι᾽ ὧν αὐτοῖς καὶ ὁ ἄσπονδος πόλεμος κατὰ Χριστοῦ καὶ τῶν αὐτοῦ ἁγίων συνεκροτεῖτο καὶ ἐκρατύνετο. Δῆλον γὰρ ἅπασιν, ὡς ἡ τιμὴ τῶν εἰκονισμάτων τιμὴ γίνεται τῶν εἰκονιζομένων· ὥσπερ καὶ ἡ ἀτιμία εἰς αὐτὰ διαβαίνει τὰ εἰκονιζόμενα. Ἀλλ᾽ οὗτοι τὰ νέα τῶν χριστομάχων Ἰουδαίων γεννήματα, δι᾽ ὧν μὲν τὴν σεπτὴν εἰκόνα Χριστοῦ, καὶ τῶν αὐτοῦ ἁγίων ἐνύβριζον, τὸ προγονικὸν ἀνεπλήρουν ὑστέρημα, εἰς τὰ τῶν Ἰουδαίων τολμήματα ἐκφερόμενοι, καὶ νικᾶν φιλονεικοῦντες τῇ ὑπερβολῇ τῆς προθυμίας τοὺς γεννήτορας. δι᾽ ὧν δέ, χριστιανῶν ἐν

μέσα,

μέσῳ, οὐκ ἔχον τολμῆσαι τὸν Χριστὸν καὶ
χείλεσιν ἀπαρνήσασθαι, καὶ αὐτοῦ ἐκείνου τοῦ
Ἰουδαϊκοῦ καὶ πατρῴου ζήλου ἠλέγχοντο δι-
απίπτοντες, καὶ νόθον καὶ ταύτην αὐτῶν
δεικνύντες τὴν μίμησιν, καὶ μηδαμοῦ στάσιν
ἔχοντες, ἀλλ' ὥσπερ τῷ κακῷ καρωθέντες
τῆς αἱρέσεως, ὧδε κἀκεῖσε διερριπτοῦντο καὶ
παρεφέροντο. Χριστιανοὺς μὲν γὰρ ἑαυτοὺς ὀνο-
μάζοντες, κατὰ Χριστοῦ ἐφρυάττοντο· καὶ τὴν
Ἰουδαίων κλῆσιν οὐ προσιέμενοι, τὸ χριστο-
μάχον αὐτῶν παρεζήλουν διὰ τῆς εἰκονο-
μαχίας καὶ ὑπερέβαλλον. οὐ μόνον δέ, ἀλ-
λὰ καὶ τὸ τῆς εἰδωλολατρείας ἐκκλίνοντες ὄνο-
μα, οὐδὲν εἰδωλολατρῶν ἀνεκτότερα εἴς τε
χριστιανοὺς αὐτοὺς καὶ εἰς τὰ τῶν χριστιανῶν
θεῖα καὶ ἄχραντα μυστήρια ἐπεδείξαντο. Δι'
ὃ τούτους μέν, ὅσοι μὴ τῆς μοιχαλίδος ταύτης
καὶ πολυσπόρου καὶ συμπεφυρμένης δόξης φυ-
γεῖν ἠθέλησαν τὴν δυσγένειαν, ὡς νόθα γένη
καὶ ἔκφυλα τῆς τῶν πιστῶν εὐγενείας, ἡ ἁγία
καὶ οἰκουμενικὴ διακρίνασα σύνοδος, δεσμοῖς
ἀλύτοις τοῦ ἀναθέματος καθυπέβαλε· τὴν
δὲ εἰκόνα Χριστοῦ, τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν,
κατὰ τὰς ἀνέκαθεν ἀποστολικάς τε καὶ πατρικὰς
παραδόσεις, καὶ τὰς τῶν ἱερῶν λογίων ἐκφαντορεί-
ας, ἐπὶ τιμῇ καὶ σεβασμιότητι τοῦ εἰκονιζομέ-
νου, προσκυνεῖσθαι καὶ τιμᾶσθαι, ψήφοις ἁπάσαις
ἐπεκύρωσέν τε καὶ ἐπεσφραγίσατο· τῆς προσ-
κυνήσεως καὶ τιμῆς, δηλονότι, προσαγομένης,
καθ' ὃν τρόπον καὶ τοῖς ἄλλοις ἱεροῖς τύποις
καὶ συμβόλοις τῆς καθ' ἡμᾶς ἁγιωτάτης λα-
τρείας προσερχόμεθα. Οὐ γὰρ ἐν αὐτοῖς
ἱστῶμεν καὶ συμπερικλείομεν τὴν τιμὴν καὶ
προσκύνησιν, οὐδ' εἰς ἑτερόφυλα καὶ διάφο-
ρα τέλη σχιζόμεθα· ἀλλὰ διὰ τῆς φαινο-
μένης διαφόρου καὶ μεριστῆς αὐτῶν θερα-
πείας καὶ προσκυνήσεως, ἱεροπρεπῶς τε καὶ ἀ-
διαιρέτως εἰς τὴν ἀμέριστον ἐκείνην ἑνοειδῆ
κ'. τε καὶ ἑνοποιὸν θεότητα ἀναγόμεθα. Οὕτω
τὸν τίμιον σταυρὸν προσκυνοῦμεν· ἐν ᾧ τὸ
δεσποτικὸν ἐξετανύσθη σῶμα, καὶ τὸ τοῦ κό-
σμου καθάρσιον ἀνέβλυσεν αἷμα· καὶ ἡ τοῦ ξύ-
λου φύσις ταῖς ἐκεῖθεν ῥοαῖς ἀρδευθεῖσα,
τὴν ἀγήρω ζωὴν ἐβλάστησεν ἀντὶ τοῦ θανάτου. Οὕτω τὸν τύπον τοῦ σταυροῦ προσκυνοῦ-

labiis non audent abnegare Chriſtum, ab ipſa Judaica avitaque invidia minimè recedere convincuntur: ſed & ſpuriam eorum imitationem expreſſiſſe, licèt neutiquam ſibi conſtare queant, ſed hæretico quodam ſtupore huc illuc incerti aguntur & feruntur. Chriſtianos ſe appellant; verùm effrænes contra Chriſtum pergunt: Judæorum titulum non admittunt; & tamen per hanc contra Imagines pugnam non ſolùm imitati ſunt ſed & ſupergreſſi illorum contra Chriſtum malitiam: Cum nomen averſentur Idololatriæ, nihilo tamen tolerabiliùs quàm Idololatræ in divina & intemerata Chriſtianorum myſteria inſaniunt. Ideo autem propter iſtos omnes qui non id agunt, ut degenerem hanc, adulteram, variam, & confuſaneam doctrinam averſentur & declinent, ſancta hæc & univerſalis ſynodus, tanquam prolem ſpuriam, ejectitiam, & ab omni fidelium nobilíque ſocietate excludendum, vinculo anathematis indiſſolubili innodavit: Chriſti autem veri Dei noſtri imaginem, juxta traditiones priſcas Patrum & Apoſtolorum & ſacrorum oraculorum declarationes, in honorem & cultum repræſentati adorandam & honorandam, communibus ſuffragiis ſanciit & confirmavit; cultu nimirum & honore ſic habito, quomodo cætera quoque ſigna & ſymbola ſanctiſſimi noſtri cultûs ſolemus celebrare. Neq; enim in iiſdem ità inſiſtimus ut cultum & honorem debitum ibidem circumſcribamus, ſed nec in alienos à pietate fines & diverſos diffindimur; ſed per conſpicuam, differentem, & diviſam eorum venerationem atque cultum modo quodam ſacro & divino ac indiſcreto, ad illam quæ eſt indiviſa, unica, unita, & unionem procurans Divinitatem deducimur. Ad hunc modum & venerabilem Crucem adoramus, in quâ Domini corpus extendebatur, unde ſanguis ille ebulliit quo mundus mundabatur: ligni autem natura illius ſtillicidiis irrigata pro morte vitam haud ſeneſcentem egerminavit. Ad hunc modum Crucis adoramus effigiem, per quam agmina dæmo-

num

num effugantur, morbi autem varii persanantur, nimirum illâ gratiâ & potentiâ quæ primâ vice operata est in exemplari, usque ad imagines & repræsentationes cum eademmet vi & operatione progrediente. Singula igitur ista, hoc est, Christi imaginem, & ipsammet Crucem, & figuram Crucis, pari modo reverentiâ & adoratione consecrantes, non tamen ità cultum circumscribimus, & ad eadem terminamus, sed ad illum referimus, & in illo sacratè statuimus, qui per & propter humani generis amorem abundantissimum & inexplicabilem incarnatus fuit, & sponte suâ & voluntate maledictam illam mortem nostrâ causâ subiit. Ad eundem morem Sanctorum basilicas, sepulcra, reliquias, fidelibus curationes exuberantia, fideliter veneramur; Christum nimirum Deum nostrum, qui sic eos glorificavit, honorantes & laudibus prosequentes. Quòd si solennes nostræ & sacrę festivitates & sacrificia mystica aliquid hisce simile in se complectuntur, per virtutem illius gratiæ quæ inibi operatur, in eo ipso originalem & principalem beneficii causam tum recognoscimus tum glorificamus. Atque hanc ob causam sacer ille & Deo plenus sanctorum Patrum & beatorum consessus, non modò (quod diximus) Christi, verùm etiam intemeratæ, semper-virginis Dominæ nostræ Deiparæ, & Sanctorum omnes Imagines, juxta gradum & proportionem excellentiæ & venerationis prototyporum, coli & adorari, communi suo suffragio & dictamine ratum & firmum veluti futurum consignarunt. Etenim per ipsas ad contemplationem quandam unientem & compaginantem sursum ducimur, & per easdem digni simus qui cum summo desideratorum omnium per divinam & supernaturalem copulationem aduniamur. Hæc autem sapienter admodum & secundùm Dei beneplacitum decernens Synodus determinavit: Atque ità depulsis hæreseωs morbis & immunditiâ à grege ratione prædito, nobis Ecclesiam repræsentavit in recuperato suo ornatu & pulchritudine conspicuam, & tanquam sponsam, non quidem bullis aut clavis ornatam aureis, sed sacris re-

μὲν, δι' οὗ δαιμόνων ἐλαύνεται στίφη, καὶ πάθη
θεραπεύεται ποικίλα· τῆς ἅπαξ ἐν τῷ πρω-
τοτύπῳ χάριτος καὶ δυνάμεως ἐνεργηθείσης,
καὶ μέχρις αὐτῶν τῶν τύπων, μετὰ τῆς ὁμοί-
ας ἐνεργείας συμπαρατεινούσης. Τούτων τοιγαροῦν
ἕκαστον, τήν τε Χριστοῦ εἰκόνα φημὶ, καὶ αὐ-
τὸν τὸν σταυρὸν, καὶ δὲ καὶ τοῦ σταυροῦ τὸν τύ-
πον, παραπλησίως τῇ σεβασμιότητι καὶ προσ-
κυνήσει ἐξοσιοῦντες, οὐκ ἐν αὐτοῖς περιγρά-
φομεν καὶ περιορίζομεν τὴν τιμὴν καὶ τὸ σέ-
βας, ἀλλ' εἰς τὸν δι' ἡμᾶς ἐνανθρωπήσαντα
πλούτῳ φιλανθρωπίας ἀφάτῳ, καὶ τὸν ὑπὲρ
ἡμῶν ἐπονείδιστον θάνατον ἑκουσίως ὑπενεγκόν-
τα, ταύτην ἀναφέρομεν καὶ ἀνιεροῦμεν. Οὕτω
δὴ καὶ ναοὺς ἁγίων, καὶ τάφους, καὶ λείψανα, πι-
στοῖς βρύοντα * ἰάσεις, πιστῶς προσκυνοῦμεν, * γρ. ἰάσεσι:
τὸν * αὐτοὺς δοξάσαντα Χριστὸν τὸν Θεὸν * γρ. αὐτά.
ἡμῶν μεγαλύνοντες καὶ ἀνευφημοῦντες· καὶ δὴ
καὶ εἴ τι τούτοις, κατὰ τὰς μυστικὰς καὶ ἁγίας
ἡμῶν τελετὰς, ἐστὶ παραπλήσιον, διὰ τῆς
ἐν αὐτοῖς ἐνεργουμένης δωρεᾶς τε καὶ * εὐεργεσί- * γρ. χάριτος.
ας, τὸ ἀρχικόν τε καὶ πρωτουργὸν αἴτιον ἐπιγι-
νώσκομέν τε καὶ δοξολογοῦμεν. Διὸ καὶ τῶν
μακαρίων ἐκείνων καὶ ἱερῶν ἀνδρῶν ἡ θεοφόρος
καὶ ἁγία πανήγυρις οὐ μόνον τὴν εἰκόνα Χρι-
στοῦ (καθάπερ ἔφημεν) ἀλλά γε δὴ καὶ τῆς
παναχράντου καὶ ἀειπαρθένου * δεσποίνης ἡμῶν * γρ. Μαρίας. καὶ δεσπ.
θεοτόκου, καὶ πάντων τῶν ἁγίων τὰς ἱερὰς εἰ-
κόνας, κατ' ἀναλογίαν τῆς τῶν πρωτοτύπων
ὑπεροχῆς καὶ σεβασμιότητος, τιμᾶσθαι καὶ
προσκυνεῖσθαι, κοινῶν θεσπισμάτων ὅροις ἐπ-
εσφράγισέ τε καὶ ἐπεκύρωσε. καὶ γὰρ καὶ δι'
αὐτῶν εἰς ἑνοποιόν τινα καὶ συναγωγὸν
ἀναγόμεθα θεωρίαν, * καὶ τὸ, πρὸς τὸ ἀ- * γρ. καὶ πρός.
κρότατον τῶν ὀρεκτῶν, δι' αὐτῆς, ἀξι-
ούμεθα θείας καὶ ὑπερφυοῦς συναφείας.
Ἀλλὰ ταῦτα μὲν σοφῶς τε καὶ θε-
αρέστως τελεσαμένη, διώρισεν πᾶσαν δὲ
αἱρετικὴν νόσον καὶ πᾶσαν ἀκοσμίαν τῆς
λογικῆς ἀγέλης ἀπελάσασα, τὸν οἰκεῖ-
ον κόσμον καὶ τὸ κάλλος τὴν ἐκκλησίαν
ἐπαναλαβοῦσαν * ὑπέδειξε· καὶ οἷα δὴ νύμ- * γρ. ἀπέδειξε.
φην, οὐκ ἐν κροσσωτοῖς χρυσοῖς, ἀλλ' ἐν * ἱε- * γρ. νοεροῖς.
ροῖς ἐξωραϊσθεῖσαν εἰκονίσμασιν, ἐκ δεξιῶν

τοῦ νυμφίου Χριστοῦ παραστήσασα, ἱλαροῖς καὶ χαίρουσιν ὀφθαλμοῖς καθορᾶσθαι καὶ ἐναγλαΐζεσθαι παντὶ τῷ τῶν πιστῶν πληρώματι παρεσκεύασεν.

κα´. Αὕτη τῆς πίστεως ἡμῶν τῶν Χριστιανῶν ἡ καθαρὰ καὶ ἀμώμητος ὁμολογία· αὕτη τῆς ἀχράντου καὶ * ἐλικρινοῦς λατρείας ἡμῶν, καὶ τῶν περὶ αὐτὴν σεπτῶν μυστηρίων, ἡ θεόσοφος μυσταγωγία· κατὰ ταύτην, μέχρι βίου δυσμῶν, καὶ φρονοῦντες καὶ πιστεύοντες καὶ πολιτευόμενοι, πρὸς τὴν ἀνατολὴν τοῦ νοητοῦ ἡλίου ἐπειγόμεθα, τῆς ἐκεῖθεν ἀνεσπέρου αὐγῆς καὶ λαμπρότητος τρανώτερόν τε καὶ τελειότερον ἀπολαύσοντες. Ταύτην προσήκει καὶ τὴν ὑμετέραν θεοφρούρητον σύνεσιν ἤδη, πρὸς τὸν ἡμέτερον κλῆρον τῆς εὐσεβείας ἀφορῶσαν, εἰλικρινεῖ διαθέσει, καὶ γνώμης εὐθύτητι, καὶ ἀδιστάκτῳ πίστει ἀποδέχεσθαι καὶ στέργειν, καὶ μήτε δεξιᾷ μήτε ἀριστερᾷ, μηδὲ ἐπὶ βραχὺ, ταύτης ἀποκλίνειν. τοῦτο γὰρ τῶν ἀποστόλων τὸ κήρυγμα, τοῦτο τῶν οἰκουμενικῶν συνόδων τὸ φρόνημα. διὸ οὐ μόνον σεαυτὸν φρονεῖν οὕτω δεῖ καὶ [τὸ] δοξάζειν, ἀλλὰ καὶ τοὺς ὑπὸ σε τεταγμένους εἰς τὸ αὐτὸ τῆς ἀληθείας φρόνημα χειραγωγεῖν, καὶ πρὸς τὴν αὐτὴν καταρτίζειν πίστιν, καὶ μηδὲν τῆς τοιαύτης σπουδῆς καὶ ἐπιμελείας ἡγεῖσθαι τιμιώτερον. ἄρχοντος γὰρ ὡς ἀληθῶς, μὴ τῆς ἰδίας μόνον σωτηρίας ποιεῖσθαι φροντίδα, ἀλλὰ καὶ τὸν ἐμπιστευθέντα λαὸν τῆς ἴσης ἀξιοῦν προνοίας, καὶ εἰς τὴν αὐτὴν τῆς θεογνωσίας χειραγωγεῖν τε καὶ προσκαλεῖσθαι τελειότητα. Μὴ τοίνυν τῶν ἐλπίδων ἡμᾶς διαψευσθῆναι ποιήσῃς, ἃς ἡ σὴ περὶ τὰ καλὰ ῥοπή τε καὶ εὐηκοΐα παρέσχε προβάλλεσθαι· μηδὲ τοὺς πόνους καὶ τοὺς ἀγῶνας, οὓς ὑπὲρ τῆς ὑμετέρας σωτηρίας ἀνεδεξάμεθα χαίροντες, ματαίους ἐλέγξῃς· μηδ᾽ ἄρχεσθαι μὲν προθυμίᾳ τοῦ θείου κηρύγματος ὑποδέχεσθαι τοὺς λόγους, αὐτὸν ἐπιδείξῃς, εἰς ῥαθυμίαν δὲ τὴν προθυμίαν * καταλύσεις· ἀλλ᾽ ὅμοιον μὲν τῇ ἀπαρχῇ τὸ τέλος, σύμφωνον δὲ τὴν πολιτείαν τῇ πίστει, κοινὸν δὲ ἀγαθὸν καὶ γέ-

* Leg. εἰλικρινοῦς.

* Leg. καταλύσῃς.

dimitam & resplendescentem imagunculis, à Christi sponsi dextris constitutam, universæ fidelium multitudini lætis & jucundis oculis aspiciendam & lustrandam exhibuit.

Est hæc nostra Christianorum pura, defæcata & inculpabilis fidei confessio: Est hæc à Divina sapientia profecta mystagogica institutio immaculati & sinceri nostri cultûs, & venerandorum quæ eò tendunt mysteriorum: Secundùm istam ad occasum usque & exitum vitæ nostræ sentientes, credentes, conversantes, ad usque orientem solem intelligibilem incedimus: quò pervenientes, multò evidentiùs & perfectiùs radiorum splendore & claritudine, sine ullo occasu, perfruemur. Hanc porrò fidei confessionem, & vestram, par est, à Deo custoditam prudentiam, dum nostram pietatis sortem intuetur, sincero affectu, recto judicio, fide inconcussâ nec vacillante, susceptam semel adamare, nec ab ea vel latum unguem, ad dextram vel sinistram, declinare. Hanc siquidem prædicarunt Apostoli, hanc universales synodi censuerunt observandam. Atque ideo non te tantùm oportet in hac versari sententia, ad hunc modum Deum magnificare, sed & illos qui tibi parentes subsunt, ad eandem veritatem amplectendam quasi manuducere, in eadem fide perfectos consummare oportet, nec quicquam hâc curâ & cogitatione prius vel antiquius habere. Spectat enim revera ad officium principis, non suiipsius tantùm salutis habere rationem, verùm & pari curâ & providentiâ populo sibi concredito prospicere, ut ad ejusdem Dei eandem cognitionem & perfectionem manu perductâ devocetur. Noli igitur committere, ut nos spe nostrâ excidamus, ad quam tua nos inclinatio in virtutem & obedientia facilis invitavit. Noli quæso labores illos & certamina, frustrà nobis suscepta redarguere, & inanes reddere, quos summo cum gaudio in tua salute procuranda exantlavimus. Noli incipere cum alacritate summâ Divini præconii voces suscipere, & cùm te talem præbueris aliquantisper, illud tuum studium convertere in ignaviam: Verùm finis initio correspondeat: vitæ conversatio fidem exprimat;

exprimat; & dum tuam potestatem omnium oculis & linguis usurpandam exhibes, in communem & generis & patriæ utilitatem, meum de te gaudium & animi solatium semper indeletum custodito.

Sed vide demum, quæso te, ô tu mihi dilecte in Christo & spiritualis fili, & si quid aliud eximium usurpari potest & excellens nomen dignum paterno illo quo te amplector affectu; vide, inquam, & adverte, quot adversas acies malus ille Dæmon contra pium, solùm verum Christianismi cultum instruxerit: hæreses nimirum plurimas, tumultus, pugnas, contentiones, prælia concitavit. Vide autem quemadmodum Christiana pietas ista omnia fudit fugavítque, & clarissimum indè triumphum reportavit. Nec te subeat admiratio, dum mente revolvas contra illam susceptas machinationes & insidias. Imprimis enim nequaquam victoriam tam illustrem, potenter partam & gloriosam reportasset Christiana pietas, si cum nullo congrederetur adversario. Deinde & illud facilè intelligitur, quod ubi validiùs Malus ille bello petitur, ibi & ipse sua iniquitatis tela fortiùs emittit, & machinas adaptat suas. Et certè inter alias Gentes, eò quòd nequaquam seriò contra ipsum bellatur, nec ipse in adversum armatus adeò tendit. At populus qui à Christo sortitur nomen, natio illa sancta, regale sacerdotium, eò quòd, per fidem prævalentes, quotidie contra improbos ipsius actus & instituta decertant, & ipse quoque sexcentas insidias, diversas vias excogitat & machinatur, ut vel saltem nonnullos supplantare, atque ità Christi ecclesiam mœrore afficere & tristitiâ posset: utcunque tandem incepta omnia & impia illa machinamenta in ipsius dedecus conversa desinent. Sed & aliæ nationes dogmata sua & doctrinam indistinctam & confusam habent, nec quicquam apud illos defæcatum reperitur aut cum cura exasciatum. hinc est quòd nihil videatur inter illas distortum. Verùm in illa mundissima, sacratissima & accuratissima Christianorum fide, propter summam ipsius puritatem & impermixtam simplicita-

νους καὶ πατρίδος τὴν σὴν διδοὺς ἐξουσίαν καθορᾶσθαι καὶ ὀνομάζεσθαι, τὴν ἐμὴν ἐπὶ σοὶ χαρὰν καὶ εὐφροσύνην διατήρει ἀνεξάλειπτον.

κβ. Ἀλλ' ὅρα δή μοι λοιπὸν, φιλόχριστε καὶ πνευματικὲ ἡμῶν υἱὲ, καὶ εἴ τι ἄλλο κλεινὸν καὶ καλὸν καὶ στοργῆς ἄξιον ὄνομα, ὅρα τοιγαροῦν ὅσας παρατάξεις ὁ πονηρὸς κατὰ τῆς εὐσεβοῦς καὶ μόνης ἀληθινῆς τῶν Χριστιανῶν θρησκείας ἐπαλαμήσατο, αἱρέσεις διαφόρους, καὶ στάσεις, καὶ μάχας, καὶ πολέμους ἐπινοῶν. ὅρα δὲ καὶ τοῦτο, ὅπως ἁπάσας αὕτη κατεστρέψατο, καὶ λαμπρὰ τὰ κατὰ πάντων ἀνέστησε τρόπαια. καὶ μηδὲν θαυμάσῃς τὰς κατ' αὐτῆς λογιζόμενος ἐπινοίας καὶ ἐπιβουλάς. Πρῶτον μὲν γὰρ, οὐκ ἂν οὕτω περιφανὴς καὶ κραταιὰ καὶ ἐπίσημος διὰ τῆς νίκης ἐγένετο, εἰ μηδὲν αὐτῇ πολέμιον συνεπλέκετο. ἔπειτα δὲ καὶ συνορᾶν ῥᾴδιον, ὡς ἔνθαπερ ὁ πονηρὸς σφοδρότερον πολεμεῖται, ἐκεῖ καὶ αὐτὸς σπουδαιότερον τὰ τῆς κακίας αὐτοῦ βέλη πέμπει, καὶ τὰ μηχανήματα ἵστησιν. ἐν μὲν γὰρ τοῖς ἄλλοις ἔθνεσιν ἐπεὶ μηδεὶς ἐστὶν αὐτῷ σφοδρὸς πόλεμος, διὰ τοῦτο οὐδὲ αὐτὸς κατ' ἐκείνων ὁπλίζεται· ὁ δὲ χριστώνυμος τοῦ Θεοῦ λαὸς, τὸ ἔθνος τὸ ἅγιον, τὸ βασίλειον ἱεράτευμα, ἐπεὶ καθ' ἑκάστην κραταιούμενοι τῇ πίστει, κατὰ τῶν πονηρῶν αὐτοῦ πράξεων καὶ ἐπιτηδευμάτων ἀνδρίζονται, διὰ τοῦτο κἀκεῖνος μυρίαις * ἐπιβολαῖς καὶ πάσαις * ἐπιβουλαῖς. μεθόδοις τινὰς ἐξ αὐτῶν ὑποσκελίζειν τεχνάζεται, καὶ ἀντιλυπεῖν τὴν ἐκκλησίαν Χριστοῦ ἀγωνίζεται, εἰ καὶ εἰς αἰσχύνην αὐτῷ οἱ ἀγῶνες καὶ τὰ πονηρεύματα καταστρέφουσιν. * ἀλλ' ὥστε δὲ τὰ μὲν ἄλλα τῶν * γρ. ἄλλως τε. ἐθνῶν ἀδιάκριτα καὶ συγκεχυμένα τὰ ἐν δόγμασιν ἔχει φρονήματα, καὶ οὐδὲν καθαρὸν οὐδ' εἰς ἀκρίβειαν δεδοκιμασμένον, διὰ τοῦτο ἐν ἐκείνοις οὔτε τὸ διεστραμμένον φαίνεται· ἐν δὲ τῇ καθαρωτάτῃ, καὶ ἁγιωτάτῃ, καὶ πολὺ τὸ ἀκριβὲς ἐχούσῃ πίστει τῶν Χριστιανῶν, διὰ τὸ λίαν αὐτῆς εἰλικρινὲς καὶ εὐθὲς καὶ ἐξῃρημένον καὶ ἀκήρατον, ἐπειδὰν

τις καὶ μικρόν τι διαστροφῆς ἢ καινοτομίας παρεισενεγκεῖν ἐπιχειρήσῃ, αὐτίκα τὸ διεστραμμένον καὶ κίβδηλον τῇ παραθέσει τῆς ἀληθείας καὶ τοῦ ὀρθοῦ λόγου καταφαίνεταί τε καὶ διελέγχεται, καὶ οὐδ' ἐπὶ βραχὺ τὸ νόθον γέννημα οὐδ' ὑπὸ τὴν αὐτὴν ὀνομασίαν εἶναι, τῶν ἀσεβῶν δογμάτων οὐδαμῶς ἀνέχεται ἡ εὐγένεια. Ὥσπερ γὰρ ἐπὶ τῶν κάλλει διαφερόντων σωμάτων καὶ μικρά τις ἐπιγινομένη κηλὶς θᾶττον συνορᾶται καὶ πεφώραται τῇ παραθέσει τῆς λοιπῆς ἐν τῷ σώματι ὡραιότητος, τοῖς δ' αἰσχροῖς τὴν ὄψιν οὐκ ἂν ἐξελεγχθείη ῥᾳδίως τὰ τῆς ἀσχημοσύνης πάθη ἐπισυνιστάμενα· ὑπολανθάνει γὰρ τῆς ἀμορφίας τῷ συγγενεῖ καὶ τῇ ὁμοιότητι· οὕτω καὶ ἐπὶ τῆς τῶν Χριστιανῶν ὡραιοτάτης ὡς ἀληθῶς καὶ ὑπερλάμπρου θρησκείας καὶ πίστεως, κἂν τὸ βραχύτατόν τις αὐτῆς παρατρέψῃ, μεγάλην ἀσχημοσύνην ἐργάζεται, καὶ παραυτίκα τὸν ἔλεγχον δέχεται· τὰ δ' ἄλλα τῶν ἐθνῶν δόγματα, πολλῆς ἀκοσμίας καὶ ἀσχημοσύνης γέμοντα, οὐδεμίαν ἔχειν τοῖς οἰκείοις ἐρασταῖς συναίσθησιν δίδωσι τῆς ἐπιγινομένης αἰσχρότητος. Οὐ μόνον δέ, ἀλλὰ καὶ ἐπὶ τῶν ἄλλων πασῶν τεχνῶν καὶ ἐπιστημῶν τὸ αὐτὸ κατιδεῖν ἐστιν. ἐν μὲν γὰρ ταῖς ἀκριβεστάταις καὶ τὸ βραχύτατον τῶν ἁμαρτημάτων ῥᾷστα κατάφωρον γίνεται· ἐν δὲ ταῖς τυχούσαις πολλὰ παρορᾶται, καὶ οὐδ' εἰς ἁμάρτημα κρίνεται. Εἰ βούλει δέ, καὶ ἐν μὲν τοῖς ἄρχουσι, καὶ τῶν ἄλλων τῇ ἐξουσίᾳ προέχουσι, μάλιστα δὲ οἷς κατὰ πλειόνων τὸ κράτος, καὶ τὸ μικρὸν τῶν πταισμάτων εἰς μέγεθος αἴρεται, καὶ πᾶσι γίνεται περιβόητον· ἐν δὲ τοῖς ἀρχομένοις καὶ ταπεινοτέροις πολλὰ τῶν παραπλησίως διαμαρτηθέντων οὐδ' ὅτι ἐπράχθη συνεγνώσθησαν, ἀλλ' ἐναπεκρύβη καὶ ἔλαθε, τῇ σμικρότητι καὶ εὐτελείᾳ συναποσβε-
κγʹ. σθέντα τοῦ ἁμαρτήσαντος. Ὅσον οὖν μεγέθει, καὶ κράτει, καὶ κάλλει, καὶ ἀκριβείᾳ, καὶ καθαρότητι, καὶ τῇ ἄλλῃ πάσῃ τελειότητι, τῶν ἐν τοῖς ἔθνεσι δοξασμάτων ἡ τῶν Χριστιανῶν πίστις καὶ λατρεία ὑπερανέστηκε καὶ

tem, propter rectitudinem & delectum quo præfertur cæteris, ſi quis vel tantillùm in ea à rectitudine declinans, innovatum aliquid ſubintroduxerit, continuò quod obliquum eſt & adulteratum, ſi ad rectam veritatis rationem exigatur, & apparet & convincitur. Neq; certè pati poteſt generoſa illa indoles doctrinæ ſanæ, ut ſpuria dogmata vel tantillum temporis ſub uno ſecum nomine deliteſcerent. Quemadmodum enim in corpore pulchro vel minima labecula aut macula quæ adhæſerit, cerni poteſt & citiùs animadverti, eò quòd à reliqua diſcrepet pulchritudine, ſi ad eam componatur: aſt in deformibus & viſu turpibus, quæ turpicula ſunt non tam citò & facilè deprehenduntur; nam per deformitatis ſimilitudinem & congenerem formam latent: Ità quoque & in Chriſtianæ religionis & fidei ſplendore ac pulchritudine accidit: ſi quis vel tantillum in illa immutatum perverterit, magnam operatur deformitatem, quæ ipſa & ſtatim deprehenditur; cùm cæterarum Gentium doctrina, utpote dedecore multiplici referta & turpitudine, nullum planè ſenſum ipſius ſequacibus admiſſæ turpitudinis vel notitiam ſuggerat. Quod ipſum eodem modo animadvertere licet in cæteris omnibus; etiam artibus, & ſcientiis: Nam in iis quæ conſtant exactiſſimè vel minima aberratio facilè diſcernitur; cùm in vulgaribus multa negligantur, & nec in errorum cenſu reputentur. Ità ſe res quoque habet & in principibus, & in dignitatis gradu ſuper alios conſtitutis, eóque magìs quò pluribus imperitaverint: Illi enim ſi vel leviter ceſpitaverint, exaggeratur, & magnum flagitium admiſiſſe omnium judicio denotantur: cùm tamen ſubditi & inferioris ordinis, ſi multoties ſimilia planè admiſerint, nullâ notitiâ notantur, neque id egiſſe animadvertuntur, ſed quicquid fecerint, unà cum parvitate & contemtu admittentis, & ipſum celatum atque occultatum penitus evaneſcit. In quantum igitur magnitudine, potentiâ, pulchritudine, accuratione, puritate, & omnimodâ aliâ perfectione Chriſtianorum fides & religio Paganorum ſuperat & transſcendit pietatem,

pietatem, in tantum Malus ille bellum contra illam furiosiùs concitatum gerit. in tantum etiam stolidorum & insipientium hominum delicta, ad id quod rectum est adposita, discernuntur; nec fieri potest ut vel tantillo temporis spatio obvelentur, aut modum clàm & secretò ingrediendi sortiantur. Verùm, quod in antedictis positum est à nobis, Catholica & Apostolica Dei ecclesia omnia Diaboli machinamenta nulli usui nec actioni esse & inservire declarat, quin & in ipsum machinatorem eadem convertit; ità hæreticorum blasphemias facilè refutat, impudentiam pudore afficit, contra omnes & omnia potestatē inexsuperabilem & invictam habens, triumphis in salutem mundi ductis, gloriosissimè exaltatur.

Tu ideo (ô quo te nomine designem, ut meum explicem in te animi affectum & desiderium?) Divini Spiritûs splendore mentem habens irradiatam, & ad lucem sublatus rectæ pietatis, & opus ejusmodi operatus quo ad Constantini illius Magni actiones subveharis, imitare adhuc primitias illas mentis, consilii, sapientiæ tuæ: Consiste validiùs super petram fidei, in qua pulchrè per Dominum fundatus fuisti: superædificato actiones bonas, emendatæ vitæ gravitatem, super fidem orthodoxam: noli superstruere ligna, fœnum, stipulas, materiem peccati combustibilem ac conflagrationi tantùm, nulli autem usui præterea, inservientem; sed aurum, argentum ædifices, & pretiosas rectè factorum res. hæc siquidem per tribulationes explorata, puriora redduntur, & pretiosiora apparent. In mandatis Christus communis Dominus noster & Magister hoc dedit, fructus nimirum virtutis proferre, nec fidem per opera pudefacere. Ad hunc modum Paulus magnus ille magister ecclesiæ consilium dat: ità suadet Petrus Apostolorum coryphæus, cui claves & ingressus portarum cœlestium concreduntur: sic & reliquus Apostolorum chorus orbem terrarum informavit: hoc patres nostri traditum susceperunt; ad hunc modum nobis posteris tradiderunt: hoc tibi nos suademus, & con-

ἐξήρηται), τοσοῦτον ὅ,τε πονηρὸς εἰς τὸν κατ' αὐτῆς ἀνερεθίζεται πόλεμον· καὶ τοσοῦτον πάλιν τὰ ἐξ ἀφρόνων καὶ κακοβούλων ἀνδρῶν ἁμαρτήματα ἐκ τοῦ εὐθέος καταφαίνεται· μηδ' ἐπὶ βραχὺ χώραν τοῦ λαθεῖν ἔχοντα, μηδέ τινα παρείσδυσιν ἐφευρίσκοντα. Ἀλλ' ὅμως ἡ τοῦ Θεοῦ καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία (ὡς καὶ φθάσαντες ἔφημεν) καὶ τοῦ πονηροῦ πάντα τὰ μηχανήματα, σαθρὰ καὶ ἄπρακτα διελέγχουσα, μᾶλλον δὲ κατ' αὐτοῦ ἐκείνου τοῦ μηχανουργοῦντος ἐπαναστρέφουσα, καὶ τῶν αἱρετιζόντων ῥαδίως ἀποσκευαζομένη τὸ βλάσφημον, καὶ καταισχύνουσα τὸ ἀναίσχυντον, κατὰ πάντων ἄμαχον τὸ κράτος καὶ ἀήττητον ἀναδέχεται, καὶ καλοῖς καὶ σωσικόσμοις διαπαντὸς θριάμβοις ἐγκαλλωπίζεται.

Σὺ τοίνυν (ὦ τί σε προσειπὼν ἀξίως εἴπω τοῦ πόθου;) τῇ αἴγλῃ τοῦ θείου πνεύματος τὴν ψυχὴν αὐγασθεὶς, καὶ πρὸς τὸ τῆς εὐσεβείας φέγγος ἀναχθεὶς, καὶ ἔργον ἐργασάμενος, δι' οὗ πρὸς τὴν τοῦ μεγάλου Κωνσταντίνου πρᾶξιν ἀνυψώθης, καὶ μίμησιν ἔχου τῆς ἀπ' ἀρχῆς σου γνώμης καὶ βουλῆς καὶ συνέσεως· στῆθι στεῤῥῶς ἐν τῇ πέτρᾳ τῆς πίστεως, ἐν ᾗ καλῶς ὑπὸ Κυρίου τεθεμελίωσαι· ἐποικοδόμει τῇ ὀρθῇ σου πίστει πράξεις ἀγαθὰς καὶ βίου σεμνότητα, μὴ ξύλα καὶ χόρτον, μηδὲ καλάμην, εὔφλεκτον τῆς ἁμαρτίας ὕλην, καὶ πρὸς καῦσιν μόνην, πρὸς οὐδὲν δὲ χρησιμεύουσαν ἕτερον· ἀλλὰ χρυσὸν καὶ ἄργυρον, τῶν κατορθωμάτων τὰ τίμια. ταῦτα γὰρ καὶ * περὶ πειρασμῶν δοκαζόμενα, καθαρώτερα καὶ τιμιώτερα διαδείκνυται. Οὕτω Χριστὸς ὁ κοινὸς δεσπότης ἐγκελεύεται καρποὺς ἀρετῶν προβάλλειν, καὶ μὴ καταισχύνειν τὴν πίστιν διὰ τῶν πράξεων. οὕτω Παῦλος ὁ μέγας τῆς ἐκκλησίας συμβουλεύει διδάσκαλος· οὕτω Πέτρος ὁ κορυφαῖος τῶν ἀποστόλων, καὶ τῶν οὐρανίων πυλῶν τὰς κλεῖς ἐμπεπιστευμένος καὶ τὴν εἴσοδον· οὕτω τῶν λοιπῶν ἀποστόλων ὁ θεῖος χορὸς τὴν οἰκουμένην ἐμαθήτευσεν· οὕτως ἡμῶν οἱ πατέρες παρειλήφασιν, οὕτως ἡμῖν, τοῖς μετ' ἐκείνους, παραδεδώκασιν· οὕτω καὶ ἡμεῖς σοι παραι-

[Margin: κδ'. — * ἴσ. παρὰ. — κέ.]

παραινοῦμεν καὶ συμβουλεύομεν, ἀρεταῖς κοσμεῖν τὴν πίστιν, καὶ τῇ πίστει τὰς ἀρετὰς λαμπροτέρας ἀπεργάζεσθαι. Ἐβουλόμην αὐτὸς ἐγώ σοι παρεῖναι, καὶ ταῖς πράξεσιν ἐφιστάναι, ἵνα τῶν μὲν καλῶν ἔργων αὐτεπάγγελτον διὰ τῆς ὄψεως λαμβάνων τὴν γνῶσιν, ἔτι μᾶλλον ἐν εὐθυμίᾳ καὶ χαρᾷ διακείμενος εἴην· εἰ δέ τι καὶ παράλογον συνέβη, μεθέλκειν ἔχοιμι ῥᾳδίως καὶ μεθαρμόζειν, ἐκ τοῦ παραχρῆμα, πρὸς διόρθωσιν. ἐπεὶ δὲ ἡ βούλησις τῆς δυνάμεως χηρεύει, καὶ πολλὰ τὴν ὁρμὴν ἀνακόπτοντα κωλύει, ὅ μοι λοιπόν ἐστι δυνατόν, γραφῇ τυπῶσαι τὰς παραινέσεις, ὡς καὶ κατ᾽ ἀρχὰς ὑπεσχόμην, ἤδη πειράσομαι.

κζ΄. Ὅτι μὲν οὖν χρὴ τὸ θεῖον εἰλικρινῶς ἀγαπᾶν καὶ θεραπεύειν, καὶ τὸ ὁμόφυλον ὡς ἑαυτὸν στέργειν καὶ φιλεῖν, ἔμφυτός πως τοῖς ἀνθρώποις ἡ γνῶσις καθέστηκεν· ἡ βούλησις δὲ μὴ συντρέχουσα τῇ γνώσει, εἰς θέσπισμα καὶ νόμον ἀναγραφῆναι τὴν κοινὴν ἐξεβιάσατο γνώμην. ὅτι δὲ ὁ τοῦ θείου εἰλικρινὴς ἔρως, καὶ ἡ τοῦ πλησίον στοργὴ καὶ τελεία ἀγάπη, τῶν ἄλλων ἐντολῶν ἐν ἑαυταῖς περιέχουσι τὰς πράξεις, οὐ χαλεπὸν μὲν καὶ αὐτόθεν κατανοῆσαι. παρίστησι δὲ τοῦτο καὶ ὁ δεσποτικὸς λόγος, ἐν οἷς φησὶ περὶ αὐτῶν, Ἐν ταύταις ταῖς δυσὶν ἐντολαῖς ὅλος ὁ νόμος κρέμαται, καὶ οἱ προφῆται. Καὶ γὰρ ὁ τὸν θεῖον ἔρωτα ἐνστερνισμένος, καὶ τὸν πλησίον ὡς ἑαυτὸν στέργων καὶ φιλῶν, πατέρα μὲν καὶ μητέρα διαφερόντως ἀγαπήσει, καὶ τιμῆς τῆς πρώτης, μετά γε Θεόν, ἀξιώσει· Αἱμάτων δὲ ἐμφυλίων καὶ φόνων οὐ μόνον τὰς χεῖρας καθαρὰς φυλάξει, ἀλλὰ καὶ τὴν γλῶσσαν καὶ τοὺς λογισμοὺς μελέτης τοιαύτης· Οὐ μὴν οὐδὲ κλέψειεν ὁ τοιοῦτος· οὐδεὶς γὰρ ὃν ὡς ἑαυτὸν φιλεῖ καὶ φυλάττει, τούτου κλέπτης ἐφωράθη· Ἀλλ᾽ οὐδὲ ἀλλοτρίους γάμους διορύξει· Οὐδ᾽ ὅρκον ἐπίορκον ὀμόσει, οὐ μὴν οὖν οὐδὲ μαρτυρίαν ψευδῆ κατὰ τοῦ πλησίον μαρτυρήσει· Καὶ ὅλως, οὐ χειρῶν ἀδίκων ἄρξει, τύπτειν ἢ προπηλακίζειν ἐπιχειρῶν, ἢ τύραννος ἐραστὴς τῶν, ὅσα τῷ πλησίον ὑπάρχει, γινόμενος. ὁ γάρ τι τύ-

filium damus, nempe ut fidem illustres per actiones, & fide reddas actiones speciosiores. Vellem ego quidem in rem præsentem esse tibi, & tuarum actionum regimen in me suscipere, eo fine ut per oculos bonorum tuorum operum cognitionem actu ipso usurpans, majori gaudio repletus sim & jucunditate; & si præter rectam agendi rationem aliquid tibi excideret, retrahere continuò & reformare possem, nullo negotio correctionem adhibens: Verùm cùm voluntati non respondeat possibilitas aut facultas, & impetum multa sint quæ interceptent atq; reprimant, quod unicum mihi relictum est ut prȩstare possim, scripto, quod pollicitus sum ab initio, admonitiones conabor delineare.

Deum esse sincero affectu adamandum atque colendum, diligendum nobis congenerem hominem & amplectendum, quasi insita quædã hominibus cognitio suggerit: Dum autem voluntas cum cognitione non conspirat, necessariò factum est ut notitia illa communis tanquam legis dictamen scripto traderetur. Porrò, quòd in Deum sincerus Amor, & Dilectio proximi, & illa quidem perfecta, cæterorum mandatorum in se contineant actiones, haud certè difficulter è re ipsâ intelligi potest. Sed & docet hoc insuper verbum illud Domini, quo censebat, *In duobus hisce præceptis tota Lex suspenditur & Prophetæ.* Qui enim Divinum sibi amorem impectoravit & vicinum diligit sicut ipse se, patrem quidem & matrem, excellentiori quodam modo complectetur, & post Deum præcipuo honore prosequetur; A sanguine porrò & cædibus consanguineorum puras sibi manus conservabit, sed & linguam porrò & cogitationes ab ejusmodi omni dispositione mundas: Adhuc, nec furabitur qui talis est, neque enim unquam illum spoliasse invenitur aliquis quem diligit, cui custos apponitur; Sed nec alienum irrumpet thalamum; Nec falsum jurabit juramentum; nullum dicet falsum testimonium contra vicinum suum, neque dabit initium injuriarum; Non pugnis cædere, non conspurcare maledictis aggredietur; Non tyrannicè concupiscet ea quæ pertinent ad vicinum suum. Qui enim quid istiusmodi

di attentaverit, uno actu utrumque violat, Amorem nempe in Deum & Dominum, & erga cognatum sibi Affectum: hunc enim adoritur ex insidiis, & malis circumscribit; illum verò despectum & contemtum habet. Patet autem omnibus, quibus se pœnis, quàm gravibus subjicit & ineluctabilibus. Si enim qui mandata transgreditur humana, & imperium despicit sibi præsidentis, condemnationem non effugiet, sed & capite quandoque peccatum luit; is profectò qui per vim oblatam & insidias structas in conservum suum, omnium rerum Dominum, Regem & Opificem inhonorat & nihili facit, verùm leges ab eo latas ludibrio habet & lubentiæ exponit, qualem, par est, ut subeat pœnam? Oportet igitur omni modo, omni curâ & diligentiâ, hæc mandata, unà cum inculpata pietate & sincera religione conservare. Neq; enim aliter partem habere possimus cum fidelibus & Deo charis, nec regni cœlorum digni judicabimur. Enimverò cuilibet mortalium hoc incumbit, ut omnem exhibeat suam & quidem extremam potentiam in his conservandis. Spectat hoc ad principem æquè ac ad subditos, juvenes & ætate provectiores, divites & pauperes: Nam communis est natura omnibus, communia hæc mandata dantur, communi curâ & solicitudine custodienda. At quæ spectant ante alia ad informandos principes, quæ magis par est ut tua observet potestas, unde tibi major accrescet experientia, illa tibi in procinctu sum suggesturus. Principem enim oportet multiplici præditum esse probitate, cùm aliâ tum imprimis illâ quæ morum spectat pulcritudinem. unde illud adagium dicitur, Magistratus virum indicat. &, Quemadmodum aurum probat acies lapidea, ità & humanam mentem actiones cùm imperiales, tum subditorum dispositiones discernunt.

At tu mihi sedulus auditor adsis, nec auditor tantùm sed & operator actionum bonarum & admiratione dignarum. Principium porrò à Deo & divinis arcessemus. Oratio igitur connectit Deo hominem, eíque familiarem reddit. Est autem illa cum Deo collocutio & congressus quidam intellectua-

των κατατολμῶν, αὐτόθεν λυμαίνεται ἄμφω, καὶ τὸν ἔρωτα τὸν θεῖον καὶ δεσποτικὸν, καὶ τοῦ ὁμοφυοῦς τὴν στοργήν· τῷ μὲν ἐπιβουλεύων καὶ περιβάλλων κακοῖς, τὸν δὲ παραφαῦλον ποιούμενος καὶ ὑπερορῶν. ἐξ ὧν εἰς οἵας ἀπαραιτήτους καὶ πικρὰς τιμωρίας ἐμβάλλει ἑαυτὸν, πᾶσίν ἐστι φανερόν. Εἰ γὰρ ὁ τῶν ἀνθρωπίνων προσταγμάτων καὶ τῆς ἐπιστατούσης ἀρχῆς ὑπερόπτης οὐ διαφεύγει τὴν δίκην, ἀλλὰ καὶ εἰς αὐτὸ τὸ ζῆν πολλάκις τὸν κίνδυνον ἔχει, ὁ τὸν δεσπότην τῶν ὅλων καὶ βασιλέα καὶ δημιουργὸν διὰ τῆς εἰς τὸν ὁμόδουλον παροινίας καὶ ἐπιβουλῆς ἀτιμάζων καὶ ἐξουθενῶν, καὶ τοὺς αὐτοῦ νόμους διαπαίζων, καὶ χλεύην δεικνὺς, ἡλίκην τινὰ τὴν τιμωρίαν δώσει; διὸ προσήκει παντὶ τρόπῳ καὶ πάσῃ σπουδῇ, μετὰ τῆς καθαρᾶς καὶ ἀμωμήτου ἡμῶν θρησκείας, καὶ ταύτας διαφυλάττειν τὰς ἐντολάς. οὐ γάρ ἐστιν, οὐκ ἔστι, χωρὶς αὐτῶν, οὔτε τῆς τῶν πιστῶν καὶ φιλοθέων μερίδος γενέσθαι, οὔτε τῆς τῶν οὐρανῶν ἀξιωθῆναι
βασιλείας. Ἀλλὰ ταῦτα μὲν ἀνθρώπῳ κη′.
παντὶ πάσῃ δυνάμει διαφυλακτέον, ἄρχοντι καὶ ἀρχομένῳ, νέῳ καὶ πρεσβύτῃ, πλουσίῳ καὶ πένητι. κοινὴ γὰρ ἡ φύσις, καὶ κοινὰ τὰ προστάγματα, καὶ κοινῆς τῆς διαφυλακῆς καὶ ἐπιμελείας δεόμενα. Ἃ δὲ μᾶλλον πρὸς τὴν τῶν ἀρχόντων ὁρᾷ παιδαγωγίαν, καὶ τῇ σῇ φυλάττειν ἐπιτηδειότερα ἐξουσίᾳ, καὶ ἐξ ὧν ἔσται σοι καὶ περὶ τῶν ἄλλων πλείστη ἐμπειρία, ἐκεῖνά σοι νῦν εἰρήσεται· καὶ γὰρ πολλῆς τῷ ἄρχοντι δεῖ καλοκαγαθίας, τῆς τε ἄλλης, καὶ τῆς ἐν ἤθεσιν εὐκοσμίας. δι᾽ ὃ καὶ φασὶν, Ἀρχὴ ἄνδρα δεικνύει. καὶ, Ὅτι ὥσπερ ὁ χρυσὸς ἐν ταῖς λιθίναις ἀκόναις δοκιμάζεται, οὕτως ὁ ἀνθρώπινος νοῦς ἐν ταῖς ἀρχικαῖς ἐργασίαις καὶ ταῖς τῶν ἀρχομένων διανοίαις ἐξετάζεται.

Σὺ δέ μοι μάλιστα πρόσεχε, ἵνα μὴ μό- κθ′.
νον ἀκροατὴς ἀλλὰ καὶ ποιητὴς γένῃ καλῶν καὶ ἀξιαγάστων πράξεων. ἀρχὴ δὲ ἡμῖν, κἂν τούτοις, ἀπὸ τῶν θείων. Εὐχὴ μὲν οὖν Θεῷ συνάπτει καὶ οἰκειοῖ, ὁμιλία τις ἔνθεος οὖσα, καὶ συνουσία νοερὰ τοῦ πάντων καλλίστου καὶ

τιμιω-

τιμιωτάτου· ἐξ οὗ πᾶσα μὲν οὐσίωσις καὶ συνοχὴ, πᾶσα δὲ πρόνοια καὶ χορηγία τῶν ἀγαθῶν, πᾶσα δὲ τελειότης καὶ διακάθαρσις τῶν παθῶν. Ὥστε εἰ καὶ μή τι ἄλλο κέρδος ἐκ τῆς εὐχῆς ἀνεφύετο, αὐτὸ δὴ τοῦτο μάλιστα τοῖς φιλοθέοις καὶ τοῦ ἀγαθοῦ φιλοθεάμοσιν ἀντὶ πάσης εὐφροσύνης ἤρκει, καὶ πάσης τῆς κατὰ τὸν βίον μακαριότητος καὶ εὐδαιμονίας. Ὅτε δὲ καὶ τῶν ἡμαρτημένων ἄφεσιν λαμβάνομεν δι' αὐτῆς, καὶ τῶν ἄλλων αἰτημάτων ὅσα συμφέρουσι τὰς ἀγαθοειδεῖς καὶ τελεσιουργοὺς δωρεὰς, προσκαλούμεθα ἀξιούμεθά τε τῶν ἀφάτων περὶ ἡμᾶς ἔργων καὶ δώρων· διὰ τῆς ἐν αὐτῇ εὐχαριστίας τὸν εὐεργέτην ἀμείβεσθαι, καὶ δὴ καὶ οἷον ἀπαρχάς τινας αὐτῷ προσφέρειν, τὰς κατ' ἐκείνην τοῦ νοῦ κινήσεις καὶ δοξολογίας, τῆς νοερᾶς ἡμῶν καὶ λογικῆς οὐσιώσεως· ὅτε τοίνυν τοσαῦτα καὶ τηλικαῦτα τῇ εὐχῇ περιείληπται, πῶς οὐ χρὴ πρὸς ταύτην προθύμως ἐπεκτείνεσθαι, καὶ ταύτης ἐρᾶν σφόδρα καὶ ἀντιλαμβάνεσθαι;

λ'. Σὺ τοίνυν προσεύχου μὲν εὐχὰς ἰδίας διαπαντὸς καὶ καθ' ἑαυτὸν τῷ Θεῷ· προσεύχου δὲ καὶ ἅμα τῷ πλήθει, καὶ ἐν τῷ φανερῷ· δι' ἑκατέρου μὲν γὰρ θεοφιλῶς πραττομένου, τὸ ὅσιόν ἐστιν ἀποδιδόναι. ὅσον δὲ τὸ πρότερον εἰς καθαρότητα διανοίας πλεονεκτεῖ, τοσοῦτον τὸ δεύτερον εἰς μίμησιν τοὺς ὁρῶντας προσκαλεῖ. καὶ τὸ μὲν εἰς οἰκεῖον κέρδος συντελεῖ· τὸ δὲ καὶ τοὺς ἄλλους οἶδεν ὠφελεῖν· ὧν ἡ σωτηρία καὶ ἡ προκοπὴ, μεγάλη πάλιν τῆς ἀρετῆς ἐστι τοῦ ἄρχοντος μαρτυρία.

λα', Ναοὺς ἐπ' ὀνόματι Θεοῦ καὶ τῶν αὐτοῦ ἁγίων κατὰ τοὺς ἐκκλησιαστικοὺς θεσμοὺς οἰκοδόμει, καὶ τούτοις τὸν λαὸν ἐκκλησιάζεσθαι ἔθιζε· ἵνα κοινῇ τὸ θεῖον ἐξιλεούμενοι, καὶ κοινὴν τὴν δοξολογίαν προσάγοντες, εἰς κοινήν τε μᾶλλον ὁμόνοιαν συνελαύνωνται, καὶ κοινὴν καρπῶνται τὴν σωτηρίαν καὶ ὠφέλειαν.

λβ'. Αἱ θυσίαι μὲν τῆς ἱερᾶς ἡμῶν λατρείας τοῖς ἱερεῦσιν ἀνάκεινται· οἷς ὑπηρετῶν προ-

lis, qui est omnium rerum pulcherrimus & pretiosissimus. Ab illo emanat substantia omnis & consistentia; ab illo providentia & bonorum exhibitio; perfectio omnis, & affectuum omnis emundatio. Quocirca si ab oratione nulla alia utilitas egrederetur, istud tamen unicum apud homines Deum diligentes & videndi curiosos instar omnis alterius oblectamenti, omnis quæ in vita contingere potest beatitudinis & felicitatis, esset abunde sufffecturum. Ast cùm per eandem peccatorum obtinemus remissionem, & quicquid nobis conducibile sit recipimus, donis donati optimis, & perfectos facientibus recipientes, necnon in se speciosissimis; ad operandum ea advocamur quæ inexplicabilia omnia nobis conferre solent: Per gratiarum porrò actionem, quam in precibus expedimus, benefactorem quasi remuneramus, & tanquam quasdam illi primitias offerimus, præsentes animi nostri affectiones & motus, doxologias quoque ab intelligibili nostra & rationali natura resultantes. Cùm igitur tot & tanta per orationem procurentur, quomodo non æquum sit, ut nos alacriter in illa extendamus, eam vehementiùs depereamus & omni modo amplectamur. Orato igitur indesinenter privatim & apud te Deum: sed & palàm & unà cum multitudine orato. Certè per utrumque orandi modum, ut Deum amantem decet, observatum sanctificatio habetur. In quantum verò prius illud ad mentis tuæ conducit puritatem, in tantum id quod ponitur secundo loco, intuentes in imitationem vocat. Et alterum quidem privatis commodis inservit, alterum insuper conducit & alienis. Illorum porrò salus & in virtute progressus illustre admodum testimonium virtuti Imperantis perhibet.

Templa Deo & sanctis ejus secundùm leges ædifica ecclesiasticas: Eò populus convenire in cœtus assuescat, in eum finem ut communibus votis Deum propitium facientes, & communiter doxologiam ei offerentes, ità magìs cùm in communem concordiam coalescant, & communem referant cùm salutem tum etiam alias utilitates.

Sacrificia sacrata nostræ religionis spectant ad sacerdotes: quibus si libenter

ter te accommodabis, & oblationes tuas dederis, & benevolentiam ex eo facto, & simul gratiam indè non vulgarem reportabis. Poteris autem, modò animus adsit, & tute per te pulcherrimum Deo offerre sacrificium & delectabile, si vitam ipsi puram & animum rectum pulchrè obtuleris.

Ad rei verò totius publicæ administrationem cùm intelligas plurimùm conferre mentis valentiam & agilem dexteritatem, noli curam hanc obire negligentiùs. Et certè prudentiam in procinctu non habebit ille qui non est à natura ad illam comparatus. Meditatio sedula, experientiáque rerum, quæ cognitionem ad manum suppeditant, non rarò virum usu exercitatum faciunt multò acutiùs in procinctu videre quàm alios quibus à natura hæc facultas concessa est. Quocirca providentiam decet exercere per totum totius vitæ cursum. Acquiritur illa autem dum recolimus & meditamur res olim gestas, dum congressum affectamur & familiarem sermonem prudentium in vita exsistentium, dum rerum quotidianam experientiam colligimus. Actio enim acquirit vires per imitationem, consilium & operationem, atque ità Divino non adversante auxilio in finem commodum conducit.

Habitum, figuram, motum corporis noli tanquam vilia contemnere. Ordo enim in illis qui est optimus observatus, & dispositio præclara, non minima videtur esse prudentiæ portio. Illi autem quibus non est positum in proclivi vim, facultatem, pulchritudinem in anima delitescentem intueri, facilè ducuntur externis spectaculis, & rerum oculis non subjectarum exinde amatores exsistunt & præcones. Ideo decet vultu bene disposito, comâ exornatâ, vestitu & amictu gravitatem prę se ferre & decorem: non ad mollitiem vel curiositatem deviare, nec ultra quam par est ad neglectum transferri. Dedecet enim utrumq; & contemtum parit, & abhorret à principis viri ratione & statu. Sed & principem decet incessus bene compositus: nam nec moveri debet dissoluto & muliebri motu, neque rursus novitatem affectare per confertum, perturbatum, disparem in-

θύμως καὶ προσφέρων, πολλῆς τῆς διὰ τούτων ἀπολαύσῃς καὶ εὐεργεσίας καὶ χάριτος. δύναιο δ' ἂν καὶ σὺ, βουληθεὶς, κάλλιστον αὐτουργῆσαι Θεῷ θῦμα καὶ ἐρασμιώτατον, βίον αὐτῷ καλλιερούμενος καθαρὸν, καὶ διανοίας ὀρθότητα.

Εἰδὼς δὲ ὡς μεγάλη ῥοπὴ πρὸς τὴν τῶν ὅλων διοίκησιν, ῥώμη καὶ τάχος διανοίας, μηδὲ ταύτης ἀφίστασο τῆς ἐπιμελείας. ἀγχίνουν μὲν γὰρ οὐκ ἔστι γενέσθαι τὸν μὴ φύσει τοῦτο πεφυκότα· μελέτη δὲ καὶ πραγμάτων πεῖρα, πρόχειρον ἐμποιοῦσαι τὴν γνῶσιν, πολλάκις ἐν αὐτοῖς τοῖς ἔργοις ὀξύτερον ἔδειξαν τὸν ἐγγεγυμνασμένον, ἢ τοὺς ταύτης τῆς δυνάμεως κατὰ φύσιν μετεσχηκότας. δι' ὃ φρόνησιν ἀσκεῖν προσήκει διὰ βίου· αὕτη δὲ παραγίνεται μελέτῃ μὲν καὶ μνήμῃ πράξεων πρεσβυτέρων, ὁμιλίᾳ δὲ καὶ συνουσίᾳ τῶν περιόντων ἀνδρῶν φρονίμων, καὶ ἐμπειρίᾳ δὲ τῶν κατὰ τὸν βίον πρακτέων. πρᾶξις γὰρ μιμήσει καὶ βουλῇ καὶ διαχειρήσει κράτος συλλαβοῦσα, τῆς ἄνωθεν ῥοπῆς οὐκ ἀντιπραττούσης, εἰς συμφέρον τέλος ἀποβαίνει. λγ'.

Μηδὲ τῶν περὶ τὸ σῶμα δὲ ἠθῶν καὶ σχημάτων καὶ κινήσεων, ὡς εὐτελῶν, ὑπερόρα· καὶ γὰρ καὶ ἡ ἐν αὐτοῖς ἀρίστη τάξις καὶ κατάστασις οὐκ ἐλάχιστον μέρος φρονήσεως ἔδοξεν εἶναι· καὶ τῶν ἀνθρώπων, ὅσοι μὴ συνιδεῖν εἰσιν ἐκ τοῦ ῥᾴστου δεινοὶ τὴν ἐν τῇ ψυχῇ δύναμιν καὶ τὸ κάλλος, οὗτοι τοῖς ἔξωθεν θεάμασι ξεναγούμενοι, καὶ τῶν ἀδήλων ἐρασταὶ καὶ ἐπαινεταὶ καθίστανται. Διὰ τοῦτο δεῖ καὶ προσώπου διαθέσει, καὶ κόμης ἀσκήσει, καὶ περιβολῇ ἐσθῆτος κόσμιον ὁρᾶσθαι καὶ σεμνὸν, μήτε εἰς τὸ βλακῶδες καὶ περίεργον ἐκφερόμενον, μήτε πάλιν παρὰ τοῦ μετρίου πρὸς τὸ ἠμελημένον καθελκόμενον. ἑκάτερον γὰρ ἀπρεπὲς καὶ εὐκαταφρόνητον, καὶ ἀρχικῆς πολιτείας ἀλλότριον. Καὶ βαδίσματος δὲ πρέπει τῷ ἄρχοντι εὐταξία, μήτε εἰς τὸ θηλυπρεπὲς καὶ ἔκλυτον ἀσχημονοῦντι τὴν κίνησιν, μήτε μὴν εἰς τὸ ἀθρόον καὶ τεταραγμένον καὶ ἀνώμαλον ταύ- λδ'.

τὴν ἐκνεωτερίζοντι· καὶ ὅλως, πᾶσα κίνησις τάξει κοσμείσθω.

λε'. Δεῖ δὲ καὶ τὸ ἐν λόγοις τάχος εὐλαβεῖσθαι. ταχυλογία γάρ, ἐν μὲν ἀγωνιστικαῖς διαλέξεσι καὶ ἁμίλλαις, οὐκ εὐκαταφρόνητον ἴσως, οὐδὲ ἀγεννές· ἐν δημηγορίᾳ δέ, ἀνόητον καὶ ἐπισφαλές· ἐν δὲ προστάγμασι, καὶ μάλιστα τοῖς πολιτικοῖς καὶ κοινοῖς, εὐτελὲς καὶ ταπεινόν. Ἐντελέστερον δ' εἰπεῖν, ταχύτης ἐν πράξει καὶ λόγοις καὶ κινήμασι, σὺν εὐταξίᾳ, θεῖον μέν τινα καὶ ὑπερφυῆ ἀποφαίνει τὸν ἔχοντα. σπάνιον δέ, καὶ συνελθεῖν ἅμα πάντα χαλεπώτατον. τὸ δὲ ἐν τούτοις σύμμετρον σὺν εὐταξίᾳ, σεμνόν τε καὶ ἀξιάγαστον, καὶ μεστὸν ὄγκου καὶ σὺν εὐλαβείᾳ, ποθεινὸν ὁρᾶσθαι παρασκευάζει, καὶ ἄρχειν ἐπιτηδειότερον, εἴπερ καὶ ἐν τοῖς ἀρίστοις ἐστί τι τῷ πλήθει ἐρασμιώτερον. ταχύτης δὲ σὺν ἀταξίᾳ, ἔμπληκτον καὶ μανικόν, καὶ παραδιορθοῦν ἐνίοτε μεγάλα, καὶ σφάλλον ὡς τὰ πολλὰ παραπλήσια. ἡ δὲ σὺν ἀταξίᾳ βραδύτης, νωθρὸν καὶ ἠλίθιον, καὶ σφάλλον μὲν ἐνίοτε καὶ μεγάλα, κατορθοῦν δὲ ἐλάχιστα, καὶ ταῦτα λίαν ταπεινά, καὶ πρὸς τὰς λοιπὰς ἐκείνου πράξεις μόνον παραμετρούμενα, κατορθώματα.

λϛ'. Τὸ πρὸς γέλωτας διαθρύπτεσθαι, μετὰ τοῦ ἀσχημονεῖν τὴν μορφήν, καὶ τοῦ ἤθους ἐστὶν ἐξυβρίζειν τὴν εὐστάθειαν.

λζ'. Αἰσχρορρημοσύνης δὲ πάσης καὶ ἀκοὴ καὶ γλῶσσα καθαρευέτω. ἃ μὲν γάρ τις ἀκούων ἥδεται, ταῦτα καὶ λέγειν οὐκ αἰσχύνεται· ἃ δέ τις λέγων οὐκ αἰσχύνεται, ὅτι καὶ πράττειν οὐκ αἰσχυνθήσεται, μεγάλην παρέσχεν ἀπόδειξιν. Δι' ὅλου δέ, γλώσσης φυλάσσου παρολισθῆσαι. ῥήματι γὰρ βραχυτάτῳ πολλάκις ὑποσφαλεῖσα, μεγάλην ἤνεγκε ζημίαν, αὐτοὺς τοὺς περὶ τοῦ ζῆν ἐσχάτους ἀναρρίψασα κύβους.

λη'. Ἔχε τὰ ὦτα τοῖς μὲν ἀδικουμένοις ἠνεῳγμένα, πρὸς δὲ τὰς τῶν ἀδικούντων ἐπαγωγὰς καὶ πιθανολογίας ἀποκεκλεισμένα.

λθ'. Χείλη δὲ κατήγορα, καὶ συκοφαντίας, ἀπόστρεφε· πολλάκις γὰρ παῖδας κατὰ πα-

gressum. omnis autem corporis motio ordine omnino disponatur.

Cavenda est & in sermone velocitas. Est autem illa forsitan alicujus usûs in contentiosis & eristicis congressibus, nec virum dedecet generosum: sed stulta est & periculosa, adhibita si sit in colloquiis familiaribus: In mandatis dandis, politicis præsertim & rem spectantibus communem, humilis est & nullius pretii. Exaccuratè dicere, celeriter perficere actibus, sermonibus, motibus, cum decore versari, divinæ sortis illum esse & ultra communem arguit qui ità comparatus est. Verùm raró admodum & difficulter contingit ut simul omnia in unum conspirent. moderatio ornata, gravitas visu digna, cum pondere quodam & cautione conjuncta, ea possidentem conspicuum cum jucunditate quadam, & ornatum reddit ad imperandum, &, si quid vulgus quod optimum censetur adamare queat, placitum. Volubilitas verò sine ulla dispositione vel ordine furiosum quiddam & insanum videtur: sæpius aberrat à recto, etiamsi aliquando prodesse poterit vehementer. Tarditas cum confusione, stultum quid, imbelle: aberrare videtur plerunque, & quidem in magnis, licèt interdum aliquid perficiat boni; sed illud tenue & nullius pretii, quódque non aliter habeatur bonum, quàm collatum ad cæteras ejus actiones.

Risu disrumpi, cum deformitate vultûs & morum dedecore, constantiam & gravitatem contumeliâ afficit.

Immunis sit cùm auditus tum etiam lingua à turpiloquio. Quæcunque cum voluptate quis audire gestit, illa eadem effari non pudefit: & quæ quis dicere non erubescit, certè nec erubescet perpetrare. cujus rei ità edidit demonstrationem. Omnino caveas nè linguâ prolabaris. sępe enim vel levissimo sermone lapsa, ingens intulit detrimentum, & certò de capite periclitata est, jecítque aleam.

Aures præbe patulas injuriâ affectis, clausas contrà ad afficientium injuriâ lenocinia & probabiles inductiones.

Labia accusatoria & sycophantica aspernere: nam non raró & liberos furere

in

in parentes, & parentes in liberos, adegerunt, vitę vincula & connexiones disruperunt, & in se invicē consanguineos excitarunt. Quid autē illa minora commemoro? vel unica sycophātæ vox civitates & domos integras subvertit sæpe.

Nè sis in amicitia ineunda velox; initam verò omni modo nexu conserva indissolubili, totum in te proximi derivans onus, nisi fortè cum periculo tuæ animæ jungatur. Certamina & discordiæ inter amicos in contemtum adducunt universum hominum propositum & dispositionem: nec culpæ tantùm obnoxii, sed & sine culpa qui sunt, in eandem suspicionem trahuntur. Illorum fruere amicitiâ qui cum aliis sine fuco sinceram semper amicitiam custodierunt; qui nec oculo invido intuiti sunt florentes, nec positos in adversis neglexerunt. Exstitere multi qui tulerunt opem afflictis & auxiliati sunt amicis, at felicitatem in prosperis eorum ferre nequivere: quos neutiquam redarguit oblata commiserandi occasio, illos affectus invidiæ palàm fecit. Habe ergò tibi amicos non malos sed optimos. Certè qui in amicos eliguntur, mores & dispositiones propalant ipsos eligentium. Per probos & honestos, si quis in aliquo lapsus sit, tacitè in amissum locum reducetur: Improbi bonitatem quâ quis præditus est depopulantur. Probi, si quid desit de virtutis mensura, è suo penu supplendo, defectum tollunt & resarciunt: sed cum improbis conversatio, quicquid boni sit reliquum, declarat esse adulterum. Noli ab amicis libenter ea quæ delectent audire, potiùs autem cum veritate juncta: Si enim inimicis nè verum quidem dicentibus fides adhibenda, & id quod verum est ab amicis deperiit, eò quòd id quod dulciter arridet tantùm proloqui voluerint, unde erit ut in veritatis cognitionem, ad illam conversi, deducamur? unde ut ab iis discedamus quæ nos parùm piè interdum dicimus vel facimus? Existima idcirco plurifariam differre assentatores ab amicis. Illi coràm laudantes & in os, nullo sensu te affici permittent eorum quæ sunt à te minùs rectè gesta; apud alios autem calumniando, majora esse quàm sunt revera clamabunt: Amici verò, repre-

τέρων, καὶ πατέρας ἐξέμηνε κατὰ παίδων, καὶ βίον ἔχισε, συζυγίας καὶ συγγενεῖς ἐπανέστησε κατ' ἀλλήλων. καὶ τί λέγω; πόλεις ὅλας καὶ οἰκίας ἀνέτρεψε μία φωνὴ συκοφάντου.

Μὴ ταχὺς ἤσθα ζευγνύειν εἰς φιλίαν· μ΄.
συζεύξας δὲ, παντὶ τρόπῳ τὸν δεσμὸν ἄλυτον συντήρει, ἅπαν τοῦ πλησίον ἀνέχων τὸ βάρος, πλὴν εἰ μήπω ψυχῆς κίνδυνον ἐπάγει· αἱ γὰρ πρὸς τοὺς φίλους διαστάσεις τὴν ὅλην προαίρεσιν ἐκφαυλίζουσι τῶν ἀνθρώπων, καὶ οὐ τὸν ὑπαίτιον μόνον, ἀλλὰ καὶ τὸν ἀναίτιον εἰς τὴν αὐτὴν ὑπόνοιαν καταπατῶσιν. Ἐκείνοις δὲ κέχρησο φίλοις οἱ πρὸς ἑτέρους κατὰ πάντα καιρὸν ἄδολον διεσώσαντο τὴν φιλίαν, καὶ μήτε εὐπραγοῦσι βασκανίας ἐπέβαλον ὀφθαλμὸν, μήτε ἠμέλησαν δυσπραγούντων. πολλοὶ γὰρ κακῶς μὲν πράττουσιν ἐπεκούρησάν τε καὶ συνήργησαν τοῖς φίλοις, εὖ δὲ φερομένων, ὁρᾷν οὐκ ἤνεγκαν τὴν εὐημερίαν· καὶ οὓς οὐκ ἤλεγξε καιρὸς συμπαθείας, τούτους ἐφώρασε τὸ πάθος τοῦ φθόνου. Κτῶ τοίνυν φίλους, μὴ τοὺς φαύλους, ἀλλὰ τοὺς ἀρίστους. ἐκ γὰρ τῶν φιλουμένων ὡς τὰ πολλὰ κρίνεται τὰ ἤθη τῶν φίλων· καὶ διὰ μὲν τῶν σπουδαίων ῥᾷστον ἄν τις, * καὶ παρασφαλεὶς, ἐπαναχθείη· οἱ φαῦλοι δὲ καὶ τὴν προσοῦσαν λυμαίνονται καλοκαγαθίαν. καὶ οἱ μὲν καὶ τὸ λεῖπον εἰς ἀρετὴν, δι' ἑαυτῶν ἐπιτειχίζοντες, ἀνελλιπὲς φαίνεσθαι ποιοῦσιν· ἡ δὲ πρὸς τοὺς φαύλους ἐπιμιξία, καὶ ὅπερ ἐστὶν ὑπόλοιπον ἀρετῆς, νόθον ἀποφαίνει. Μὴ ζήτει δὲ παρὰ φίλων ἀκούειν τὰ ἡδέα, ἀλλὰ τὰ ἀληθῆ μᾶλλον· εἰ γὰρ ἐχθροῖς μὲν, οὐδ' ἀληθεύουσι, πιστευτέον, φίλοις δὲ διέφθορε τὰ τῆς ἀληθείας, καὶ τὸ ἡδὺ λέγειν ζητοῦσι κἀκεῖνοι, πόθεν ἡμῖν ἀλλαχόθεν ἡ τῆς ἀληθείας * ἔσοιτο γνῶσις, καὶ ἡ ἐπιστροφὴ, * τῶν οὐκ εὐαγῶς ἐνίοτε παρ' ἡμῶν λεγομένων ἢ πραττομένων *; Διὸ μέγιστον ἡγοῦ φίλους κολάκων διαφέρειν. οἱ μὲν γὰρ κατὰ πρόσωπον ἐπαινοῦντες, σέ τε τῶν, ὡς εἰκὸς, ἁμαρτανομένων συναίσθησιν λαβεῖν οὐκ ἐῶσι, καὶ μείζω ταῦτα πρὸς τοὺς ἄλλους ταῖς διαβολαῖς ἀποτελοῦσιν· οἱ δὲ καί σε, τῷ διὰ φιλίας ἐλέγχῳ, συνιδεῖν τὸ

* κἂν παρασφαλῇ.
* ἔσεται.
* ἢ τῶν.
* ἴσ. -νων ἀποστροφή;

παρα-

παραγνωμηθὲν μᾶλλον δυναμοῦσι, κἄν τι δέῃ πρὸς τοὺς ἔξω λέγειν, ἀντὶ κατηγορίας ἀπολογίαν τοῦ πραχθέντος ἐκμηχανῶν). Ὅσον οὖν τοῦ ἐπὶ κακίαν προκόπτειν τὸ ἀρετὴν ἀσκεῖν διενήνοχε, καὶ τοῦ διαβάλλεσθαι ἐν τοῖς ἀρχομένοις τὸ τὰς διαβολὰς διαλύειν, τοσοῦτον δεῖ παρά σοι τοὺς εὔνους πλέον ἔχειν τῶν κολάκων.

μα′. Τῶν ἀπορρήτων, ἃ μὲν τὴν σὴν ἀρετὴν αὐξάνει, κοινώνει τοῖς φίλοις· ἃ δὲ τὴν γνώμην φαυλίζει, μήτ' αὐτὸς μετέρχου, μήτε τοῖς φίλοις ἀνατίθει· ἄριστον μὲν γὰρ τοῦτο καὶ χωρὶς αἰτίας ἑτέρας. Πλήν γε δή, καὶ εἰς κόρον, οἷα πολλὰ τὰ ἀνθρώπινα, τοῦ φίλτρου τραπέντος, μᾶλλον τῆς παραινέσεως τὸ χρήσιμον καθορᾶται· τὸ μὲν γὰρ φαῦλον τῶν κρυφίων, τότε μάλιστα τοὺς λογισμοὺς τοῦ συνεγνωκότος ὑποτρέχον καὶ διακυμαῖνον, θᾶττόν τε, καὶ σὺν οὐδενὶ ὄκνῳ, τῆς ἀγάπης ἀποστήσει, καὶ πρὸς ἐπιστροφὴν ἰδεῖν οὐκ ἐάσει· σοί τε διαβολὴν βαρεῖαν, ἔκφορον γεγονός, ἐποίσει, καὶ πρὸς τὸν ἐξειπόντα χαλεπώτερον διαθήσει. τὸ δὲ χρηστὸν τόν τε συνεγνωκότα ῥαγῆναι τῆς φιλίας ἐπικατασχέσει, δεσμῷ κρατίστῳ, τῇ ἀρετῇ, βιαζόμενον, καὶ εἰς ἔπαινον τῆς σῆς σπουδαίας γνώμης ἐπὶ νοῦν ἐρχόμενον, διαναστήσει, καί σε δηλονότι ταῦτα συνορῶντα, οὐκ ἀηδῶς ἀναλαβεῖν, εἴ τι παρηνέχθης, τήν τε πρὸς αὐτὸν ὁμιλίαν καὶ τὴν ἐν τῷ πόθῳ σχέσιν ἀναπείσει. Ἀεὶ μὲν οὖν φίλους εὐλόγει, μάλιστα δὲ τοὺς ἀπόντας ἐπὶ τῶν παρόντων. οὕτω γε γὰρ καὶ τὸ τῆς κολακείας διαφεύξεις, οὐδ' ἴχνος αὐτῆς ἐν σοὶ φαίνεσθαι παρασκευάζων, καὶ τοῖς φίλοις ἔσῃ πράττων κεχαρισμένα, τοιοῦτον σεαυτὸν εἶναι τοῖς παροῦσι πιστώσας, οἷος αὐτοῖς περὶ τῶν ἀπόντων ἐγνώσθης.

μβ′. Οὕτω δὲ σεαυτὸν φιλίᾳ περιφράξας, ἔσῃ τοῖς μὲν εἰς ἑτέρους καὶ εἰς τὰ κοινὰ πλημμελοῦσιν ἀπαραίτητος, τοῖς δὲ εἰς σὲ ἁμαρτάνουσι συμπαθέστατος. διὰ μὲν γὰρ ἐκείνου εὐνομία ἔσται τῇ πολιτείᾳ, καὶ ἡ σὴ περὶ τοὺς ἀρχομένους ἐπίδηλος σπουδὴ καὶ κηδεμονία·

hensione suâ amicâ, peccatum ut videre possis meliùs, efficient; quòd si opus sit apud alienos de eò verba facere, non illi accusationem sed apologiam meditantur. In quantum igitur virtutis exercitium progressum in malis antecedit, & satius est apud subjectos criminibus absolvi quàm accusari, in tantum te oportet benevolos omnibus adulatoribus anteferre.

De secretis, illa quibus in te virtutis studium augeatur amicis imperti. sed quæ judicium depravant, illa nec actites, nec apud amicos deponas. Est hoc quidem optimum factu sine ullo alio respectu. Quòd si, ut fit in humanis rebus, amicorum satietas te ceperit, hîc scio id quod utile est admonitione præferes. Malum enim siquid in secretis fuerit, tunc imprimis mentem & cogitationem hominis conscii alicujus subiens, tumultu implet, quantocyùs certè nec gravatè recedit àb amicitia, ità ut nec admittat revertendi aut respiciendi animum. propalam verò idem factum magno tibi futurum est dedecori, & in eum qui palàm fecit, implacabiliorem faciet. Bonum verò quidvis illum qui est conscius non patitur ab amicitia divelli, cùm virtutis fortissimo vinculo constringatur: & ad laudem optimæ tuæ & præclaræ voluntatis, animo cùm sit repræsentatum, excitabit adhuc magìs, neque tu qui tibi scilicet eorum conscius es, ægrè persuadeberis illum, si quid perperàm commissum est, ad familiarem iterum congressum & fruitionis desiderium admittere. De amicis igitur semper optimè loquaris & persuasus sis, absentibus præsertim, ídque coram aliis: Ità & suspicionem adulandi evitabis, cùm nec vel leviter impressum apud te vestigium illius vitii residere persuasum dabis, & amicis quæ grata & accepta sunt facies. Præsentes enim opinabuntur te eundem erga ipsos futurum aliàs, quem agnoverint ipsi erga absentes te fuisse.

Ad hunc modum ubi te amicis communiveris, eris in illos qui contra alios tum etiam in rempublicam deliquerint, implacabilis; sed commisericors in eos qui te offenderint. Ità enim fiet, ut rectè in republica procedant leges, & bene cognita & perspecta erit illa cura & solici-

solicitudo quam erga subditos geris. Ità quoque fiet, ut intelligatur quàm humanus sis, & bene animatus. qui mores regem cùm deceant, in te erunt prædicabiles. Tyranni plerunque negligunt & insuper habent injurias communitati hominum atque aliis irrogatas, sed suas ipsorum proprias rigidissimè solent vindicare: Regem verò, qui secundùm justitiam imperium administrat, decet suas injurias humaniter condonare, sed communes & aliis irrogatas cum justitia reformare & disponere.

Ut magnam is meretur laudem, qui cùm summam habeat lædendi potestatem, justum tamen se exhibet; ità multo vituperio dignus, qui cùm nullâ re indigeat necessariâ, manus tamen rebus alienis injicit. Indigenti siquidem excusatio est paupertas, licèt non admittenda, si deliquerit contra justitiam: sed qui, cùm potestatem habeat, nec ullâ re indigeat, injuriam facit, prorsus est sine omni excusatione.

Quantò quis majorem potestatem obtinet, tantò majori virtute debet is præcellere. Qui contrà facit, tria simul admittit improbissima: se perdit ipsum; intuentes ad peccandum allicit; Deum facit blasphemari, qui tam improbo tradidit potestatem. Quocirca decet unumquemque malum declinare; sed ante alios, eos qui sunt cum imperio.

Ità ergò subditis tuis impera, ut nequaquam tyrannidi, sed eorum confidas benevolentiæ. Est enim benevolentia & longè excellentius & multò tutius firmamentum quàm metus. Illud autem acquiritur virtutem possidendo, & labores curámque erga subditos impendendo. Ità fiet ut vitam verè vitalem & regiam agas ipse, atque illos dum tutos & incolumes præstas ab insidiis & calamitatibus præter jus illatis, gloriam tibi partam immortalem conservabis.

Leges exactissimè latas laudato & amplectere: Illas porrò intuendo, vitam tuam dirige: noli autem juxta illarum legum calculos pœnas inexorabiles subditis tuis irrogare; potiùs autem clementioribus institutis illos eruditos rege. Ità fiet, ut dum exactam in teipso rationem inis, metuendus vi-

διὰ δὲ τούτου τὸ φιλάνθρωπον τῆς γνώμης καὶ ὁ βασίλειος ὡς ἀληθῶς ἀνακηρύττεται τρόπος. οἱ μὲν γὰρ τύραννοι τὰ κοινὰ τῶν ἀδικημάτων καὶ τὰ εἰς ἀλλήλους πολλάκις ὑπερορῶσι, πικρῶς δὲ τὰ εἰς ἑαυτοὺς ἐξετάζουσι· βασιλέως δὲ ἐστὶ καὶ ἀρχῆς ἐννομωτάτης ἔργον, τὰ μὲν εἰς ἑαυτὸν φιλανθρώπως φέρειν, τὰ δὲ εἰς κοινὰ καὶ εἰς ἀλλήλους δικαίως εὐθετεῖν καὶ διεξάγειν.

μγ'. Ὥσπερ πολλῶν ἐπαίνων ἄξιος, ὁ μεγάλην ἐξουσίαν τοῦ ἀδικεῖν λαβὼν, καὶ τὰ δίκαια πράττων· οὕτω πολλῶν ὑπεύθυνος ψόγων, ὁ μηδενὸς ἐνδεὴς τῶν ἀναγκαίων, καὶ εἰς τὰ ἀλλότρια τὰς χεῖρας ἐκτείνων. ἀνδρὶ μὲν γὰρ πενομένῳ πρόφασις, εἰ καὶ παράλογος, τοῦ ἀδικεῖν, ἡ πενία· ἀνὴρ δὲ δυναστείαν ἔχων, καὶ ἀπορίαν οὐκ ἔχων, ἀναπολόγητον ἔχει τὴν ἀπὸ τοῦ ἀδικεῖν ἁμαρτίαν.

μδ'. Ὅσῳ δέ τις προέχει τῇ ἀρχῇ, τοσούτῳ χρεωστεῖ πρωτεύειν καὶ τῇ ἀρετῇ. ὁ δὲ τοὐναντίον ποιῶν, τρία ἅμα, καὶ κάκιστα, ἐπιτελεῖ· ἀπόλλυσιν ἑαυτόν· τοὺς ὁρῶντας εἰς κακίαν παρακαλεῖ· βλασφημεῖσθαι παρασκευάζει τὸν Θεὸν, ὅτι τοιούτῳ τηλικαύτην ἐνεχείρισεν ἀρχήν. διὰ τοῦτο παντὶ μὲν ἀνθρώπῳ φευκτέον ἡ κακία, μάλιστα δὲ τοῖς ἐν τῇ ἀρχῇ.

με'. Ἄρχε τοίνυν τῶν ὑπηκόων, μὴ πεποιθὼς τυραννίδι, ἀλλὰ τῇ τῶν ἀρχομένων εὐνοίᾳ. εὔνοια γὰρ μεῖζον ἀρχῆς βάθρον καὶ ἀσφαλέστερον, ἢ φόβος. τοῦτο δὲ ἀρετῶν τε κτῆσις ποιεῖ, καὶ οἱ περὶ τὸ ὑπήκοον πόνοι καὶ φροντίδες. οὕτω δὲ αὐτός τε ὡς ἀληθῶς βασιλικῶς καὶ ἡδέως βιώσεις, κἀκείνοις ἐλευθέραν ἐπιβουλῆς καὶ συμφορῶν ἀλογίστων τὴν πολιτείαν συντηρήσας, ἀείμνηστον σαυτοῦ κλέος τὸν ἅπαντα χρόνον καταλείψεις.

μς'. Νόμων τοὺς ἀκριβεστάτους ἐπαίνει καὶ ἀποδέχου· καὶ πρὸς ἐκείνους βλέπων, τὸν σεαυτοῦ ῥύθμιζε βίον· μὴ μέντοι κατὰ τὰς ἐκείνων ψήφους τὸ ὑπήκοον ἀπαραιτήτους εἰσπράττου τὰς τιμωρίας, ἀλλὰ διὰ τῶν φιλανθρωποτέρων μᾶλλον παιδαγώγει· οὕτω τε γὰρ φοβερὸς, δι' ὧν σεαυτὸν ἀκριβολογεῖς,

τοῖς ἁμαρτάνουσιν εἶναι δόξεις, καὶ ἀνεπαχθὴς τοῖς ὑπηκόοις.

μζ′. Δεῖ δὲ ἐγκρατῶς ἄρχειν, οὐ τῷ κολάζειν, ἀλλὰ τῷ δοκεῖν κολαστικὸν εἶναι. τοῦτο δὲ ἦθος εὐσταθὲς ποιεῖ, καὶ ἡ τῶν οἰκείων τρόπων σεμνότης καὶ ἐπιμέλεια. Ὀργίλων δὲ μᾶλλον ἀνθρώπων ἢ φρονίμων, αἱ κολάσεις· οἵτινες ἀπορίᾳ τοῦ δημαγωγεῖν σωφρόνως, ἐπὶ τὸ κολάζειν τρέπονται ῥᾳδίως. καὶ τὸ μὲν καὶ ὁ τυραννικώτατος πράξειεν ἄν· τὸ δὲ, μόνος ὁ ἀρχικώτατος· εἴπερ ἄρχοντος ἀρετὴ, μὴ φθείρειν, ἀλλὰ πλείους καὶ βελτίονας ποιεῖν τοὺς ἀρχομένους.

μη′. Ἄρχοντος μὲν τινες ἔφησαν ἀρετὴν, ἐκ μικρᾶς μεγάλην πόλιν ποιῆσαι· ἐγὼ δὲ μᾶλλον ἂν φαίην, τὸ ἐκ φαύλης σπουδαίαν παρασκευάσαι. τοῦ μὲν γὰρ καὶ καιρὸς πολλάκις φορὰ γέγονε παραιτία· τὸ δὲ οὐκ ἔστι μὴ οὐχὶ παρὰ τοῦ ἄριστα διοικοῦντος γενέσθαι. ὃν σὺ παραζηλῶν, δι' ὧν κατορθοῖς, ἀρετῇ τὴν τῶν ἀρχομένων αὐξήσεις πολιτείαν.

μθ′. Ὥσπερ τεῖχος σαθρὸν, κἂν οἰκίας ἔνδον ἔχῃ λαμπρὰς, καὶ ἀέρων εὐκρασίαν, καὶ ὠνείων ἀφθονίαν, ὅμως τὴν πόλιν ἐξευτελίζει· οὕτως οἱ περὶ τὸν ἄρχοντα φαῦλοι, καὶ τὸν ἐκείνου συνδιαβάλλουσι τρόπον. οἱ γὰρ ἐκείνων τῆς πονηρίας λαμβάνοντες πεῖραν, καὶ τὸν ὑπ' αὐτῶν δορυφορούμενον παραπλήσιον ὑπολαμβάνουσιν εἶναι.

ν′. Μηδενὸς παρανομίαν, κἂν δοκῇ δι' αὐτῆς εὐημερεῖν, ἐπαινέσῃς. ἐκεῖνόν τε γὰρ μᾶλλον εἰς κακίαν ὑπαλείψεις, καὶ σεαυτὸν εἰς παραπλησίαν πρᾶξιν καιρὸν ἐπιζητεῖν ἀπελέγξεις. ὁ γὰρ πρὸ καιροῦ ταῦτα, δι' ὧν ἐπαινεῖ, προθυμούμενος καὶ τιμῶν, τί ἂν οὐ ποιήσειε τοιούτου καιροῦ παραπεπτωκότος;

να′. Ὁ τῶν ἀρχόντων τρόπος, νόμος γίνεται τοῖς ὑποχειρίοις. εἰ τι οὖν τὸ πλῆθος ἐξαμαρτάνει, εἰς τὸν ἄρχοντα τὴν αἰτίαν ἀναπέμπει, πόσον οἴεις αὐτὸν ἀρετῆς ἐπιμελεῖσθαι, καὶ χρεωστεῖν ἀεὶ ἐπὶ τοῖς καλοῖς ἐγρηγορέναι;

νβ′. Πάσης πράξεως βουλὴ προηγείσθω. αἱ γὰρ ἀνεπίσκεπτοι πράξεις, ὡς τὰ πολλὰ σφαλεραί· καὶ τὸ κατορθούμενον, δικαίως ἂν

deberis delinquentibus, neque tamen ſubditis intolerandus.

Vim imperii obtinere oportet non puniendo, ſed opinionem fovendo ſeveritatis. Hanc morum procurat ſtabilitas, gravitas, & ſedula obſervantia. Pœnas infligere frequentiores iracundi potiùs quàm prudentis eſt. Illi enim facilè ad puniendum deſcendunt, cùm per defectum moderationis mulcere homines neſciunt. Quorum alterum tyrannus, alterum is ſolus qui imperio dignus faciet: cujus virtus eſt præcipua, non perdere, ſed meliores reddere ſuos ſubditos.

Sunt qui pronuntiant ad officium regis imprimis pertinere, rempublicam è parva magnam facere: mihi potiùs videtur, ex improba probam conſtituere. Illud enim interdum occaſionis curſus præſtat: hoc nullo modo contingere poteſt niſi per optimè imperantem. Hunc tu ſi imitatus fueris, tuis præclaris factis rem ſubditorum communem virtute promovebis.

Mœnia ſicut ruinâ minitantia, urbem in contemtum ducunt, licèt aliàs pulchrè ædificatam interiùs, aeris ſalubritate, & rerum venalium ubertate præſtet: ità quoque & impii apud principem, unà cum ipſorum, & ejus etiam vitam vituperari faciunt: nam quiſquis illorum nequitiam experitur, eum in cujus ſunt ſatellitio, ipſis omnino ſimilem arbitrabitur.

Nullius improbitatem commendes, licèt indè videatur felix eſſe: nam hoc modo ad majorem improbitatem provocabis, & ſuſpicionem creabis probabilem te tantùm opperiri occaſionem ut illi ſimilis fias. Certè qui nondum datâ juſtâ occaſione affectum ſe oſtendit erga illa quæ commendat, nihil ille non effectum dabit ut primùm occaſio juſta inciderit.

Mores principum Legis vice ſunt apud ſubditos. quocirca cùm delinquant homines, cauſam rejiciunt in imperantem. Quo te ergò nexu obſtrictum teneri putas, ut omni ope operâque virtutem colas, & bonis factis agendis invigiles?

Actionem quamcunque conſilium præcedat. ſunt enim lubricæ & periculoſæ quæ ſine conſilio peraguntur. Quòd ſi quid fortè ſucceſſerit bene, nec quidem

quidem injuriâ aliunde cenſebitur eveniſſe potiùs quàm ab impetu & fortuita ejus operatione qui plerunque ſolet aberrare.

Quæ multorum manibus, & continuò operantibus, haud perficiuntur, illa unico conſilio unius & ſemel actu eventum ſortiuntur. Itaque rectum conſilium multorum manibus prætuleris.

Adjuvaſſit pœnitentia providentiam. Si quæ igitur illam latuerint & effugerint, hæc reſumta & recollecta reſarciat & conſervet.

Eſt invidia cujuſcunque animæ morbus ingens, ſed præ aliis viri cum principatu exſiſtentis. Neceſſe enim habet illos tanquam hoſtes intueri, propter innatam ipſis virtutem, & ex inſidiis velut hoſtes adoriri, quos vult & debet adhibere cooperantes ad ſuam ipſius & Reipublicæ felicitatem conſtituendam. Quo quidem nihil vel perniciofius vel ſtultius eſſe queat.

In quantum vitanda eſt invidia, in tantum annitendum ut invideamur. Et hoc imprimis principi convenit, quem non eſt proclive malevolis ut lædant. Quòd ſi autem comprimenda ſit invidia, (eſt enim bellua audax imprimis & verſipellis) impreſſiones ejus eludere oportet, non virtutem minuendo, ſed moderatione animorũ, & per quandam diminutionem ſubtractionémq; oſtentandi poteſtatem, & declarandi ſuperioritatem in rebus non nimis neceſſariis.

Cùm ſibimet ipſi quis imperaverit, tum ſe ſuis ſubditis imperare putet cum effectu. Ubi enim illi viderint eum qui ipſis præeſt, affectibus ſuis imperantem, voluptatibus dominantem, libenter ſe & cum deſiderio ſubjicient imperio ejus: quòd ſi voluptatibus & affectibus ſuis ſervire viderint, ſervo ſubeſſe non patientur.

Judicem illum optimum arbitrare, qui juſtitiæ naturam & conditionem celerrimè valet animo apprehendere, & intellectam ordine producit in apertum; qui celer ad opitulandum accedit injuriâ affectis, delinquentes tardiùs punit; qui non corrumpitur auro, nec inflatur poteſtate; qui vincit iracundiam, nec clementiâ vincitur; qui affinitatem ſolam, amicitiam, popularem auram non aliter agnoſcit quàm cum juſtitia judicando, ſolam injuſtitiam à ſe

αἰτίας ἄλλης ἔργον νομισθείη μᾶλλον, ἢ τῆς τοῦ πολλάκις παρασφαλέντος ὁρμῆς καὶ περιπετείας.

Ἃ περ χεῖρες πολλῶν, καὶ πολλάκις, οὐκ εἰργάσαντο, ταῦτα βουλὴ μία καὶ ἐφάπαξ κατεπράξατο. δι' ὃ εὐβουλίαν προτίμα πολυχειρίας. νγ'.

Προνοίας ἐπίκουρος ἡ μετάνοια. ἃ τοίνυν ἐκείνην διέλαθε καὶ ἐκπίπτει, αὕτη ταῦτα ἐπανελομένη διορθούσθω καὶ διασωζέτω. νδ'.

Ὁ φθόνος, πάσῃ μὲν ψυχῇ μεγάλη νόσος· μεγίστη δὲ, μάλιστα τοῖς ἐν ἐξουσίᾳ. ἀνάγκη γὰρ, οἷς συνεργοῖς μέλλει χρῆσθαι καὶ βίου καὶ πόλεως πρὸς εὐδαιμονίαν, τούτους ὁρᾷν ὡς ἐχθροὺς, διὰ τὴν ἐνοῦσαν ἀρετὴν, καὶ ἐπιβουλεύειν ὡς πολεμίους. οὗ τί ἂν εἴη ὀλεθριώτερον ἢ ἀφρονέστερον; νε'.

Ὅσον δὲ δεῖ φυγεῖν τὸ φθονεῖν, τοσοῦτον διώκειν τὸ φθονεῖσθαι. ἄρχοντι δὲ μάλιστα πρέπει, ᾧ μηδ' ἐξ ἑτοίμου ἡ ἀπὸ τῶν φθονούντων φέρεται βλάβη. Εἰ δεῖ δὲ ὅμως τὸν φθόνον περιστέλλειν (πολυμήχανον γὰρ καὶ πάντολμον τὸ θηρίον) οὐκ ἀρετῆς ἐλαττώσει, μετριότητι δὲ φρονήματος, καὶ ἀφαιρέσει καὶ περικοπῇ τῆς ἐν τοῖς οὐκ ἀναγκαίοις ἐπιδείξεως καὶ πλεονεξίας, τὰς αὐτοῦ βολίδας διακρουστέον. νϛ'.

Ὅταν τις ἄρχῃ ἑαυτοῦ, τότε νομιζέτω καὶ τῶν ὑπηκόων ἄρχειν ἀληθῶς. ὅταν γὰρ ἴδωσι τὸν ἐφεστηκότα ἄρχοντα παθῶν καὶ κρατοῦντα ἡδονῶν, τότε πόθῳ καὶ ἑκόντες καὶ αὐτοὶ ὑποταγήσονται· ἂν δὲ ἀνδράποδον ἴδωσιν ἡδονῆς καὶ παθῶν, ἀφόρητον ἡγήσονται ἀνδραπόδῳ δουλεύειν αὐτοί. νζ'.

Ἄριστον νόμιζε δικαστὴν, ὃς τάχει μὲν λογισμῶν τὴν τοῦ δικαίου φύσιν θηρεύει, θηρεύσας δὲ σὺν ὀρθότητι προάγει καὶ πρᾶξαι μὲν ἄνεσιν τοῖς ἀδικουμένοις ὀξὺς, βραδὺς δὲ κολάσαι τοὺς ἁμαρτάνοντας· καὶ κρείττων μὲν χρυσίου, οὐκ ἐλάττων δὲ δυναστείας· καὶ κρατῶν μὲν ὀργῆς, οὐχ ἡττώμενος δὲ συμπαθείᾳ· καὶ μόνην μὲν συγγένειαν καὶ φιλίαν καὶ δόξαν οἶδεν, ἐν τῷ δικάζειν, τὴν δικαιο- νη'.

σύνην

σωύην· μόνην δὲ ἀλλοτρίωσιν καὶ ἔχθραν καὶ ἀδοξίαν, τὴν ἀδικίαν.

νθ'. Μηδὲν τῆς πρὸς τὸ ὁμόφυλον διαθέσεως εὐχερῶς καὶ χωρὶς ἐμφανοῦς αἰτίας μεταβάλλοις. Εἰ γὰρ καὶ ὑπολανθάνουσαι παρ' αὐτῶν αἰτίαι τὴν πρὸς αὐτοὺς μεταβολὴν δικαίαν ποιοῦσιν, ἀλλ' οὖν οἱ ταύτας μὴ συνορῶντες, οὐκ ἐκείνους αἰτιάσονται τῆς σῆς περὶ αὐτοὺς ἀλλοιώσεως, σοῦ δ' ἀῤῥωστίαν καὶ εὐχέρειαν κατηγορήσουσι γνώμης.

ξ'. Οὐχ οὕτως ἡ ἐν πολέμῳ ἀνδρεία τὸν ἄρχοντα κοσμεῖ καὶ σώζει, ὡς ἡ πρὸς τοὺς ὁμοφύλους εὐμένεια καὶ φιλανθρωπία. πολλοὶ γὰρ πολεμίων κρατήσαντες, ὑπὸ τῶν οἰκείων δι' ὠμότητα διεφθάρησαν· καὶ πολλοὶ παρὰ μικρὸν ἁλῶναι πολεμίοις κινδυνεύσαντες, ὑπὸ τῶν ὁμοφύλων διεσώθησαν, οὐδ' αὐτὸ τὸ ζῆν ὑπὲρ τῆς σωτηρίας προτιμησάντων τοῦ ἄρχοντος.

ξα'. Ἄρχοντας δεῖ καθιστάναι, μάλιστα μὲν πάσαις πλουτοῦντας ταῖς ἀρεταῖς· εἰ δὲ μή, πάντως γε δικαιοτάτους. καὶ γὰρ ἃ τοῖς ἄρχουσι παρανομεῖται, ταῦτα τὸ μῖσος καὶ τὴν ὀργὴν τοῦ πλήθους εἰς τὸν προχειρισάμενον ἀναφέρει.

ξβ'. Πολλαχόθεν δεῖ τὸν ἄρχοντα θηρεύειν τῶν ὑπηκόων τὰς γνώμας, καὶ οὕτω κοινωνοῖς χρῆσθαι φιλίας καὶ ἀρχῆς καὶ βουλευμάτων· πρῶτον, ἐξ ὧν αὐτὸς τὰ κατὰ τὴν αὑτοῦ οἰκίαν οἰκονομεῖ· δεύτερον, ἐξ ὧν γυναικί τε καὶ παισὶ καὶ δούλοις συνδιατίθεται· τρίτον, ἐξ ὧν κέχρηται τοῖς φίλοις· τέταρτον, ἐξ ὧν πρὸς τοὺς ἐκ γειτόνων διάκειται· καὶ πέμπτον, ἐξ ὧν ἔχθραν τε ἀναδέχεται καὶ ἀμύνεται, καὶ πάλιν, οἷς καταπίθεται καὶ διαλύεται. ἱκανὰ γὰρ ταῦτα φύσιν ἀνδρὸς τεκμηριῶσαι, καὶ δεῖξαι γυμνὸν προσωπείου, καὶ * τοῖς ἐπὶ σκηνῆς ὑποκρίσεως τὸν ἄνθρωπον θεωροῦσι.

* Leg. τῆς.

ξγ'. Τότε κριτὴς ἄριστος ἔσῃ τῶν ἄλλων, ὅτε * τὰς αὐτοῦ ἐπισκοπῶν, λόγον ἑκάστης πράξεως ὑπὸ συνειδότι κριτῇ δίδως, καὶ διόρθωσιν ἐπινοεῖς τῶν ἡμαρτημένων. Ἐπεὶ πῶς τοὺς ἄλλους ἐπιτιμῶν οὐκ ἐρυθριάσεις, ἐφ' οἷς αὐτὸς τὰ ὅμοια ἐξαμαρτάνεις; πῶς

* Leg. τὰ σαυτοῦ.

alienam, inimicam sibi & ignominiosam arbitratur.

Erga cognatos & affines noli esse abalienato animo levi de causa & incerta. Nam utcunque subesse possunt latentes causæ quæ jure excusent abalienatum, illi tamen quibus sunt incognitæ, non in illos conjicient culpam abalienationis, sed tuam accusabunt omnino levitatem & mentis infirmitatem.

Principem non tam excolit virtus bellica & salvum præstat, quàm benignitas & pius in compatriotas affectus. Multi, rebus bellicis præclarè administratis, domi propter truculentiam per suos interierunt: Multi per suos servati redierunt, quos penè captivos fecerunt hostiles copiæ. neque enim vitam illi suam principis saluti prætulerunt.

Illos oportet cum magistratu constituere, qui virtutum omnium copiâ instruuntur: quòd si non omni virtute, justitiâ saltem instruantur. Quicquid enim deliquerint magistratus, odium & ira à populo concepta, eapropter in illos redundat per quos erant constituti.

Multis modis principem oportet subditorum mentes explorare, ut participes eos ità adhibeat cùm amicitiæ, tum imperii, ac etiam consiliorum suorum: eorum scilicet imprimis quibus in sua ipsius privata familia ordinanda utitur; secundò, quibus ipse cum uxore, liberis, & servis se impertit; tertiò, quibus utitur erga amicos; quartò, quibus cum vicinis agit; quintò, quibus inimicitias exercet, & vim illatam depellit, vel pacem stabilit & reconciliationem. Sufficiunt autem ista ad naturam hominis cujuscunque patefaciendam, ad demonstrandum, nihil in illo prætextûs, nihil hypocrisews esse, cujusmodi in scena solent observari.

Tum judicium optimè in alios exercebis, cùm tuas ipsius actiones contemplatus, sub judice propriâ conscientiâ uniuscujusque actûs rationem exegeris, & peccatorum institueris correctionem. Siquidem enim alios si redargueris, cùm iisdem ipse criminibus tenearis, necesse est ut erubescas. Quomodo

modo rursus illos affectos iri putas, cùm te, qui nulli rationem reddere teneris obstrictus, severè tamen exercentem judicium intuebuntur?

Præclarè gestas res collaudato: nec verbis tantùm collaudato, sed ipse res pariles operando, & illos aliis anteferendo honorandósque declarando qui talia imitantur: quorum alterum cuicunque homini, alterum cõmpetit ei qui dignè imperat.

Omnium omnino curam adhibeto: moderatorum hominum, ità ut commendatissimi sint, & digno ipsis honore præmiísque fruantur; minimè autem talium, in eum finem ut ad bonam frugem deveniant, & immunes sint à pœnis per leges infligendis, nec infamiâ notentur. Hoc enim revera spectat ad officium ejus qui secundùm leges cupiat imperare.

Subditorum lites in hostes diverte, atque ad certamina pro patria subeunda transfer: Tyrannicum est populum ad seditiones concitare, cùm securitatem suam tyranni statuant in discordia & interitu populari: Regium est autem, subditorum concordiam immotam conservare, cùm in salute subjectorum potestatis eorum fulcrum statuatur.

Princeps ut adversùs injustos terribilis esse debet, ità custodiam suscipere innocentum oportet, & eos qui secundùm leges vivunt sartos tectos præstare.

Tria sunt quæ tangunt homines, Pœna, Vituperium, Laus, sed & insuper, si placet, Beneficentia. Pœnâ digni sunt inimici; vituperio, cives qui exorbitant in quibusdam; laudandi & beneficiis cumulandi, qui rebus bene gestis inclaruere. Quòd si quis eò progreditur, ut quæ hostes facerent, & ipse audeat, eósque imitetur, hostium ille pœnam in se transfert. Quòd si quis mutaverit ordinem suum & locum in quo constituitur, ultra etiam hostes inimicus habendus reipublicæ. Proditor est, qui beneficiis hostem afficit. Civitatem perdit, qui laudibus improbos attollit: nam cives ad malè agendum stimulat. In quam ipsam deformitatem civitatem & is adducit qui rectè incedentes inhonorat.

δὲ ἐκείνους οἴει σοι διατεθῆναι, ἡνίκα ἐν οἷς ἀνεύθυνόν σε καθορῶσιν, αὐτοὶ δίκας εἰσπράττεσθαι δικαιοῦνται;

Ἐπαίνει τὰς ἀρίστους πράξεις· ἐπαίνει ξδ'.
δὲ, μὴ λόγῳ μόνον, ἀλλὰ δι' ὧν αὐτός τε μάλιστα τὰ ὅμοια πράττοις, καὶ δι' ὧν τοὺς μιμητὰς τῶν λοιπῶν προκρίνων, ἐντίμους ἀποδεικνύοις· τὸ μὲν γὰρ καὶ τῶν τυχόντων, τὸ δὲ τῶν ἄρχειν ἀξίων.

Προνόει πάντων, τῶν μὲν ἐπιεικῶν, ὡς ξε'.
ἂν ἄριστοι γένωνται, καὶ τῆς ὀφειλομένης αὐτοῖς ἀπολαύσωσι τιμῆς καὶ τοῦ προνομίου· τῶν δὲ μὴ τοιούτων, ὡς ἂν βελτιωθῶσι τὰς γνώμας, καὶ τῆς ἀπὸ τῶν νόμων ῥυσθῶσιν ἀτιμίας. τοῦτο γὰρ ὡς ἀληθῶς ἀρχῆς ἐννόμου καὶ ἐπιστασίας ἔργον.

Τὰς πρὸς ἀλλήλους τῶν ἀρχομένων ξϛ'.
ἔρεις εἰς τοὺς πολεμίους τρέπων, ἐν τοῖς ὑπὲρ τῆς πατρίδος ἀγῶσι μετατίθει. τυράννων μὲν γὰρ, στασιάζειν τὰ πλήθη· ἐν γὰρ τῇ κοινῇ φθορᾷ καὶ διχοστασίᾳ ἡ τυραννὶς τὴν ἀσφάλειαν ἔχει. ἄρχοντος δὲ καὶ βασιλέως, ἀστασίαστον συντηρεῖν τὴν ὁμόνοιαν τῶν ὑπηκόων· ἐν γὰρ τῇ τῶν ἀρχομένων σωτηρίᾳ τὸ βάθρον αὐτοῖς πέπηγε τῆς ἐξουσίας.

Ὥσπερ δεῖ τὸν ἄρχοντα φοβερὸν εἶναι τοῖς ἀδι- ξζ'.
κοῦσιν, οὕτω φυλακὴν καὶ ἀσφάλειαν τῶν μηδὲν ἀδικούντων, ἀλλὰ κατὰ τοὺς νόμους πολιτευομένων.

Τρία ἐστὶν ἐν ἀνθρώποις, τιμωρία, ψό- ξη'.
γος, ἔπαινος, εἰ βούλει δὲ, καὶ εὐεργεσία. ἀλλὰ τῆς μὲν οἱ πολέμιοι ἄξιοι· ψόγου δὲ, οἱ μέτρια τῶν πολιτῶν ἁμαρτάνοντες· ἐπαίνου δὲ καὶ εὐεργεσίας, οἱ διαφέροντες κατορθώμασι. Εἰ δέ τις εἰς τὴν τῶν πολεμίων τόλμαν καὶ μίμησιν ἐξαχθείη, αὐτὸς καὶ τὴν ἐκείνων ποινὴν εἰς ἑαυτὸν ἐπιστρέφει. Ὁ δέ τι τούτων ἀμείβων, καὶ τὴν διάταξιν ἐπαλλάσσων, ἐστὶν ἐχθρὸς τῆς πολιτείας πλέον ἢ οἱ πολέμιοι. ὅ,τε γὰρ τοὺς πολεμίους εὐεργετῶν, προδότης. ὅ,τε τοὺς φαύλους ἐπαινῶν, τὴν πόλιν ἀνατρέπει. ἐπὶ κακίαν γὰρ παρακαλεῖ τοὺς πολίτας· καὶ ὁ τοὺς κατορθοῦντας μὴ τιμῶν, εἰς τὴν αὐτὴν ἀκοσμίαν τὴν πολιτείαν καταστρέφει.

ξθʹ. Χαλεπὸν μὲν φόβον ἀγάπῃ κεράσαι. οἱ γὰρ φιλοῦντες ὡς ἐπίπαν τὸ δέος οὐκ ἔχουσι, καὶ οἱ δεδιότες φιλεῖν οὐκ ἐθέλουσι. σὺ δὲ διελὲ καὶ τοὺς μὲν ἀρίστους φιλεῖν παρασκεύασον· οὐδὲν γὰρ δεῖ δέους ἐπὶ τοῖς τοιούτοις. τοὺς δ' ἄλλους ἀνάγκη φοβεῖν, ἵνα τῶν φαύλων * ἀπέχονται. φοβήσονται δὲ χωρὶς μίσους, ἂν μὴ μετ' ὀργῆς ὁρῶσι κολάζοντα, ἀλλ' ὡς πατέρα παιδεύοντα, καὶ ἐν μὲν τοῖς ἁμαρτήμασιν οὐχ ἡδέως τιμωρούμενον, ἐν δὲ ταῖς συμφοραῖς καὶ τοῖς δυστυχήμασιν ἀπροφασίστως ἐπικουρεῖν προθυμούμενον.

* Lege, ἀπέχωνται vel, ἀπείργωνται.

Difficile quidem metum amori immiscere. Amantes enim omnino sunt absque metu: Qui timore percelluntur, amare nolunt. At tu tamen divide: téque ità compara ut ames optimos; neque enim hîc opus est ullo metu. Reliquos necesse est metu terreas, ut à malè agendo se abstineant. Metuent porrò, si te videant semotâ iracundiâ punientem, & tanquam parentem informantem; si te animadvertant minimè libenti animo punientem, rebus autem adversis & infortuniis sine aliquo prætextu, sincerè, opem ferentem.

οʹ. Οἱ χρώμενοι τοῖς ἐκ φύσεως πλεονεκτήμασιν εἰς πονηρίας ὑπηρεσίαν, ἀλλὰ μὴ πρὸς τὴν τῶν πλησίον εὐεργεσίαν, οὗτοι καὶ τὴν φύσιν φαυλίζουσι, καὶ τῷ δημιουργῷ τὴν περὶ αὐτοὺς φιλοτιμίαν εἰς ὕβριν καὶ ἀχαριστίαν περιτρέπουσιν.

Qui naturæ dona in improbitatem convertunt, & non ad auxilium vicinorum, cùm naturam spernunt, tum Creatoris erga ipsos munificentiam in contumeliam ingrati pervertunt.

οαʹ. Ὥσπερ αἰσχρὸν καὶ ταπεινὸν, πρὸς ἡδονὴν ὁμιλεῖν τῷ πλήθει· οὕτως ἐπικίνδυνον καὶ σφαλερὸν, ἀεὶ σοβαρεύεσθαι καὶ ὑπέρογκον ὁρᾶσθαι. δεῖ τοιγαροῦν ἑκάτερον ἄκρον φυγόντα, ὡς ἀρετὴν, τὴν μεσότητα διώκειν, καὶ καιροῖς ἰδίοις τὸ πρόσφορον ἀπονέμειν.

Quemadmodum turpe est & sordidum, planè plebeculis ad voluntatem obsecundari, & nimis familiariter se gerere: ità lubricum est & periculosum, superciliosum semper & tumidum apparere. Extremitatem ergò utramque fugere oportet, & medium tanquam virtutem consectari, suas partes cuique tempori congruas tribuendo.

οβʹ. Προπετὴς ὅρκος, πρόχειρος ἐπιορκία. ἄλλως τε δὲ καὶ τὸ ὀμνύειν ὅλως, ἤθους οὐκ εὖ βεβηκότος, οὐδὲ φρονήματος εὐγενοῦς· ὁ δὲ εὐσταθὴς καὶ μεγαλόψυχος ἀνὴρ αἰσχυνθήσεται τοὺς λόγους ὅρκῳ πιστοὺς ἀποφαίνειν, καὶ τὴν διὰ τῶν οἰκείων τρόπων πίστιν ἀτιμάζειν. λίαν ἄρα συμφερόντως καὶ κηδεμονικῶς [καὶ] ὁ δεσποτικὸς νόμος τὸν ὅρκον κωλύει.

Juramentum proclive, perjurium est stans in procinctu. Certè nec mores bene constitutos, nec animum decet generosum, jurare. Vir etenim gravis & magnanimus pudefiet, si verba sua fidem non mereantur absque juramento, & conversationi suæ injuriam inuri: Ità ut conjunctum sit cum utilitate & nostri cura, quòd lege divinâ prohibeamur omnino jurare.

ογʹ. Ἃ μὲν εὖ πάθοις, ἀεὶ μέμνησο· ὧν δ' ἂν εὖ ποιήσαις, θᾶττον ἐπιλανθάνου. τὸ μὲν γὰρ χρηστότητος καὶ εὐγνωμοσύνης, τὸ δὲ καθαρᾶς μεγαλοψυχίας, καὶ καθαρὰν φυλάττει τὴν εὐεργεσίαν.

Beneficiorum semper memor esto; quæ benefeceris statim oblivioni trade. Illud enim bonitatem & probitatem animi indicat, hoc autem magnitudinem & puritatem; dum purum etiam præstat beneficium.

οδʹ. Εὐεργεσίας καὶ συμφορὰς ὀνειδίζειν, τῆς αὐτῆς (εἶναι) νόμιζε κουφότητος καὶ ἀπανθρωπίας.

Beneficia exprobari vel infortunium alicui, & levitatem indicat & inhumanitatem.

οεʹ. Ἀπάτη μὲν πανταχοῦ ἀσθενείας ὁμολογία. ἀλλ' εἰ μὲν ἐν φίλοις, κακόν τε ἔσχατον, καὶ ὑπερβαλλούσης μοχθηρίας· εἰ δὲ πρὸς ἐχθροὺς καὶ πολεμίους, μηδὲν μὲν προϊδόντας, οὐ πόρρω στρατηγίας· κοινολογίας δὲ γε-

Fraus semper profitetur imbecillitatem: Sed eadem erga amicos adhibita extremam indicat nequitiam & summam improbitatem: adhibita in hostes & inimicos etiam improvidos, non longè abit à strategemate. Tractatu autem

autem habito de fœderatione, si ab illa non abhorreant adversarii, à fortitudine & probitate alienum est, fraudem adhibere. Quocirca qui fidem tibi adhibeant, nè si sint hostes, noli circumvenire: utcunque enim hostes sunt, is tamen qui fidem sibi adhibentem fallit, deceptor est & planus planè.

Proditorem dum prodit plerumque amant mortales; ubi autem prodiderit, odio habent. Tu autem inquire, an insidiis is petitus & circumventus à suis intrinsecis & urgentibus passionibus, proditor exstiterit. Si enim ità sit, non est desperandum quin vir probus & honestus exsistere possit: quòd si nihil tale sit, eum & tui proditorem futurum arbitrare. Est enim humanum, eos qui nobis injuriosi exstiterint velle ulcisci; sed sine causa rem tam impiam exordiri, insanabilis cujusdã est improbitatis.

Aurum quaquaversum res humanas ducit. Quocirca mores patrios inculpatos observa: necnon id age, ut omnes videant & intelligant aurum, præpotentem illum insidiatorem, nihil apud te posse, contra amicos.

Quæ tibi ipsi acciderint, forti & grato erga Deum animo tolerare decet: subditos autem si quid malè habuerit, noli esse sine sensu, sed cum compassione unà cum illis tolerato. Illud enim tolerantię & animi fortis est: hoc incuriam arguit, nec dignum est Imperatoriâ curâ & providentiâ.

Lex Divina & erga homines Charitas jubet, ut congeneres nobis tanquam hostes nè ulciscamur: sed & magna exinde rebus nostris utilitas accessura est. Nam si vindictam sumseris, plùs in te hostem irritaveris; cùm qui beneficio afficiet, vel pro hoste amicum reddiderit, aut saltem modestiorem hostem.

Si quid aliis promiseris, nè videaris velle non implere. Quòd si enim infidus vel in quibusdam reperiaris, in universum tuis moribus diffidere facies alios: & quos sic fuco facto illuseris, ad par pari referendum armabis. Quocirca decet omnes mendacium vitare, præsertim verò qui cum potestate sunt. Alii enim se ab impossibili, vel alio quovis modo, excusabunt: Principes autem naturâ malâ præditi esse existimabuntur, nec remanebit alia ipsis excusatio.

νομένης, καὶ ταύτην οὐκ ἀθετοῦντας, πόῤῥω ἀριστείας καὶ ἀνδραγαθίας. διὸ μηδὲ τοὺς πιστεύοντάς σοι πολεμίους ἀπάτῃ μετέρχου. Εἰ γὰρ καὶ πολέμιοι, ἀλλ᾽ ὅμως οὐδὲν ἔλαττον ἀπατεὼν καὶ πλάνος, ὁ τοὺς πεπιστευκότας ἐξαπατήσας.

οϛ'. Προδότην ὡς τὰ πολλὰ οἱ ἄνθρωποι προδιδόντα μὲν φιλοῦσι, προδεδωκότα δὲ μισοῦσι· σὺ δὲ ἐπισκόπει, κἂν μὲν ἐπιβουλευθεὶς ὑπὸ τῶν οἰκείων καὶ χαλεπῶν παθῶν προὔδωκεν, οὐκ ἀνέλπιστον ἐστὶ φίλον καὶ καλὸν γενέσθαι· ἂν δὲ μηδὲν, καὶ σαυτοῦ μηδὲν ἔλαττον νόμιζε προδότην. τὸ μὲν γὰρ ἀμείψασθαι κακοῖς τοὺς λελυπηκότας, ἀνθρώπινον πάθος· τὸ δὲ τηλικαύτης ἄρξαι κακουργίας, ἀνιάτου μοχθηρίας.

οζ'. Χρυσὸς ἅπαντα τὰ ἀνθρώπινα στρέφει. φύλαττε τοιγαροῦν τὸ τῆς πατρίδος ἀνύβριστον ἔθος· ἄχρηστον καὶ νομίζων καὶ πᾶσιν ἐπιδεικνὺς, τὸν τοῖς φιλοῦσιν ἰσχυρὸν ἐπίβουλον, χρυσόν.

οη'. Δεῖ τὰ μὲν ἴδια συμπίπτοντα, εὐχαρίστως καὶ γενναίως φέρειν· τὰ δὲ τῶν ὑπηκόων, συμπαθῶς καὶ οὐκ ἀναλγήτως. τὸ μὲν γὰρ καρτερίας καὶ φρονήματος ἀνδρείου· τὸ δὲ ὀλιγωρίας, καὶ ἀνάξιον ἀρχικῆς προνοίας καὶ ἐπιστασίας.

οθ'. Ἐχθροὺς * ὁμοφύλους μὴ ἀμύνασθαι, ἔστι μὲν θεῖος καὶ φιλάνθρωπος νόμος, ἔστι δὲ καὶ πολὺ τὸ χρήσιμον ἐν αὐτοῖς τοῖς πράγμασι παρέχων· ὁ μὲν γὰρ ἀμυνόμενος ἔχει πάλιν χαλεπώτερον ἐχθρὸν, ὁ δὲ εὐεργετῶν ἢ φίλον παρεσκεύασεν ἀντὶ ἐχθροῦ, ἢ πάντως πρᾳότερον ἐχθρόν.

* ἴσ. ὡς ὁμοφ.

π'. Μηδὲν ὧν ἄλλοις ἔγνως ἐπαγγέλλειν, φαίνου παραβαίνων· ἡ γὰρ ἔν τισι ψευδολογία τὸν ὅλον τρόπον ἄπιστον δεικνύει· καὶ τοῖς διαψευσθεῖσιν οὐκ ἔστιν αἰσχύνη μὴ ἀμείβεσθαι τοῖς ὁμοίοις. Παντὶ μὲν οὖν ἀνθρώπῳ διὰ τοῦτο φευκτέον τὸ ψεῦδος, μάλιστα δὲ τοῖς ἐν δυναστείᾳ. τοῖς μὲν γὰρ ἄλλοις ἔσθ᾽ ὅτε γίνεται ἀπολογία, ἡ ἀδυναμία· τοῖς δὲ οὐκ ἔστι καταφυγὴ μὴ οὐχὶ παντὶ τρόπῳ μοχθηροὺς τὰς γνώμας ἐλεγχθῆναι.

πα'. Τὰς μετὰ σφοδρότητος ὑποσχέσεις εὐλαβεῖσθαι χρή. Εἴτε γὰρ παράσχοις, τὴν πλείστην παρεῖλες χάριν τῇ σφοδρότητι τῆς ἐπαγγελίας, ταύτην προκαταμερίσας καὶ εἰς δύο τὴν μίαν δωρεὰν κατασμικρύνας· Εἴτε μὴ παράσχοις, διπλῆν ἀπήνεγκας τὴν αἰσχύνην, ὅτι τε σφοδρῶς ὑπέσχου, καὶ ὅτι μηδὲν ὧν ὑπέσχου παρέσχες· καὶ δυσμενὴς ὤφθης ἀντὶ φίλου, ἀφεῖλες γὰρ ὃ παρεῖχον αἱ ἐλπίδες. ἄλλως τε δὲ καὶ αἱ σφοδραὶ ὑποσχέσεις ἁρμόζουσι τοῖς οὐ λίαν πιστευομένοις· ἐλέγχουσι δὲ καὶ ὡς οὐ κηδεμονίας μᾶλλον ἢ χρείας, ὑποτεινόμεναι χάριν.

Vehementiori cum aſſeveratione noli aliquid polliceri. Si enim ſteteris promiſſis, plurimum deceſſit de gratitudine per illam vehementem pollicitationem tuam; nam diſpertitam ab initio atque ità deminutam illam gratiam reddidiſti: Quòd ſi non ſteteris, dupliciter indè verecundaberis: eo nimirum nomine quòd tam atteſtanter promiſeris, & eo quòd nihil præſtiteris eorum quæ pollicebare: atque ità pro amico videberis inimicus, eò quòd de ſpe dejectos eluſeris. Alioqui certum eſt promiſſa tam violenta & aſſeverantia illos decere quibus fides haud bene adhibetur; & certè non tam indigentiam quàm curam & patrocinium ſuſceptum redarguunt, & eo nomine referendas gratias.

πβ'. Ἄξιος χαρίτων ὁ εὐλαβούμενος αὐτῆς καὶ τὴν φύσιν καὶ προσηγορίαν, καὶ μὴ παυόμενος μελετᾶν ἕως ἂν (αὐτὴν) ἀνταποδώσῃ. Ὥσπερ δὲ ἀνάξιος χαρίτων, ὁ ἀχαριστίᾳ γνώμης ἀμείβων τὸν εὐεργέτην, οὕτως ἄξιος τοῦ τῆς εὐεργεσίας ἀξιώματος, ὁ χαριζόμενος ἐφ' ᾧ μὴ ἀνταπολαβεῖν τὴν χάριν.

Gratiâ dignus eſt qui naturam gratiæ & nomen veneratur, quíque omnem cogitationem ſuam contendit conferre ut remuneret: Beneficio autem veluti indignus eſt, qui bene merentem ingratiis remunerat; ità & dignus eſt cui excellenter benefiat, qui bene illis fecerit à quibus retributionem non exſpectaverit.

πγ'. Μηδὲν παράνομον μηδὲ φίλοις χαρίζου. ἂν μὲν γὰρ ἐπιεικεῖς ὦσι, μισήσουσι μᾶλλον παρανομοῦντα, ἢ φιλήσουσι χαριζόμενον· ἂν δὲ φαῦλοι, διπλῆν ζημίαν ὑπέμεινες, κακοὺς εὐεργετῶν, καὶ ἀγαθοῖς ἀπεχθανόμενος. καὶ χωρὶς δὲ τούτων, τέρψει προσκαίρῳ καὶ ἰδιωτικῇ ἀΐδιον ὄνειδος ἀλλάξασθαι καὶ κοινὸν, μεγάλης ἀνοίας.

Nè quidem amicis contra æquum aliquid elargitor. Nam ſi homines benè morati ſint, odio te habebunt potiùs quòd leges violaveris, quàm ob beneficium collatum exoſculabuntur: Si verò mali ſunt, duplici diſpendio afficieris: Nam & improbis benefeciſti, & odium apud probos incurriſti. Sed utcunque his carueris, gaudio privato & temporali æternum opprobium permutaſti. quod ſtultum planè eſſet.

πδ'. Αἱ χάριτες ταῖς ἀναβολαῖς καὶ παρατάσεσι τοῦ χρόνου, ὥσπερ εἰς γῆρας ἐλθοῦσαι, τὸ οἰκεῖον μαραίνονται κάλλος· τὸ γὰρ ἄνθος ἀποβαλοῦσαι τῆς προθυμίας, μεθ' ἧς ἀμήχανόν τινα καὶ λαμπρὰν ἐποιοῦντο τὴν τέρψιν, οὐ * καθωρὰν φέρουσι τὴν εὐφροσύνην.

* ἴσ. καθαρὰν, vel, καθ' ὥραν.

Gratiæ per procraſtinationes, temporum extenſiones, velut ad ſenectutem quandam devergentes, propriâ deflorеſcunt pulchritudine: excuſſo etenim promtitudinis flore, qui cùm adeſſet ſplendidam quandam & immenſam pulchritudinem repræſentabat, nullo modo nè ad horam poſſunt oblectare.

πε'. Αἱ χάριτες ἡμιτελεῖς οὖσαι, οὐκ ἐθέλουσι χάριτες εἶναι· ἔσονται δὲ, ἐπειδὰν τετελειωμέναι ὦσιν· ὁ δὲ ταύτας ἐξ ἡμισείας καταπηθεὶς, ἑαυτὸν ἐζημίωσε, καὶ τὸν λαβόντα οὐκ εὔφρανεν· ὁ γὰρ ἡμίτομον τὴν χάριν ἀπειληφὼς, οὐχ οὕτω τῷ ἡμίσει εὐφρανθήσεται, ὡς ὑπὲρ τοῦ ἀφαιρέματος ἀνιάσεται.

Gratiæ dimidiatæ nequaquam gratiæ ſunt: erunt autem, conſummatæ ubi fuerint. Qui per partes tantummodo gratiam facit, ipſummet ſe damno afficit, nec accipienti gratiam facit: nam plus ille de eo quod deſideratur dolebit, quàm lætabitur de accepta dimidiata portione.

Qui

Qui gratiam alicui factam exprobat, similis est colono qui libenter seminat, sed porcos & feras in sementem immittit: Perdit ille semen, & fructum è semine: perdit iste ea quæ contulit, & gratitudinem sibi ex iis efflorescentem.

Si ab initio beneficio affeceris, quos deinceps neglectu habes, noli putare eos sic beneficio affectos velle benevolentiam priorem conservare. Multos egomet expertus cognovi, qui multis & magnis suis collatis beneficiis confisi, nullam prorsus curam eadem deinceps continuare habuerunt: persuaserant enim sibi, exhibitam ab initio liberaliter benevolentiam sufficere debere ad obstringendum perpetuò beneficiis affectos, nec temporis diuturnitatem debere oblivionem collatorum beneficiorum à semel bene de se meritis procurare. Qua in re spe delusi exciderunt, re in contrariam partem procedente. Neque mirum sanè malos sic affectos esse animo: Tales enim, nè quidem dum in manus ipsorum beneficia depluerent, linguis sincerioribus bene merentes de se remunerari volebant. Sed & alioquin apud eos quibus etiam probitas curæ est, videre possumus memoriam eorum quibus fruebantur, haud retinere: & utcunq; benemeritis dum afficiuntur, benefactoribus grati exsistant, veruntamen si deinceps non pari modo afficiantur, priorem illam suam animi promtitudinem nequaquam retinent sinceram & illibatam; verùm temporis decursu (cùm influxu de novo non supplerentur) gratiam emarcidam habentes, quod in amore vehementius & splendidius habebatur, avulsum & deflorescens admittunt. At qui medio quodam more tenebantur, beneficiis affecti ad gratitudinem disponebantur; neglecti autem, nè quidem ipsi pudore deterrentur quò minùs priorem animi affectum convertant in contrarium; eóque magìs si alios viderint sibi dignitate prælatos. Nam nequaquam solent recordari eorum quibus ipsi priùs bene erant affecti beneficiis, quanquam redamare eos par fuerat; sed quibus fruuntur vicini, solent ea contueri, quibus irritati gratias in ingratias solent commutare. Conducibilius quocirca cuicunque prin-

Ὁ τὰς χάριτας ὀνειδίζων, ὅμοιός ἐστι τῷ πϛʹ.
γεωργῷ, σπείροντι μὲν προθύμως, ἐπαφιέντι δὲ χοίρους καὶ θηρία τῷ σπόρῳ. Ὡς γὰρ ἐκεῖνος καὶ τὸ σπέρμα καὶ τὸν ἐξ αὐτοῦ λυμαίνεται καρπόν, οὕτω καὶ οὗτος καὶ τὰ καταβληθέντα καὶ τὴν βλαστάνουσαν αὐτῷ προσαπόλλυσιν εὐχαριστίαν.

Μηδὲ κατὰ πρώτας εὐεργετῶν, ἔπειτα δὲ πζʹ.
ἀμελῶν, νόμιζε τὴν ἐξ ἀρχῆς σοι εὔνοιαν τοὺς εὐεργετηθέντας διαφυλάττειν. πολλοὺς γὰρ αὐτὸς ἐγὼ πείρᾳ διέγνων, ὅτι θαρρήσαντες τῷ πλήθει καὶ μεγέθει τῆς καταρχὰς εὐεργεσίας, οὐδὲν ἐν τοῖς ἐφεξῆς ἐφρόντισαν ἐπιδείξασθαι τοιοῦτον· ἀρκέσειν γὰρ τοῖς εὐεργετηθεῖσι πρὸς τὴν διὰ βίου εὐχαριστίαν τὴν καταρχὰς ἤλπισαν φιλοτιμίαν, καὶ χρόνον οὐδένα ἂν ἐγγενέσθαι λήθης τοῖς εὐπεπονθόσι τῆς ἀγαθουργίας· τὸ δὲ οὐ μόνον οὐ κατὰ τὰς αὐτῶν ἐλπίδας ἀπέβη, ἀλλὰ καὶ εἰς τοὐναντίον ἐτράπη. Ἀλλὰ περὶ μὲν τῶν φαύλων τὴν προαίρεσιν οὐδὲν θαυμαστόν· οἱ γὰρ τοιοῦτοι, οὐδὲ ῥεούσης αὐτοῖς εἰς χεῖρας ἴσως τῆς εὐεργεσίας, οὐδὲ τότε γλώσσαις ἀνοθεύτοις ἠμείβοντο τὰς εὐεργεσίας, πλὴν καὶ ἐπὶ τῶν ἄλλων, τοὺς μὲν καλοκαγαθίας ἐπιμελουμένους ἦν ἰδεῖν, ὡς εἶχον μὲν μνήμην ὧν ἔτυχον ἀπολελαυκότες, καὶ εὐλογεῖν οὐκ ἐξίσταντο τὸν εὐεργέτην· ὅμως δὲ μὴ τῶν ὁμοίων τυγχάνοντες, οὐδ᾽ αὐτοὶ καθαρὰν καὶ ἀκήρατον τὴν ἀρχαίαν διέσωζον εὐγνωμοσύνην, ἀλλὰ τῷ χρόνῳ τὴν χάριν (οὐ γὰρ εἶχον ἐπιρροήν) ὑπομαραινόμενοι, τὸ σφόδρον καὶ ὡραῖον ἀπηνθίζοντο τοῦ φίλτρου· οἱ δὲ μέσης νομιζόμενοι διαθέσεως, εὐεργετούμενοι μὲν εὐχαρίστως διέκειντο· ἀμεληθέντες δὲ, οὐδ᾽ αὐτοὶ τὴν προτέραν διάθεσιν εἰς τοὐναντίον μεταβαλεῖν ἐνηχώθησαν· μάλιστα, βλέποντες ἑτέρους φιλοτιμιῶν ἀπολαύοντας. οὐ γὰρ ἃ προπεπόνθασιν αὐτοὶ, καί τοι δέον, ἐλογίσαντο· οἷς δ᾽ εὖ πάθοιεν οἱ πλησίον, ἐνητένιζον· καὶ τούτοις παρακνιζόμενοι τὴν εὐφημίαν εἰς ἀχαριστίαν ἔτρεπον. πολλῷ ἄρα λυσιτελέστερον ἄρχοντι, τῷ ἐν πο-

λιτείᾳ, κατὰ μέρος, καὶ διὰ βίου, ταῖς δωρεαῖς ἢ ἀθρόον καὶ ἐφάπαξ οἰκειοῦσθαι τὸ ὑπήκοον. τὸ δὲ πλῆθος καὶ βάρος τῶν χαρίτων ἁρμόζει μᾶλλον τοῖς ὑπέρογκόν τι καὶ παράδοξον ἐπὶ κοινῇ σωτηρίᾳ κατορθωκόσιν, ἢ τοῖς εἰς τὸ σπανιώτατον τῆς ἡμῶν ἐπικουρίας δεῖσθαι νομισθεῖσι.

πη'. Θυμός ἐστιν ἔκστασις ἑκούσιος, καὶ τῶν ἰδίων φρενῶν ἀλλοτρίωσις· ἃ γὰρ οἱ διαπαντὸς μελαγχολῶντες κατεργάζονται, παραπλήσια τούτοις καὶ οἱ τῷ θυμῷ πληγέντες κατ' ἐκεῖνο καιροῦ διαπράττονται.

πθ'. Ὥσπερ τὸ πῦρ τὴν τρέφουσαν ὕλην ἀφανίζει, οὕτω καὶ ὁ θυμὸς τὴν ἔχουσαν ψυχὴν κατεσθίει. πολλάκις δὲ καὶ φθορὰν ὁλόκληρον εἰργάσατο τοῦ ζώου.

υ'. Μηδαμῶς μηδένα μηδὲ δικαίως θυμῷ κολάσῃς. ὡς γὰρ ἂν ὁ πάσχων τὴν δίκην ὑφέξῃ, αὐτὸς ὅμως οὐδὲν ἔλαττον ἐξελεγχθήσῃ σφαλερῶς τῇ πράξει κεχρημένος. διὸ καὶ κάλλιστά τις τῶν ἀρχαίων ἀπεθέσπισε πρὸς ἡμαρτηκότα, Ἐκόλασα ἄν σε, εἰ μὴ ἐθυμούμην.

υα'. Τυφλόν ἐστι πάθος ὁ θυμός, καὶ κρίνειν οὐκ ἔχων ἀπὸ τοῦ χείρονος τὸ κρεῖττον. διὸ οὐδεμία ὄνησις, παραίνεσις ὀργιζομένῳ· πεπαυμένῳ δέ, τὴν διὰ τῶν ἐλέγχων θεραπείαν προσενεκτέον κεράσαντι ἐπιεικείᾳ. οὔτε γὰρ τὰ δριμύτερα τῶν φαρμάκων ἄνευ μέλιτος τοῖς κάμνουσι προσάγειν ἐγνώκασιν οἱ ἰατροί· οὔτε τοὺς ἀκράτους ἐλέγχους ἡ τῶν ἀπαιδεύτων δέχεται ψυχή.

υβ'. Ὥσπερ ταχὺν ἐν ταῖς ἀξίων εὐεργεσίαις εἶναι προσῆκεν, οὕτω βραδὺν ἐν ταῖς τῶν αἰτίων τιμωρίαις, καὶ χαίρειν μὲν *τιμῶνται τοὺς σπουδαίους, ἀνιάσαι δὲ κολάζοντα τοὺς ὑπευθύνους.

* Leg. τιμῶντα.

υγ'. Μηδενὶ μηδέποτε πιστεύσαντί σοι ἄπιστος ὀφθείης. ἂν γὰρ ἄπιστοι γινώμεθα τοῖς πεπιστευκόσι, τίνες τοῖς ἄλλοις δόξομεν; καὶ μετὰ τίνων δὲ λοιπὸν ἀδεῶς καὶ ἡδέως βιώσομεν;

υδ'. Οὐκ ἐθέλει τὸ εἶναι μετὰ τοῦ οἴεσθαι συνεῖναι. δι' ὃ ἐν οἷς ἂν τὴν οἴησιν ὁρᾷς, τὴν πρᾶξιν ὑπερόριον νόμιζε, καὶ διαπεφευγέναι τὸ εἶναι.

cipi est, cùm in Republica admini-stranda tum in privata vita, subditos sibi suos demereri donis collatis particulatim, sed quamdiu sunt in vivis, potiùs quàm semel, neque id profusiori modo. Sed par est ut gratiarum multitudo magnitudóque iis potiùs irrogetur qui pro salute communi ingens aliquod & excellens facinus perpetraverint, quàm ut in eos impendatur qui rarissimè nostrâ ope & auxilio indigere videntur.

Ira est voluntaria quædam ecstasis, & mentis à statu suo abalienatio: quæ enim furiosi quotidie paragunt, similia planè perpetrant per illud tempus illi qui percelluntur iracundiâ.

Ignis veluti nutrientem se materiam annihilat, ità & iracundia animam exedit quam obsedit. quin & non rarò consummatam totius animalis perditionem operatur.

Iratus neminem, nè quidem justò licèt, suppliciis afficito. Utcunque enim tulerit ille qui punitur, tu nihilominus vituperium incurres, quòd improvidè negotium illud obiveris. Quocirca perbellè dictum ab antiquorum aliquo fuit erga delinquentem, *Certè te punirem, si non irascerer.*

Cæca quædam passio furor est, nec discernere potest utile ab inutili. Irato nihil proderit admonitio: Postquam verò deferbuit ira, adhibeatur medicina per correctionem, ità ut comitate condiatur. Nam nisi melle illita pocula medicantia ægris exhibere paulò amariora non solent medici; ità nec insipientium animæ redargutiones admittunt meraciores.

Quemadmodum celeritatem adhibere par est in remunerandis iis qui digni sunt, ità tardum esse decet in delictorum pœnis infligendis. Gaudentem oportet bonos honorare, condolentem verò supplicio afficere obnoxios.

Illi qui tibi fidem adhibet diffidere noli. Si enim credentibus infidi erimus, qualesnam aliis videbimur esse, aut cum quibusnam suaviter & sine metu versabimur?

Esse & opinione usurpari non coincidunt. Quocirca apud quos opinionē sui obtinere videris, exulare ibidem actionem reputa & essentiam realem abesse.

Turpe

Turpe eſt illum qui viris imperat ſuccumbere mulieribus, & voluptatibus ſubditum inveniri. In illa fœmina tantummodo non delinquit aliquis quam vitæ, ſecundùm leges, adjutricem ſortitur. Cœlibatus quidem divina quædam res eſt, naturam ſuperans, majus quiddam virtute politicâ & rectâ legum obſervantiâ. Univiratus humanæ naturæ opus eſt, cùm ad ſucceſſionem generis continuandam, tum ad ſocietatem civilis & humanæ vitæ, & converſationis rectè inſtitutæ. Polygamia res turpiſſima & deteſtabilis, quæ belluarum convenit & impuritati & laſciviæ.

Alexander Macedo dominatum Aſiæ bello acquirens, Perſicas mulieres oculorum jacula dicebat eſſe: vir autem verè temperans & Divinorum mandatorum ſedulus obſervator non modò Perſicarum ſed & omnium omnino fœminarum intuitum, tanquam lætiferum animæ telum & nimis velox, fugiet & averſabitur. Vocis quidem ſonus aures feriit, & per aures paſſio animæ inſculpitur: Attrahit oculum corporis pulchritudo, & per eum modum captivum vinculis conſtrictum tenens, rationem, ſui priùs juris & imperii, in ſervitutem ſimul redegit.

Quemadmodum impoſſibile eſt ut is qui mare navigat ſit ſine tempeſtate & turbato ſalo, ità fieri nequit ut is extra pericula & fluctus conſiſtat qui corporalem ſectatur paulò curioſiùs pulchritudinem. Oportet igitur initia paſſionum & cauſas declinare: quod & utilitatem afferet, neque ſanè difficulter præſtabitur. Cùm verò ſemel rationalem partem hoc malum invaſerit, ità ut imaginem deſideratę rei eidem impreſſerit, difficulter hæc paſſio abjicitur, &vix eſt ut ab illa ſe expediat aliquis

Sunt qui amatores pronunciant, in alienis corporibus ſuas animas habere: conjunctius opinor cum ratione dicitur, eos in corporibus alienis & mentem & animam per didiſſe.

Ebrietatem principum atque luxum naufragium eſſe exiſtima ſubditorum. Quando enim vino atque crapulâ gubernator, tanquam mari, demergitur, neceſſe eſt ut Reſpublica ejus gubernationi credita, ſexcentis fluctibus & allu-

νέ. Αἰσχρόν ἐστιν ἀνδρῶν ἄρχοντα καὶ δεσπόζοντα, γυναικῶν ἡττηθῆναι, καὶ δοῦλον ἡδονῶν ὀφθῆναι. ἣν δέ τις νόμῳ βοηθὸν ἐκτήσατο βίου, ταύτῃ συνοικῶν οὐχ ἁμαρτάνει. Ἀγαμία μὲν θεῖον πρᾶγμα, καὶ ὑπερφυὲς, καὶ μεῖζον πολιτικῆς ἀρετῆς καὶ εὐνομίας. μονογαμία δὲ, φύσεως ἀνθρωπίνης ἔργον, εἴς τε γένους διαδοχὴν, καὶ εἰς κοινωνίαν ἡμέρου καὶ φιλανθρώπου βίου, καὶ πολιτείας εὐνομουμένης. πολυγαμία δὲ, ὑπεραισχρον καὶ μιαρὸν, καὶ τῆς τῶν ἀλόγων ἀκολασίας καὶ ἀκαθαρσίας.

νϛ'. Ἀλέξανδρος ὁ Μακεδὼν, Ἀσίας κύριος δόρατι γεγονὼς, τὰς Περσίδας ἔλεγεν βολίδας ὀμμάτων εἶναι· ὁ δὲ σώφρων ὡς ἀληθῶς ἀνὴρ, καὶ δεσποτικῶν φύλαξ ἐντολῶν, οὐ τὰς Περσίδας μόνον, ἀλλὰ καὶ πάσης γυναικὸς ὄψιν, ὡς ὀξὺ ψυχῆς βέλος καὶ θανατηφόρον, φεύξεται καὶ ἀποστραφεῖται. Ἦχος μὲν φωνῆς ἔπληξεν ἀκοὴν, καὶ δι' αὐτῆς ἐνετυπώθη τὸ πάθος τῇ ψυχῇ· κάλλος δὲ σωμάτων εἵλκυσεν ὀφθαλμὸν, καὶ δι' αὐτοῦ δέσμιον λαβὼν, κατεδουλώσατο τὸν αὐτοδέσποτον λογισμόν.

νζ'. Ὥσπερ ἀδύνατον ἐν θαλάσσῃ πλέοντα, ταραχῆς καὶ ζάλης ἀπείρατον διαμεῖναι, οὕτως ἀμήχανον τὸν κάλλη σωμάτων ἐπισκοποῦντα καὶ περιεργαζόμενον, τῶν ἐκεῖθεν κυμάτων καὶ κινδύνων ἐκτὸς καθεστάναι. δι' ὃ τὰς ἀρχὰς καὶ τὰς αἰτίας ἐκτρέπεσθαι χρὴ τῶν παθημάτων. τοῦτο γὰρ καὶ συμφέρον, καὶ οὐ χαλεπόν. Ἐπειδὰν δὲ τοῖς λογισμοῖς τὸ κακὸν ἐνσκήψῃ, καὶ τὸ εἴδωλον αὐτοῖς τῆς ἐπιθυμίας ἐντυπώσῃ, δυσαπόβλητον γίνεται τὸ πάθος, καὶ χαλεπὸν ἀπαλλαγῆναι.

νή. Τινὲς τοὺς ἐρῶντας ἔφησαν ἐν ἀλλοτρίοις σώμασι τὴν ψυχὴν τὴν ἰδίαν ἔχειν· εὐλογώτερον δ' οἶμαι λέγειν, αὐτοὺς ἐν ἀλλοτρίοις σώμασι τὸν νοῦν τῇ ψυχῇ συναπολωλέναι.

νθ'. Μέθην καὶ τρυφὴν τῶν ἀρχόντων, ναυάγιον νόμιζε τῶν ἀρχομένων. Ὅτε γὰρ ὁ κυβερνήτης καταποντίζεται τῇ πλησμονῇ καὶ τῷ οἴνῳ, πῶς οὐχὶ μυρίοις κύμασι καὶ κλύδωσιν ἐσχάτοις ἡ κυβερνωμένη περισαρράξει πολιτεία,

τεία, καὶ τῇ τοῦ κυβερνήτου ὑποβρυχίῳ συγκαταποθήσεται ἀπωλείᾳ;

ρ'. Μηδένα μηδέποτε ἀνθρώπων, μηδὲ τῶν τυχόντων, εἰς ἀπόγνωσιν συνελάσῃς. Ἰσχυρὸν γὰρ καὶ ἄμαχον ἀπόγνωσις ὅπλον. καὶ πολλάκις ἀνάγκη στρατηγήσασα, πράξεων παραβολῶν ἀνελπίστους μεταβολὰς ἐξειργάσατο, καὶ πρὶν ἢ γενέσθαι, μύθους νομιζομένας.

ρα'. Ἄριστον μὲν ἀνθρώπῳ μὴ διαμαρτεῖν, μηδὲ τῆς ὀρθῆς κρίσεως ἀποσφαλῆναι· συνετοῦ δὲ, καὶ πεσόντα θᾶττον ἀναστῆναι, καὶ χρήσασθαι τῷ πταίσματι, πρὸς τὸ μὴ πάλιν πεσεῖν παραγγέλματι.

ρβ'. Τὸ περὶ τοὺς πόνους ἑκούσιον, τῶν ἀκουσίων ἀφαιρεῖται τὸ ἀφόρητον καὶ χαλεπόν· διὸ χρήσιμος ἡ ἐν τοῖς ἀκουσίοις τριβὴ καὶ μελέτη.

ργ'. Ἀρχικῆς ἀρετῆς καὶ τελείας, μὴ μόνον τὸ πλῆθος αἰσχύνεσθαι, πρὸς τὸ μὴ ἁμαρτάνειν· ἀλλὰ καὶ ἑαυτὸν πρὸ τοῦ πλήθους.

ρδ'. Ἡ διὰ λόγων ὕβρις τοῖς ἐλευθέροις, οὐ πολὺ παραλλάσσει τῆς διὰ πληγῶν καὶ μαστίγων. χρὴ οὖν παραφυλάττεσθαι τὸ προπετὲς τὸ ἐν τούτοις· οὐ μέγα γὰρ δοκοῦν, μεγάλας φέρει ζημίας.

ρε'. Πολλοὺς ἔβλαψεν εὐτραπελία· ἀπὸ γὰρ γνώμης διεκπεσοῦσα παιζούσης, καιρία πληγὴ γέγονε τοῖς διαπαιχθεῖσι· καὶ βραχεῖα τέρψει τῶν ἐπιτυχόντων, μεγάλας ἔτεκεν ἔχθρας τῶν σπουδαίων. ἣν παντὶ μὲν ἔμφρονι παραφυλακτέον, ἄρχοντι δὲ μάλιστα τῶν ἄλλων· ὅτι καὶ χυδαῖον, καὶ καταφρονεῖσθαι μᾶλλον, ἢ χαριεντίζεσθαι, παρασκευάζει.

ρϛ'. Εὐεργέτει τὸ ὑπήκοον περιφρουρῶν, ὡς τῆς ἀρχῆς νεῦρα καὶ οἰκεῖα μέλη. ἐκείνων γὰρ διασπασθέντων, κίνδυνος καὶ τὴν σὴν συγκαταλύεσθαι ἐξουσίαν.

ρζ'. Τὰς * μελετωμένας στάσεις, ὅσαι μὴ σβέσαι ῥᾷον, ἄμεινον ἀγνοίας ὑποκρίσει δῦναι, καὶ λήθῃ καλύψαι, ἢ θριαμβεύσαντα ἐπεξιέναι. τὸ μὲν γὰρ ἐσθ᾽ ὅτε καὶ πλέον ἀνῆψε τὴν φλόγα, καὶ χαλεποὺς ἤνεγκε κινδύνους, καὶ πολλῇ καὶ τὸν διασωθέντα περιέβαλε ζημίᾳ. τὸ δὲ, πρᾳέως κοιμίζειν, καὶ μετὰ τοῦ ἀ-

* Lege, μεμελετωμένας.

vionibus allisa agitetur, imò & unà cum gubernatore demerso, pari quoque interitu malè pereat.

Neminem mortalium, nè quidem obscurissimorum, ad desperationem adigas. Est enim desperatio robustum quoddam & inevitabile telum. Quin sæpe accidit, ut progressa in aciem necessitas, rerum præter exspectationem mutationes unà induxerit inexspectatas, quas loco fabularum habere volueris, antequam actu compleantur.

Optimum est, ut homo nec omnino aberraret, nec à sani judicii norma excederet; sed prudentis est, quantocius ut callapsus resurgat, & lapsum sic suum instituat nè deinceps labatur.

Voluntas in laboribus suscipiendis promta, involuntariorum illud durum telum & intolerandum frangit. Optimum est igitur de voluntariis meditari, & in iisdem inhærere.

Ad virtutem & perfectionem Principis spectat, tum turbam promiscuam, tum imprimis seipsum pudore à peccatis abstinere.

Contumelia verbis ingesta apud homines liberos parùm differt à plagis acceptis & verberibus. Cavendum est ergò nè proclivis feraris ad convitiandum, siquidem, id quod haud creditur magnum, magna damna procurat.

Multos urbanitas læsit: ab animo siquidem ludenti profecta, aliquando vulnus læthale illusis infligit: quæ per admodum brevem oblectationem cuicunque obvio impensam, inimicitias etiam graves inter prudentes excitavit. Hanc ideò quisque prudens evitabit, princeps imprimis; cùm res sit, quæ contemtum potiùs parit, quàm gratiam vel acceptationem aliquam.

Beneficiis subditos circumvallato, tanquam nervos imperii, & tua ipsius membra. Nam si illa discerpantur, periculum tibi interitûs incumbet, & imperii ruinæ.

Seditiones, conspirationésque quas facilè non licet exstinguere, conduceret per dissimulationem & prætensam ignorantiam oblivioni tradere, quàm publico quasi triumpho propalare. Ità enim fieri solet, ut flamma magìs ex eo accendatur, & pericula non levia creentur; quia & non nisi malè mulctatus salutem sibi quis comparaverit. E contrario verò,

verò, moderatione sopitur malum, & præterquam quòd sine periculo sit, misericordiæ, prudentiæ, utilitatísque rationem subit.

Principem oportet, cùm flatu secundo res ipsi succedant & in tuto sitæ esse videantur, non secus tamen quàm in tempestate procurare, & salutis habendæ rationem gerere: conturbatis autem rebus, & in se collisis, omni consilio & cogitatione incumbere, ut in statum redigantur, & bene stabiliantur. Nam quæ ità comparata sunt, ut in partem utramlibet ferantur, ipsâ experientiâ docente, desperari non debent. Sed interdum factum fuit, ut secura negligentia, quamvìs tantilla, principatus magnos & excellentes pessundederit, quos ità deturbatos diligens cum recto consilio industria, in magnitudinem eximiam reductos, restauravit.

Prudentes & moribus compositi viri rebus prosperis non inflantur, sed moderatâ quâdam de se opinione felicitatis suæ mensuram exornant, quâ & invidorum quique malevolentiam asperatam lenire solent. Quòd si cespitaverint, fortiter illud ferunt, in argumentum virtutis suæ, id, quod contigit, trahentes, cujus potestate mentem sibi suam roborant, & desperationem omnem ab animo procul amoliuntur. Intelligunt enim esse res humanas omnes versatiles, instabiles, & minimè firmas: levitatis porrò & insipientiæ esse, imò & pusillanimitatis, rebus secundis attolli & inflari, adversis autem valdè dejici, & mœrore turpiter macerari.

Prudentibus convenit adversa prævidere, eadémque per consilium sanum opportunè semovere. Nec minùs convenit, quæcunque acciderint, optimè composita ferre, & in rem suam vertere.

Novi ego confertim incurrentes rerum moles, inexpectato adventu, homines terrefactos & consternatos reddere, etiam spectatores, & qui tranquilliùs aliquantò ferrent ea, adeò ut, nec adversùs futura stantes in procinctu, onus illud possint à se excutere; atque ità etiam cùm damnum indè dimanans non adaugetur, verùm potiùs remittatur, per mores alioqui modestiores. Vidi, inquam vidi, quasdem res ità compositas, ut per consuetam familiaritatem, paulatim progrediendo, alleviatæ, in omnis molestiæ carentiam evanue-

κινδύνου, τὸ φιλάνθρωπον καὶ συνετὸν καὶ ἀζήμιον περιέχει.

Δεῖ τὸν ἄρχοντα, φερομένων μὲν αὐτῷ κατ' οὖρον τῶν πραγμάτων καὶ εὐσυνέτων, ὡς σαλευομένων ἀσφαλίζεσθαι καὶ ἐπιμελεῖσθαι· ἀνατρεπομένων δὲ, καὶ συρρηγνυμένων, ὡς ἂν ἐπαναχθείησαν καὶ ἑδρασθεῖεν, βουλεύεσθαι καὶ φροντίζειν· οὐδέτερον γὰρ τῶν ἐπὶ τἀναντία φερόντων ἡ πεῖρα δείκνυσιν ἀνέλπιστον· ἀλλὰ πολλάκις μικρὰ ῥαστώνη μεγάλας ἀρχὰς καὶ ὑπερόγκους κατήνεγκεν, καὶ πάλιν σπουδὴ σὺν εὐβουλίᾳ, εἰς μέγα δυνάμεως ὕψος τοὺς κατενεχθέντας ἐπανήγαγεν. ρη'.

Οἱ ἔμφρονες καὶ εὐσταθεῖς τῶν ἀνθρώπων, κατορθοῦντες μὲν, οὐ φυσιοῦνται, ἀλλὰ μετρίῳ φρονήματι τῆς εὐπραγίας κοσμοῦσι τὸν ὄγκον, καὶ τῶν φθονούντων διαπραΰνουσι τὸ φλεγμαῖνον· προσπταίοντες δὲ, φέρουσι γενναίως, καὶ τὸ συνενεχθὲν, ἀρετῆς ὑπόθεσιν ποιούμενοι. τῷ κράτει ταύτης δυναμοῦσι τὴν γνώμην, καὶ τὸ ἀθυμοῦν ἐξοικίζουσι τῆς διανοίας. Ἴσασι γὰρ τὸ ἐφ' ἑκάτερα τρεπτὸν, καὶ ἄστατον, καὶ ἀβέβαιον τῶν ἀνθρωπίνων· ἀφροσύνης δὲ καὶ κουφότητος καὶ ἀπειροκαλίας, τότε ἐν ταῖς εὐπραγίαις ἐπαίρεσθαι καὶ ὀγκοῦσθαι, καὶ τὸ ἐν ταῖς δυσπραγίαις σφόδρα καταπίπτειν καὶ ἐνασχημονεῖν τῇ ἀθυμίᾳ. ρθ'.

Ἀνδρῶν μὲν συνετῶν προνοῆσαι τὰ δυσχερῆ, καὶ ἀπώσασθαι δι' εὐβουλίας· οὐκ ἐλαττόνων* δὲ, καὶ τὰ συμβεβηκότα καλῶς διαθέσθαι, καὶ οἰκονομῆσαι. ρι'.

* γρ. ἔλαττον.

Οἶδα πράξεις ἀθρόον ἐπιστάσας καὶ τῷ ἀδοκήτῳ τοῦ συμβεβηκότος ἐκπλαγέντας, τούς τε θεαμένους, καὶ ἡσύχως ἐνέγκοντας τὰ συνενεχθέντα, καὶ οὐδ' εἰς τὸ ἔπειτα διαναστάντας, ἀποσείσασθαι τὸ βάρος· μάλιστα δὲ τῆς ἐξ αὐτῶν οὐ συναυξομένης βλάβης, ἀλλὰ καὶ τρόποις ἄλλοις πρᾳοτέροις, ὑποχαλωμένης. Ἰδὼν γὰρ ἴδον ἐνίας οὕτως οἰκονομηθείσας, καὶ τῷ συνήθει, κατ' ὀλίγον, ἐπὶ πλέον συνεπικουφιζομένας, εἰς τὸ ἀλυπότατον ρια'.

ἀποκριθείσας· ἄλλας δὲ τοὐναντίον, καὶ τοὺς πρὸς ἀμέλειαν καὶ ἀτολμίαν ζῶντας, κέντρου δίκην, ὡς ἐξ ὕπνου, διεγηγερκυίας. Τῷ γὰρ παραλόγῳ καὶ ἐξαιφνιδίῳ τῶν προστυχόντων, ἕκαστος ἀνηρεθισμένος, πᾶς ἀνὴρ τοῖς πράγμασιν ἐγεγόνει· καὶ οὐδὲ ἐπὶ μιᾶς ἡμέρας ἀντέσχεν ἐπισχεῖν * τῇ καινοτομίᾳ· ἄλλαι δὲ, καὶ αὗται τῶν οὐκ ἐξ ἔθους, κατὰ μικρὸν ὑπεισιοῦσαι, καὶ τῷ ἠρεμεῖ καὶ ἀταράχῳ συνδιακλέπτουσαι τὴν συναίσθησιν τῆς καινοτομίας, παρεισέδυσάν τε οὐ σὺν πόνῳ, καὶ οὐδ᾽, εἰ καινότερόν τι συνέβη, μνήμην ἔδωκαν, οὐδὲ τοῖς πεπειρασμένοις. τινὲς δὲ, τὸν ὅμοιον τρόπον ἐπιχειρήσασαι παρεισδύειν, καὶ τῷ μὴ τυραννίδι μηδ᾽ αὐτοδεσπότῳ κράτει, καὶ ἐκ τοῦ ἐμφανοῦς, ὥσπερ ἐπισκήπτειν, δειλίαν καταγνωσθεῖσαι, θᾶττον ἀνετράπησαν ὑπὸ τῶν ἐπιτυχόντων. τῷ γὰρ καθ᾽ ἑαυτὰς εὐλαβεστέρῳ, εἰς θράσος ἄσχετον καὶ παράβολον τόλμαν ἐξοπλίσασαι, καὶ τοὺς περὶ τούτων δόξαντας ἐπιεικεστάτους, αὐτῇ συνεφθάρησαν τῇ ἐπιχειρήσει. Πῶς οὖν ἔστι τυχεῖν τοῦ σκοποῦ; τἀναντία γὰρ διὰ τῶν αὐτῶν ὁρᾶται συντετελεσμένα. ἄμεινον μὲν μηδ᾽ ἀπάρχεσθαι τῶν τοιούτων· δειναὶ γὰρ αἱ καινότητες, καὶ χωρὶς ἑτέρου λυπηροῦ, θορυβεῖν καὶ πλήττειν διανοίας, καὶ εἰς διαβολὴν καὶ ὕβριν ἐκκαλεῖσθαι τὸ πλῆθος.

* γρ. ἢ καινοτομία.

ριβ'. Ἐπεὶ δ᾽ ἔσθ᾽ ὅτε χρεία κατεπείγει, καὶ δεῖται πράξεως ὁ προεστηκὼς καινοτέρας, ἂν μὲν μέγα ὄφελος καὶ εὐφροσύνην ἐξ αὐτῆς τὸ κοινὸν εὑρίσκῃ, οὐδὲν δεῖ σκέψεως καὶ μελέτης· ἂν δ᾽ ἄλλως, καὶ λυπηρὰ εἴη, λόγῳ μὲν διελθεῖν, ὅπως ἂν ὡς ἄριστα διανυσθείη, οὐ ῥᾴδιον οἶμαι. τὰ γὰρ κατά τινας ἰδικωτάτας ἐπακολουθοῦντα περιστάσεις, οὐκ ἔνεστιν ἀκριβῶς κοινοτέρῳ λόγῳ, καὶ τῶν ἔργων πόῤῥωθεν, θηρᾶσαι. πλὴν ὅ γε καλῶς, ἐν τοῖς προειρημένοις ἐγγεγυμνασμένος, καὶ πρὸς τὰ τοιαῦτα τὴν ἄνωθεν ῥοπὴν ἐπίκουρον ἔχων, μεγάλην εἴσεται δύναμιν συνειλεγμένος.

runt; alias verò interdum è contrario, eos etiam qui ità vivebant, ut auderent, curarent nihil, tanquam ſtimulis è ſomno punctos, excitaſſe. Quiſque enim inexſpectato & ſubitaneo rerum adventu excitatus, & quaſi prurigine impulſus ad agendum accedit, ità ut, nè quidem ad unius diei ſpatium potuerit reſiſtere novitas: cùm ſint aliæ res, nec ipſæ aſſuetæ, quæ paulatim ſe ſubinferunt, & illapſæ quieto nec tumultuoſo ſenſum omnem innovationis effugiunt. quæ ſine labore illabuntur, nec novitatis alicujus acceſſoriæ vel memoriam relinquunt, nè quidem apud experientiam edoctos. Quædam verò cùm ad eundem modum ſubinferre ſe attentaverint, nec per tyrannicam quandam vel arrogatam poteſtatem, & vim manifeſtariam, impreſſionem fulminis in modum facere, tamen ſub prætextu timiditatis facillimè, etiam ab obviis, ſubvertuntur. Dum enim naturaliter ſibi inſitam timiditatem ad audaciam intolerabilem, & præter omnem exſpectationem exarmant, etiam eos qui multò moderati priùs habebantur, ad primum inceptum perdiderunt. Adeò quæri poteſt quâ ratione finem quis propoſitam aſſequatur, cùm per eaſdem cauſas effectus progignuntur contrarii. Præſtitiſſet certè, nè quidem ab iſtis incepiſſe: ſunt enim novitates, non accedente aliunde moleſtiâ aliquâ, ità quodammodo à ſe compoſitæ, ad mentem turbandam & de ſtatu ſuo movendam, ad vulgus hominum inducendum ad calumnias & convitia ingerenda.

Cùm interdum neceſſe ſit ut is, qui rebus adminiſtrandis præeſt, aliquid innovet, non eſt ſolicitiùs exquirendum, utrùm indè aliquid vel utilitatis, vel jucunditatis communitati hominum acquiretur. Quòd ſi permoleſtum id fuerit, non eſt opinor proclive rationem explicare, ut quàm optimè transigatur. Quæ enim ſpecialiores conſectantur rerum inſtantias, non poſſunt accuratè communi quodam ſermone explicari, nec indagari eo qui receſſerit longiùs ab operibus. Veruntamen qui cum laude verſatus eſt in antedictis, & divinum in rem præſentem auxilium præſtò habet, magnam facultatem afferet ad illud peragendum.

Armis,

Armis, fortitudine, exercitu quovis prævalentiorem & tutiorem subditorum benevolentiam arbitrare. Hæc si adfuerit, & agmen duxerit, illa erunt utilia: Istâ autem sublatâ, præstaret & illa quoque unà tolli. nam multò citiùs contra principem invisum, quàm contra hostes movebuntur.

ριγʹ. Ὅπλων καὶ ἀνδρείας καὶ στρατηγίας κραταιότερον καὶ ἀσφαλέστερον νόμιζε τὴν εὔνοιαν τῶν ἀρχομένων. ταύτης μὲν γὰρ παρούσης καὶ στρατηγούσης, κἀκεῖνα χρήσιμα, καὶ μεγάλην ῥοπὴν πρὸς πάντα παρέχει. ἀνῃρημένης δὲ τῆς εὐνοίας, ἄμεινον συναναιρῆσθαι κἀκεῖνα. θᾶττον γὰρ ἐπὶ τὴν μισουμένην ἀρχὴν, ἢ κατὰ τῶν πολεμίων ἐθέλει ταῦτα κινεῖσθαι.

Plurifariàm consilium hastis cedit, sæpenumero etiam & rationis vis belli procinctus, exercitúsque hostiles magnos elusit: sint ergò manus cum consilio junctæ, duplex tropæum. Laborem spes roborat, & spem labores progignunt. Tu autem ritè Deum veneratus, noli aliquid omittere quod agendum est; ità spem tibi metes & magnam & amplam.

ριδʹ. Λόγους μὲν ἤλεγξαν δόρατα πολλάκις. ἤμβλυνε δὲ πολλαχοῦ καὶ λόγων ἰσχὺς, ὀξύτατα πολέμου, καὶ μεγάλων ὁρμὴν διέλυσε στρατευμάτων. χεῖρες ἄρα μετὰ λόγου, διπλοῦν τρόπαιον. πόνους ἐλπίδες νευροῦσι, καὶ πόνοι τίκτουσιν ἐλπίδας. σὺ δὲ ἐξιλεούμενος τὸ θεῖον, μηδενὸς ἀμέλει τῶν πρακτέων, καὶ καλὰς καὶ μεγάλας ἐλπίδας θερίσεις.

Subvenire cujuslibet necessitatibus, animum regium decet & prudentem, ante alios, iis qui in calamitates inciderunt. solent enim illi, ad cętera, æternam beneficii collati memoriam conservare.

ριεʹ. Ἐπικουρεῖν ἐν οἷς ἕκαστος ἔχει χρείαν, ἀρχικῆς καὶ ἐχέφρονος διανοίας· μάλιστα δὲ τοῖς ἐν συμφοραῖς περιπεσοῦσι. μετὰ γὰρ τῶν ἄλλων, καὶ ἀείμνηστον συντηρεῖν εἰώθασε τὴν εὐεργεσίαν.

Subditorum felicitas summam Principis deprædicat cùm prudentiam, tum justitiam.

ριςʹ. Ἡ εὐδαιμονία τῶν ὑπεξουσίων, ἄκραν ἀνακηρύττει σύνεσιν καὶ δικαιοσύνην τῆς ἐξουσίας.

Deo causam asscribere æquum est eorum quæ prosperè gesseris, seu in privata, sive in publica vita. Fiet enim ità ut illum habeas libentiorem auxiliatorem, & ut Deo dilectus videaris: nec redarguere te quisquam possit, vel levitatis vel superbiæ; sed & invidiæ quasvis acies retusas & anfractas reddes.

ριζʹ. Περὶ ὧν ἂν εὖ πράξῃς, εἴτε ἐν τῷ οἰκείῳ βίῳ, εἴτε ἐν τῷ κοινῷ τῆς πολιτείας, τῷ Θεῷ ἀνατιθέναι δικαίου τὴν αἰτίαν. οὕτω γὰρ μᾶλλόν τε αὐτὸν ἐπίκουρον ἕξεις, καὶ θεοφιλὴς εἶναι δόξεις, καὶ κοῦφον σεαυτὸν καὶ ἀλαζονικὸν οὐκ ἐλέγξεις, καὶ τοῦ φθόνου δείξεις περιτεθραυσμένας τὰς ἀκίδας.

Hæc è multis pauca, apud Te (ô Tu partûs mei spiritualis verum & genuinum genema) amicitiæ & filiationis tanquam à Deo quædam symbola, & virtutis tabulas archetypas, depono, ut dum ad illas oculos converteris, & Te ad ipsas conformaveris & composueris, non difficulter intueri possis & animadvertere, qualesnam illæ sunt actiones, quæ in animo tuo facient pulchritudinem efflorescere; quæque itidem eandem, veluti maculæ quædam & sordes, in turpem & deformem effigiem solent alterare. Illas dum eluis, has dum inscribis, imaginem Tute Temet verè vivam & eximiam conversationis secundùm Deum ordinatæ exhibebis: quam & ego lubentissimè, & pii etiam omnes, cùm & oculis ve-

ριηʹ. Ταῦτά σοι ἐκ πολλῶν ὀλίγα (ὦ τῶν ἐμῶν πνευματικῶν ὠδίνων εὐγενὲς καὶ γνήσιον γέννημα) τῆς περὶ σὲ φιλίας καὶ υἱοθεσίας, οἱονεί τινα θεῖα συμβόλαια, καὶ ἀρετῆς ἀρχετύπους ἀνατίθημι πίνακας· εἰς οὓς ἀφορῶν, καὶ πρὸς ἐκείνους σεαυτὸν σχηματίζων καὶ διαμορφῶν, οὐ χαλεπῶς ἕξεις συνορᾷν, τίνες τε τῶν πράξεων ἀνθεῖν τὴν ἐν τῇ ψυχῇ παρασκευάζουσιν ὡραιότητα, καὶ τίνες αὐτὴν, ὥσπερ σπῖλοι καὶ ῥυπίδες, εἰς αἰσχρὰν ὄψιν καὶ ἀσχήμονα μετασκευάζουσιν. ὧν τὰς μὲν ἀπαλείφων, τὰς δὲ ἐγγραφόμενος, ἔμψυχον, ὡς ἀληθῶς, καὶ κάλλιστον θεοφιλοῦς πολιτείας σεαυτὸν ἐπι-

δειχθεὶς ἄγαλμα, καὶ ἥδιστον ἐμοὶ, καὶ πᾶσιν εὐσεβέσι καὶ θέαμα, καὶ διήγημα. Διὸ καὶ τὰς χεῖρας εἰς οὐρανοὺς ἐξαπλώσας, καὶ τὴν περὶ σὲ στοργὴν καὶ τὸν πόνον, καὶ τὴν εἰς Θεὸν ἀναφερομένην δόξαν, ἀνθ' ἱκετηρίας αὐτῷ προτείνας, ἐπεύχομαί σε, τῶν ἐλπίδων καὶ παραινέσεων ἐργάτην δόκιμον, καὶ πιστὸν φύλακα, γενέσθαι, καὶ εἴης μοι, δι' ἁπάσης ἰδέας κατορθωμάτων ἐπίσημος, καὶ περίβλεπτος· ἄκρος μὲν συνέσιν· μνήμην δ' ἀσφαλής· ἡδὺς ἐν λόγοις· τοὺς τρόπους ἡδύτερος· ἐράσμιος ἐντυχεῖν· τοῖς ἀεὶ συνοῦσιν ἐρασμιώτερος· κράτιστος τὸ παρὸν κρῖναι, καὶ ἀγαγεῖν εἰς διάταξιν· ὀξὺς τὸ μέλλον ἰδεῖν· προμηθὴς φυλάξασθαι· ἕτοιμος μεγάλας αὐτουργῆσαι πράξεις· ἑτοιμότερος τὸ κατορθωθὲν διασώσασθαι· δεινὸς μὲν τὸ συμφέρον κρύπτειν, κρείττων δὲ λανθάνειν, δεινότερος δὲ φωράσαι τοὺς ἐπηρεάζοντας· φοβερὸς μὲν τοῖς πολεμίοις· ποθεινὸς δὲ τοῖς ὑπηκόοις· ἀμφοῖν δὲ κοινὸς τὸ αἰδεῖσθαι καὶ θαυμάζεσθαι. κρείττων ἡδονῶν· ἥττων σωφροσύνης· ὀργῆς κύριος· πραότητος φίλος· ταχὺς θηρεῦσαι τὸ δίκαιον, ἀδέκαστος διανεῖμαι· γνώμην εὐσταθής· ταῖς ὑποσχέσεσι βέβαιος· γενναῖος ἐν φόβοις· ἄτολμος πρὸς πᾶσαν παρανομίαν· καὶ μηδεμίαν ῥᾳστώνην καρτερίας καὶ καλῶν πόνων ἀνταλλαττόμενος. εὐεργετεῖν πρόθυμος· κολάζειν ὀκνηρός· φιλίας ἐραστής· ἔχθρας πολέμιος· ἐλέους πηγή· οἰήσεως μείζων· ταπεινοφροσύνης ἐλαττούμενος· ὑπερόπτης πλούτου· πενίας ἐπίκουρος· ἀλήθειαν τιμῶν· ψεύδει μὴ σπενδόμενος· ἀταπείνωτος οὐκ εὐδοκιμῶν, εὐδοκιμῶν δὲ οὐ φυσιούμενος· γλώττης αὐτοκράτωρ· ἀκοῆς φύλαξ· ἁφῆς, καὶ τῆς ἄλλης αἰσθήσεως, ἀδυσώπητος ἐπιστάτης, καὶ μηδενὶ πάθει ἐνδιδοὺς, μηδὲ τοῖς ἐρεθισμοῖς κηλούμενος τῶν ὀρέξεων· καὶ σύμπαν εἰπεῖν, εἴης μοι πάσης ἀρετῆς, καὶ εὐσεβείας, οὐ τοῖς ὑπὸ σὲ μόνον ὑπογραμμὸς καὶ παράδειγμα, ἀλλὰ καὶ τῷ μετὰ σὲ παντὶ τῶν ἀνθρώπων γένει, καλὴ καὶ μεγάλη, καὶ καλὰ καὶ μεγάλα κατεργαζομένη, παραίνεσις. δι' ἃ σοὶ μάλιστα, καὶ ἡ τῶν οὐρανῶν

limus, tum etiam sermone usurpare. Ea propter manus in cœlum extendens, & meum erga Te amorem, labores susceptos, Divinámque exinde resultantem gloriam suppliciter Deo offerens, votis omnibus postulo, ut secundùm spes de Te conceptas opere ipso adimplens admonitiones nostras, & fideliter easdem custodias, itá ut per species singulas præclarorum operum illustris & excellens conspiciare: Ut prudentiâ summâ polleas, memoriâ valeas, fias suavis affatu, moribus suavior, congredientibus amabilis, magìs adhuc autem comitibus & amicis: Ut de re præsenti quæcunque prudenter valeas statuere, ordinare; & futurum acutè prospicere: cautus ad custodiendum, promtus & expeditus ad r s magnas aggrediendum, easdémq; consummatas possis & eodem statu conservare: Ut quod è re tua fuerit, studiosè occultes, nec latebris extrahare, sed speculaturos & vim facturos discooperias: sis terribilis hostibus, subditis desiderabilis, apud utrosque habeas & venerationem & admirationem: voluptates vincas temperantiâ, iræ dominere, sis amicus militiæ, celer in justitia indagunda, impartiarius in distribuendo, constans sententiâ, promissis fidus, generoso animo in terroribus, meticulosus ad omne contra leges: noli socordiam vel remissionem animi aliquam præferre laboribus & patientiæ justis: sis ad benefaciendum promtus, tardus ad puniendum, amator amicitiæ, inimicitiarum hostis, misericordiæ f s: opinionem de Te magnam nè concipias, humilitate Te minorem judica, divitias contemne, pauperibus auxiliator, veritatem colito, fœdus cum mendacibus ferire noli: nè dejiciaris animo, si gloriam non assequaris; sin autem assequeris, noli elatior esse: linguam coerce, aures custodi, tactui & cæteris sensibus moderator assistas non dimovendus, passioni nulli te victum trade, nec prurigine orexium delinitus sis: & ut uno verbo complectar omnia, omnigenæ virtutis & pietatis Te exemplar exhibe & delineationem; neque tuis solùm subditis, sed universo mortalium generi, qui vel post Te futuri sunt, ut rerum magnarum & præclarè gerendarum habeant Te egregium admonitorem. Ità autem Tibi regnum illud cœlorum in

æternum & inexplicabile, in ſortem hæreditatis haud auferendæ, in tabernaculum ſine ſucceſſore poſsidendum, in voluptatem & gaudium ſupra naturam, planéque divinum, nullâ non æternitate perfruendum, concedetur.

ἀνέκφραστος καὶ ἀΐδιος βασιλεία, εἰς κλῆρον ἀναφαίρετον, καὶ κατασκήνωσιν ἀδιάδοχον, καὶ ὑπερφυῆ καὶ θείαν τρυφὴν, καὶ ἀπόλαυσιν μὴ λυομένην, παραχεθήσεται.

¶ In Epiſtolam Photii primam, Notæ R. M.

Epiſtola ad Michaelem Bulgariæ Principem, de officio Principis. Hic eſt titulus à librariis, non, opinor, ab Autore præfixus: quanquam nè ſic quidem conſtat Inſcriptio. Nam in ſcriptis erat, non ἐπιστολὴ, ſed ἐκ τῆς ἐπιστολῆς. Ut videatur non tam integra Epiſtola, vel Liber potiùs, & quidem ſatis magnus, quam repræſentamus, quàm ex illa excerpta quædam continere, ab aliquo Lectore, vel fortaſſis ipſo Photio (qui delectabatur epitomis) in numerum atque ordinem coactus. Eſt autem, ſive erat Liber integer, ſive Epiſtola νουθετικὴ & διδακτικὴ, per omnia conformata Iſocratis illi ſcripto ad Nicoclem, cujus ſcopus ab Inſcriptione exhibetur, Τί ἔργον ἄρχοντος. Itaque inſcribit ipſe titulum, Πρὸς τὸν ἄρχοντα Βουλγαρίας, *ad Principem Gentis Bulgarorum.* Ità enim vocabantur Gentis illius, & omnium ferè barbarorum, Ductores, ſive Duces, ſive Principes; non autem erant Reges, ut ſemper in Baronio, per errorem interpretis ſui, nominatur hic ἄρχων. Gulielmus Bibliothecarius ad finem vitæ Anaſtaſii ait, *Dominus Michael, Princeps Bulgarorum,* & in excerptis apud ipſum Baronium, è Menologia, ex hiſtoriis Baſilii Cilicis & Theophanis, vel *Dux*, vel *Princeps* nominatur: ſed imprimis Baronii verſionem refellit, quod apud illum Bibliothecarium legitur, quòd *Principes Bulgarorum & literas eis & dona per Petrum alióſque direxerint.* Neque ſanè *Princeps* abſolutè, vel ſolus erat; fortaſſis erat cæteris eminentior, ſed cum aliis, Princeps. Ait enim, *Principes Bulgarorum.* Multos illi Principes, ut & aliæ è Septentrione Gentes, habuere, familiis diſtinctos, & familiis præfectos; ſed plerumque unum, ex illorum numero, de communibus ſuffragiis electum, cæteris, imprimis bello gerendo, & cœtus convocando, præficiebant: quales apud illos commemorantur Chrunnus, Zocus, Tetricus, qui relicto Principatu Conſtantinopolin abiit, ubi factus Chriſtianus Patricius item creatur, ad annum Domini 777. Præſens autem Princeps nomine Michaelis, ab origine prima, inter ſuos, vel in patria, Bogaris, non Michael dicebatur: verùm converſus ad fidem Chriſtianam, & baptiſmo illuſtratus, qui fuit in Paganiſmo Bogaris, ab Epiſcopo baptizante, qui ad eum miſſus fuerat Conſtantinopoli baptizandum, de nomine mittentis Imperatoris, Michaelis tertii, ſeu Porphyrogenitæ, Michael & ipſe dicebatur: hanc hiſtoriam Baronius fuſiùs exſequitur, ad annum 845. è Joanne Curopalata.

Βουλγαρίας. Erant Bulgari, aut Bulgæ, gens barbara, effera, pagana, Aquilonaris, quæ poſtrema penè omnium ab Aquilone, unde omne malum in Romanum Imperium inundavit, poſt alias è Scythia proluvies, irruperunt, & Romanum Imperium, à Conſtantino diviſum, in partes diſſectum, præſidiis deſtitutum, in ruinam dederunt, quos primus Conſtantinus Copronymus bello vicit; ſed non ità peſſundedit, quin reſumtis viribus poſtea Nicephorum Imperatorem profligatum occiderent, & caput ejus abſciſſum ludibrio exponerent. Cùm primùm irrumperent, Dardaniam occupabant: ſed deinceps Macedoniæ & Illyrici partes poſſederunt. De illis, ad religionem noſtram converſis, deinde certatum eſt inter Romanam & Conſtantinopolitanam ſedem, cujus ſubeſſent Juredictioni. De quo certamine Photius alicubi in Epiſtolis: qui vehementiùs ea de re contendebat; unde imprimis odio atque invidiâ apud Romanos laborabat. Bulgari dicebantur, à Bolga, ſive Volga flumine ingenti, etiam hodie notiſſimo; cujus erant accolæ cùm irrumperent in Imperium.

Epiſtolâ 1. ſect. 2. hiatus erat & defectus in noſtro codice poſt ἄνθρωπον: fortaſſis ſupplenda lacuna ad hunc modum, ἐλευθερώσασα, καὶ πᾶσαν ἐκείνης ἀχλὺν ἀποσκεδάσασα, δύναμιν αὐτοῦ τῷ κάλλει, &c.

Sect. 3. Δι' ἀμφοῖν τὸν σπουδαῖον καταρτίζεσθαι.] Ignatius in illa ad Epheſ. Ἀρχὴ ζωῆς, πίστις, τέλος δὲ, ἀγάπη· τὰ δὲ δύο, ἐν ἑνότητι γενόμενα, Θεοῦ ἄνθρωπον ἀποτελεῖ· τὰ δὲ ἄλλα πάντα εἰς καλοκἀγαθίαν ἀκόλουθά ἐστιν· οὐδεὶς πίστιν ἐπαγγελλόμενος ὀφείλει ἁμαρτάνειν, οὐ δὲ ἀγάπην κεκτημένος μισεῖν τὸν ἀδελφόν. Ubi τέλος non eſt tam *finis*, ut vertunt Interpretes, quàm τελείωσις *perfectio*. Idem beatus martyr iterum ait, Οἱ ἐπαγγελλόμενοι Χριστοῦ εἶναι, οὐκ ἐξ ὧν λέγουσι μόνον, ἀλλὰ ἐξ ὧν πράττουσι γνωρίζονται· ἐκ γὰρ τοῦ καρποῦ τὸ δένδρον γινώσκεται. Ἄμεινόν ἐστι σιωπᾶν καὶ εἶναι, ἢ λαλεῖν καὶ μὴ εἶναι.

Sect. 5. Ὦ καλὸν ἄγαλμα τῶν ἐμῶν πόνων.] Simile eſt illud, & planè genuinum, in fine παραινέσεως iſtius; ὦ τῶν ἐμῶν πνευματικῶν ὠδίνων εὐγενὲς καὶ γνήσιον γέννημα. Quaſi Photio prædicante Bogaris ille Bulgarorum princeps ad Fidem converſus fuiſſet. Quod non eſt ità, ſed illo fortaſſis procurante modum converſionis. Refert enim Joannes Curopalates apud Baronium, nam penès me liber non eſt, hoc modo, *Principis ſoror captiva Conſtantinopolin abducta, fit Chriſtiana; & poſtea domum reverſa, fratri Chriſtianorum myſterium commendat, & Fidei ſemen in ejus cor ſpargit.* Cúmque deinceps Bulgari ab ingenti fame premerentur, ad Deum Chriſtianorum per preces Princeps confugit, ídque Genti ſibi ſubditæ, ut facerent, imperat. Impetrato auxilio, fit Chriſtianus, & per Epiſcopum, ob id miſſum, baptizatur. Quod cùm Photii auſpiciis, & per ejus autoritatem fieret, utpote quòd eſſet P. C. illum ità vocat, tum γέννημα, tum ἄγαλμα, tum θρέμμα ſuum.

Sect. 6. Legendum, ὀκτὼ δὲ καὶ δέκα καὶ τριακόσιοι.] Tot enim, quod notiſſimum eſt, Epiſcopi convenerant in Concilio Nicæno.

Καὶ δὲ καὶ Σίλβεστρος τῆς Ῥωμαϊκῆς Ἐκκλησίας.] Vult Concilium Nicænum ſub Silveſtro & Julio celebratum: quod eſt falſiſſimum. Julius enim ſucceſſit Silveſtro; at Silveſter Concilio ſupervixit plures annos. Verùm non Photius ſolus hunc errorem erravit, ſed & Autor ſynopſis Synodorum per Hæſchelium editus. Et illum errorem altero inſigniori auget, qui decimo Conſtantini anno affirmat Concilium celebratum. Hæc enim ait, Καὶ ἡ μὲν πρώτη σύνοδος γέγονεν ἐν Νικαίᾳ τῷ δεκάτῳ ἔτει τῆς βασιλείας Κωνσταντίνου τοῦ μεγάλου βασιλέως, ὃς ἐβασίλευσεν ἔτη λή.. Quod utrumque falſum eſt. ὑπῆρχον δὲ πατέρες τ'. ί. ή. Synodo principem locum obtinuiſſe ibi dicuntur Silveſter Romanus, Alexander Conſtantinopolitanus, Alexander Alexandriæ, Euſtathius Antiochiæ, & Macarius Hieroſolymitanus, Epiſcopi: Sozomen Lib. 1. cap. 16. Julium ſuggerit. Quod & ipſum falſum eſt. Ibidem, Βίτωνα καὶ Βικέντιον] Vult Vitum & Vincentium: ſed Græci facilè errare ſolent in nominibus Latinis. apud Sozom. legimus, Ἰούλιος δὲ ὁ Ῥωμαίων ἐπίσκοπος, διὰ γῆρας ἀπελιμπάνετο, παρῆσαν δὲ ἀντ' αὐτοῦ Βιτωτῶ καὶ Βικέντιος, τῆς αὐτῆς ἐκκλησίας πρεσβύτεροι. Inepta lectio eſt Βιτωτῶ: legendum Βίτων τε.

Sect. 9. Φεσσπιανῷ.] Vult, quod verum eſt, ſecundam Synodum univerſalem Conſtantinopolitanam in urbe

urbe illa regia conveniſſe. In qua Synodo, ut Synopſis habet, ἠγῦντο Δάμασος Ῥώμης, Νεκτάριος Κωνςαντινουπόλεως, Κύριλλος Ἱεροσολύμων, &c. Quos Ἐξάρχυς vocat Photius. ſed Damaſus non affuit, nè quidem per legatos; nec Timotheus, niſi continuatâ Synodo, turbo & flabellum illius tempeſtatis, quâ dejectus throno Gregorius Nazianzenus, qui hìc, Θεολογίας ἐξ ἔργων ἐπώνυμος, dicitur. Nazianzeni cauſam ità breviter & verè expedit Synopſis. *Gregorius Theologus obtinens thronum Conſtantinopolitanum. qui cùm in illa ſancta Synodo diviſio oriebatur, ſponte ſuâ, in Synodo throno renunciavit, & habitâ oratione, quâ cùm fidem profiteretur, tum abitum pararet, in præſentia Patrum illorum centum & decem exceſſit Synodo, & migravit Nazianzum.* In cujus locum impii illi, qui amotionis cauſa exſtiterant, Nectarium Laicum, illum cujus meminit Photius, contra Canones intruſerunt.

Sect. 10. Lego & diſtinguo, πῶς ἐρευνᾷ τὰ βάθη τῦ Θεῦ, κρύφαν ἀπ' αὐτῦ. nam alludit ad illud Apoſtoli, 1. Cor. 20. 10.

Sect. 12. Ὀυκ εὐαγῶς ἐγκεχείρισται.] Inauſpicatò, alioquin perperam haud aſſcendit Epiſcopatum, ſed per Canonicam, ſi quis alius, electionem. *Poſt exceſſum Siſinnii*, inquit Socrates, lib. 7. cap. 27. *viſum eſt imperatori propter homines inanium rerum appetentes, neminem ex iſta Eccleſia, licet aliqui Philippum, complures Proclum deſignatum cuperent, ad Epiſcopatum illum eligere, ſed advenam Antiochiâ arceſſere.* Deinde hominem accerſitum ità deſcribit, *Erat illic Neſtorius ex Germania oriundus, voce imprimis ſonorâ, linguâ diſertâ, & ob eam cauſam tanquam ad docendum populum admodum accommodatus.* Accerſitur igitur, & Canonicè electus enthronizatur. Qualis autem ille poſtea in Epiſcopatu exſtiterit, notum eſt.

Ibid. Ἐκ Διοδώρυ, καὶ Θεοδώρυ.] Intelligit Mopſeveſtanum & Tarſenſem Epiſcopos, qui & doctiſſimi, & orthodoxi erant, aut habebantur, præcipuè Diodorus, & à Baſilio, Chryſoſtomo ac aliis laudantur, nec niſi mortui in ſuſpicionem hæreſeos venere, & ſequiorum ſeculorum calamis punguntur; qui mihi non perſuadent fuiſſe Hæreſeos labe infectos.

Ibid. Χειςὸν γὰρ τὸν ἕνα Θεῦ ὑόν.] Ità legendum. Nam ſtatim ait, τῦτον δὲ τὸν ἕνα· ſed addendum eſt Θεοῦ, hoc modo, Χειςὸν γὰρ τὸν ἕνα Θεοῦ ὑὸν, *Chriſtum unicum Dei Filium.* ſtatim repono, ὡς καὶ τὺς λογισμούς. Et mox, τὸν νεὸν Θεοδόσιον, quem alii μικρὸν vocant, hoc eſt, *juniorem*, qui regnavit annos 42. In hac Synodo, ex æmulatione, & ambitione, certatum eſt uſque ad Anathematiſmos, inter Cyrillum Alexandrinum, & Joannem Antiochenum, à cujus partibus ſtabat doctiſſimus Theodoretus, hoc eſt inter Epiſcopos Orientales & Ægyptiacos.

Sect. 13. Ἀκροατήριον.] Ità priùs vocavit, ob eandam cauſam, Conſtantinopolin φροντιςήριον, propter loci celebritatem, à viris eruditione celebribus celebratam.

Sect. 14. Θεσμὺς ἐγκεχρισμένυς.] Annotarat doctiſſimus D. Lindſell, ὁ μακαρίτης, legendum ſibi videri ἐγκεχειρισμένυς, appoſitè quidem, & magis ex uſu Linguæ. ſed Photius ſolet interdum καινοτομεῖν & καινοφωνεῖν. quocirca codicis ſcripturam admitto, ut ſit ἐγκεχρισμένος, *inunctus*. Ad finem ſectionis fortè legendum, & diſtinguendum, σαφῶς τε καὶ ἀναντιῤῥήτως λέγω, &c.

Sect. 15. Legendum αὐτῇ, non αὐτή.] Eſt autem τέμενος, quod ait Heſychius, πᾶς ὁ μεμερισμένος τόπος τινὶ εἰς τιμήν. Idem quod Latinis *Templum*, locus non ſolùm ſanctus ſed & ſacer, ut ſepulcrum. Recentiores Græci ſic Eccleſiam nominant, ſed nunquam vetuſtiores.

Βιγίλιος τῆς Ῥώμης.] Vigilius Papa Conſtantinopolin adiit, vocante Juſtiniano, & Synodo interfuit. Sed cùm Acta non probaret, ſeceſſit Chalcedonem, ſed ab Imperatore Hæretico & imperioſo exagitatus, atque in exilium miſſus, tandem elanguit & ſubſcripſit. Statim lego non ἐκείνῳ, ſed ἐκείνων, hoc eſt, ζιζανίων. pro ληθῦσι, repoſuit Dominus Herefordenſis ληρῦσι, quod rectum eſt.

Sect. 16. Ἀλλὰ καὶ περί γε τύτων.] Rectè, ſi includantur parentheſi. paulò pòſt repone Ἀπαμείας. nam divulſio exſcriptoris & ἀπ' Ἀμείας inepta eſt. At περί γε τύτων, quod ait, non eſt verum de illa Synodo, nedum de Vigilio. nam, quod habetur in ſequentibus, Agapetus, qui Silverium prædeceſſorem Vigilii anteceſſit, Anthimum Trapezuntis Epiſcopum, Theodorâ Auguſtâ procurante, Conſtantinopolin tranſlatum, & Hæreticum, extra Synodum quintam Oecumenicam depoſuit, cùm ad Juſtinianum Auguſta à Theodato Gothorum Rege, & Italiæ Domino, ablegaretur.

Sect. 17. Θεόδωρος καὶ Γεώργιος.] Forſan addenda vox ἄλλος, ad diſtinguendum hunc Georgium ab alio prænominato, qui cum Patriarchatu Conſtantinopolitano fuit. Synopſis Græca ſeptimarum Synodarum imperfecta eſt. Nam præter Georgium Conſtantinopolitanum, Theophanem Antiochenum, & Petrum Monachum, non nominat alium convenarum. Sed & Photius negligentior fuit, qui Theophanem prætermiſit, & Petrum quaſi τοποτηρητὴν Epiſcopi Alexandrini citat, cùm per illa tempora vacaret ſedes. Erat igitur ab Eccleſia miſſus, & non Epiſcopi τοποτηρητής. De Legatis Romanæ ſedis pleniora ſunt quæ in præambulis ſextæ Synodi leguntur, ex literis Pogonati Imperatoris ad Georgium P. C. *Agatho ſanctiſſimus, nuper ordinatus Papa in Apoſtolica ſede prædictæ antiquæ Romæ, hujusmodi noſtros pios ſuſcipiens apices deſtinavit in præſenti propriam ejus indutos perſonam Theodorum & Georgium Deo amabiles Presbyteros, & Joannem Deo amabilem Diaconum; ex perſona autem totius ejus Concilii Joannem & Abundantium & Joannem venerabiles Epiſcopos cum cæteris Clericis & Monachis.* Intelligit autem Concilium Romæ habitum per Agathonem, anno DCLXXX, contra Monothelitas, ubi convenerant Epiſcopi CXXV. Ibid. Σέργιον. Cui Synopſis addit Petrum. Hìc maximalis vertitur de Honorio Papa, an fuerit Monothelita. Rem tractat omnium accuratiſſimè doctiſſimus Raynoldus, in diſſertatione cum Harto. Ibid. διαῤῥήξαντες, *dirumpentes.* Quinam verò erant? an intelligit prænominatos? at illi nullam impietatis catenam diruperunt. ſaltem ſcriberetur, διαῤῥήξαντας, ut mox ἀποπλανήσαντας. quòd ſi legamus διαῤῥήξαντες, referenda vox eſt, ad ἐποιήσαντο, per immane quoddam hyperbaton: & illa, ὐ μὴν ἀλλὰ uſque ad μελετήσαντας, ſunt parentheſi includenda. Eſt autem Pharam, cujus loci Theodorus Epiſcopus dicitur, Πόλις, Stephano autore, μεταξὺ Αἰγύπτυ καὶ Ἀραβίας. De Polychronio, ſingulare eſt quod relatum in Synopſi, Σὺν αὐτοῖς δὲ καὶ Πολυχρόνιον, τὸν νηπιόφρονα γέροντα, τὸν νεκρὺς ἐγεῖραι ἐν τῇ τοιαύτῃ πλάνῃ τῆς αἱρέσεως μεγαλοῤῥημονήσαντα, ἀδοξίας τετυχόντα, καὶ ἐν τῷ μὴ ἐγεῖραι μειζόνως τὴν βλασφημίαν τῆς τοιαύτης αἱρέσεως θριαμβεύσαντα. Erat ergò Polychronius ille impoſtor mirabiliarius, quales multi apud ſequiores.

Sect. 18. Ἀυτή.] nempe *Synodus.* Sed malim αὕτη, *hæc ipſa Synodus*; niſi forſan utrâque lectione melior αὖθις, id eſt, *ſecundâ vice.* Ibid. legendum in plurali, ἐςολίζοντο. Nam Irene regnabat cum Filio.

Sect. 19. Τέλη.] Verti, *Fines*; fortaſſis autor intellexit Ordines, turmas, ut ſint ςρατιωτικὰ τάγματα, veritatem, quaſi prælio conſerto, oppugnantia. Eruditè uſum Imaginum docet, & mentem illius ſeptimi Concilii apperit contra Iconoclaſtas, quas extra invitationem non proceſſit.

Sect. 2. poſt τελεσαμένη, ἀπὸ τῦ κοινῦ ſubintelligenda *Synodus*, quæ vox rectiùs adderetur σαφηνείας gratiâ. Κροσσωτοῖς χρυσέοις.] Alludit ad Pſal. 45. 15. Πᾶσα ἡ δόξα τῆς θυγατρὸς βασιλέως ἔσωθεν ἐν κροσσωτοῖς χρυσέοις περιβεβλημένη. quæ poſtrema vox hìc deeſſe videtur.

Sect.

Sect. 27. Ἡ τύραννος.] aut delendum ἡ, aut legendum τυραννεῖν, & non τύραννος: ubique τύραννος ἐξάσης, non sunt ἀσυνδέτως copulandi.

Sect. 40. Ἡ ἐπιστροφή.] Puto legendum, ἡ τῶν ἐκ εὐαγῶς, &c. ἡ ἐπιστροφή. Id enim requirit veritas cognita, ut ad ipsam revertamur, quæ mirabiles sui amores solet excitare.

Sect. 56. Τὸ φθονεῖσθαι.] Hoc est, ea agere quæ nec odium, nec miserationem, sed invidiam procurant, nimirum res præclaræ & illustres. Καὶ γάρ τοι ὅστις τούτοις φθονεῖ, inquit Lysias, οὓς οἱ ἄλλοι ἐλεοῦσι, τίνος ἂν ὑμῖν οἱ τοιοῦτοι ἀποσχέσθαι δοκεῖ πονηρίας; Appositè Statius Papinius,

Quisnam impacata consanguinitate locavit
Fortunam invidiámque? Deus quis jussit iniquus
Æternum bellare Deas? nullámne notavit
Illa domum, torvo quam non hæc lumine figat
Protinùs, & sæva perturbet gaudia dextra.

Sect. 62. Καὶ τοῖς ἐπὶ σκηνῆς.] Inepta lectio. Legendum & distinguendum, καὶ τῆς ἀπὸ σκηνῆς ὑποκρίσεως τὸν ἆθ. &c. Sequenti sect. restituendum, Ὅτε τὰς ἑαυτοῦ ἐπισκοπῶν πράξεις λόγον ἑκάστης ὑποσυνειδότι, &c.

Sect. 76. Χαλεπῶν παθῶν.] In margine annotatum erat, nescio an è libris aut conjectura, χαλεπά, hoc modo, ἐπιβουλευθεὶς ὑπὸ τῶν οἰκείων, καὶ χαλεπὰ παθὼν προὔδωκεν, sed omnino malé. Legendum est ut edidimus & vertimus. Ibid. Πατρίδος ἔθος.] Nam Bulgari, ut Barbari plerique omnes, & nostris temporibus nuper inventi Occidentales Indi, aurum non curabant, τὸ ἀρχαῖον ἔθος aureæ illius, & antiquæ, ac fabulosæ ætatis, ut in plerisque illibatum custodientes. Itaque in pace plerumque erant. Χρυσὸς enim ἅπαντα τὰ ἀνθρώπινα στρέφει. Tibull. Lib. 1. Eleg. 10.

Divitis hoc vitium est auri; nec bella fuerunt
Faginus adstabat cùm scyphus ante dapes:
Non acies, non vallus erat, somnúmque petebat
Securus varias dux gregis inter oves.

Sect. 78. Τὸ δὲ ὀλιγωρίας.] Imò non est συμπαθῶς φέρειν, sed ἀναλγήτως. ad illud ergò, non ad prius referenda ἀπόδοσις.

Sect. 79. Ἐχθροὺς ὁμοφύλους.] Hoc verum est. Nam ἐχθροὶ sunt homines; ergò ὁμόφυλοι. Legerem tamen libenter, ὡς ὁμοφύλους, hoc est, *tanquam domesticos*, nam id Divina lex præcipit.

Sect. 95. Πολυγαμία.] Retinui vocem, quia est ambigua. sed hoc in loco putem, non significare pluribus simul uxoribus uti, ut Jacob, David, Herodes, alii olim utebantur, sed ad tertias quartásve nuptias progredi. Rem mali ominis & nominis in Ecclesia; sed, proh pudor, ab iis usurpatam, qui καθαρότητα affectant hodie.

Sect. 96. Δεσποτικῶν ἐντολῶν.] Intelligit illud Domini de intuitu mulieris ad illam concupiscendam, quod alibi in epistolis explicat. Ἐκ γὰρ τοῦ ὁρᾶν γίνεται τὸ ἐρᾶν, *Ut vidi ut perii! ut me malus abstulit error!* hìc oculi dicuntur δᾳδοῦχοι ἔρωτος, *amoris lampadiferi.* Hinc illud Philemonis, Ὁρῶσι πάντες πρῶτον, εἶτ' ἐθαύμασαν, εἶτ' ἐπεθεώρησαν, εἶτ' εἰς ἐλπίδα ἐνέπεσαν. οὕτω γίνεται ἐκ τούτων ἔρως.

Sect. 111. Confusa est hæc & hians, ut aliàs quoque oratio, per totam hanc sectionem. Hoc autem vult, se scire ubi πράξεις ἄθεσμον incubuere eos qui inexspectatò terrefacti sunt, non tantùm quibus incubuerant, sed & etiam spectatores, cùm quietè ferrent, excussisse onus. illa porrò, ἀλλὰ δὲ τοὐναντίον, vel corrupta sunt, vel certè σολοικά, ut ἕκαστος & πᾶς ἀνήρ. Mihi sine libris melioribus hæc sunt conclamata: sensum & εὐρυθμίαν extundat qui potest.

Epist. 2.

Encyclica epistola ad Archiepiscopales thronos per Orientem obtinentes, Alexandrinam scilicet, & cæteros, in qua de capitibus quibusdam dubiis solutiones meditatur, & quòd non licet dicere, Spiritum procedere à Patre & à Filio, sed è Patre solo.

NOndum illi Malo, ut videtur, abunde erat improbitatis satietas; nondum adinventionum & machinationum terminus, quas ab ipso rerum exordio in humanum genus censuit commovendas. Sed & ante Domini nostri incarnationem hominem seductum in peregrinas, legibus contrarias, & generi incongruas actiones per varias fraudes impulsum seducebat, unde suam tyrannidem vehementiùs promovit, & ab illo tempore, sexcentis erroribus & in-

Ἐπισ. β'.

Ἐγκύκλιος ἐπιστολή, πρὸς τοὺς τῆς ἀνατολῆς ἀρχιερατικοὺς θρόνους, Ἀλεξανδρείας φημί, καὶ τῶν λοιπῶν, ἐν ᾗ περὶ κεφαλαίων τινῶν διάλυσιν πραγματεύεται· καὶ ὡς οὐ δεῖ λέγειν, Ἐκ τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, τὸ πνεῦμα προέρχεσθαι, ἀλλ' ἐκ τοῦ πατρὸς μόνον.

ΟΥκ ἦν ἄρα, ὡς ἔοικεν, κόρος τῷ πονηρῷ τῶν κακῶν, οὐδέ τι τῶν ἐφευρημάτων καὶ μηχανημάτων πέρας, ἃ κατὰ τοῦ ἀνθρωπίνου γένους ἐξ ἀρχῆς ἀνακινεῖν ἐμελέτησεν· ἀλλὰ μυρίαις μὲν ὅσαις ἀπάταις, πρὸ τῆς ἐν σαρκὶ τοῦ δεσπότου παρουσίας, τὸν ἄνθρωπον ὑπηγάγετο εἰς ἀλλοφύλους καὶ παρανόμους ἀποσυκολήσας πράξεις· ἐξ ὧν καὶ τὴν καθ' αὑτοῦ τυραννίδα, κατὰ κράτος ἀνεδήσατο· μυρίαις δὲ καὶ μετὰ ταῦτα πλάναις, καὶ δε-

λεάσμασιν

λεάσμασιν, ὑποσκελίζειν καὶ παρασύρειν, τοὺς αὐτῷ πειθομένους, οὐ διέλιπεν. Ἐντεῦθεν Σίμωνες, καὶ Μαρκίωνες, Μοντάνοι τε, καὶ Μάνητες, καὶ ἡ ποικίλη καὶ πολύτροπος τῶν αἱρέσεων θεομαχία, ἐπλήθυνεν. Ἐντεῦθεν Ἄρειος, καὶ Μακεδόνιος, καὶ Νεστόριος, Εὐτυχής τε καὶ Διόσκορος, καὶ τὸ λοιπὸν τῆς ἀσεβείας σύνταγμα· καθ' ὧν αἱ ἅγιαι καὶ οἰκουμενικαὶ συνεκροτήθησαν ἑπτὰ σύνοδοι, καὶ τῶν κατὰ τόπους, ἱερῶν καὶ θεοφόρων ἀνδρῶν συνελέγη τὰ συστήματα, τὰς πονηρὰς παραφυάδας τῇ μαχαίρᾳ τοῦ πνεύματος αὐτορρίζους ἐκθερίσαντες, καὶ καθαρὸν παρασκευάσαντες ἀναφυῆναι τῆς ἐκκλησίας τὸ λήϊον.

β'. Ἀλλὰ τούτων ἐκ ποδῶν γεγενημένων, καὶ σιγῇ καὶ λήθῃ παραδεδομένων, ἐλπὶς ἀγαθὴ καὶ βαθεῖα τοῖς εὐσεβέσιν ὑπετρέφετο, μὴ ἄν ποτε καινοτέρων δυσσεβημάτων ἐφευρετὰς γενέσθαι, ἐν πᾶσιν, οἷς ἐπείρασεν ὁ πονηρὸς, εἰς τοὐναντίον αὐτῷ τῶν βουλευμάτων περιτραπέντων· μήτε μὴν τῶν ἤδη κατάκρισιν συνοδικῶς δεδεγμένων, ὑπερασπιστάς τινας, καὶ προμάχους ἀναφανῆναι, τῇ καταστροφῇ, καὶ τῷ πάθει τῶν ἀρξάντων, καὶ τῶν εἰς μίμησιν ἐκείνων ἐλθεῖν μελετώντων, ἀνακοπτομένων· καὶ ταύταις μὲν ταῖς ἐλπίσιν ὁ εὐσεβὴς λογισμὸς ἐπανεπαύετο· μάλιστα δὲ κατὰ τὴν βασιλεύουσαν πόλιν, ἐν ᾗ πολλὰ, Θεοῦ συνεργείᾳ, τῶν ἀνελπίστων κατορθοῦται· πολλαὶ δὲ γλῶσσαι, τὴν προτέραν διαπτυσάμεναι μυσαρότητα, τὸν κοινὸν ἁπάντων πλάστην, καὶ δημιουργὸν, μεθ' ἡμῶν ὑμνεῖν ἐδιδάχθησαν· ὥσπερ ἀπό τινος ὑψηλοῦ, καὶ μετεώρου χώρου, τὰς τῆς ὀρθοδοξίας πηγὰς, τῆς βασιλίδος ἀναδιδούσης, καὶ καθαρὰ τῆς εὐσεβείας τὰ νάματα, εἰς τὰ τῆς οἰκουμένης διαρρεούσης πέρατα, καὶ ποταμῶν δίκην ἀρδευούσης τοῖς δόγμασι τὰς ἐκεῖσε ψυχὰς, αἵτινες, χρόνος πολὺς ἐξ οὗ, καταξηρανθεῖσαι τοῖς τῆς ἀσεβείας, ἢ ἐθελοθρησκείας, ὑποκαύμασι, καὶ εἰς ἐρήμους καὶ ἀγόνους ἀποχερσωθεῖσαι, ὅμως τὸν τῆς διδασκαλίας ὄμβρον ὑποδεξάμεναι, τὸ Χριστοῦ γεώργιον καρποφοροῦσιν ἐνευθηνούμεναι. Καὶ γὰρ οἱ τὴν Ἀρμενίαν οἰ-

eſcationibus delinitos, ſibi qui ſunt obtemperantes, ſupplantare & aliorſum transferre ſategit. Hinc orti Simones, Marciones, Montani, Manetes; hinc hereſium variegata & multiformis in Deum pugnantium ordinatio multiplicata fuit. Hinc Arius, Macedonius, Neſtorius, Eutyches, Dioſcorus, & cæteri de conventibus impiorum, contra quos ſeptem ſancta generalia illa Concilia, nec non ſanctorum & divinorum virorum per loca diverſa, conſeſſio colligebantur, ut impietatis iſtos ſtolones cultro ſpirituali radicitus exſtirparent, & campum Eccleſiæ ſativum purum atq; impermixtum curarunt eﬄoreſcere.

Iſtis autem de medio ſublatis, ac ſilentio & oblivioni traditis, præclara & profunda ſpes bonis ſubinnutrita affulgebat, futurum ut nulli deinceps novarum impietatum exſiſterint adinventores, cùm in omnibus, quorum ſumſerat experimentum diabolus, conſilia ejus ceſſiſſent in contrarium. Nec illorum dogmatum quæ jam ſynodicâ condemnatione cenſuram meruerant, aliquos rebantur hyperaſpiſtas prodituros aut propugnatores, quos nimirum exitus, & pœna autorum, & qui deinceps in eorum imitationem, ducti exemplo, erant ſucceſſuri excuderat. Atque hiſce quidem cogitationibus piorum ratiocinia acquieſcebant: Imprimis autem apud regiam urbem, in qua per Dei cooperationem multa præter ſpem præclarè geruntur; multæ linguæ vetuſtam conſpuentes illam fœditatem, communem omnium fabricatorem, & creatorem, nobiſcum hymnis concelebrare edocti ſunt. Ità veluti ab excelſo quodam & eminentiori loco, fidei fontes orthodoxæ regia urbs emittit, nec non puriſſimos pietatis latices in cunctos mundi terminos decurrentes, qui non aliter quàm rivi ſolent, dogmaſi irrigant hominum ibi degentium animas, quæ à longo temporis tractu æſtu & conflagratione vel impietatis, vel ſpontanei cultûs, exaruerant, atque ità in ſolitudines & infructuoſum ſolum ſtereliverant; qui tamen imbribus doctrinæ ſanæ ſuſceptis, Chriſti coloniam, culturâ lætificatam, fructibus adornant. Nam qui incolunt Armeniam, Jacobitarum impietate

pietate impediti, contra rectæ pietatis prædicationem audaciùs ſe gerentes, ex eo tempore, quo ſancta & numeroſa patrum noſtrorum Synodus apud Chalcedonem convenerat, veſtris nobiſcum precibus in auxilium conſpirantibus, longum illum errorem à ſe repellere valuere; ità ut hodie Armeniorum natio ſincero & orthodoxo more Chriſtianum cultum profiteatur, Eutychetem, Severum, Dioſcorum, & Petros revera illos Petrobolos jaciendis in Eccleſiam lapidibus, Julianum Halicarnaſſenſem, necnon univerſam ipſorum variè diffuſam diſperſionem, ut & Catholica Eccleſia, exſecretur, & indiſſolubilibus anathematum nexibus ſuppoſuerit conſtrictos.

Sed & inſuper barbara Bulgarorum gens, & Chriſto inviſa & infeſta, in tantam manſuetudinem & Dei cognitionem convertitur, ut à patriis diabolicíſque orgiis recedentes, & Paganicæ ſuperſtitionis errorem excutientes, præter omnem exſpectationem in fidem Chriſtianam inſiti tranſierunt.

Sed ô improbum, invidum Deo, inviſum conſilium & incœptum! Talis enim narratio, Evangelii vel boni nuncii argumentum quæ futura eſſet, in dejectionem vultûs commutatur, delectatio & gaudium in luctum & lamentum abiere. Nondum enim gens illa per biennium rectam Chriſtianorum religionem amplexabatur, cùm impii quidam homines & exſecrandi, portenta, (vel quo illos titulo Chriſtianus inſigniat) homines è tenebris prorepentes (erant enim exorti ab Occiduis partibus) heu quomodo reliqua perſequi potero? iſti inquam in gentem, novella quorum pietas & nuper conſtituta, tanquam fulgur, terræ motus, ſeu copioſa grando; aut ut propriùs, quod accedit ad rei veritatem, dicam, tanquam aper agreſtis vineam Domini dilectam, nuper conſitam inſilientes, pedibus & dentibus, hoc eſt ſemitis quibuſdam politiæ turpis, & dogmatum depravatorum, quæ illorum erat audacia, deprędantes devaſtabant; omni cum fraudulentia à ſanis & puris dogmatibus, & à fide inculpata Chriſtiano-

κοῦντες, τῷ τῶν Ἰακωβιτῶν ἐνισχημένοι δυσσεβήματι, καὶ πρὸς τὸ ὀρθὸν τῆς εὐσεβείας ἀπαυθαδιαζόμενοι κήρυγμα, ἀφ' οὗπερ ἡ πολυάνθρωπος ἐκείνη καὶ ἁγία τῶν πατέρων ἡμῶν κατὰ Χαλκηδόνα συνεκροτήθη σύνοδος, τῶν ὑμετέρων εὐχῶν ἡμῖν ἐπαμυνόντων, τὴν μακρὰν ἐκείνην πλάνην ἀποθέσθαι ἐνεδυναμώθησαν· καὶ λατρεύει σήμερον, καθαρῶς καὶ ὀρθοδόξως, ἡ τῶν Ἀρμενίων λῆξις τὴν χριστιανῶν λατρείαν, Εὐτυχῆ τε, καὶ Σεβῆρον, καὶ Διόσκορον, καὶ τοὺς κατὰ τῆς εὐσεβείας πετροβόλους Πέτρους, καὶ τὸν Ἁλικαρνασσέα Ἰουλιανόν, καὶ πᾶσαν αὐτῶν τὴν πολύσπορον διασποράν, ὡς ἡ καθολικὴ ἐκκλησία, μυσαττομένη, καὶ δεσμοῖς ἀλύτοις τοῦ ἀναθέματος ὑποβάλλουσα.

Ἀλλά γε δή, καὶ Βουλγάρων ἔθνος βαρβαρικόν, καὶ μισόχριστον, εἰς τοσαύτην μετέκλινεν ἡμερότητα καὶ θεογνωσίαν, ὥστε τῶν δαιμονίων καὶ πατρῴων ἐκστάντες ὀργίων, καὶ τῆς Ἑλληνικῆς δεισιδαιμονίας ἀποσκευασάμενοι τὴν πλάνην, εἰς τὴν τῶν Χριστιανῶν παραδόξως μετενεκεντρίσθησαν πίστιν. γʹ.

Ἀλλ' ὢ πονηρᾶς καὶ βασκάνου καὶ ἀθέου βουλῆς τε καὶ πράξεως. ἡ γὰρ τοιαύτη διήγησις, εὐαγγελίων οὖσα ὑπόθεσις, εἰς κατήφειαν μετατίθεται, τῆς εὐφροσύνης καὶ χαρᾶς εἰς πένθος τραπείσης καὶ δάκρυα. Οὔπω γὰρ ἐκείνου τοῦ ἔθνους, οὐδ' εἰς δύο ἐνιαυτούς, τὴν ὀρθὴν τῶν Χριστιανῶν τιμῶντος θρησκείαν· ἄνδρες δυσσεβεῖς καὶ ἀποτρόπαιοι (καὶ τί γὰρ οὐκ ἄν τις εὐσεβῶν τούτους ἐξονομάσειεν;) ἄνδρες ἐκ σκότους ἀναδύντες (τῆς γὰρ ἑσπερίου μοίρας ὑπῆρχον γεννήματα) οἴμοι πῶς τὸ ὑπόλοιπον ἐκδιηγήσομαι; οὗτοι, πρὸς τὸ νεοπαγὲς εἰς εὐσέβειαν καὶ νεοσύστατον ἔθνος, ὥσπερ κεραυνὸς ἢ σεισμὸς ἢ χαλάζης πλῆθος, μᾶλλον δὲ οἰκειότερον εἰπεῖν, ὥσπερ ἄγριος μονιὸς ἐμπηδήσαντες τὸν ἀμπελῶνα κυρίου, τὸν ἠγαπημένον καὶ νεόφυτον καὶ ποσὶν καὶ ὀδοῦσιν, ἤτοι τρίβοις αἰσχρᾶς πολιτείας, καὶ διαφθορᾷ δογμάτων, τόγε εἰς τόλμαν ἧκεν τὴν αὐτῶν, κατανεμησάμενοι ἐλυμήναντο· ἀπὸ γὰρ τῶν ὀρθῶν καὶ καθαρῶν δογμάτων, καὶ τῆς τῶν Χριστιανῶν ἀμωμήτου πίστεως, παρα- δʹ.

θείρειν τούτους, καὶ ὑποσπᾶν, κατεπανουργήσαντο.

ε'. Καὶ πρῶτον μὲν αὐτοὺς ἐκθέσμως, εἰς τὴν τῶν Σαββάτων νηστείαν μετέστησαν. Οἶδε δὲ καὶ ἡ μικρὰ τῶν παραδοθέντων ἀθέτησις, καὶ πρὸς ὅλην τοῦ δόγματος * ἐπιρρίψαι καταφρόνησιν. Ἔπειτα δὲ τὴν τῶν νηστειῶν πρώτην ἑβδομάδα, τῆς ἄλλης νηστείας περικόψαντες, εἰς γαλακτοποσίας, καὶ τυροῦ τροφὴν, καὶ τὴν τῶν ὁμοίων ἀδηφαγίαν καθείλκυσαν. Ἐντεῦθεν αὐτοῖς τὴν ὁδὸν τῶν παραβάσεων ἐμπλατύνοντες, καὶ τῆς εὐθείας τρίβου καὶ βασιλικῆς διαστρέφοντες, καὶ δὲ καὶ τοὺς ἐνθέσμῳ γάμῳ πρεσβυτέρους διαπρέποντας, οἱ πολλὰς κόρας χωρὶς ἀνδρὸς γυναῖκας δεικνύοντες, καὶ γυναῖκας παῖδας ἐκτρεφούσας, ὧν οὐκ ἔστι πατέρα θεάσασθαι, οὗτοι, τοὺς ὡς ἀληθῶς Θεοῦ ἱερεῖς, μυσάττεσθαί τε, καὶ ἀποστρέφεσθαι, παρεσκεύασαν· τῆς Μανοῦ γεωργίας, ἐν αὐτοῖς, τὰ σπέρματα καταστείροντες, καὶ ψυχὰς ἄρτι βλαστάνειν ἀρξαμένας τὸν σπόρον τῆς εὐσεβείας, τῇ τῶν ζιζανίων ἐπισπορᾷ λυμαινόμενοι.

* ἴσ. ἐπιρρέψαι.

ϛ'. Ἀλλά γε δὴ, καὶ τοὺς ὑπὸ πρεσβυτέρων μύρῳ χρισθέντας, ἀναμυρίζειν αὐτοὶ οὐ πεφρίκασιν· ἐπισκόπους ἑαυτοὺς ἀναγορεύοντες, καὶ τὸ τῶν πρεσβυτέρων χρίσμα, ἄχρηστον εἶναι, καὶ εἰς μάτην ἐπιτελεῖσθαι, τερατευόμενοι.

ζ'. Ἆρ' ἐστιν, ὃς τηλικαύτην ἀκοῇ παρείληφεν ἄνοιαν, ἣν κατατολμᾶν οἱ παράφρονες οὐκ ἐνάρκησαν; τοὺς ἅπαξ μύρῳ χρισθέντας ἀναχρίοντες, καὶ τὰ τῶν χριστιανῶν ὑπερφυῆ καὶ θεῖα μυστήρια, εἰς λῆρον μακρὸν, καὶ πλατὺν ἐξορχούμενοι γέλωτα. Καίτογε σοφὸν τῶν ὡς ἀληθῶς ἀμυήτων· Οὐ γὰρ ἔξεστι, φασὶν, ἱερεῦσι τοὺς τελουμένους μύρῳ ἁγιάζειν· ἀρχιερεῦσι γὰρ μόνοις ἐνομίσθη· πόθεν ὁ νόμος; τίς δ' ὁ νομοθέτης; ποῖος τῶν ἀποστόλων; τῶν πατέρων δέ; ἀλλὰ τῶν συνόδων; ἢ ποῦ καὶ πότε συστᾶσα; τίνων δὲ κρατήσασα ψήφοις; οὐκ ἔξεστιν ἱερεῖ μύρῳ τοὺς βαπτιζομένους σφραγίζειν; οὐκοῦν οὐδὲ βαπτίζειν ὅλως, οὐδὲ ἱερᾶσθαι· ἄρα ἵνα σοι μηδὲ ἡμίτομος ἱερεὺς, ἀλλ' ὁλόκληρος, εἰς ἀνίερον εἴη κλῆρον ἀπεληλαμένος. ἱερουργεῖ τὸ δεσποτικὸν σῶμα καὶ αἷμα Χριστοῦ, καὶ τοὺς πάλαι μυσταγωγηθέντας, δι' αὐτῶν καθαγιάζει, πῶς οὐχ

norum, eos subdolè deducere & corrumpere conabantur.

non minùs, si non magìs, hoc secundùm DEUM affectu detineri. Si verbis igitur comes adhæret veritas, nihil impedit, quò minùs qui se mutuò diligunt reipsâ desiderium adimplere, alteri alterum patefieri, & indè resultante communi utilitate oblectari. Itinera quamvìs longa, ubi alis amoris dilectio instruitur, & quamvìs difficillima, expeditè & leviter transmeantur. Quod cætera attinet, Patrum & Fratrum optime, Vale; scias nos tuam exspectare præsentiam, interim desiderii ardorem, spe futuræ consecutionis refocillemus. Vale.

Propria manu exarabatur.

NOTÆ.

EUstathius Patriarcha Orientis, à partibus Photianis stabat, & summo in eum affectu ferebatur: sed longo terrarum intervallo disterminabantur, nec liberè quæ volebat Photius scribere poterat, nè per vias ab hostibus obsessas literæ missæ interciperentur. Quocirca ait, Εἴγε ἀλλήλοις συνέκειτο, *si de compacto inter nos, scytalu uteremur.* Σκυτάλη autem inquit Hesychius, Λακωνικὴ ἐπὶ τῶν ἀγγελιοφόρων τάσσεται. Ἔθος γάρ ἐστιν ἀρχαῖον τὸ χρῆσθαι ταῖς σκυτάλαις, τῶν παρ' Ἕλλησι γραμματείων καὶ βιβλίων. Apud Lacedæmonios, paria erant: emissi ad rem gerendam Duces, unam secum portabant, alteram conformem apud se Ephori retinebant. Cùm aliquid secretius in mandatis dandum erat, suæ scytalæ obductum pergamenum inscribebant: quæ sic scripta, divulsis literis & syllabarum Elementis, legi non poterant, nisi scytalæ alteri circumplicatur. *Vide Cragium de repub. Lacedæmoniorum.*

Ἐπιστ. ιβ'.

Μονάζοντι Ε. πεσόντι.

ΗΜαρτες· ἀνθρώπινον τοῦτο. ἀλλ' ἐπιμένεις τῷ κακῷ, καὶ οὐκ ἐπιστρέφῃ· δαιμόνων, * οἴ μοι, τοῦτο. Σκόπει δὴ, μὴ ἀντὶ τοῦ παραγγεῖλαί σε εἰς τὴν τῶν μοναζόντων κληρουχίαν, καὶ ἐπαγγείλασθαί σε τὴν τῶν ἀγγέλων πολιτείαν, εἰς τὴν τῶν δαιμόνων κατενεχθῇς μοχθηρίαν, καὶ πρὸς τὴν ἐκείνων ἀπενεχθῇς τιμωρίαν· ὅτε πᾶσα πρόφασις ἀργεῖ, καὶ εἰς κενὸν ἡ μετάνοια.

* ἴσ. δίμαι.

Epist. 12.

Monacho E. collapso.

PEccasti: humanum est. Sed peccato admisso inhæres, nec reverteris: Hei mihi, hoc diabolicum est. Considera quæso, an non professus cum monachis sortem, & stipulatus angelicam conversationem, in infaustum dæmoniorum statum recidens, ad illorum pœnas præcipitaris; ubi cessat propositum, & frustratur pœnitentia.

Ἐπιστ. ιγ'.

Βασιλείῳ Πατρικίῳ, καὶ ἐπάρχῳ πόλεως.

ΕΡρει τὰ καλὰ, καὶ τῆς ἀρετῆς ἡ χάρις οἴχεται, κακία δὲ πολιτεύεται· καὶ τὸ μὲν ψεῦδος πτεροφυεῖ, *φυλλοβολεῖ δὲ τὰ πτέρα ἡ ἀλήθεια. Πόθεν οὖν ἡ τοσαύτη τῶν κακῶν Ἰλιάς; Ὅπου μὲν, ὥς φασιν, ἀρχεῖς

* ἴσ. πτερορυεῖ ἢ ἀλ.

Epist. 13.

Basilio Patricio urbis præfecto.

DIffluxit virtus, abiit ejus gratia, obtinet impietas, & mendacium alis pullulantibus crescit, veritatis alæ floréſque decidunt. Unde autem hæc invaluit malorum Ilias? Nimirum aiunt quòd tu sis cum imperio, & qui

multò digniores ſunt ut tibi imperent, tuum tolerare & trahere jugum coguntur. Moderata certè videtur improbitas quæ vitam ipſis penitus non abſciderit; hoc eſt quòd fures paſſim & carnifices per urbem ſcatent. Hæc ego de te nullus prædico; is autem qui in præſenti patrat, ea quæ per omnium ora & aures celebrantur, ipſus eſt qui (licèt ego conticeſcam,) iſtiuſmodi titulis dignus eſt. Tu porrò, ſi quod referunt, illa agis, odio potiùs habeto actionem ipſam, de perpetratis pudefias, quàm memineris ut punias eos qui ſic loquuntur. Sunt enim actiones propriis ſuis nominibus deſignandæ. Qui quemcunque titulum in malam partem capit, is potiùs id agere debebat, ut actiones ipſas evitaret: ſin autem te mendaciis onerant, id agas oportet, ut quemadmodum receſſeris ab agendo malè, ità & omnem devites ejus propinquitatem. Illud ſupplicium meretur, laudem iſtud non meretur. Non modò lædit ignis arripientes, ſed & fumus eorum oculos perſtringit & fuliginat qui non longè ab igne conſiſtunt.

οἱ δὲ σου πολὺ κρείσσους ἀρχῶν, τὸν σὸν βαρὺν ἕλκειν ζυγὸν ἀναγκάζονται· καὶ μετρία τούτοις κάκωσις, ἡ μὴ πᾶσαν αὐτῶν τὴν ζωὴν περικόπτουσα· τοῦτό ἐστιν ὁ ἐν πόλει λῃστὴς, καὶ ὁ πάνδημος δήμιος. Ἐγὼ μὲν οὐ λέγω ταῦτα περὶ σοῦ· ἀλλ' ὁ ποιῶν τὰ νυνὶ πάσῃ γλώσσῃ καὶ ἀκοῇ πάσῃ περιαδόμενα, ἐκεῖνός ἐστι (κἂν ἐγὼ σιωπήσωμαι) ὁ τούτων τῶν ὀνομάτων ἄξιος. Σὺ δὲ, εἰ μὲν πράττεις ἅ φασιν, μίσησον μᾶλλον τὴν πρᾶξιν, καὶ τοῖς πραττομένοις αἰσχύνθητι, ἢ τοῖς ὀνομάζουσι μνησικάκησον. Οὐ γάρ ἐστιν ἄλλως τὰς πράξεις, ἀλλ' ἢ τοῖς οἰκείοις ἐξονομάζειν ὀνόμασιν. Καὶ τῷ δυσχεραίνοντι ταῖς κλήσεσιν, πολλῷ πρότερον ἡ φυγὴ διαπονεῖται τῶν πράξεων. Εἰ δὲ τὰ ψευδῆ σου καταχέουσι· σπεῦσον ὥσπερ ἔφυγες τὴν πρᾶξιν, οὕτω φυγεῖν σε καὶ τὸ ἐγγὺς τυγχάνειν τῆς πράξεως. Τὸ μὲν γὰρ κολάσεως, τὸ δὲ οὐκ ἐπαίνων ἄξιον· καὶ οὐχὶ τὸ πῦρ λυμαίνεται μόνον τοὺς ἁπτομένους, ἀλλὰ καὶ ὁ καπνὸς, τῶν μὴ πόρρω τοῦ πυρὸς ἀφεστηκότων δριμύσσων τὰς ὄψεις καὶ ἀμαυρούμενος.

NOTÆ.

Baſilius hic erat è Macedonia oriundus: quem indignum aliquo honore, Michael ille ſtolidus, occiſo per ipſius fraudem Barda, ad Patriciatûs dignitatem extulit, & urbis Conſtantinopolitanæ magiſtrum fecit, in ſuam perniciem. Nam ſublato Barda, qui ſolus adverſari poterat, Dominum ſuum regno pulſum interemit. Quid mirum igitur, ſi qualis à Photio depingitur fuerit? Erat autem Patriciatûs dignitas proxima Imperatori, ſupra Præfectum Prætorii, etiam & Patriarcham in Eccleſiaſticis. Ad tam ſuperbam impietatem Græci illi Imperatores extulerant, ut tandem non immeritò Turcis à Deo caſtigandi traditi fuerant.

Epiſt. 14.

Sergio Magiſtro & Logothetæ.

AB hoſtibus inſidiæ, convitia, barathra parantur: Amicorum eſt, indignis modis mulctatos tueri velle, periculis ſe ob eos offerre, & vim illatam prohibere, quantum quidem in ipſis fuerit. Inter inimicos modeſtus eſt, qui ab antè memoratis ſe expeditum tenens; nec ſycophanta, nec doloſus, nec inſidiarum ſtructor erit. Improbus autem amicus ille (ſi modò talis amicus dicendus) qui nec protegit nec periclitatur pro amico, nec feſtinat eos repellere, qui in amicum ejus irruere ſecum ſtatuerunt. Id enim

Ἐπιστ. ιδ'.

Σεργίῳ Μαγίστρῳ καὶ Λογοθέτῃ.

Ἐχθρῶν εἰσιν, αἱ ἐπιβουλαὶ, καὶ αἱ λοιδορίαι, καὶ τὰ βάραθρα· φίλων δὲ, τὸ ὑπερασπίζειν, καὶ προκινδυνεύειν, καὶ κωλύειν τοὺς ἐπηρεάζοντας, ὅση δύναμις. Μέτριος οὖν τῶν ἐχθρῶν ἐκεῖνος, ὁ τῶν προειρημένων ἑαυτὸν καθυφείς· καὶ μήτε συκοφαντῶν, μήτε δόλους, μήτε ἐπιβουλὰς σκευαζόμενος. καὶ ἄθλιος τῶν φίλων ἐκεῖνος (εἴγε φίλος ὅλως) ὁ μήτε ὑπερασπίζων, μήτε προκινδυνεύων, μήτε ἀνακόπτειν σπεύδων τοὺς προαιρουμένους ἐπιτίθεσθαι. Τοῦτο

γὰρ καὶ τῶν ἐχθρῶν ἂν (ὥσπερ ἔφην) ποιήσῃ ὁ μέτριος. Σκόπει οὖν, οἷς ὑπὲρ σοῦ λέγεις, τίνι σεαυτὸν συντάττεις. Οὐχ ὕβρισα γάρ, οὐδὲ τῶν διασυρόντων, φῄς, γέγονα, οὐδὲ κατὰ σοῦ δόλους ἐρραψάμην. ἐγὼ δ' εἰ μὴ τὸ φορτικὸν ηὐλαβούμην, ἰσχυρισάμην ἄν, ὡς οὐδὲ τοῦτο τῆς σῆς ἕνεκα φιλοτιμίας καὶ γνώμης· ἀλλ' ὅτι μηδ' ἔχεις, ἐξ ὧν σοι ταῦτα, μὴ λίαν ἀσχημόνως καὶ ἐπιγελάστως, συμπλασθήσεται.

Ἐπιστ. ιε΄.

Σάβᾳ ἡγουμένῳ τῶν Πισαδῶν.

ΟΥκ οἶδ' ὅ, τι καὶ εἴπω περὶ τῆς ὑμῶν διαθέσεως. Ἐγὼ μὲν γὰρ εἶδον προβάτου σε δορὰν περικείμενον, καὶ ἐδόκουν ἁπλοῦν καὶ ἄκακον, καὶ τῆς Χριστοῦ ἀγέλης ἄξιον εἶναι τὸ καλυπτόμενον. Οἱ δέ φασι, τὴν δορὰν ἀλώπεκα κρύπτειν· ἣ νεκρὰ καὶ ὀδωδότα *τρέφει σώματα, ὅσα τοῦ ἐκκλησιαστικοῦ διασαπέντα πληρώματος δαίμοσι τροφὴ καὶ τοῖς αὐτῶν θεράπουσι γίνεται. Καὶ ἐγὼ μὲν ἤκουόν σε πλάνην λέγοντα μακρὰν, καὶ ματαίαν πλάνην ἀπολοφυρόμενον, τὴν πάλαι σου πλάνην. Οἱ δέ σέ φασιν ἐκείνην ἔτι περιπλανᾶσθαι, μηδὲν ἔλαττον τῶν κορυβαντιώντων διακείμενον. καὶ σὺ μὲν κατὰ πρόσωπον ἡμᾶς ηὐλόγεις, καὶ σωτῆρας ἡμᾶς ὡμολόγεις, ὅτι σὲ τοῦ βόθρου τῆς διαστροφῆς ἐκείνης καὶ ἀπάτης ἀνειλκύσαμεν· οἱ δέ σέ φασιν, ἀπόντων ἡμῶν, καταγογγύζειν, ὅμοια τοῖς ἐπὶ σκηνῆς ἀσελγαίνοντα. Ἐννόει δὴ ταῦτα εἰ ὅλως Χριστιανῶν, μή τι γε μοναζόντων, δύναται εἶναι. Ἀλλ' εἰ μὲν ἐπλάσαντο ταῦτα, ὀδύρεσθαί με δεῖ τῶν κατειπόντων, ὅτι ἐκλέλοιπεν ὅσιος, ὅτι ὠλιγώθησαν αἱ ἀλήθειαι ἀπὸ τῶν υἱῶν τῶν ἀνθρώπων· εἰ δ' ἀληθῆ τὰ ἀπηγγελμένα, θρηνεῖν προσήκει τοὺς ἡμαρτηκότας, ὅτι μάταια λαλεῖ ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ, καὶ δολίοις περιπτύσσεται χείλεσι· Πάντως δὲ δεῖ με ἀνιᾶσθαι· τῆς ἐμῆς γὰρ καὶ Χριστοῦ ποίμνης, κἂν μὴ βούλωνται, καὶ τὰ λεπρωθέντα, καὶ περὶ αὐτῶν μετ

* ἴσ. σκέπει.

vel qui inter inimicos modeſtus eſt (ut dixi) efficiet. Vide ſis ergò cui ipſorum te annumeres, per ea quæ pro te allegas. Te non affeci contumeliis, inquies, nec iis annumerabar qui te irridebant; nullos in te contexui dolos. Ego certè, niſi quod odioſum hoc fore verear, confirmare auderem hoc nullo modo ut æſtimationi tuæ conſuleres, aut ſententiæ factum: Imò verò nullam habes occaſionem tibi ſuppeditatam unde iſta, niſi admodum abſurdè & ridiculè, confingere poſſis.

Epiſt. 15.

Sabæ Piſſadorum Hegumeno.

DE tua diſpoſitione & natura quid dicam neſcio. Vidi quidem ego te pelliculam indutum ovilem, & perinde, quod illâ tegebatur, ſimplex arbitrabar, ſine malitia, Chriſti grege dignum. Vulgò autem aiunt, pellem illam vulpem obtegere; quæ mortua & olentia nutrit corpora, cujusmodi nempe in cœtu putrefacta Eccleſiaſtico, dæmonibus pabulum atque eorum miniſtris fiunt. Ego certè te audivi longum errorem prædicantem, fruſtraneum errorem tuum deplorantem, antiquum ſcilicet errorem tuum. Aiunt autem, eundem te adhuc errare errorem; neque aliter affectum quàm inſani Corybantes. In faciem tu nos benedixiſti, ſervatores appellâſti, qui te de puteo perditionis, deceptioniſque illius extraximus: aſt in abſentes aiunt te nos obmurmurare, & non ſecus quàm in ſcena ſolent laſcivire. Recordare an hæc omnino Chriſtianum, nedum Monachum deceant. Quod ſi hæc commentitia ſint, deplorare me oportet oggannientes, *Quod defecit Sanctus, depauperata eſt Veritas à filiis hominum:* ſin quæ renuntiantur vera ſunt, deflendi planè ſunt peccatores, eò quòd ſtulta loquatur omnis apud proximum ſuum, & labiis doloſis oſculatur. Omni autem modo dolendum eſt mihi: Ad meum etenim & Chriſti gregem ſpectant, velint nolint, infecti leprâ, & cum

Paulo

Paulo de ipsis angimur, utcunque simul sensu tangi nolint.

Epist. 16.

Heliæ Protospathario.

SUpplicasti: condescendi: factum est. Gratias age Deo igitur largitori & causæ bonorum omnium, quòd liber sis à tributo gravissimo colligendo.

Epist. 17.

Joanni Metropolitæ Nicomediæ.

NEc illudere novi, nec ferre illudentes possum. Si tu homo antiqui adeò moris, & simplex fueris, ut cùm simus affecti contumeliis, ejus sensu non tangi debere nos, opineris, haud æquum erat, ut tu nos læderes, eo fine quasi morum tuorum simplicitas culpam extenuaret, & leviorem redderet. Cum verò per illa, quæ ausus es facere, studiosè id egeris, ut sensum omnem à nobis suffurari posses, hâc tuâ rusticitate duxisti ingestam nobis calumniam: nec resilire poteris ad illã quam in scenam producis nobis levitatem. Veruntamen nè non tam corrigendi, quàm puniendi causâ videar reprehensionem struere, cùm justitiæ omnia scrutanti & pervidenti satisfecisse deprehenderis pro injuriis & contumeliis quibus sumus affecti, tum temet ego injuriâ me afficientem libens meritò immunem dimittam à supplicio, hoc tantum commonefaciens, cujus oportet meminisse, nempe pœnam & supplicium te subterfugisse non propter morum tuorum vel scævitatem, vel malam consuetudinem, (unde fortassis, altum sapis,) sed per nostram, quibus insidiaris, bonitatem, quippe qui simus Christi discipuli & sectatores.

Παύλου διαμεριμνῶμεν, κἂν μὴ θέλωσι συναισθάνεσθαι.

Ἐπιστ. ιϛʹ.

Ἠλίᾳ πρωτοσπαθαρίῳ.

Ἠτήσω· συνεθέμεθα· γέγονεν· εὐχαρίστει οὖν Θεῷ τῷ χορηγῷ καὶ αἰτίῳ πάντων τῶν καλῶν, τῆς βαρυτάτης φορολογίας ἀπαλλαγείς.

Ἐπιστ. ιζʹ.

Ἰωάννῃ Μητροπολίτῃ Νικομηδείας.

[a] Οὔτε παίζειν οἶδα, οὔτε παιζόντων ἀνέχεσθαι. Εἰ οὖν οὕτως ἦς αὐτὸς ἀρχαῖος καὶ ἁπλοῦς, ὥστε μηδ' ἡμᾶς περιπλακιζομένους αἰσθάνεσθαι οἴεσθαι, οὐκ ἔδει σε κακουργεῖν, ἵνα σοῦ τὸ ἁμάρτημα ἡ τῶν ἠθῶν ἁπλότης ἐδείκνυ κουφότερον· ἐπεὶ δὲ καὶ τὴν αἴσθησιν ἡμῶν, δι' ὧν ἐτόλμησας, μελέτην ἔθου ληστεῦσαι, καὶ δυστροπίᾳ τὴν καθ' ἡμῶν ὕβριν ηὔξησας· οὐδεμίαν ἔχεις ἀναχώρησιν εἰς τὴν νυνὶ παρὰ σοῦ σκηνοποιουμένην κουφότητα. πλὴν ἵνα μὴ δόξω τὸν ἔλεγχον ἐπάγειν, οὐ διορθώσεως ἀλλὰ κολάσεως ἕνεκα, ὅτε τῇ παντεφόρῳ δίκῃ δίκας εἰσπράττεσθαι τῆς εἰς ἡμᾶς κακουργίας καὶ ὕβρεως, ὡς αὐτὸς ὁρᾷς, ἑάλως· τότε σε τῆς σῆς δικαίας ποινῆς ἑκὼν ἀδικοῦντα ἀφίημι, τοῦτο μόνον ἐπειπών, ὡς μεμνῆσθαί σε χρὴ, ὅτι μὴ τῇ σῇ τῶν τρόπων κακοηθείᾳ καὶ δεινότητι, (ἐφ' οἷς ἴσως μέγα φρονεῖς) τῇ δ' ἡμετέρᾳ τῶν ἐπιβουλευθέντων χρηστότητι, (Χριστοῦ γὰρ ἐσμὲν μαθηταί.) τὴν τιμωρίαν διέφυγες.

NOTÆ.

[a] Ἀρχαῖος est ἀληθὴς, & ut sequitur, simplex. Eraat enim omnia olim istiusmodi, Saturno Rege, & Jove etiam, sed Jove nondum barbato. *Si potes Archaicis conviva recumbere mensis*, hoc est, frugi & haud lautè instructis. Κουφότητα] morum levitatem vult, quam ἀρχόμενος ἐπιστολῆς παιδιὰν dicebat. Ibid. legendum πανεφόρῳ δίκῃ. Justitia quæ scrutata intuetur omnia. Ibid. δεινότης videtur esse alienum; cùm eidem in prioribus παιδιὰν & κουφότητα abjecerit.

Ἐπιστ. ιη'.

Μιχαὴλ τῷ θεοστέπτῳ βασιλεῖ.

Τῆς ὑμετέρας θεοπρεποῦς βασιλείας, καὶ ὡς ἀληθῶς αὐτοκράτορος, ἀναλεγόμενοι τὴν ἐπιστολήν, χαρᾶς ἅμα καὶ θάμβους ἐπληρώθημεν· χαρᾶς μέν, ὅτι τὴν ὑμετέραν δι' αὐτῆς εὐηγγελιζόμεθα βασιλείαν, πάσης μὲν ἐπιβουλῆς ὑπὸ Θεοῦ φυλαττομένην ἀνωτέραν, πάσης δὲ κρείττω ἐπαναστάσεως, ἐχθρῶν τε πάντων ὑψηλοτέραν βουλευμάτων, καὶ παντὸς ἀπηλλαγμένην ἑτέρου συμπτώματός τε, καὶ ἀρρωστήματος. Ταῦτα χαρᾶς ἡμᾶς ἀνεκλαλήτου καὶ ἀγαλλιάσεως ἐπλήρωσε· θάμβει δὲ κατεσχέθημεν, καὶ πρὸς δάκρυα κατενέχθημεν, τὴν ἀνθρωπίνην ἀπολοφυρόμενοι ματαιότητα· καὶ ὅπως τινὲς τῶν ἀνθρώπων, πολλῶν μὲν χαρίτων, πολλῆς δὲ δόξης ἀξιούμενοι, κύριοι δὲ πολλοῦ γινόμενοι πλούτου· καὶ δέον μὲν τούτοις, οἷς ἀπολαύουσιν, ἀγαπᾶν, καὶ τὰ οἰκεῖα μέτρα συνεπίστασθαι, καὶ τὸν εὐεργέτην ἄγειν δι' εὐφημίας ἁπάσης καὶ σεβασμιότητος· οἱ δὲ τὴν ἐπιθυμίαν ἀκόρεστον ἐνδεικνύμενοι, καὶ πρὸς πάντα διαπλωθῆναι φιλονεικήσαντες, τῆς τε ἰδίας κεφαλῆς καὶ εὐεργέτιδος τολμῶσι καταφρυάττεσθαι, καὶ τὸν τοῦ Σαλμονέως μῦθον εἰς ἔργον προάγουσιν. ἐξ ὧν οὐ μόνον τῶν ἐλπίδων, ἃς ὀνειροπολοῦσι, καὶ ἐφ' αἷς ὠχοῦντο, διαπίπτουσιν· ἀλλὰ καὶ αὐτῶν τούτων, ὧν δικαίᾳ ἐξουσίᾳ καὶ δεδομένῃ καθειστήκεσαν κύριοι, ἑαυτοὺς ἀφρόνως ἀπελαύνουσιν· οἷον δή τι διὰ τῶν γραμμάτων, (ὡς εἴθε μὴ ὄφελον) κατεμάθομεν, καὶ περὶ τὸν ταπεινὸν ἄνθρωπον ἐκεῖνον (οὐκ οἶδα γὰρ ὅπως ἑτέρως εἴπω, τῆς ἀνθρωπίνης μιμνησκόμενος ἀθλιότητος) πῶς ὑπὸ τῆς ὑμῶν φιλοδώρου καὶ μεγαλοδώρου δεξιᾶς εἰς αὐτά που τὰ σκῆπτρα τῆς βασιλείας ἀνυψωθεὶς, καὶ τὴν βασίλειον, εἰ καὶ μὴ τὴν κλῆσιν, ἀλλὰ τὴν ἐξουσίαν, συμμερισάμενος, οὐκ ἤνεγκεν, ὡς φασὶ, τῆς εὐεργεσίας τὸ μέγεθος, οὐδ' ἔστερξεν οἷς ἠξίωται, οὐδ' εὐχαρίστησεν οἷς ἀπήλαυσεν· ἀλλ' ὑπερόριον

Epist. 18.

Michaeli Imperatori à Deo coronato.

Lectâ, quam accepimus ab Imperatoria verè potestate, & Deo coronato principatu, Epistolâ, gaudio simul repleti sumus & admiratione. Gaudio certè, eò quòd lætum per eandem accepimus nuntium, Imperium vestrum extra omnem conspirationis aleam, à Deo positum & custoditum, supra omnes insurgentium machinationes constitutum, liberum & quietum ab omni alio casu & infirmitate. Et hæc erant, quæ nos gaudio inexplicabili & exsultatione repleverunt: admiratione porrò capti sumus, & ad lacrymas adacti effundendas, dum humanam deploramus vanitatem; nimirum cùm non pauci sint qui magna gratia, gloriâ multiplici floreant, qui cùm possideant ingentes opes, ità ut contenti deberent esse cum possessis, & proprium ipsorum modulum agnoscere, benefactorem verò omni laudis præconio, & veneratione prosequi teneantur; illi tamen inexplebilem præ se ferunt cupiditatem, omni studio & contentione se immiscent omnibus, in ipsorum caput quidem benemeritum audent tumultuosiùs insolescere, ità ut de Salmoneo fabulam opere ipso exhibeant completam: unde contingit, ut non modò de spe, quam sibi per somnum confinxerant, & quâ evehuntur, excidunt; verùm etiam per insipientiam ab iis ipsis se exterminant, quorum justâ potestate, dominio & concessione fruebantur. Illiusmodi istud est quod (utinam non ità contigisset) per literas facti certiores intelleximus, in illo abjecto & humiliato homine perpetratum (neque enim quo alio eum nomine notem satis intelligo, qui memor sim humanæ miseriæ) ille tantùm non ad regni sceptra per dextram vestram munificam & magnificam exaltatus, ità ut licèt nominis Imperatorii & tituli non esset particeps, potestatem tamen tecum dividebat, magnitudinem beneficii ferre nequivit; non erat contentus iis quibus fuit dignatus, nec gratias habebat pro fruitione habitis; sed

extra lineas pedem promovens, & manus in opprobrium benefactoris retendens, capitíque ejus insidiatus, vitam ipsam tandem, insolentiores spes suas, inanes spiritus, miserum heu & miserandum in modum, abiit hinc relinquens. Indolui quidem (ô misericors & mitissima potestas) cùm rescivi immaturæ neci hominem datum; magìs, quòd affectatæ tyrannidis pœnam, oppetiit mortem. Certè, non patitur subire animum meum suspicionem vestræ potestatis virtus & clementia, commentitias venisse ad me literas, vel alio modo quàm quo in illis narratur, quæ illum concernebant contigisse, unde fiet, ut coronetur ille, ringantur alii. Atque hinc lethalem à dolore, accepi inflictam plagam, dum memoriâ inter alia recolo, quòd in ipso improbitatis actu hinc abripiebatur, ità ut neque lacrymis abluerit sordes vitæ & inquinamenta, quæ miseræ naturæ nostræ adstricta solent inhærere; nec ob injurias, quibus fortassis alios affecerat, ullam declarârat pœnitentiam; nec ullo alio modo Judicem in altera vita futurum conciliatũ dare studuerat; itaq; delictis onustus ad ejusdẽ tribunal transmissus est: sed prout secreto Dei judicio decretum fuerat, ità ille finem vitę consequebatur: multis quidem stupor, non paucis admonitio, quibusdam commiseratio, pluribus hæsitatio fiebat. Tu autem, rogamus (regum decus & ornamentum, patrię exaltatio, imperii stabilimentum, & Christianorum omnium, qui vocantur, amor, delicię, & gloriatio) quantocius ad nos festinato; redde desiderium desiderantibus; libera nos primùm à captivitate, quâ, dum tuâ caremus præsentiâ, detinemur; refice nos & refrigera ab illa miseria, quâ detinemur, dum vestra non adest præsens refocillatio; gratiam hanc primam & præcipuam urbi tuæ & civibus impertito, ut possint manibus & linguis cum libertate summa debitas tibi acclamationes, &, ô Imperator, coram efferre; tangat te canities sacri & venerandi Senatus; flectere ad preces cujuscunque ætatis, virorum, fœminarum, puellorum:

τὸν πόδα κινῶν, καὶ χεῖρας ὕβρεως κατὰ τῆς εὐεργέτιδος ἀνατεινάμενος κεφαλῆς, αὐτό τε τὸ ζῆν, καὶ τὰς ὑπερηφάνους ἐλπίδας, καὶ τὰ μάταια φυσήματα, οἰκτρῶς οἵ μοι καὶ ἐλεεινῶς ᾤχετο λιπών· ἤλγησα μὲν (ὦ φιλάνθρωπον ἐμοὶ καὶ πανήμερον κράτος) ἀώρῳ θανάτῳ παραδοθέντα τὸν ἄνθρωπον μαθών· ἐφ᾽ ᾧ δὲ μάλιστα ὅτι καὶ τυραννίδος δίδους δίκην, εἰσεπράχθη τὸν θάνατον. πλάττεσθαι γὰρ τὸ γράμμα, καὶ ἄλλως πως, ἢ ὡς ἐδήλου, τὰ περὶ αὐτὸν συνενεχθῆναι, δι᾽ ὧν ἐκεῖνος μὲν στέφεται, ἄλλοι δὲ κόπτονται, ἡ τοῦ σοῦ κράτους ἀρετὴ καὶ ἐπιείκεια ὑπονοεῖν οὐκ ἐνδίδωσιν. διὰ τοῦτο μάλιστα καιρίαν ἤνεγκα τὴν ἀπὸ τῆς λύπης πληγήν· τά τε ἄλλα ἐπὶ νοῦν ἀναλαμβάνων, καὶ ὅτι ἄνθρωπος ἐν αὐτῷ τῷ κακουργεῖν ἀνάρπαστος γεγονώς, καὶ μήτε τὰ ἀπὸ τοῦ βίου μολύσματά τε καὶ ῥυπάσματα, ἃ τῇ ἀθλίᾳ ταύτῃ φύσει φιλεῖ ἐπιτρίβεσθαι, τοῖς δάκρυσιν ἀπολουσάμενος· μήτε ὧν ἑτέρους ἀδίκως ἴσως ἐκάκωσεν, ὑπὲρ τούτων μετάνοιαν ἐνδειξάμενος· μήθ᾽ ἑτέρως πως τὸν ἐκεῖθεν κριτὴν φθάσας ἐξιλεώσασθαι· οὕτως, αὐτοῖς φορτίοις, πρὸς τὰ ἐκεῖθεν παρεπέμφθη δικαιωτήρια· ἀλλ᾽ ἐκεῖνος μὲν ὡς τὸ τῶν τοῦ Θεοῦ κριμάτων ἐδίκασε τὸ ἀπόρρητον, οὕτω καὶ τὸν βίον κατεστρέψατο· πολλοῖς μὲν ἔκπληξις, πολλοῖς δὲ σωφρονισμός, πολλοῖς δ᾽ ἔλεος, πλείοσι δ᾽ ἀπορία γεγονώς. Αὐτὸς δὲ (ὦ βασιλέων καλλώπισμα, καὶ τῆς πατρίδος ἀνύψωμα, καὶ τῆς πολιτείας ὀχύρωμα, καὶ πάντων οἷς τὸ τοῦ Χριστοῦ ἐπικέκληται ὄνομα, πολυέραστον σεμνολόγημα) ἧκε πρὸς ἡμᾶς τὴν ταχίστην· ἀπόδος τοῖς ποθοῦσι τὸν ποθούμενον· ῥῦσαι πρῶτον τῆς αἰχμαλωσίας ἡμᾶς, ἣν ὑπέστημεν σοῦ στερηθέντες· ἀνάψυξον ἡμᾶς τῆς ταλαιπωρίας, ὑφ᾽ ἧς κατεχόμεθα, τῆς ὑμετέρας παρὰ ψυχῆς οὐ παρούσης· δὸς χάριν ταύτην, καὶ πρώτην καὶ μεγίστην, τῇ σῇ πόλει, καὶ τοῖς σοῖς πολίταις, τὸ πεπαῤῥησιασμέναις καὶ χερσὶ καὶ γλώσσαις, τὴν κεχρεωστημένην εὐφημίαν, καὶ τὸ, αὐτοκράτορα σοὶ προσφθέγξασθαι· δυσωπήθητι τὴν πολιὰν τῆς αἰδεσίμου καὶ ἱερᾶς συγκλήτου· δυσωπήθητι πάσης ἡλικίας τὴν ἐξαίτησιν, ἀνδρῶν, γυναικῶν, παίδων·

πάντες

πάντες γὰρ μιᾷ γνώμῃ, καὶ μιᾷ φωνῇ, τὴν τοῦ ὑμετέρου κράτους ἐξαιτοῦνται παρουσίαν. Εἰ δέ σοί ποτε καὶ ὁ Ἀρχιερεὺς ἐν λόγῳ καὶ φροντίδι νενόμισται (οἶδα δὲ ὅτι νενόμισται) αὐτὸν σοὶ παρεῖναι νόμιζε, καὶ τῇ χειρὶ τὴν χεῖρα λαβόμενον ἕλκειν πρὸς τὴν σὴν πόλιν, καὶ τὸν τοῦ Θεοῦ ναὸν, ἐφ' ᾧ τὰς ἐλπίδας ἀνέχεις, καὶ πρὸς τὰ τῆς βασιλείας ἀνάκτορα. Ναὶ πάντες σοῦ δεόμεθα, μὴ καταισχύνῃς ἡμῶν τὰς ἐλπίδας καὶ τὴν αἴτησιν. πιστεύομεν γὰρ ἐν Χριστῷ Ἰησοῦ, τῷ ἀληθινῷ Θεῷ ἡμῶν, ὡς πρὸς τὴν βασιλίδα πόλιν, τοῦ ὑμετέρου κράτους ἐπανατέλλοντος, καὶ τοῦ ζόφου τῆς ἀθυμίας τὴν πολιτείαν λύσεις, καὶ τῶν ἐχθρῶν ἔτι μᾶλλον καὶ πολεμίων τὸ φρόνημα ταπεινώσεις, βουλῇ καὶ συνέσει καὶ ταῖς στρατηγικαῖς μελέταις, τὸ κατ' αὐτῶν κράτος ἀναδεχόμενος· πρεσβείαις τῆς ὑπεραγίας Θεοτόκου, καὶ πάντων τῶν ἁγίων. Ἀμήν.

certè enim omnes uno animo, voce unâ, dominationis vestræ præsentiam efflagitant. Quòd si apud te locum habeat cura & respectus (quod scio sic habere) Archipræsulis tui, ipsum tibi finge coram adesse, & manu manum apprehensam ad propriam pertrahere civitatem, ad Dei templum, apud quem spes repositas habes, ad ipsius imperii sacraria. Certe, tibi supplicamus omnes; spes nostras noli quæso pudefacere, aut preces rejicere. Speramus enim in Deo vero nostro *JESU CHRISTO* futurum esse, ut cùm ad regiam hanc urbem vestra potentia revertetur, mœroris tenebras à republica depelles, hostium & inimicorum insolentias magis adhuc magísq; contundes, consilio, prudentiâ, militari disciplinâ, superior deviceris; ídque per intercessionem sanctissimæ *DEI* genetricis, & omnium Sanctorum. Amen.

NOTÆ.

Michaelem intelligit, ejus nominis tertium, Balbum vel Traulum nominatum, Constantinopolitanum Imperatorem, hominem nullius rei, quem miris immerentem laudibus evehit *Photius*, planè Æthiopem dealbans. Is de quo narrantur illæ calamitates Bardas erat Cæsar, jussu hujus Michaelis interemtus, sub prætextu affectati imperii, & structarum in vitam Imperatoris insidiarum; falsò opinor & immeritó. Quo patrato homicidio viam sibi ad ruinam munivit Baldus ille & Bardus Imperator, statim enim à Basilio interimitur, quem humili & sordido loco natum ad amplissimos honores evexerat, qui Bardam curabat è medio tollendum. Modum verò sumpti supplicii, è literis imperatoriis ad se missis, recenset *Photius*; miserum certè, crudelem, barbarum, subitò, sine mora, confessione, pœnitentia illatum: quo non tantùm corpus frustulatim concîdit, sed quantum in ipso fuit animam æternis gehennæ flammis cruciandam transmisit. [Ἧκε πρὸς ἡμᾶς.] Aberat enim Imperator in Creta, ubi Bardas occidebatur: quod sequenti epistola, quæ huic σύμψηφος, declaratur αὐτολεξεί, in qua illud, quod ait, καὶ τέχνων ἐγκαλλώπισμα, Imperatorem designat, quòd Patriarchæ, imò Episcopus quilibet Reges & Imperatores, *Filios suos*, nempe spirituales, in Christo, in Ecclesia nominare solebant.

Ἐπιστ. ιθ'.

Τῷ αὐτῷ.

Ἀπῆλθες ἀφ' ἡμῶν, καὶ ἡμεῖς ἀφ' ἑαυτῶν· καὶ ζῶμεν οὐ ζῶντες, καὶ κινούμεθα μὴ κινούμενοι. Εἰ δὲ τὸ κυριακὸν ἐπάγγελμα προσεῖναι ἠξίου τῇ ἡμετέρᾳ τεταπεινωμένῃ εὐχῇ, ἢ τὴν Κρήτην τῷ Βυζαντίῳ μετεστήσαμεν, ἢ τὸ Βυζάντιον, μεθ' ἡμῶν, τῇ Κρήτῃ συνήψαμεν. Ἀλλὰ πῶς γράφω θανὼν, καὶ σιγῶν λάλος γίνομαι; ἓν εἰπὼν σιωπήσομαι· τάχυνον (ὦ βασιλέων ἐμοὶ καὶ *τέχνων ἐγκαλλώπισμα) ἢ τὴν Κρήτην αἰχμαλώτους ἄγων, ἢ τοὺς Βυζαντίους (τῆς σῆς γὰρ δυστυχοῦσιν ὄψεως τὴν αἰχμαλωσίαν) τῆς αἰχμαλωσίας ἐλευθερῶν.

* ἴσ. τέκνων.

Epist. 19.

Eidem.

Recessisti à nobis, & nos à nobismetipsis; viventes non vivimus, nec movemur moti. Quòd si Domini promissum dignaretur nostræ humilitatis precibus annuere, vel Cretam Byzantium transferremus, vel Byzantium cum nobisipsis Cretæ copularemus: sed moriens unde fit ut scribam, aut ut mutus loquar? unicum si dixero, silentium teneo. Festina, ô regum & filiorum decus! & vel nos captivos Cretam ducito, vel Byzantinos de captivitate libera, qui captivos à conspectu tuo detineri tam malè ferunt

Epist.

NOTÆ.

Κτεανὸν ἐπάγγελμα.] Christi Domini promissionem intelligit illam hypotheticam, de movendis montibus. Καὶ τέχνων ἐγκαλλώπισμα] Rescriptum fuit τέκνων, sed quo sensu? Quinam sunt τέκνα? legerem libenter, τάχυνον ὦ βασιλεῦ ἐμοὶ, καὶ τάχυνον, ἐγκαλλώπισμα.

Epist. 20.

Athanasio Monacho Anachoretæ.

ERistæ Episcopus, vestris precibus erectus, à morbo convaluit; & de putredine liberatus schismatica, partis jam & membri munus obiens, cum ecclesiastico toto cœtu compaginatus est, priorem mentis suæ sanæ amotionem multis condemnans, lacrymis pavimentum rigavit multis, & præsentem Synodum, quam in se videbat inexorabilem, lamentis, flebilibus sermonibus, tandem ad compassionem convertit. Nec veniam quasi insons canitiei deprecabatur, sed odio se habere ostendit, insolentiorem juventæ improbitatem. Certè non per simplicitatem senex, sed dolo captus peccaverat; horum duorum alteri opus est nudo auxilio, alteri autem purgatione. Cùm verò per vestrum exhibitum ei studium optimè reformetur ille senex, seminibus consilii priùs sparsis, nos fructum illius salutis sine ullo nostro labore retulimus. Omnes porrò species medicinæ nobis ad manus non erant præstò; quæ erant in procinctu, missę sunt. Cura de residuis, donec ipsæ suppeditentur, me non deficiet. Donis nobis à tua sanctitate profectis maximopere exsultabamus: sunt autem imprimis illa à veraci profecta dilectione, quę in eximiam magnitudinem & pulchritudinem succrevit, quæ amorem, unde oriebantur, faciunt vitæ excelsitatem, & sublimitatem repræsentare.

Ἐπιστ. κ΄.

Ἀθανασίῳ Μοναχῷ ἡσυχάζοντι.

Ὁ μὲν τῆς * Ἐρίστης ἐπίσκοπος, ταῖς ὑμετέραις εὐχαῖς ὀρθωθεὶς, ἀνέρρωσε τοῦ πάθους· καὶ τῆς σχισματικῆς σηπεδόνος ἀπαλλαγεὶς, τῇ ὁλότητι τοῦ ἐκκλησιαστικοῦ σώματος, μέλους καὶ μέρους τάξιν ἀντειληφὼς, συνηρμόσθη, πολλὰ μὲν τῆς προτέρας καταγνοὺς φρενοβλαβείας, πολλοῖς δὲ δάκρυσι τὸ ἔδαφος ῥαίνων, οἰμωγαῖς δὲ πολλαῖς, καὶ ἐλεεινολογίαις τὴν παροῦσαν σύνοδον, ἀπαραίτητον ἐπ' αὐτὸν ὁρῶσαν, εἰς οἰκτιρμοὺς διαλύσας· καὶ ὅ γε ἀνὴρ * οὐχὶ πολιᾶς συγγνώμην ᾔτησεν ἀκακίας· ἀλλὰ νεανιευμάτων ἔδειξε μισήσας πονηρίαν. Οὐ γὰρ ἁπλότητος ἦν ὁ γέρων, ἀλλ' ἀπάτης θήραμα· ὧν, τὸ μὲν, βοηθείας μόνης· τὸ δὲ δεῖται καὶ περικαθάρσεως· ἀλλὰ γὰρ τοῖς ὑμετέροις πόνοις καλῶς τοῦ γέροντος ἐξεργασθέντος, καὶ τῶν τῆς νουθεσίας σπερμάτων προκαταβληθέντων, ἡμεῖς ἀπόνως αὐτοῦ τὴν σωτηρίαν ἐκαρπωσάμεθα. τῶν δὲ ἰατρικῶν εἰδῶν, πάντα μὲν οὐκ ἦν εὑρεῖν κατὰ χεῖρας· ὅσα δὲ παρῆν, ἀπεστάλη· τῶν ὑπολοίπων ἡ φροντὶς, ἕως ἂν πορισθῶσιν, οὐκ ἐπιλείψει. τοῖς δώροις δὲ τῆς ὑμετέρας ὁσιότητος, ἐπὶ μέγα ἠγαλλιασάμεθα· μάλιστά γε τῆς ἀληθινῆς ἀγάπης ταῦτα * πληθυνούσης, καὶ εἰς μέγεθος καὶ κάλλος ἐξαπλούσης, καὶ δι' αὐτῶν διδούσης εἰκονίζειν τὸ τοῦ βίου ὑψηλόν τε καὶ μετάρσιον. Ἔρρωσο.

* ἴσ. Ἐρίσσης.
* ἴσ. διὰ
* γρ. πληθυούσης.

NOTÆ.

Ἡσυχάζοντι.] Non simpliciter monachus, sed ἡσυχάζων erat: Hoc est, quem nos dicimus *Anachoretam*, qui cellam incolens solitariam sę separabat à κοινοβιακῆς ἀναστροφῆς. Εἰ μὴ τινες αὐτῶν τὴν ἐν ξενίᾳ τε καὶ τελειότητι διαζῶντες βίον, ἰδιάζον ἔχοιεν οἰκημάτιον, οὓς δὴ καλεῖν ἀναχωρητάς τε καὶ ἡσυχαστὰς εἰώθασι. Ἐρίστης. in margine notatur ἐρίσσης, πειραζόμενος· quæ annotatio nihili est. Non erat Eriste, vel Erisse nomen urbis, quam intelligit; est Ἀρίση, cujus Episcopus erat Nicomediensi Metropolitæ suffraganeus, per Leonis διαταγήν. Hujus Episcopus, quisque erat, videtur à partibus Ignatii stetisse in schismate, & tandem ad partes Photianas transiisse.

Ἐπισ. κα΄.

Θεοφυλάκτῳ Πατρικίῳ, καὶ Στρατηγῷ Ἀρμενιακῶν.

Τρία μισεῖν οἶδα, καὶ τοὺς ἄλλους μισεῖν παραινῶ, ψεῦδος, καὶ δόλους, καὶ ἀγάπης διαφθοράν· Ἁλοίην ἂν τοῖς τρισὶν, εἴ τι μοι, παρ' ἃ διεπράχθη, καὶ κατὰ νοῦν ἔχω, ἄλλως ἐρεῖν μελετήσω. Ἐγώ σε φίλον ἐποιησάμην, φίλον μὲν ὄντα Θεοῦ, ὅσα γε εἰς εὐσεβεῖς ἧκε λογισμοὺς, φίλον δὲ πιστὸν τοῖς φιλοχρίστοις βασιλεῦσιν ἡμῶν· οὐδὲ τὰ πρὸς ἡμᾶς δὲ παρὰ ταῦτα (ὥς γε αὐτοὺς ἤγομεν εἰς πειθὼ) ἀλλὰ τὸν ὅμοιον τρόπον διακείμενον· ἀλλὰ τότε μὲν οὕτως εἴχομέν τε, καὶ πεπείσμεθα, ἔχομεν δὲ ὡσαύτως καὶ νῦν· πῶς οὖν ἡδύς εἰμι τοῖς σοῖς συκοφάνταις; αἰσχύνομαι γὰρ εἰπεῖν, πῶς ἦλθον ἐπὶ σὰς διαβολὰς, οὐδὲ γὰρ τὸ ἀπολύειν ἐμαυτὸν ὑπολήψεως τοιαύτης, ἀνεκτὸν ἐμοί· ἀλλ' ἐκεῖνος ἐχθρὸς, ἐκεῖνος συκοφάντης, ἐκεῖνος πάντα κακὸς, ὁ τηλικαύτην πλάσας συσκευὴν, καί σε φίλων καὶ τῶν ὅτι μάλιστα σπουδάσας ἔρημον ποιεῖν, καὶ ἡμᾶς εἰς τὴν ἔσχατον τῶν κακούργων χώραν τάττειν οἰηθεὶς, ἄρχειν ἀδίκων, οὐ χειρῶν, ἀλλὰ γνώμης (ὃ πλειόνων αἰτία κακῶν, ἢ χερσὶν ὑβρίζειν) μῖσος δὲ περὶ τῆς ἀγάπης τιμᾶν, καὶ τὸν δόλον ἔχειν εἰς ἀποφυγήν· ἅμα πάντα φέρων καθ' ἡμῶν, (συντρέχει γὰρ ταῦτα εἰς αὐτὸ τῷ κακόν τι τοῖς φίλοις ἐθέλειν ποιεῖν, ἃ λέγει ἐκεῖνος,) καί τοι γέλωτα ὀφλισκάνων, τοῖς ἡμᾶς εἰδόσι, καὶ τὸν ἡμέτερον τρόπον, ὅμως οὐκ ἐνάρκησε τολμᾶν· δήλου τοῦτον ὅστις ἂν * ἦ· ἀπαλλαγείης γὰρ ἂν οὕτω θηρίου κακοῦ, καί σε καὶ τοὺς φίλους λάθρα λυμαινομένου καὶ δάκνοντος, καὶ ἐν προσποιήσει εὐνοίας πολλὴν * ἐκκενοῦντος τὴν δυσμένειαν. Εἰ δὲ κρύψεις τοῦτον· ἡμεῖς μὲν, ὡς ἐπὶ κυρίου, ἀπολελογήμεθα, καὶ φίλον σε καὶ Θεοῦ ἡμῶν, καὶ τῶν εὐσεβεστάτων βασιλέων πάλαι τε, καὶ νῦν, καὶ πιστεύομεν, καὶ κηρύσσο-

* ἴσ. εἴη.

* γρ. ἐκκεντοῦντος.

Epist. 21.

Theophylacto Patricio, & Duci Armeniacorum.

Tria odio prosequi certum est, & alios hortor ut similiter exosa habeant, mendacium, dolos, interitum amoris. Si quid aliter efferre proposuerim quàm quomodo gestum est, & apud animum meum cognitum, tribus istis ego culpabilis fiam. Ego te mihi amicum conciliavi, Dei amicum exsistentem, (in quantum piâ cogitatione assequi potuerim) amicum autem fidelem, Regibus nostris à Christo dilectis: nec te reputabam, quòd persuasum habebam, aliter in nos etiam animatum; bene verùm tunc quidem ità fortè persuasum habebam, imò & etiamnum eodem modo affecti sumus. Quare igitur gratus sum & acceptus tuis sycophantis? pudet enim dicere, me ad te accusandum descendisse, nec mihi certè tolerandum videtur ab hujusmodi suspicione me expedire: verùm ille hostis, ille sycophanta omnigenâ malitiâ repletus est, qui talem, tantam machinationem instruxit, ut te penitus spoliatum amicis redderet, & nos tum etiam in maleficorum extremâ regione locare destinârat, nimirum ut principium non violenter manuum illatarum, sed improbi animi, à nobis procederet (unde multò majorum malorum origo quàm à manibus procedunt violentis) ut pro dilectione odium potiùs exspectaremus, & dolos refugium nobis in omnibus statueremus. Omnia in nos per hoc ipsum ingerit; coincidunt etenim in se ista, cùm malum nos amicis machinari statuit, & tamen hæc ipsa effutire non horruit apud eos quibus optimè nostri mores noti erant, utcunque de ridiculo habebatur. Quis demum cunque fuerit, manifestum illum facito: sic certè te à mala bestia expediveris quæ clanculùm cùm teipsum tum etiam amicos deprędatur & admordet, & sub prætextu benevolentiæ multiplices instimulat inimicitias. Sin abscondes illum, ego tanquam in conspectu Dei, apologiam dedi, me credere quidem & profiteri amicum te nostrum Deo, & piissimis Imperatoribus devotum, non minùs in præsenti quàm ab olim.

Improbus

Improbus autem ille homo haud quâdam, mihi crede, malitiâ destituetur, quâ res tuas pessimo loco statuat. Consulerem ego tibi certè, nè velis communem illum hostem occultare. Certè autem si diffidas iis quæ dicta sunt per me, scio te illum occultaturum, & in amici censu habiturum; passus interim me longas ineptias agere & desipere frustrà: sin propalam feceris, credidisti mihi; quod in vobis est, utrique certè nostrûm conducturum.

μεν. Ὁ δὲ κακὸς ἐκεῖνος ἀνὴρ, εὖ ἴσθι, ὡς οὐκ ἀπορήσει κακίας, δι' ὧν τὰ σὰ χείρω διαθήσει. Ἐγὼ δέ σοι ἔτι συμβουλεύσαιμι ἂν μὴ κρύπτειν τὸν κοινὸν ἐχθρόν· καὶ εἰ μὲν ἀπιστεῖς, ὧν ἔγραψα, εὖ οἶδ' ὅτι κρύψεις· φίλον γὰρ νομίσεις· ἐμὲ δὲ μακρὰ ληρεῖν καὶ φλυαρεῖν μάτην. Εἰ δὲ θριαμβεύσεις, ἐπίστευσας ὅπερ εὔχομαί τε, καὶ ἀμφοῖν λυσιτελήσει.

Epist. 22.

Pantoleonti Protospathario.

QUi vergis ad occasum vitæ tuæ, propellis te in illorum insolentes audacias quibus sanguis bullit. Quin quod verius est ut proferam, latronum facinora ut leviora habeantur præstas. Totos enim dies, noctes integras, in cædendis hominibus transmittis; nec vel tantillum temporis omittis improbè gloriari de illorum pœnis quos puniendos tenes. Phalaris fortè aliquis, aut Dionysius, aut si qui ob crudelitatem barbaram celebrius nomen habent, in certamen prodire ambitiosiùs tentas. Nec tibi vita vitalis habetur, si te æqualem illis præstes, nisi multis excedas parasangis. Ast certè cum viris in certamen descendit puer. Nam sine illis quæ magnificè alioquin gerebantur ab illis, tyrannis tibi tyrannis haud videtur, licèt omni opere in id innixus fueris, & tempus similia perpetrandi non longè absit. Leges profectò, quarum beneficio vivunt respublicæ, haud adhuc emortuæ sunt, nec diutius tolerabit hæc justitiæ oculus. Cùm enim qui per montes latrocinantur fures, pro meritis dignum supplicium sufferant, haud æquum est, ut qui per civitates multò impudentiùs homicidiis dant operam, cùm improbiùs deliquerint, tranquilliùs agant.

Ἐπιστ. κβ'.

Παντολεόντι πρωτοσπαθαρίῳ.

ἘΠὶ βίου δυσμὰς ἥκων, εἰς τὰ τῶν σφριγώντων ἐλαύνεις νεανιεύματα· μᾶλλον δὲ ἀληθέστερον εἰπεῖν, ἧττον φοβερὰ τὰ τῶν λῃστῶν δεικνύεις τολμήματα· ὅλας νύκτας καὶ ὅλας ἡμέρας δαπανῶν εἰς τὰς τῶν ἀνθρώπων μάστιγας· καὶ μικρὸν μηδὲ λιπὼν, οὓς ἔτι κολάζων ἔχεις, κακὸς εἶναι σεμνύνεσθαι. Φάλαρις ἴσως σοι, καὶ Διονύσιος, καὶ οἷς ἐπὶ ὠμότητι μεῖζον ὄνομα, εἰς ἀγῶνα πρόκεινται, πεφιλοτίμησαι· καὶ οὐχ ὅτι τούτοις σεαυτὸν ἐνάμιλλον, ἀλλ' εἰ μὴ μακρῷ παραδράμοις τούτους, τὸν βίον σοι ἀβίωτον νομίζεις. Ἀλλὰ παῖς πρὸς * ἄνδρα ἀγωνίζεται· χωρὶς γὰρ τῶν, ἅπερ ἐκείνοις ἄλλως τε καὶ μεγαλείως διαπέπρακται, οὐδ' ἡ τυραννίς σοι τυραννὶς, κἂν λίαν ἐκβιάζῃ, καὶ τοῦ παθεῖν ὁ χρόνος, ὧν πράττεις, τὰ ὅμοια οὐ μακράν· οὔτε γὰρ οἱ νόμοι, καθ' οὓς αἱ πολιτεῖαι ζῶσι, τεθνήκασι, καὶ ὁ τῆς δίκης οὐκ ἀνέξοιτ' ἂν ἔτι ὀφθαλμὸς, ὥστε τῶν ἐν τοῖς ὄρεσι λῃστῶν, τὴν ἀξίαν διδόντων ποινηλασίαν, τοὺς ἐν ταῖς πόλεσιν ἀναιδέστερον μιαιφονοῦντας, ὧν χείρω τετολμήκασιν, ἀδεέστερον βιώσεσθαι.

* ἢ ἄνδρας.

NOTÆ.

EPistola 168. ἁπλῶς appellat spatharium: hìc, tanquam auctâ dignitate, *Protospatharium*, ut videatur illa priùs scripta: illic μαχλοσύνην, & avaritiam hominis taxat; hìc barbaram in pœnis infligendis ὠμότητα. Erant autem etiam tum Spatharii quasi δήμιοι quidam, qui tormentis præerant & carnificinæ, ut priùs speculatores; utrobiq; ætate provectiorem ait, ut majus ei dedecus aspergeret ab ætate.

Ἐπισ. κγ'.

Ἰγνατίῳ Ἐπισκόπῳ Λόφων.

Ἀλγεῖς, ὅτι σε νῦν ἀδικοῦντα διακωλύω· ἐγὼ δὲ μᾶλλον καὶ δικαιότερον, ὅτι μὴ πάλαι μηδ' * ἄρχειν τοιαύτης πράξεως· εἰ δὲ καὶ τὸ ἐμὸν κρύφιον ἄλγος δέον ἐξειπεῖν ὅτι σοὶ παρέχον ἀφορμὴν, δι' ἧς * κακῶς βουληθεὶς, ἐδυνήθης γενέσθαι, ὁρᾷς, ὡς τῶν σῶν ἀδικημάτων, αὐτὸς ἐμαυτὸν αἴτιον ἐγὼ γράφω· τί ἂν οὖν οἴει τοὺς ἄλλους λέγειν περὶ ἐμοῦ, ὅταν τοῖς σοῖς ἀνιῶνται, καὶ φυγεῖν οὐκ ἔχουσι, τὸ μὴ * δυαφορεῖν; πῶς δὲ τοῖς ἐκείνων, ἅπερ αὐτὸς διέθου, παθήμασιν, οὐ τὸν κοινὸν δεσπότην εὑρήσειν δυσμενῆ, ἀρχὴν ἐγχειρήσαντα ἀνδρὶ, ᾧ κρεῖσσον ἦν τοῖς τῶν ἀρχομένων ἐσχάτοις ἀντεξετάζεσθαι; οὕτω με λογίζεσθαι νόμιζε περὶ σοῦ· καὶ εἰ μὴ θᾶττον καὶ ἡδέως σαυτοῦ τὰ ἀδικήματα περικόψῃς, ἀνάγκην εἶναί μοι, ἐμοῦ τε, καὶ τῆς ὅλης ἐκκλησίας, τέλεόν σε διακόψαι.

* ἴσ. ἄρχοντα.
* ἴσ. κακὸς.
* ἴσ. δυσαρεστεῖν.

Epist. 23.

Ignatio Lophorum Episcopo.

Dolet tibi quòd inhibeam tibi injustè agere; at mihi magìs justè dolere debet, quòd non impediverim hęc ipsa exordiri. Sin dolorem meum occultum necesse est effari, quòd ipse tibi causam exhibuerim, unde cùm fieri volebas improbus, improbus revera esse possis, vides ut memetipsum autorem tuis improbitatibus ascribam. Quid reris de me dicturi sunt alii, cùm de tuis factis ringantur, neque habent elabendi facultatem? quomodo laturum illorum afflictiones, quarum tu es architectus, communem Dominum reris? Annon infestum experiere, qui hominem evexerit dignitate eum, quem par erat cum infimis subditorum accenseri? hoc modo me in te animatum puta: Quòd si non libenter & quantociùs improbè agere desiveris, scito mihi incumbere necessitatem, ut te penitus à meiipsius & Ecclesiæ communione abscindam.

NOTÆ.

Λόφων ἐπισκόπῳ.] In Leonis Imperatoris διατάξει sub Metropolitana sede Nicomediæ censebantur Lophi. De hoc, opinor, sunt illa Nicetæ apud Baronium, anno 862. μηδ' ἄρχειν.] malim ἄρχοντα, ut respondeat τῷ. ἀδικοῦντα. sequentia lego, ὅτι σοι παρέχον ἀφορμὴν, δι' ἧς, κακὸς βουληθεὶς, ἐδυνήθης γίνεσθαι. Δυαφορεῖν.] Vox nihili, repone δυσαρεστεῖν.

Ἐπισ. κδ'.

Γεωργίῳ Μητροπολίτῃ Νικομηδείας.

Καλόν σε καὶ ἀγαθὸν οἱ αὐτόθεν φημίζουσιν ἥκοντες· καὶ οἱ μὲν ἄλλοι θαυμάζουσι χαίροντες. ἔσθ' ὅτε γὰρ, ὑπνοῦντος τοῦ φθόνου, οὐδὲν ἧττον ἄνθρωποι τοῖς ἀλλήλων, ἢ τοῖς αὐτῶν, ἥδονται κατορθώμασιν· ἐγὼ δὲ χαίρω μόνον, τὸ θαυμάζειν ἀφέμενος· οὐ γὰρ ἠγνόουν σε τοιοῦτον ὄντα, οὐδ' ἀνομοίους πάλαι τὰς ἐλπίδας εἶχον ὅσγε καὶ θείαις τελεταῖς μυσταγωγήσας ἱέρωσα· θαυμάζειν δ' ἂν οἶμαι προήχθην, εἴ τι σου τῶν τρόπων, καὶ τοῦ ἐγνωσμένου ἤθους, ἀλλοτριώτερον διακούσαιμι. Εἰ δὲ, μὴ φεύγειν τὴν ἐφορείαν, ἐφ' ἣ νῦν ἐτάχθης,

Epist. 24.

Georgio Nicomediæ Metropolitæ.

Virum probum & honestum te prædicant, qui ad nos à vobis accedunt. Alii quidem cum admiratione gaudent; itá enim interdum fit, ut sopito livore, non minùs aliorum rectè factis quàm suismet ipsorum oblectantur homines: Ego mirari quidem mitto, tantùm gaudeo. Neque enim te, qualis eras, ignorabam, nec dissimiles jam olim spes fovebam; quippe qui sacris Christianorum institutis Episcopū ordinavi. Ad mirandum verò, arbitror, procederem, si quid accepissem fando immutatum de moribus, & mihi nota satìs conditione, tuis. Quòd si non subterfugere provinciam, in qua constitu-

tus es, rectè tecum statuas, desertionem ordinis existimans laudatam tibi olim tranquillitatem, notum tibi sit quòd affectum istum cum gaudio, & magna etiam cum laude admirarer.

καλῶς κατορθώσης, λειποταξίαν κρίνων τὴν ἐπαινουμένην πάλαι ἡσυχίαν· εὖ ἴσθι, ὡς τοῦτο ἂν ἅμα χαίρων, καὶ σὺν ὅτι μάλιστα ἐπαίνῳ θαυμάσαιμι.

Epist. 25.

Zosimæ Monacho, & Anachoretæ.

MOntana tua munera sunt, castaneæ nempe & amanitæ; sed regiam adimplet munificentiam copia: montanismo delectâsti, non perinde abundantia: montes lædis, & regnum tibi in montibus suffuraris: hæc ideo scripsi, ut de copia demas, & in muneribus congruam retineas speciem. Vellem tibi præsens adesse, sed retardatur ille impetus; veruntamen non diu erit cùm nostra vice ablegabitur qui non dicam adimplebit, (neque enim hoc aliquando vel ipsi præstare poterimus) sed admensurabit defectum nostrum. Cætera quod attinet, Deum veneror, paterna tua sanctitas valeat, nolito nostræ oblivisci mediocritatis.

Ἐπισ. κε'.

Ζωσιμᾷ μονάζοντι καὶ ἡσυχαστῇ.

Ὄρειά σοι τὰ δῶρα, κάστανα καὶ ἀμανῖται· ἀλλὰ βασιλικῆς πολυτελείας τὸ πλῆθος· καὶ τῷ μὲν ὀρείῳ ἥδυνας, οὐχ ὁμοίως δὲ τῷ πολυτελεῖ διέθηκας· ὄρη τε ἀδικῶν, καὶ βασιλείαν κλέπτων ἐν ὄρεσιν. Ἔγραψα ταῦτα, ἵνα καὶ συστείλῃς τὸ πλῆθος, καὶ τὴν ἰδέαν φυλάττῃς τῶν δώρων· ἐβουλόμην σοι παραγενέσθαι, ἀλλὰ τῆς ὁρμῆς ἐχέθην· ὅμως οὐκ εἰς μακρὰν, ἀνθ' ἡμῶν, σταλήσεται, ὃς, οὐ λέγω ἀναπληρώσει (οὐδὲ γὰρ αὐτοί, οὐδ' ἄλλοτε ἡμεῖς) ἀλλὰ μετριώσει τὸ ὑστέρημα ἡμῶν. τὰ δ' ἄλλα, ἐρρῶσθαί σου τὴν πατρικὴν ὁσιότητα ἐπευχόμεθα, καὶ τῆς ἡμῶν μὴ ἐπιλελῆσθαι μετριότητος.

NOTÆ.

ZΩσιμᾷ.] Inter eos numerabatur qui contra Nicolaum Papam querimonias ex Italia detulere, quarum memorat Baronius. Ἀμανῖται.] Sunt μύκητες fungorum species, qui non valde grati videntur advenisse: nec mirum. Nam vel optimè conditi & præparati, maleficio non carent, sive boleti, sive amanitæ. Nicander in Alexipharmacis vocat ζυμώματα γαίης. Μὴ μὲν δὴ ζύμωμα κακὸν χθονὸς ἀνέρα κήδοι. Malè legitur ζυμωτὰ apud Nicandrum.

Epist. 26.

Athanasio monacho & Anachoretæ.

AD principatum & magistratum promotus is est, quem tua sanctitas, experientiâ captâ, præesse gregi fecit spirituali; Precare ergo pater, ut nec tuo judicio decipiaris (est enim hoc vel imprimis, si quid aliud, congruum cùm tuæ sanctitati, tum etiam illi) nec manuum nostrarum impositio ad reddendam vocetur rationem; sed ut planè dignus ille demonstretur & vestro suffragio, & spe nobis conceptâ. Cætera quod spectat, valere exopto tuam sanctitatem, & nostræ mediocritatis jugiter meminisse.

Ἐπισ. κϛ'.

Ἀθανασίῳ μοναχῷ καὶ ἡσυχάζοντι.

Εἰς τὴν τῆς ἡγεμονίας ἐπέστη ἀρχὴν, ὃν ἄρχειν τῆς πνευματικῆς ἀγέλης ἡ σὴ ὁσιότης διὰ δοκιμῆς ἐποιήσατο. Εὔχου οὖν πάτερ, μήτε τὴν σὴν σφαλῆναι κρίσιν (τοῦτο γὰρ τῇ τε σῇ ὁσιότητι, κἀκείνῳ, εἴπερ τι ἄλλο λυσιτελέστατον) μήτε τὴν ἡμῶν χειροθεσίαν εὐθύναις ἐνορᾶσθαι· ἀλλ' ἄξιον τὸν ἄνδρα, τοῦ τε ὑμετέρου ψηφίσματος, καὶ τῶν ἡμετέρων ἐλπίδων ἀναδειχθῆναι· τὰ δ' ἄλλα ἐρρῶσθαί σου τὴν ὁσιότητα ἐπευχόμεθα, καὶ τῆς ἡμῶν μὴ ἐπιλελῆσθαι μετριότητος.

Ἐπιστ. κζ.

Τῷ αὐτῷ.

ΩΝ ἔδει κατήκοον γενέσθαι τὸν γραμματοφόρον τῆς ὑμετέρας ὁσιότητος, ὡς ἐν βραχυτάτῳ καιρῷ, πάντα παρῃνέθη, καὶ οὗτος αὐτὸν εὐπειθῆ, καὶ καρπὸν οἴσειν τῶν παραινέσεων ἄξιον, ταῖς ὑποσχέσεσιν ἔδειξε, τά τε ἄλλα Θεῷ εὐαρέστως βιοῦν, καὶ μηδὲ τὸν δάκτυλον (ὅ δή φασι) κινεῖν τῆς ὑμετέρας χωρὶς ἐπικρίσεως· εὐχόμεθα δὴ τοῖς ἔργοις συμβαίνοντας ἰδεῖν τοὺς λόγους, ἵνα μὴ σπείραντας εἰς πέτρας, ὁ τοῦ γεωργίου καιρὸς ἡμᾶς ἐξελέγξειεν.

Οἱ δὲ τῶν συμβόλων μοναχοὶ ἀτάκτως ἐχώρησαν ἑαυτοῖς τὴν περὶ τοῦ σφῶν ἡγουμένου ἐξουσίαν καὶ κρίσιν ἐπιτρέψαντες· ἴσον γάρ ἐστιν ἵππους ἡνιόχων κατεξανίστασθαι, καὶ πρόβατα τοῦ ποιμένος, καὶ ναύτας τοῦ κυβερνήτου· μᾶλλον δὲ πολλῷ ἀτοπώτερον, μοναχοὺς τῶν καθηγουμένων καταφρυάττεσθαι, οἳ λόγον ὑπέχειν αὐτῶν ἑτέροις, ἀλλ' οὐκ ἐκείνοις, ἐπιστεύθησαν· εἰ δέ τι πλημμελεῖ, μείζονα κριτὴν ἐπιζητεῖν ἔδει, ἀλλὰ μὴ ἁρπάζειν τὴν κρίσιν τῶν Ἀρχιερέων, τοὺς ἐν τῇ τῶν κρινομένων χώρᾳ μόλις ἐξεταζομένους· ὅμως ἐπεὶ τῇ ὑμετέρᾳ προσερρύησαν ἁγιωσύνῃ, ἀφίεται αὐτοῖς τῆς ἀναρχίας τὸ τόλμημα, καὶ τῆς στάσεως, εἰ καὶ αὐτοὶ εὐπειθεῖς τοῦ λοιποῦ πολιτεύεσθαι διαβεβαιώσαιντο· δείξουσι δὲ, ἐὰν ἕνα τινὰ, ὃν ἂν βουληθῇ σου ἡ ὁσιότης, εἰς ἡγούμενον δέξονται· μὴ γὰρ αὐτοῖς ἐπὶ νοῦν ἥκοι, ὡς οἱ καταστασιάζειν ἐπαρθέντες, ἀνδρὸς, ὑπὲρ οὗ τὰς ψήφους ἐγγεγράφους ἔθεντο, οὗτοι πάλιν ψηφίζεσθαι καὶ μαρτυρεῖν ἀξιωθήσονται. Ἀρκεῖ γὰρ τοῖς πλημμελοῦσιν ἡ τῶν ἁμαρτηθέντων συγγνώμη· τὸ δὲ προνόμιον τῶν ἀνεξαμαρτήτων οὐχ ἕξουσιν, ἵνα μὴ ἀδιάφορον τῷ ἀγαθῷ τὸ κακὸν, καὶ τῷ κατορθοῦν τὸ ἁμαρτάνειν, ἐν ἀδιαφόρῳ τῇ ἐφ' ἑκατέρου κρίσει λογίζοιτο. τὰ δ' ἄλλα ἐρρῶσθαι σου τὴν ὁσιότητα ἐπευχόμεθα, καὶ τῆς ἡμῶν μὴ ἐπιλελῆσθαι μετριότητος.

Epist. 27.

Eidem.

AD ea quæ attendere debuit is, qui vestræ sanctitatis literas attulit, brevissimo & opportuno tempore instruebatur. Præstitit ille se morigerum vel maximè, & pollicitationibus declaravit fructum se laturum admonitionibus illis dignum, nimirum quoad cætera, complacente DEO, vitam instituere, nec vel digitum, quod dicitur, attollere absque vestra directione; Deum oro ut respondeant facta verbis, nè si fortè in saxa seminantes, destituat nos tempus agri metendi.

Monachi symbolorum inordinatè se gesserunt, qui censuram sibi arrogârunt & potestatem Abbatis deponendi. Idem facinus ausi, ac si in aurigam insurgerent equi, greges in pastorem, nautæ in nauclerum: imò multò hoc magis absonum est, ut Monachi audaciâ contra Hegumenon insolescant, qui rationem aliis tenetur & non ipsis reddere. Si quid ab illo delictum fuerat, judicem adire majorem debebant, nec ad se arripere judicium episcopale, cùm vix in numero consistant judicandorum. Nihilominus cùm ad vestram confluxerint sanctitatem, remittitur illis audax illud anarchiæ facinus, & seditionis motæ; sed ità ut in se recipiant promittendo de cætero futuros obedientiores. Id autem ita demonstratum dederint; si in Abbatem consenserint à tua sanctitate nominatum. Neque enim illa versentur opinione, toleratum iri ut qui ad seditionem elati commovebantur, in illum denuò consentiant & conspirent eligendum, quem calculis priùs scriptis, sibi designârant. Sufficere delinquentibus debet si veniam de admissis impetraverint; Nequaquam verò aspirabunt ad non delinquentium prærogativam, nè ut res indifferens, bonum, malum; rectè agere, & delinquere habeantur, judicio de utroque indifferenter affecto. Cætera quod spectat, precor tuam valere sanctitatem, & nostræ mediocritatis non oblivisci.

Epist. 28.

Joanni Heracleensi Metropolitæ, cùm per Armeniam defectio agitaretur.

MOerores insensatos enumeras in præsentium malorum diffusione, perinde ac si sensus voluntariè occluseras, neque animus esset oculis usurpare. Universa penè Asia intestinâ concutitur seditione; civitates cum tota incolarum multitudine malo feruntur involuti, & suffocati undis. Qui ruinam hanc conceptâ spe suffulciturus credebatur, non modò nihil auxilii præstat, sed in præcipitium res deturbat, atque eam ob rem gloriosè de se sentit. Exercituum Ductores, omisso in hostes capessendorum armorum actu (nec refero quantopere in proprium ipsorum caput & imperium conjurent) in semet mutuò, barbarorum more, castra movent; nil leges *DEI* veriti, nil humanos reveriti mores. Quomodo putas, Urbs, Imperatores ipsi, etiam nos, si velis, afficimur hâc tantâ calamitate? Quòd si commune hoc quiescat malum, omnino autem conquiescat, (ità enim ut loquamur persuadet justitia) simul etiam evanituræ sunt, quæ quemlibet privatim urgent calamitates; veterem vim & debitam obtinebunt leges; de iis qui injusti aliquid patrârunt, & injustè patrare volentibus, supplicium sumetur. Vale.

Ἐπιστ. κη΄.

Ἰωάννῃ Μητροπολίτῃ Ἡρακλείας, τῆς ἐπαναστάσεως τῆς κατὰ τὴν Ἀρμενίαν συνισταμένης.

ἈΠηλγημένας λύπας ἀριθμεῖς ἐπὶ τῇ φορᾷ τῶν παρόντων κακῶν, ὥσπερ ἑκὼν τὰς αἰσθήσεις μύων, καὶ οὐκ ἐθέλων ὁρᾶν· σείεται σχεδὸν ἡ Ἀσία πᾶσα ἐμφυλίῳ στάσει, καὶ πόλεις αὔτανδροι ὑποβρύχιοι φέρονται τῷ κακῷ· * ὁ δὲ τὴν φορὰν ταύτην ἐπισχεῖν ἐλπίδες ἦσαν, οὐχ ὅτι οὐδὲν ἐπικουρεῖ, ἀλλὰ καὶ πρὸς τὸ βάραθρον συνωθῶν, οὐ μικρὰ ἐπὶ τούτῳ φρονεῖ· οἱ γὰρ καθηγούμενοι τοῦ στρατοῦ, αὐτοὶ κατὰ τῶν δυσμενῶν τὰ ὅπλα φέρειν μεθέντες (ἐῶ δὲ νῦν, ὡς κατὰ τῆς ἰδίας κεφαλῆς καὶ ἀρχῆς ἐπανετείναντο) ἀλλ' οὖν κατ' ἀλλήλων φέρειν τὸ στρατιωτικὸν ἐβαρβάρωσαν, οὔτε θεσμοὺς θείους οὔτε ἀνθρωπίνους ἐν λόγῳ ποιησάμενοι. πῶς οἴει τὴν πόλιν καὶ τοὺς βασιλεῖς αὐτούς, εἰ βούλει δὲ καὶ ἡμᾶς, ἐπὶ τηλικούτῳ διακεῖσθαι πάθει; ἂν δὲ τὸ κοινὸν λοφήσει κακόν, λοφήσει δὲ, (τοῦτο γὰρ τὸ εὐθὺ τῆς δίκης καὶ λέγειν ἀναπείθει, καὶ ἐννοεῖν) οἰχήσεται καὶ τὰ ἐνοχλοῦντα ἑκάστῳ καὶ ἴδια λυπηρά, τῶν νόμων ἐπὶ τὴν ἰδίαν ἰσχὺν ἀνενεγκόντων, καὶ τῶν ἀδικεῖν ἐπιχειρούντων, ἢ καὶ ἀδικησάντων, τὴν δίκην ἀπαιτουμένων. Ἔρρωσο.

* ἴσ. ᾧ δὲ

Epist. 29.

Leonti Spathario, cognominato Draconi.

MUlti ad nos animitùs lupi accesserunt, ovium indumenta gestantes, quique per externum habitum internam vestierunt improbitatem. Sed horum plerique diu non celabantur: Revelavit enim tempus artificium ipsorum, & amictum pelliculæ non tantùm in vanum excogitatum monstravit, sed insuper, quod minimè volebant factum, duplicem ipsis adesse iniquitatem, absconditam nimirum & abscon-

Ἐπιστ. κθ΄.

Λέοντι σπαθαρίῳ τῷ ἐπιλεγομένῳ Δράκοντι.

ΠΟλλοὶ πρὸς ἡμᾶς λύκοι τὴν γνώμην παρεγένοντο, προβάτων ἐνδύματα φοροῦντες, καὶ τῷ ἔξωθεν σχηματισμῷ τὴν ἔσωθεν περιστέλλοντες κακίαν· ἀλλὰ τούτων οἱ πλείους οὐκ ἔλαθον ἐπιπολύ, τοῦ χρόνου φωράσαντος αὐτῶν τὴν τέχνην, καὶ τὴν περιβολὴν τῆς δορᾶς, οὐκ εἰς μάτην μόνον ἐπινοηθεῖσαν, ἀλλὰ καὶ διπλῆν ἐπιδεικνύντος, τοὐναντίον ἤπερ ἐβούλοντο, τὴν προσοῦσαν αὐτοῖς πονηρίαν τήν τε κρυπτομένην φημὶ, καὶ τὴν κρύπτουσαν.

Ἡ δὲ σὴ μεγαλειότης, ὡς ἔοικεν, ἐκ πολλοῦ τοῦτο καὶ μελετήσασα καὶ τεχνώσασα, σοφὴ τοῦ καλύπτειν ἐγένετο τὸ θηρίον, καὶ μέχρις ἂν ἀρνίῳ περιέτυχε, τὴν δορὰν οὐκ ἀπέθετο· ἐπιτυχοῦσα δὲ, καὶ ἀπεδύσατο, καὶ τὸν θῆρα ἔδειξε· καὶ τοσοῦτον, τό γε αὐτῆς μέρος, τὰ περιτυχόντα διέφθειρεν, ὅσον οὐδὲ τὰ περιφανέστατα τῶν ἀγριωτάτων θηρῶν ἐλυμήνατο ἄν. ἀλλὰ χαίρομεν κἂν τούτῳ, ὅτι λαθοῦσα προέλαβεν ἡμᾶς κρυπτομένη κακία, ἢ προκατελάβομεν ἡμεῖς κολάσαι ὑπονοουμένην μοχθηρίαν· τὸ μὲν γὰρ καὶ σφάλλοι ἂν πολλάκις οὐκ ἐπ' ὀλίγον· τὸ δὲ καὶ λαθὸν, τὴν ὑστάτην οὐκ ἂν φύγοι δίκην· ἀλλὰ ταῦτα γράφομεν, οὐχ ἵνα ἐπιστραφῇς (ἐπιστραφήσῃ γὰρ καὶ μὴ θέλων) ἀλλ' ἵνα γνῷς ὡς οὐδὲ τὴν ἀρχὴν ἔλαθες ἂν ἡμᾶς, εἰ μὴ συνεργὸν εὗρες τὴν ἡμετέραν φιλανθρωπίαν. Τὰ δ' ἄλλα ἐῤῥῶσθαί σε τὴν ψυχὴν μᾶλλον ἢ τὸ σῶμα ἐπευχόμεθα· καὶ τῶν τετολμημένων διὰ μετανοίας τὰ στίγματα ἀπαλείψαντα, καὶ οὐ τὸ πρόβατον, ἀλλὰ τὸ θηρίον εἰς τὸ παντελὲς ἀπεκδυσάμενον, μήτε ἐνταῦθα, μήτε ἐκεῖθεν εὐθύνας ὑφέξειν.

dentem. Tuâ autem magnificentiâ, quod par est credere, cùm à longo tempore meditatus, & artificiosè construens fueris istud, prudenter bestiam occultâsti; neq; pellem deposuisti priusquam in agnum arreptum incidisti: illo potitus, & exuisti, & te bestiam professus es. In tantum verò oblata, quod tuas partes attinebat, discerpsisti, ut nec crudelissimæ bestiæ publica devorarent. Lætamur hoc ipso tamen, quòd celata improbitas priùs nos occupavit, quàm ad coercendam suspectam tantùm accingeremur; illud enim licèt sæpenumerò aberret, non tamen in minimis; hoc, si latuerit, postremò vindictam non elongabit. Et hæc quidem scribo, non ut convertaris (nam licèt invitus olim convertêris) sed ut planè intelligas, quòd nè quidem ab initio nos latueris, sed cooperantem nostram expertus sis clementiam. Cæterùm te animo magìs quàm corpore valere cupiam, & ut per pœnitentiam stigmata impressa eluas, nec velis ovem sed bestiam penitus deponere, ità ut, nec in hoc, nec futuro seculo ad calculos voceris & reddendam rationem.

NOTÆ.

AN idem sit cum Pantoleonte, nescio: certè conveniunt mores, & *ἀναστροφὴ*, & proxima sunt nomina sed Epistola 209. agnoscit etiam Leonta Spatharium.

Ἐπιστ. λ'.

Γρηγορίῳ Σπαθαρίῳ κανδιδάτῳ αἰτησαμένῳ λύσιν ἀπορίας.

Epist. 30.

Gregorio Spathario Candidato, roganti solutionem quæstionis dubiæ.

Ὁ Ἀσπασμὸς ἄνωθεν· ἡ σύλληψις ἄσπορος· κύησις ἄφραστος· ὠδῖνες ἀλόχευτοι· σφραγὶς τῆς παρθενίας ἡ τῶν ὠδίνων διάλυσις (ὁ γὰρ τόκος ἄφθορος καὶ ἡ τεκοῦσα παρθένος καὶ μετὰ γέννησιν) Θεὸς ἐν σαρκὶ τὸ τικτόμενον· χορὸς ἀγγέλων ᾆσμα τὸ θαῦμα ποιούμενοι· ἔνθα τοσούτων καὶ τηλικούτων συνδρομὴ, πῶς ἄν τις διαμφισβητήσειε, κἂν πάντα ἀσεβεῖν ἐθέλοι μελέτην, ὅτι μὴ οὐχὶ παρθένος ἡ παρθένος, καὶ μέχρι τέλους διέμεινεν; Εἰ δὲ τὸ, οὐκ ἐγίνωσκεν αὐτὴν ἕως οὗ ἔτεκε τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον,

SAlutatio de sursum: Conceptio sine semine: parturitio inexplicabilis: partus sine obstetrice: virginitatis sigillum: dolorum absentia; (nam & sine corruptione fuit generatio, & quæ peperit, post partum Virgo permansit) quod nascebatur, Deus erat in carne: Angelorum chorus admirationem cantum suum faciebant; ubi talium concursus, & tantorum fuit, quomodo quis ambigere posset, haud intelligo, licèt ipsi proposita fuerit summa impietas, an Virgo virgo manserit usque in finem. Quòd si quidam fundamentum sibi blasphemiæ struxerint illud, *Et non cognovit eam, donec pepererat Filium suum primogenitum,* intelligant

intelligant, illi quòd immaculatorum oraculorum veritas id volebat constitutum dare, quod opinionem, naturam, apprehensionem transgreditur omnem, nempe sine viri consortio conceptionem & nativitatem; id verò prætermisit, tanquam consectarium, mente animóque concipiendum, quod deinceps fuit. Certè illam quæ in partu permansit virgo, per reliquum vitæ cursum perstitisse virginem, neque novum erat, nec paradoxum, potiùs id quod necessariò è præmissis consequebatur. Sed & os Judæorum blasphemum obturare volebat, qui de fornicatione natum sine semine conceptum traducebant. Obviam igitur ivit eorum impiæ sententiæ, dum manifestat & deprædicat intactam fuisse viro, quæ Filium pepererat. Illud præterea intelligere debent, quòd nec vocum earum vim voluerunt percipere, è quibus divina oracula constant; alioqui diffiteri non possunt *Donec* interdum per antidiastolen temporis secuturi usurpari, interdum adhiberi ad rerum eximiarum & divinarum declarationem: ut in præsenti, non quidem ad distinguendum aliquod aliud tempus, sed è contrà potiùs ad intimandum spatium immensurabile. Exempla præstò sunt: *Consurrexit etenim in diebus ejus justitia, & abundantia pacis, quoad usque perduratura fuit luna.* Sed & scriptum est dixisse Patrem Filio, *Conside à dextris mihi, usquedum ponam inimicos scabellum pedum tuorum.* Et ad discipulos ait Salvator, *Ecce, ego cum vobismet sum, usque ad mundi consummationem.* Liquet autem quod in istis illud Donec, non aliquod temporis interstitium aut terminum subinfert, sed vox illa, excellentiam rerum divinarum subindicat, & mentes legentium animósque ad cogitandum transmittit extensionem quandam indefinitam. Sed nec ista tantùm significat Donec, verùm & tertiam animadvertere est intelligentiam, quâ quidem nihil magni excessûs indicatur, tantummodo contrarium innuitur absolutè antecedentis cujusdam Donec: ut in istis, *Non reversa est ad Noe columba, donec exarefacta erat terra.* Et alibi dicitur, *Donec consenueritis, ego*

ὑπόθεσιν βλασφημίας ἑαυτοῖς τινὲς ἂν εὑρίσκουσιν, ἴστωσαν, ὡς ἡ τῶν ἀχράντων λογίων ἀλήθεια τὸ μὲν παράδοξον καὶ ὑπερφυὲς καὶ ὑπὲρ κατάληψιν ἠβουλήθη παραστῆσαι, ὅπερ ἐστὶ τόκος ἄνευ ἀνδρὸς ἐπιγνώσεως· τὸ δὲ μετὰ ταῦτα νοεῖν κατέλιπεν ὡς ἀκόλουθον. Τὸ γὰρ, τὴν ἐν τόκῳ παρθενεύουσαν, καὶ τὸ λοιπὸν διὰ βίου παρθενεύειν, οὔτε καινὸν ὅλως ἦν παράδοξον, ἀλλὰ καὶ τοῖς προηγησαμένοις ἐξ ἀνάγκης μᾶλλον ἑπόμενον· ἄλλως τε δὲ καὶ τῶν Ἰουδαίων τέως ἐπιστομίζειν ἔγνω τὸ βλάσφημον, οἳ ἐκ πορνείας τὸν ἄσπορον τόκον διέσυρον· διὸ καὶ πρὸς τὴν ἐκείνων ἵσταται κακόνοιαν, δι᾽ ὧν τρανοῖ καὶ ἀνακηρύττει τῆς τεκούσης τὸ ἀνέπαφον· κἀκεῖνο δὲ συνιέτωσαν, ὅτι μηδ᾽ αὐτὰς τὰς λέξεις, ἐξ ὧν οἱ θεῖοι χρησμοὶ, συνιέναι ἠβουλήθησαν· ἢ γὰρ ἂν τὸ, ἝΩΣ, κατέμαθον ἐνίοτε μὲν πρὸς ἀντιδιαστολὴν τοῦ ἐφεξῆς χρόνου παραλαμβανόμενον, ἐνίοτε δ᾽ οὖν ἐπὶ δηλώσει μεγάλων μὲν ἔργων καὶ θεοπρεπῶν· καθάπερ καὶ νῦν, οὐ μὴν πρὸς ἀντιδιαστολὴν ἑτέρου χρόνου τινὸς, ἀλλὰ καὶ τοὐναντίον, εἰς ὑποδήλωσιν ἀπεράντου διαστήματος· καὶ ἀνὰ χεῖρα τὰ παραδείγματα. Ἀνατελεῖ γὰρ ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιοσύνη καὶ πλῆθος εἰρήνης, ἕως οὗ ἀνταναιρεθῇ ἡ σελήνη. καὶ, Κάθου ἐκ δεξιῶν μου (ἀνάγραπτός ἐστιν ὁ πατὴρ λέγων τῷ υἱῷ) ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου· καὶ, Ἰδοὺ, ἐγὼ μεθ᾽ ὑμῶν εἰμὶ (πάλιν ὁ σωτὴρ τοῖς μαθηταῖς φησιν) ἕως τῆς συντελείας τοῦ αἰῶνος. καὶ δῆλον, ὡς ἐνταῦθα τὸ, ἝΩΣ, οὐ χρονικόν τι μεθόριον καὶ πέρας παρεισάγει, μέγεθος δὲ θείων πραγμάτων ἡ λέξις συμπαραδηλοῦσα εἰς ἀπειρόριστον παράτασιν τὸν νοῦν τῶν ἐντυγχανόντων ἀναπέμπει. Οὐ μόνον δὲ, ἀλλὰ καὶ τρίτον ἐστὶν ἰδεῖν αὐτοῦ σημαινόμενον, δι᾽ οὗ μέγα μὲν καὶ ὑπέρογκον οὐδὲν ὑποδηλοῦται, ἁπλῶς δὲ τὸ ἐναντίον τοῦ προτέρου ἝΩΣ, διασημαίνεται· ὡς τὸ, Οὐκ ἀνέστρεψε πρὸς τὸν Νῶε ἡ περιστερὰ, ἕως τοῦ καταξηρανθῆναι τὴν γῆν· καὶ, ἝΩΣ ἂν καταγηράσητε,

ἀλλαχοῦ φησὶν) ἐγώ εἰμι ὁ Θεός· καὶ ἄλλα μυρία, δι' ὧν εὔδηλον καὶ τοῖς λίαν ἐθελοκωφοῦσι καθίσταται), ὡς ἀντὶ τοῦ διηνεκῶς, καὶ εἰς τὸν αἰῶνα, ἡ λέξις παραλαμβάνεται). ὅταν οὖν δείξωσιν οἱ πάντα θρασεῖς, μετὰ τὴν τῆς σελήνης ἀνταναίρεσιν, τὴν τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν δικαιοσύνην εἰς τὸ μὴ ὂν καταδύουσαν, καὶ τὸ πλῆθος αὐτοῦ τῆς εἰρήνης ἐμμειούμενον, καὶ εἰς ἔχθραν διαχεόμενον· καὶ μετά γε τὸ ὑποτεθέναι τοὺς ἐχθροὺς αὐτοῦ ὑπὸ τοὺς πόδας αὐτοῦ, τῆς ἐκ δεξιῶν καθέδρας τοῦ πατρὸς παρακινούμενον τρέποιτο (τὸ δὲ τὸ βλάσφημον εἰς τὰς τῶν ἀναισχυντούντων κεφαλάς,) εἶτα δὲ καὶ μετὰ τὴν συντέλειαν τοῦ αἰῶνος, ὅτε μᾶλλον αὐτοῖς ἡ οἰκείωσις, τῶν μαθητῶν ἀφιστάμενον· καὶ ἐπειδὰν καταγηράσωσιν οἱ τότε ἄνθρωποι, μηκέτι ὄντα τὸν θεόν. εἰ βούλει δὲ καὶ τὴν περιστερὰν μετὰ τὸ ξηρανθῆναι τὴν γῆν πρὸς τὸν Νῶε ἀναστρέψασαν· τότε διαπορέτωσαν, καὶ εἰ μετὰ τὸν ἄρρητον καὶ παρθένιον τόκον, ἀνδρὸς ὁμιλίαν ἡ παρθένος ἐμελέτησεν. Εἰ δὲ μὴ κατ' ἐπιστολὴν ἔγραφον, πλείους ἄν, Θεοῦ διδόντος, τὰς ἀποδείξεις σοι παρεθέμεθα· ἀλλ' ἱκανὰ καὶ ταῦτα οἷς μὴ μετὰ τῆς ἀγνοίας καὶ ἡ διάνοια προσαπώλετο· τὰ δ' ἄλλα, ψυχῇ καὶ σώματι ἔῤῥωσο.

Deus sum. & sexcenta hujuscemodi in promtu sunt, quæ vel valdè affectatè surdos hos docere possunt, quòd vox illa usurpari solet pro *Continuò*, & *In secula*. Cùm igitur docuerint audacissimi, quòd post lunæ ablationem Christi Dei nostri justitia in nihilum recessura sit, & pacis ipsius abundantiam minuendam, vel in odium & inimicitias disseminandam; aut quòd cùm subjecerit inimicos suos sub pedibus suis, de loco consessûs ad dextram sui Patris deturbabitur (interim in autorum capita hæc blasphemia convertatur) & post sæculi consummationem, cùm multò propinquiùs illi conjungentur discipuli, cum ab iis recessurum; aut Deum non ulteriùs futurum, postquam illi homines ætate provehantur; aut docuerint, post arefactam terram columbam ad Noe rediisse, tunc addubitent, nec impedio, an post partum virgineum inexplicabilem, de virili consortio Virgo cogitaverit. Quòd si non epistolam scriberem, plures adhuc, cum bono Deo, tibi repræsentarem demonstrationes. Sed istæ sufficient satis iis omnibus, qui non unà cum ignorantia, & mentis suæ fecerunt jacturam. Cætera, Valeas animo & corpore.

NOTÆ.

Σπαθαρίῳ Κανδιδάτῳ]. Legendum ὑφ' ἕν, Σπαθαροκανδιδάτῳ, ut in Epistolis 147, & 151. Nempe qui & in ordine Candidatorum constitutus fuit, & etiam Spatharius. Sunt enim Κανδίδατος, Σπαθάριος, & Σπαθαροκανδίδατος tria distincta officia. Meursius in hac voce apud Lexicon mixobarbarum ait inter Epistolas Photii duas esse inscriptas Theodoto σπαθαρίῳ κανδιδάτῳ, & rescribit è conjectura, σπαθαροκανδιδάτῳ. Quos codices ille vidit, nescio. In nostris ità rectè scribebatur, Epistolæ 147, & 151. quas duas intellexit; ubi etiam in ista 30. cujus non meminit. Ἀσπασμός.] Angelicam salutationem beatæ virginis percurrit breviter, ut & totam Incarnationis οἰκονομίαν. Videtur autem Gregorius iste Helvidii Hæretici blasphemiam renovâsse contra perpetuam virginitatem τῆς Θεοτόκου Μαρίας, quam credit Ecclesia virginem fuisse ante partum, virginem semper mansisse post partum, virginem fuisse & in partu: quod Tertullianus & Novatores quidam negant. Locus hic post Hieronymum à multis tractatur, sed à nullo magìs distinctè quàm Photio. [Pro ἐμμειούμενον, legendum vel ἀμαυρούμενον, vel ἢ καὶ μειούμενον.

Ἐπιστ. λα'.

Ταρασίῳ Πατρικίῳ ἀδελφῷ ἠγαπημένῳ.

Εἰ μηδεὶς τῶν ἀδικούντων, καὶ ὅλως ἁμαρτανόντων, κατὰ χεῖρας εἶχε φθάνουσαν τὴν δίκην, ἀλλὰ καὶ πάντες οἱ τῆς ἀρετῆς ἐργάται, τὸν βίον ἔτριβον ἐν ταλαιπωρίᾳ, οὐκ ἂν σοι λίαν ἀτόπως ὁ περὶ προ-

Epist. 31.

Tarasio Patricio prædilecto Fratri.

Si nemo prorsus improborum, & peccatis penitus deditorum vindictam præ manibus præsentem haberent, sed virtutis operatores, universim omnes, vitam transigerent per miserias, haud absurdè tibi videretur de providentia,

videntia, ratio manca atque mutila: ſed cùm plurimi eorum, qui ſe nequitiis dediderunt, in ipſo improbitatis actu, pœnas dediſſe cognoſcantur, & qui ſecundum virtutis tenorem ſemet confirmârunt, proſperè vixiſſe intelligantur; omnino neceſſe eſt, ut ſtultum ſit obloqui providentiæ: quod ſi illud te contra eam ſtimulat, quia non indifferenter omnes hac in vita percipiant merita ſua, ſcias oportet, te per id quo contra depugnare illam reris, vel maximè ejuſdem vim irreſiſtibilem & ſapientiam celebrare. Certè, ſi omnes per præſentem vitam, vel rationem reddere de peccatis cogerentur, vel eò quòd meliorem partem fuerint amplexi, gloriam, honorem, beatitudinem hîc aſſequerentur, omnino fruſtra futurum aliquod judicium expectaretur (quod tamen à ſuprema ſapientia & cura divina ordinatur:) ſed inſuper violentum quid & coactitium videretur, à malo abſtinuiſſe; ſi horrerent delinquentes è veſtigio ſemper ſequens & adhærens ſupplicium; quo pacto fieret, ut non de electione melioris ſententiæ, ſed metu potiùs, & timiditate, à malo deterrerentur: accedit quòd virtutis operatio, non ex aliquo virtutis reſpectu, ſed mercedis intuitu ſuſciperetur; nulla bonorum à malis diſtinctio ſtatueretur: ſed nec à quibuſdam, ut regnum cœlorum conſequantur, aut ut divina mandata cuſtodiant, virtutis actus, ejuſdémque frequens uſus ex amore Dei, proficiſcerentur, quidam autem in eum finem id agerent, ut præſentis vitæ curſum ſuaviter tranſmittant, & beaté: ulterius autem id quod longè pulcherrimum eſt, nimirum certamina, propter quæ adita juſti coronantur, tollerentur, ſi nemo prorſus hujus vitæ miſeriis & calamitatibus conflictaretur. Nec hæc tantùm dixero, ſed adjiciam id quod nullâ de prioribus demonſtrationibus eſt invalidius, eſſet hoc à Deo qui ſupplicium augeret, & vehementius in delinquentes irâ excandeſceret. Quod utrumque alienum eſt à divina bonitate; velle enim coronas auferre, & pœnam machinari acerbiſſimam, eámq; ſine alleviamento, longiſſimè recedit à bono moderatoris animo, fieri enim non poteſt, quin ſupplicium contra peccantes inexorabile ſit ſtatutum, & in ſolidum mera vindemia-

νοίας λόγος ἐχώλευεν. ἐπεὶ δὲ πολλοὶ καὶ τῶν τὴν κακίαν μετιόντων, παρ᾽ αὐτὰς τὰς πράξεις ὤφθησαν τὰς δίκας δεδωκότες, καὶ τῶν ἀρετῇ ῥυθμιζομένων εὐπαθοῦντες εἰσὶν ἐγνωσμένοι, πῶς οὐκ ἀνόητος ἡ κατὰ τῆς προνοίας ἐπίνοια; Εἰ δ᾽ ὅτι μὴ πάντες ἐνταῦθα κομίζονται τὰ ἐπίχειρα, τοῦτό σε κατ᾽ αὐτῆς ἀνερεθίζει, ἴσθι ὡς δι᾽ ὧν ἔγνως αὐτῇ μάχεσθαι, μᾶλλον αὐτῆς ἀνακηρύττεις, μετὰ τῆς σοφίας, τὸ ἄμαχον. Εἰ γὰρ πάντες ἐν τῷ νῦν αἰῶνι, οἱ μὲν τὰς εὐθύνας εἰσεπράττοντο τῶν ἡμαρτημένων, οἱ δὲ, ἐφ᾽ οἷς εἵλοντο τὰ ἀμείνω, δόξης καὶ τιμῆς ἀπήλαυον καὶ εὐδαιμονίας, μάτην τε ἂν τὸ ἐκεῖθεν κριτήριον συνέστηκε (ὅπερ ἐστὶ τῆς ἀνωτάτω Θεοῦ σοφίας καὶ κηδεμονίας.) καὶ βίαιον ἄλλως καὶ ἀκούσιον ἡ τοῦ κακοῦ φυγὴ ἐπεδείκνυτο· δεδοικότων, ὡς εἰκὸς, τῶν πλημμελεῖν ἐγνωκότων, τὴν παραυτίκα τιμωρείαν· καὶ οὐχὶ γνώμης ἀγαθῆς αἱρέσει, δειλίᾳ δὲ μᾶλλον ἀπὸ τῆς κακίας διασπωμένων. ἀλλά γε δὴ καὶ μισθαρνίᾳ καὶ οὐκ ἀρετῇ, τῆς ἀρετῆς ἐτύγχανεν ἂν ἡ ἐργασία· καὶ οὐκέτι διάκρισις τῶν σπουδαίων καὶ τῶν φαύλων ἐγεγόνει· οὐδέ τισι μὲν, ἵνα τῆς ἐκεῖθεν τύχωσι βασιλείας, καὶ ἵνα δεσποτικὰς συντηρήσωσιν ἐντολὰς, ἡ ἀρετῆς πρᾶξις, καὶ ἡ ταύτης χρῆσις ἐξ ἔρωτος θείου, τισὶ δὲ ἵνα τὸν παρόντα βίον ἐν ἀπολαύσει διαχύσωσι καὶ εὐδαιμονίᾳ. ἄλλως τε καὶ τὸ πάντων κάλλιστον, τοὺς ἀγῶνας λέγω ἐφ᾽ οἷς οἱ δίκαιοι μάλιστα στεφανοῦνται, ἀναιροῦντός ἐστι τὸ μηδένα τούτων βούλεσθαι τοῖς παροῦσι πόνοις ἐνταλαιπωρεῖσθαι. Οὐ μόνον δὲ, ἀλλὰ καὶ, ὃ τῶν εἰρημένων οὐδενὸς εἰς ἀπόδειξιν ἀσθενέστερον, αὔξοντός ἐστι τὴν τιμωρείαν καὶ ὑπεροργιζομένου κατὰ τῶν ἁμαρτανόντων· ὧν ἑκάτερον ἀλλότριον τῆς τοῦ Θεοῦ φιλανθρωπίας. τότε γὰρ στεφάνους ἀφαιρεῖν, καὶ τὸ πικροτάτην καὶ ἄκρατον μηχανᾶσθαι τιμωρείαν, πόρρω καθέστηκε τῆς ἀγαθοειδοῦς ἐπιστασίας, πῶς δ᾽ οὐκ ἂν εἴη τοῖς ἁμαρτάνουσι σφοδρὰ καὶ ἀπαραίτητος, καὶ ὅλον τρυγίας ἄκρατος ἡ

τιμωρία τρόπον τινὰ παρεσκευασμένη, ὅταν ἐπὶ τοσοῦτον μὲν ὑπερβλύσῃ ἡ τῆς εὐεργεσίας, ὥστε ἐξὸν ἄμεινον βιοῦντας, καὶ τῆς ἐντεῦθεν εὐπαθείας, καὶ τῶν ἐκεῖθεν ἀγαθῶν ἀπολαύειν· τοῖς δὲ οὐδ' οὕτως, ἀντὶ τῶν χειρόνων, αἵρεσις ἔπεισι τῶν κρειττόνων. ὥστε τὸ, μὴ πάντας τοὺς σπουδαίους ἐνταῦθα τὸν βίον ἔχειν ἐν εὐροίᾳ, μηδὲ τοὺς φαύλους ἅπαντας ἐν ταλαιπωρίᾳ, τῆς ἄκρας ἐστὶ περὶ τὸ ἀνθρώπινον φιλανθρωπίας τε καὶ κηδεμονίας. Κολάζονται τοίνυν ἐνταῦθά τινες τῶν μὲν σπουδαίων, ἐπὶ τῇ τῶν στεφάνων ἀπολήψει, καὶ ἵνα μᾶλλον αὐτοῖς ὁ θεῖος ἔρως θαυμαστὸς*, ἡλίκος κἂν ταῖς θλίψεσιν ἀνακμάζων ἐπιδεικνύοιτο. εἰ βούλει δὲ καὶ ἵνα μὴ, ὡς ὁ θεῖος Παῦλός φησιν, ὑπεραίρωνται, μηδέ γε μείζους, ὑπὲρ ὃ ὁρῶνται, παρ' ἐνίοις νομίζονται. Σὺ δέ μοι σύνες, εἰ βούλει, καὶ διότι μεγάλαις καὶ καθαραῖς ἡδοναῖς ταῖς κατ' ἀρετὴν ἐντρυφῶσι καὶ διαχέονται, *δίκαιον ἂν εἴη, ὥσπερ στύφοντί τινι καὶ συνάγοντι φαρμάκῳ προσομιλεῖν (καὶ) ταῖς θλίψεσι· καὶ ὅτι ἡ τοῦ Θεοῦ χάρις διὰ τῆς ἀσθενείας αὐτῶν. πλέον ἐκλάμπει καὶ θαυμάζεται. ἀλλὰ καὶ εἰς τελείαν αἰσχύνην τοῦ πονηροῦ καὶ κατάπτωσιν, ὅτι καὶ τοῖς τῶν πειρασμῶν ἱδρῶσι περιστάζόμενοι, οὔτε τὸν τῆς ἀρετῆς τόνον ἔλυσαν, οὐδ' εἰς τὴν κατ' αὐτοῦ πάλην κατεμαλακίσθησαν. Οὐ πάντες δὲ τοῖς πειρασμοῖς παραδίδονται, ἵνα μὴ τοῖς ἀσθενεστέροις, κατὰ τῆς προνοίας, οἱ λογισμοὶ συνταράσσωνται· κολάζονται δὲ καὶ τῶν φαύλων οἱ μὲν ἐπὶ καθάρσει μολυσμάτων, ὅστις μετριώτερόν τι διημάρτηται· οἱ δὲ, εἰς παράτασιν τοῦ πικροτέραν αὐτοῖς πάντως ἀποκεῖσθαι τῶν βεβιωμένων ἐκεῖθεν τὴν εἴσπραξιν, καὶ ἵνα καὶ τοῖς ἀνοήτοις τῆς τοῦ Θεοῦ μισοπονηρίας συναίσθησις γένηται. Οὐ πάντες δὲ, ἵνα μὴ μάτην τοῦ αὐτεξουσίου ἀπελεγχθῇ τὸ φιλότιμον· καὶ ἵνα καθαρὸν ἐξουσίας καὶ ἀμίαντον συναποδειχθῇ τῆς τῶν ἐντολῶν νομοθεσίας τὸ ὠφέλιμον· καὶ διότι μένει τὸ κοινὸν ἐκεῖθεν καὶ πάντων κριτήριον. Πολλοὶ δὲ πάλιν ἐν εὐπαθείᾳ

* ἴσ. εἴη.

* γρ. δίκαιοι

tio præparata, cùm in tantum ebulliat beneficentia, ut liceat iis qui honestiùs vixerint & præsentis vitæ felicitate, & futuris bonis perfrui: Qui verò non ità comparantur, loco pœnarum subit premiorum ablatio: Quocirca quòd non omnes viri probi ad voluntatem res hîc affluentes habent; nec improbi omnes miseriis involvantur, summam circa humanum genus Dei amorem enunciat procurationémque. Ideo hîc puniuntur quidam boni, ut coronis deinceps redimantur, ut magìs ad amoris Dei admirationem excitentur, cùm vel per tribulationes appareat & efflorescat; si autem & illud tibi arridet, quod divinus Paulus habet, adjiciam; fit hinc ut ne nimis efferantur ipsi, nec multò quibusdam videantur augustiores, quàm quod oculis usurpantur. Tu mihi etiam & illud cogita, si placet, quòd cùm summis & quidem defœcatissimis virtutis voluptatibus perfusi quasi luxuriant, par & æquum fuerit, ut potio velut constringens, & constipans iis propinaretur, hoc est ut subeant afflictiones; præterea, eò quòd divina gratia multò magìs pêr ipsorum infirmitates elucescit, & habetur admirationi. Quin ulterius ad consummatam nequitiæ pudefactionem & depressionem, cùm qui certaminum suorum & tentationum sudoribus diffluunt, nihil de virtutis tenore remiserint, nec mollitie fracti fuerint, quo minùs inirent colluctationem: Sed nec indiscriminatim omnes ad tentationes transmittantur, ne qui sunt infirmiores, cogitationibus conturbentur de providentia; improborum etiam aliqui, qui nimirum tam enormiter non deliquerunt, ideo plectuntur, ut purgentur ipsorum sordes; aliqui autem ad extensionem magìs acerbam rationis reddendæ olim eorum quæ in vita patrârant impiè, quo etiam fine insipientiores persentiscere queant, quantùm odio est improbitas Deo: Non omnes porrò, nè liberi arbitrii studium & industria, frustra fuisse adhibitum convincatur; ut potestatis quæ adest puritas, & impermixtio, simul cum utilitate manifestetur, quæ resultat ab divinæ legis observatione; de qua quidem observatione judicium oportet omnes & singulos subire in futuro seculo. Rursus, cum quiete & felicitate

felicitate multi viri justi ideo vivunt, ut consolationi, refrigerationi, & communi cuidam commodo inserviant vicinis suis, & in pignus futuræ oblectationis, ut oculum confirment aliter dispositum, ad rectè quæ hîc fiunt perstringendũ: Non omnes porro, ne gratia quæ virtuti debetur, persoluta fuisse putetur, acceptâ mercede temporali; atque ut ne supplicium illud gravissimum nec intermixtum secundùm mensuram quandam videatur aberrantibus apparatum intolerabilem, acsi nulla restaret de peccatis adhibenda apologia; quorsum verò, & hîc, & in futuro sæculo liceret ad voluntatem vivere? tu quidẽ post pœnam utrolibet constitutam, pro melioribus pejora permutâsti; nec bonitatis superabundantia, exigendæ rationis comparata superabundantiæ, hyperbole reputetur: Similiter & secundo cursu, multa in præsenti feruntur impiis, ut si probitatis aliquod ab iis gestæ vel vestigium apparuerit, illi in hac vita præmium accipiant, cùm nimis sit imbecillus actus, ut pertingat ad futuram ibi retributionem: sed & ne miserias illi suas, ad prætexendas allegarent improbitates suas. Nequaquam vero cum singulis rectè inceditur, ne vitiorum via diffusior facta, multos precipitaret in barathrum; neve magìs adhuc magísq; qui peccatis oblectantur, ad insensationem deviarent, nec judicium Dei multorum ludibrio exponeretur; sunt & alia sexcenta, unde liceat providentiæ divinæ bene faciendi propositum, sapientiam; humanum judicium, omnem censuram, & investigationẽ, superantem intueri. Hisce tu & hujuscemodi meditationes accommodando, & cogitationes tuas occupando, ab illius confusionis, & anomaliæ opinionibus quam in præsentis vitæ rebus videre videris, te expeditum reddes; nec quæ nobis obvenere calamitates, aut continuatæ tentationes, contra providentiam, armis te instruant: Sive enim, quod nobis in votis est, ab inde plures sordes abluamus, hoc modo sumimus divinę sapientię & misericordiæ gradus per providentiam collustratus ostenditur: Sive, quod tute opinaris, luctus subimus & certamina; noli nobis coronas futuras invidere,

διάγουσι τῶν μὲν δικαίων, παράκλησις καὶ παραψυχὴ καὶ κοινὸν ἀγαθὸν τοῖς πλησίον προκείμενοι, καὶ εἰς ἀρραβῶνα τῆς μελλούσης ἀπολαύσεως, καὶ ἵνα τὸν ἀλάθητον πιστεύσωσιν ὀφθαλμὸν καὶ τὰ ἐνταῦθα ἐποπτεύειν. Οὐ πάντες δὲ, ἵνα μὴ προσκαίρῳ μισθῷ τῆς ἀρετῆς ἡ χάρις δόξῃ διαλύεσθαι· καὶ ἵνα μὴ βαρυτάτη καὶ ἄκρατος τοῖς παρολισθοῦσι, τρόπον τινὰ, παρεσκευασμένη εἴη ἡ τιμωρία, ἅτε δὴ παντελῶς εἰς ἀναπολόγητον αὐτοῖς περιισταμένης τῆς ἁμαρτίας. τί γὰρ, ἐξὸν κἀνταῦθα κἀκεῖθεν, ἐν εὐπαθείᾳ διάγειν; σὺ δὲ, μετὰ τῆς ἑκατέρωθεν ποινῆς, τῶν κρειττόνων ἤλλαξω τὰ χείρονα· μηδὲν ὑπερβολὴ χρηστότητος, ἢ τῶν εἰσπράξεων ὑπερβολὴ μεμηχανημένη, νομίζοιτο. Ὡσαύτως δὲ καὶ τῶν ἀδίκων πολλοῖς τὰ παρόντα κατὰ ῥοῦν φέρεται, ἵνα εἴ τι καλοκἀγαθίας ἴχνος αὐτοῖς διαπράξῃ, ἐντεῦθεν ὦσι τὴν ἀντιμισθίαν ἀπειληφότες, ἐξασθενούσης τῆς πράξεως παρατείνεσθαι πρὸς τὴν ἐκεῖθεν μισθαποδοσίαν· εἰ δὲ καὶ ἵνα μὴ πρόφασιν τῆς κακουργίας τὴν ταλαιπωρίαν προβάλλωνται. Οὐκ εἰς πάντας δὲ αὐτῶν τὰ τῆς εὐθείας διαβιβάζεται, ἵνα μὴ ἡ τῆς κακίας τρίβος, ἐπὶ πλέον ἀνευρυνομένη, πολλοὺς ἑλκύσῃ πρὸς βάραθρον· καὶ ἵνα μὴ πρὸς ἀναλγησίαν ἔτι μᾶλλον οἱ φιλαμαρτήμονες ἀποκλίνωσι καὶ ἡ θεία ψῆφος τοῖς πολλοῖς εἰς χλεύην νομίζοιτο. καὶ μυρία ἄλλα δι' ὧν τῆς προνοίας τὸ ἀγαθουργόν τε καὶ σοφὸν καὶ ὑπὲρ ἀνθρωπίνην κρίσιν τε καὶ μεθοδίαν καὶ ἔρευναν ἔστι θεάσασθαι. Τούτοις καὶ τοῖς τοιούτοις ἐμμελετῶν, καὶ τοὺς λογισμοὺς ἐγγυμναζόμενος, τῆς δοκούσης ἐν τοῖς παροῦσιν ἀνωμαλίας καὶ συγχύσεως σαυτὸν ἀναλάμβανε, καὶ τὰ περὶ ἡμᾶς πάθη, καὶ τῶν πειρασμῶν ἡ συνέχεια, μηδέν σε κατὰ τῆς προνοίας ὁπλιζέτω. Εἴτε γὰρ, ὡς ἡμεῖς εὐχόμεθα, δι' αὐτῶν τοῦ πλείστου ῥύπου καθαιρόμεθα, ἐντεῦθεν μᾶλλον τὸ ὑπέρσοφον καὶ φιλάνθρωπον τῆς προνοίας λαμπρῶς διαφαίνεται. Εἴτε, καθάπερ αὐτὸς νομίζεις, ἄθλους καὶ ἀγῶνας ὑπερχόμεθα, μήτε τῶν ἐκεῖθεν ἡμᾶς στεφάνων

φθονήσεως καὶ τῆς προνοίας τὸ διὰ πάντων ἀγαθουργὸν καὶ μεγαλεῖον ἐκθειάζων μᾶλλον ἐπιγίνωσκε. Ἔτι δὲ τὰ ἡμέτερα πάθη Χριστοῦ τοῦ Θεοῦ ἡμῶν ἀεὶ ἡμᾶς σπλαγχνιζομένου, τὴν προειρημένων τὸ ἕτερον· ἀλλὰ μὴ βαρυτέρας τιμωρίας καὶ ἀπαρακλήτου προοίμιον.

providentiæ autem per omnia permeantis, opera bona & illustria magis apud animum recognosce. Nostræ autem passiones, per viscera misericordiæ Dei nostri erga nos, in alterutram partem præallegatarum concedant, non autem proœmium, aut initium fiant gravioris cujusdam, & inconsolabilis supplicii.

NOTÆ.

TAρασίῳ ἀδελφῷ] An frater Photii germanus fuerit Tarasius, utroque aut altero parente genitus haud certè scio. Nusquam extat apertum testimonium; sed passim in hanc sententiam feruntur. In apographe librorum à se per legationem lectorum vocatur, ὁ ἠγαπημένος ἡμῶν ἀδελφὸς Ταράσιος· & in fine operis habetur, ἠγαπημένῳ ἀδελφῷ Ταρασίῳ. Sed hæc non probant fuisse germanum, (ut nec Constantinum aut Sergium inscriptio) Extant autem ad Tarasium istum octo epistolæ. Continet autem Epistola, insignem divinæ providentiæ, & apologiam, & explicationem. [Legendum, ἵνα μᾶλλον αὐτοῖς ὁ θεῖος ἔρως θαυμαστὸς εἴη. legendum etiam, νομίζονται. Hinc nactus occasionem, suarum calamitatum consolationem persequitur quam Christianissimé. Miror autem & indignor Baronium sic ubique insultare miseriis, hominis certè doctissimi, & nisi quod erat in Romanam Ecclesiam animo alienior, Nicolai injuriis irritatus, inculpabilis.

Ἐπισ. λβ΄.

Θεοκτίστῳ ἡγουμένῳ.

Ἐπαίνει τὰς ἀρετάς· μὴ θαύμαζε δὲ κατὰ πρόσωπον, τοὺς σοὺς μαθητὰς μετιόντας αὐτάς· τὸ μὲν γὰρ, προτροπὴ καὶ παράκλησις, ἀγαθοεργίας ἐστί· τὸ δὲ, καὶ σε κολακείας οὐχ ἵστησι μακρὰν, καὶ πρὸς οἴησιν τοὺς θαυμασθέντας ἢ μαλακίαν τοῦ τόνου τῆς ἀρετῆς εἴωθεν ὑποχαλᾶν· δι' ὧν τὸ γλυκὺ τῶν κατὰ θεὸν πόνων πέφυκεν ἐπικαταρρεῖν, καὶ αἱ τῆς σαρκὸς ἀναζωπυροῦνται ἡδοναί.

Epist. 32.

Theoctisto Hegumeno.

Virtutes lauda; coram vero & in facie Discipulos nè laudes, qui sequuntur eas; instigare, & adhortàri, boni operis pars est; laudare coram, nec te summovet longè ab adulatione, & cum admiratione laudatos, vel ad sui opinionem perducere, vel virtutis tonum in mollitiem animi relaxare solet; hinc fiat, ut laborum secundùm Deum susceptorum dulcedo defluat, & carnis excitentur, velut igne afflato, voluptates.

Ἐπισ. λγ΄.

Ἰωάννῃ σπαθαρίῳ τῷ Χρυσοχέρῃ.

Ἡ τῆς τριάδος σύγχυσις, ἀναίρεσιν τῶν προσώπων ποιεῖ· ἡ δὲ τῆς οὐσίας διαίρεσις, ἀλλοτρίωσιν καὶ κατατομὴν ἐπινοεῖ τῆς θεότητος· φεῦγε τὸν παρ' ἑκάτερα τῆς βασιλικῆς ὁδοῦ κρημνόν, καὶ κατὰ τοὺς ἐκκλησιαστικοὺς ὅρους τε καὶ θεσμοὺς, μίαν οὐσίαν καὶ θεότητα ἐν ὑποστάσεσι καὶ προσώποις τρισὶ λατρεύων καὶ προσκυνῶν, τὴν τῶν χριστιανῶν θεολογίαν τούτοις συγκεφαλαιούμενος ἀνακήρυττε.

Epist. 33.

Joanni Spathario, Chrysocheri.

Trinitatem confundere, personas est tollere, substantiæ divulsio Deitatis alienationem, & consectionem introducit: præcipitium utrumque fugito extra regiam viam constitutum, & juxta Leges, scita, & determinationes ecclesiasticas, unicam substantiam & Deitatem in Tribus subsistentiis & personis venerare, & cole; & Christianam de Deo fidem, vel Theologiam hisce comprehensam prædicato.

Epist. 34.

Eidem.

QUemadmodum in Theologia, tres confiteri substantias, multos deos inducit, & propterea Atheismum; itá unam ponere hypostasin, aut subsistentiam, Judaismum resipit & Sabellianismum. Eodem modo & in Incarnationis dispensatione, unicam naturam & hypostasin imaginari, Manichaicum respicit: Duas naturas, & hypostases duas Paulianistas resipit, osores Christi. Quid igitur faciendum? Hoc nempe: ut mediam viam insistentes, omnibus vestigiis dogma premamus ecclesiasticum, quod blasphemiam ex utraq; parte declinat, & devitat, illud autem docet, unam in Christo hypostasin, naturam duplicem secundùm divinum sensum profiteri.

Ἐπιστ. λδʹ.

Τῷ αὐτῷ.

Ὥσπερ ἐπὶ τῆς θεολογίας, καὶ τὸ, τρεῖς ὁμολογεῖν οὐσίας, πολύθεον, καὶ διὰ τοῦτο ἄθεον· καὶ τὸ μίαν λέγειν ὑπόστασιν, Ἰουδαϊκὸν καὶ Σαβέλλιον· οὕτω καὶ ἐπὶ τῆς οἰκονομίας, τό, τε μίαν φύσιν φρονεῖν, καὶ μίαν ὑπόστασιν, Μανιχαϊκὸν καὶ ἀπόβλητον· καὶ τὸ, δύο φύσεις, καὶ δύο ὑποστάσεις, Παυλιανιστῶν καὶ μισοχρίστων. Τί οὖν χρὴ ποιεῖν; τὴν μέσαν καὶ ἐκκλησιαστικὴν δόξαν ἰχνηλατεῖν, ἥτις τὴν ἑκατέρωθεν ἀποκλίνουσα καὶ ἐκτρεπομένη βλασφημίαν, μίαν ὑπόστασιν ἐπὶ Χριστοῦ, δύο δὲ φύσεις θεοφρόνως ὁμολογεῖ δογματίζουσα.

Epist. 35.

Eidem.

QUemadmodum Nestorius de conaminatis calicibus Pauli Samosatensis bibens, ebrius evasit impietate: itá & propriæ religionis semina Eutyches, de acerbis Manetis paraphyasi colligens, doloris sibi panem & perditionis, necnon sequacibus suis, apparavit: Orthodoxorum verò chorus, adscito sibi doctore, non tam Petro Apostolorum Coryphæo, quam ipso Domino communi, & Creatore, *Vos enim*, inquit, *nè in terris vocabitis Rabbi, unus enim Doctor vester Christus est*, duarum naturarum in una hypostasi Verbi, & Deitatis nimirum & humanitatis, clarissimè profitentur; idque inconfusim, itá enim ipsamet nos edocuit Veritas: Filium enim hominis se appellans, &, per Petrum Coryphæum Apostolorum, Filius viventis Dei salutatus, utrumque confirmavit: alterum in eo quod Ipse dixit, alterum quod dictum de se agnovit. Quocirca rectæ confessionis præmium Petro, regni cœlorum claves in manus dedit; & in ejus confessione Ecclesiam fuisse stabilitam, & contra portas inferni communitam, adeò

Ἐπιστ. λεʹ.

Τῷ αὐτῷ.

Ὥσπερ Νεστόριος τῶν θολερῶν ναμάτων ἀντλήσας τοῦ Σαμωσατέως Παύλου, εἰς μέθην ἀσεβείας ἐξέπεσεν· οὕτως Εὐτυχὴς τῆς οἰκείας θρησκείας τὰ σπέρματα ἐκ τῆς Μανοῦ πικρᾶς παραφυάδος δρεψάμενος, ὀδύνης ἄρτον καὶ ἀπωλείας ἑαυτῷ καὶ τοῖς πειθομένοις, κατειργάσατο· ὁ δὲ τῶν ὀρθοδόξων χορὸς, τὸν κορυφαῖον Πέτρον, μᾶλλον δὲ τὸν αὐτοῦ καὶ ἡμῶν κοινὸν δεσπότην καὶ ποιητὴν, διδάσκαλον προστησάμενοι (ὑμεῖς γὰρ φησι μὴ καλέσητε ἐπὶ τῆς γῆς Ῥαββί· εἷς γὰρ ἐστιν ὁ διδάσκαλος ὑμῶν ὁ Χριστὸς) τῶν δύο φύσεων ἐν τῇ μιᾷ ὑποστάσει τοῦ λόγου, τῆς τε θεότητος καὶ τῆς ἀνθρωπότητος, λαμπρῶς ἀνομολογοῦσι τὸ ἀσύγχυτον. τοῦτο γὰρ αὐτὸς ἐδίδαξεν ἡ ἀλήθεια· υἱὸν γὰρ ἀνθρώπου ἑαυτὸν ἀνειπὼν, καὶ παρὰ τοῦ κορυφαίου Πέτρου, υἱὸς τοῦ ζῶντος Θεοῦ ἀναῤῥηθεὶς· τὸ μὲν, οἷς αὐτὸς εἶπε· τὸ δὲ, οἷς ἀπεδέξατο, ἐβεβαίωσε· διὸ, καὶ μισθὸν τῷ Πέτρῳ τῆς ὀρθῆς ὁμολογίας, τάς τε κλεῖς τῆς βασιλείας ἐνεχείρησε, καὶ ἐπὶ τῇ αὐτοῦ ὁμολογίᾳ ἐστηρίχθαι τὴν ἐκκλησίαν· καὶ κατὰ πυλῶν ᾅδου καὶ πά-

σης αἱρετικῆς ἀθυροστομίας, λαμπρὰ φέρειν τὰ νικητήρια ἐκραταίωσεν.

ut obturatis hęreticorum quibuscunque labiis, lemniscata indè trophæa tulerit, multâ asseveratione confirmavit.

NOTÆ.

Ἐπὶ γῆς.] Intelligit locum, Matth. 23. 8. ubi tamen verba ἐπὶ γῆς, non leguntur; sed è sequentibus, additur, καὶ πατέρα μὴ καλέσητε ὑμῶν ἐπὶ γῆς. Καὶ ἐπὶ τῇ αὐτοῦ ὁμολογίᾳ.] Non super personam sed super confessionem Petri, vult fundatam Ecclesiam. hîc jam Baronii excandescentiam movisset.

Ἐπιστ. λϛʹ.

Τῷ αὐτῷ.

Εἰ μία φύσις ἐπὶ Χριστοῦ ἐγνωρίζετο, ἓν ἂν καὶ τὸ ἐξ αὐτῆς ἐπήγαζε θέλημα· ἐπεὶ δὲ δύο αἱ φύσεις καὶ δύο ἄρα συναναβλύουσι τὰ θελήματα. Εἰ δὲ οὐκ ἔστι φύσις ἀνενέργητος, καὶ ἑκατέρα πάντως ἡ οἰκεία συνανακύψει ἐνέργεια. ὥσπερ δὲ ἡ ἀνθρωπίνη φύσις τῇ θεϊκῇ τοῦ λόγου φύσει συνείπετο, καὶ ὑπέκειτο· οὕτω δηλονότι, καὶ τὸ ἀνθρώπινον θέλημα τῷ θεϊκῷ, καὶ τῇ ἐνεργείᾳ ἡ ἐνέργεια.

Epist. 36.

Eidem.

SI in Christo natura unica agnosceretur, & unica exinde voluntas efflueret: sed cùm duæ sint naturæ, & duplex quoque voluntas hinc ebullit. Quòd si non sit natura operatione vacua, utriq; proculdubio propria operatio unà proditura est. Quemadmodum verò Humana natura Divinam Verbi naturam consequebatur, eidémque subjacebat: ad eundem planè modum & Humana voluntas voluntati Divinæ, & operationi Divinæ Humana operatio subjacebat.

Ἐπιστ. λζʹ.

Τῷ αὐτῷ.

Ἕλληνες τὸν Χριστὸν, καὶ θεὸν ἡμῶν, εἰκονίζειν, ὅτι μηδὲ θειάζουσιν, οὐκ ἀνέχονται. Ἰουδαῖοι, πλέον ἐκείνων, τὴν κατ' αὐτοῦ μανίαν νοσήσαντες, οὐδὲ μέχρι ψιλῆς ἀκοῆς τὴν πρᾶξιν ὑφίστανται· ἕτεροι δὲ, μοῖρα πονηρὰ καὶ ἐξάγιστος, οἱ μὲν αὐτοῦ τὸ σῶμα ἐναποτεθεῖσθαι τῷ ἡλίῳ τερατεύονται· οἱ δὲ εἰς τὰ, ἐξ ὧν αὐτὸ συνιστῶσι, διαλύουσιν· οἱ δ' ἀπὸ Μάνου, οὐδ' ἀναλαβεῖν αὐτὸν ὅλως σῶμα τὸ ἡμέτερον διατείνονται· οἷς ἐξ ἀναγκαίου ἀκόλουθον μηδὲ Χριστὸν εἰκονίζεσθαι. Σκοπείτωσαν τοίνυν οἱ τῆς πολυπλανοῦς καὶ μοιχιδίου σπορᾶς ἀπόγονοι· τὰ νέα τῶν Εἰκονομάχων λέγω γεννήματα· τίνας ἑαυτῶν πατέρας ἐπιγράφουσι, καὶ τίνος μερίδος αἱροῦνται παρὰ τοῖς Χριστιανοῖς θιασῶται καὶ μαθηταὶ ὀνομάζεσθαι.

Epist. 37.

Eidem.

PAgani Christum Dominum & Deum nostrum per imaginem effingere nolunt, scilicet eò quòd haud profiteantur Deum. Judæi, qui majori contra eum insaniæ morbo laborant, ne de nudo quidem nomine rem admittent: Sunt alii, pars impia & diris devovenda, qui vel insigniter mentiendo, corpus ipsius includunt soli; vel in illa dissolutũ eunt, è quibus ipsi conflaverunt. Contendunt qui Manetem sequuntur ducem, nullo modo eum corpus nostrum assumpsisse, cui sequitur omnino necessariò, Christum non esse per imaginem exprimendum. Videant ergò prognati à multipliciter erratico & adulterino semine, & sibi caveant (genimina novitia Iconomachorum dico) quos & quales sibi ascribant progenitores, & de qua factione Mystæ & discipuli voluerint inter Christianos censeri.

Epist. 38.

Eidem.

SImon Magus & Carpocras baptismo initiabantur ob eam causam, & Christi imaginem circumgestabant, sed à magicis illusionibus & lascivia, non recedebant: Quocirca & aliorum quorundam imagines unà circumferebant. Pudore quocirca suffundantur, Iconomachorum primipili, eò quòd insensati magis esse convincantur, quàm erant illi superstitiosissimi, & cùm dogmatibus quàm vitâ & conversatione decepti & errones.

Ἐπις. λη΄.

Τῷ αὐτῷ.

ΣΊμων ὁ μάγος καὶ Καρποκρᾶς ἐβαπτίσατο· διὰ τοῦτο καὶ Χριστοῦ εἰκόνα περιέφερον, ἀλλὰ τῆς μαγικῆς τερθρείας καὶ τῶν παθῶν οὐκ ἀφίσταντο· διὰ τοῦτο καὶ ἑτέρων τινῶν εἰκόνας συμπεριέφερον· αἰσχυνέσθωσαν τοιγαροῦν τῶν εἰκονομάχων οἱ πρωτομάχοι, ὅτι καὶ τῶν δεισιδαιμονεστάτων ἐκείνων καὶ δόξῃ καὶ βίῳ πεπλανημένων ἀγνωμονέστεροι ἀπελέγχονται.

NOTÆ.

COntra Iconomachos invehitur, quos ubiq; vehementiùs insectatur, & ideo aliquam saltem debuerat apud Baronium gratiam inire; recitat eorum, ut vocat, majores, hæreticorum omnium pestilentissimos; qui non iisdem innixi fundamentis idem tamen ædificium ad gehennam ædificabant. Inter alios recitat eos, qui locum Psalmi 18. Posuit in sole Tabernaculum suum, de Christi corpore exuto, & in sole relicto, blasphemabant Iniquiores Originem autorem fecêre. Sed vel ex ignorantia, vel malitia. E quibus fontibus, multa ei prodigiosa adscribebantur. Vide *Senensem Lib. 5. Annot.* 160. Omissa autem erat 38. Epistola, & in marginem codicis conjecta. Putabam aliquando, vel glossema fuisse adscriptum ab aliquo Lectore ad Epistolam præcedentem. sed muto sententiam, cùm & in aliis codicibus, quod apparet è numeris ab Hœschelio adjectis cum nostro codice congruentibus, reperiatur. Esse autem planè Photiana, non alicujus Interpretis, constat ex immediatè sequenti Epistola, ubi reddit rationem, cur voce αἰσχυνέσθωσαν de Hæreticis utebatur, Videtur autem Chrysocheris iste ab Iconomachorum partibus stetisse, & aliis etiam hæresibus infectus. ait enim Epistola 40. eum πάλον ὑπομεῖναι: ridiculè autem Photius Iconomachos oppugnat, qui εἰκονουργίαν, & ejus antiquitatem, à Simone Mago, & Carpocra derivat Certè σύγχρονος erat Christianismo, sed autores maledicti: ut mirer vehementer virum valde eruditum & ἀγχίνουν, primogenitos Satanæ autores advocâsse, & non potuit non θαυμάζειν Chrysocheris.

Eidem.

INterrogas cur hæreticis turpitudinem exprobrem. Si non te turbarem responso, docerem ab insipientibus interrogari sic debere: eóque magìs quod si tu patieris, ab omni eos sensu non minùs quàm à pietate emotos demonstrabo. In eo ipso, quo scandalo fidem orthodoxam afficere voluerunt, vetustatem deprædicant imaginum fabricandarum. Certè non intelligunt rem esse Christianismo contemporaneam, & baptismati instituto. Hoc contra voluntatem nobis concedunt: cúmque per Simonem Magum baptizatos in contumeliam imaginum subintroducunt, ignorant semetipsos repræsentare ultra vel eos ipsos impudentiæ morbo laborantes.

Τῷ αὐτῷ.

ἘΡωτᾷς διὰ τί τὴν αἰσχύνην τοῖς αἱρετικοῖς ἐνηρμώσαμεν· ἐγὼ δέ, εἰ μή σε λυπεῖν ἔμελλον, ἀνοήτων ἂν ἀπέδειξα τὸ ἐρώτημα, καὶ τοσοῦτον, ὅτι καὶ τὸ ἀναίσθητον αὐτοὺς, ἂν ἄρα βούλῃ, μετὰ τοῦ ἀσεβοῦς ἐπιδείξω περιέποντας· δι' ὧν γὰρ δυσφημίαν περιάπτειν τῇ ὀρθοδοξίᾳ ἐμελέτησαν, διὰ τούτων μάλιστα τῆς εἰκονουργίας τὴν ἀρχαιότητα μαρτυροῦντες· οὐ συνῄσθοντο σύγχρονον αὐτὴν τῷ χριστιανισμῷ, καὶ τῷ βαπτίσματι, καὶ ἄκοντες ἀνομολογήσαντες· δι' ὧν δὲ μηδὲ τοὺς περὶ Σίμωνα, ταύτην ἐνυβρίσαι βαπτισθέντας παρεισάγουσιν, ἐκείνων πλέον ἑαυτοὺς νοσήσαντας τὴν ἀγνωμοσύνην παριστῶντες ἐπελάθοντο.

Ἐπιστ. λθ'.

Τῷ αὐτῷ.

Οὐκ ἐγράψαμεν ἵνα θαυμάζῃς, ἀλλ' ἵνα στηριχθῇς, ἐν οἷς τὸν σάλον ὑπέμεινας. Εἰ δ' ἀῤῥαβῶνα τοῦ στηριχθῆναι τὸ θαῦμα παρέχεις, ἡδέως ἀποδεχόμεθα. οὐδὲ γὰρ ἐξ ἑαυτῶν προφερόμενα ἅπερ λέγομεν, ἀλλ' ἐξ ὧν τῆς ζωηφόρου πηγῆς ἀπηντλήσαμεν· ἥτις μετὰ τῆς ἐν πίστει δίψης τοῖς προσιοῦσιν ἄφθονα προχέειν τὰ τῆς σωτηρίας ἐπηγγείλατο νάματα.

Ἐπις. μ'.

Θεοδώρῳ Μητροπολίτῃ Λαοδικείας.

Εἰ στάδιόν ἐστιν ὁ παρὼν βίος, ἐπάθλων δὲ ἡ ἐκεῖθεν πολιτεία· μὴ θαύμαζε εἰ τῶν δικαίων τινὲς ἐνταῦθα ταλαιπωρίαις παλαίουσι, ἀλλὰ μᾶλλον εἴ τινες τῶν ἀγώνων καὶ ἄθλων τὸν καιρὸν καὶ τόπον στεφάνων, ἡμέραν καὶ ἀναῤῥήσεως βῆμα νομίζουσιν.

Ἐπις. μα'.

Βαρναβᾷ Μονάζοντι.

Τί θρηνεῖς πενίαν; δίκαιος οὐκ ἐγκαταλιμπάνεται. ἀλλ' Ἰὼβ ἐγκατελείφθη. ἀλλ' ἵνα καὶ τὸν πονηρὸν εἰς κράτος νικήσῃ εὐπαθείᾳ καὶ βίου εὐροίᾳ, τὴν αὐτοῦ καθαρὰν εὐσέβειαν καπηλεύειν ἀναισχυντήσαντα· καὶ ἵνα πλέον ὧν ἐγυμνώθη, ὀφθείη περιβαλλόμενος· ἀλλὰ καὶ Παῦλός φησιν, Ἐν λιμῷ καὶ δίψει διεβίω, καὶ ψύχει καὶ γυμνότητι· ἀλλ' ἑκών. ἀλλ' ἀρκεῖ σοι Παῦλον ἔχειν ἀντὶ παντὸς πλούτου καὶ πάσης εὐδαιμονίας εἰς παράδειγμα.

Ἐπιστ. μβ'.

Σωφρονίῳ μονάζοντι.

Ὥσπερ αἱ ἀπὸ τῶν τραυμάτων οὐλαί, τοὺς τόπους ἐκείνους, καθ' οὓς ἐνε-

Epist. 39.

Eidem.

NEquaquam eo fine scripsimus ut mirareris, sed ut stabilem te redderem in iis quibus fluctuabaris; si in pignus confirmationis tuæ affers admirationem, lubenter admitto. Nam non à nobis proferimus quæ dicimus, sed ab iis unde de fonte in vitam salienti hausimus: qui præ se fert & profitetur, iis qui fidem sitiunt, atque ideò adeunt ut eam expleant, abundantissimos salutis latices subministrare.

Epist. 40.

Theodoro Metropolitæ Laodiceæ.

SI stadium vita præsens fuerit, præmiorum, quæ ventura est, politia erit. Noli mirari si justorum aliqui cum miseriis hîc colluctentur: magis autem multò, siqui rentur idem esse tempus certaminum & locum coronarum, diem manifestationis & judicii tribunal.

Epist. 41.

Barnabæ Monacho.

QUid paupertatem defles? Justus non deseritur. Imò (inquies) deserebatur Job. Sed eo fine, ut impium illum vincendo vinceret qui per summam impudentiam, purissimam ipsius pietatem vitæ prospero cursu & felicitate volebat cauponari, atque ut longè pluribus instructus, quàm quibus privabatur, videretur. Sed & Paulus inquit, in fame atque siti vixi, in frigore & nuditate. Sponte tamen. Sufficiat autem tibi Pauli exemplum pro quibuslibet opibus, & quacunque felicitate.

Epist. 42.

Sophronio Monacho.

QUemadmodum obducta cicatricibus vulnera locos illos, in quibus callum

callum superinductum habent, etiam post curationem morbis & impressionibus aptos reddunt: itâ & animæ per peccatum inflicti livores, ipsam reddunt (post curationem) aptè dispositam, & paratiorem ad stigmata per peccatum inurenda. Declina igitur per adolescentiam peccatum omni studio: quoniam si te ab illis confodi contigerit, utcunque te à plaga cum multo labore extricaveris, stigmatum tamen impressa vestigia & characteres, usque ad senilem ætatem non omittent irritationem: & cùm tibi familiarium malorum & congenitorum imagines repræsentaverint, non difficulter te ad illa conformatum reddent.

Epist. 43.

Leonti Logothetæ Madiam.

GRave reris & intolerandum mandatum illud, * *Vende quæ habes & da pauperibus.* Ego autem ob hoc, ipsum jugum Domini ut placidum & onus leve existimare te cuperem. Jubet enim onus deponere Dominus, & curarum segetem atq; tentationum excutere, non autem humeris onus impositum gestare. Jubet illa indigentibus distribuere, & ob illa relicta thesauro cœlesti ditescere donat. Quæ si non distribuantur, otiosa & inutilia huic præsenti vitæ redduntur incumbentia; & cùm hinc recesserimus, destituent nos. Quocirca mihi nota Domini misericordiam & inexplicabilis providentiæ varietatem multiplicem; quòd ea quæ nos necessariò & reluctantes consequentur, illa (voluntate tantùm accedente) tanquam proprios cùm labores tum fructus amplectamur, & tanquam omnia rectissimè administrantes, qui solummodo propositum adhibuerimus, in regnum cœlorum susceptos introduxerit. *Venite* (enim inquiet) *benedicti Patris mei, possidete regnum vobis apparatum.*

σκιῤῥώθησαν, καὶ μετὰ τὴν ὑγείαν εὐπαθεῖς καὶ νοσώδεις παρασκευάζουσιν· οὕτω καὶ οἱ ἐν τῇ ψυχῇ τῶν ἁμαρτημάτων μώλωπες, καὶ μετὰ τὴν θεραπείαν εὐπαράδεκτον αὐτὴν καὶ ἑτοίμην πρὸς τὴν καταστίξασαν ἁμαρτίαν ἀπεργάζονται· φεῦγε τοίνυν ἐν νεότητι, κατὰ πᾶσαν σπουδὴν, τὰ ἁμαρτήματα· ὅτι συμβάν σε τούτοις περιπαρῆναι, κἂν τῆς πληγῆς σὺν πόνῳ πολλῷ *ἀπαλλαγεὶς, ἀλλ' οὖν οἱ τύποι τῶν στιγμάτων καὶ οἱ χαρακτῆρες, οὐδὲ μέχρι γήρως σχολάσουσιν ἐρεθίζοντες, καὶ τῶν οἰκείων καὶ συγγενῶν παθῶν ἐπιδεικνύντες τὸ εἴδωλον, οὐ χαλεπῶς σε πρὸς τοῦτο διαμορφώσουσιν.

* γρ. ἀπαλλαγείης.

Ἐπιστ. μγ΄.

Λέοντι γεγονότι λογοθέτῃ τῷ Μαδιάμ.

ΠΩλησόν σου τὰ ὑπάρχοντα καὶ δὸς πτωχοῖς, βαρὺ νομίζεις καὶ δυσβάστακτον τὸ ἐπίταγμα. Ἐγὼ δέ σε διὰ τοῦτο, μᾶλλον ὁρᾷν ἀξιῶ τὸν ζυγὸν κυρίου, ὡς ἀληθῶς χρηστὸν, καὶ τὸ φορτίον ἐλαφρόν. φορτὸν γὰρ ἀποθέσθαι, καὶ τῶν φροντίδων καὶ πειρασμῶν ὕλην ἀποτινάξασθαι, ἀλλ' οὐκ ἀναλαβεῖν, ἐγκελεύεται· κἀκεῖνα τοῖς χρῄζουσι νέμειν, καὶ ἀντὶ τούτων θησαυρὸν πλουτεῖν τὸν οὐράνιον ἐχαρίσατο· ἃ καὶ μὴ διανεμόντων ἀργὰ καὶ ἄχρηστα τῷ παρόντι βίῳ ἐναπόκειται, κἀκεῖσε μεθισταμένων ἐνταῦθα καταλιμπάνεται· δι' ὅ μοι σκόπει μᾶλλον τὴν δεσποτικὴν φιλανθρωπίαν, καὶ τῆς ἀφάτου προνοίας τὸ ποικίλον καὶ πολύτροπον, ὅτι ἅπερ ἐξ ἀνάγκης καὶ ἡμῶν ἀκόντων ἐπακολουθεῖν εἴωθε, ταῦτα γνώμης προστεθείσης μόνης, ὡς οἰκείους πόνους καὶ καρποὺς ἀποδέχεσθαι· καὶ ὡς τὸ πᾶν κατωρθωκότας, τοὺς μόνην συνεισενεγκόντας προαίρεσιν. εἰς κλῆρον τῆς αὐτοῦ βασιλείας ὑποδέχεται. δεῦτε γάρ, φησιν, οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν.

* Matth. 19. 21.

Ἐπιστ. μδ'.

Τῷ αὐτῷ.

Εὐτύχημα μὲν καὶ τὸ φίλους ἔχειν ἐν καιρῷ πειρασμῶν, καὶ * χρείας τὸ τῆς φιλίας παρέχοντας χρήσιμον· οἱ δὲ μὴ τοιοῦτοι φανέντες, οὐδὲ οὗτοι τῷ ἀγαπήσαντι ἄχρηστοι, ἀλλ' ὅσον αὐτοὶ τῆς φιλίας ἀπελείφθησαν, τοσοῦτον τὴν ἀρετὴν τοῦ ἠγαπηκότος περιιστῶσιν ὑπερθαύμαστον, ὅτι καὶ τοιούτους ὄντας, ὅμως ἐφίλησε, καὶ οὐ πάντα χάριν ἀμοιβῆς ἔπραττεν, ἀλλ' ᾔδει καὶ περιττὰ φιλεῖν, καὶ τὸν ἐν οὐρανοῖς μιμεῖσθαι πατέρα, *οἷς οὐδὲ τοὺς ἐχθροὺς ἀπεστρέφετο· οὐκ ἂν οὖν λύσῃς αὐτὸς τὸν ἡμέτερον τῆς ἀγάπης νόμον, κἂν ἀγνώμων, ὡς φημίζουσι, φανῇς, καὶ τὴν φιλίαν ψευδόμενος· καὶ γὰρ καὶ δι' ὧν ἀγνωμονήσεις, ἀφορμάς, ὡς ὁρᾷς, ἡμῖν ἑαυτοῖς περιπεποιείσμεθα, δι' ἃς οὐδὲ οὕτω σε μισεῖν ὑπαχθησόμεθα. σὺ δὲ τὴν περί σε τῶν ἀνθρώπων δόξαν ἐπισκόπει· μᾶλλον δὲ περὶ ταύτης τὸ σὸν συνειδὸς καὶ τὸ ἐκεῖθεν κριτήριον.

*γρ. χρέος.
*γρ. ὅς.

Epist. 44.

Eidem.

Felicitas est amicos possidere tentationis tempore usum atque debitum amicitiæ utile exhibentes: sed nec amanti planè sunt inutiles qui tales se non præstant. Nam in quantum amicitiæ deerint, in tantum diligentis virtutem valde præstant admirabilem: eò quòd etiam tales nihilominus dilexerit, quòd non omnia ex intuitu retributionis præstiterit, sed gratìs amare novit, & Patrem, qui in cœlis est, imitari in eo, quòd nec vel inimicos aversetur. Quocirca nec amoris nostri legem solvere poteris, utcunque (quod rumor est) ingratus extiteris, & ementiaris amicitiam. Etenim quantumvis ingratus extiteris, nos tamen, ut videre potes, occasiones nobismetipsis ministravimus, ut nè vel sic quidem odio te habeamus. Tu quid de te homines opinentur considera: & ante alia, tuam ipsius conscientiam, & futurum olim judicium recolito.

NOTÆ.

Vocat ἐπίταγμα, præcepto impositum, quod alii rectiùs consilium dicunt: sed præceptum cùm duo respiciat, actum & affectum, sunt qui ultra affectum non extendunt, Photius actum includit, sed relatione habitâ ad Divitiarum abusum. sed & præceptum cum conditione, consilium potiùs est, quàm præceptum. Extat & altera epistola ad hunc Leontem τοῦ Μαδιάμ. unde videtur cognomen illi homini adhæsisse.

Ἐπιστ. με'.

Γεωργίῳ Διακόνῳ καὶ Ξενοδόχῳ.

Ὁ τῶν ἀπορρήτων ἐπόπτης καὶ μυσταγωγὸς, τὴν μέθην πόρρω Θεοῦ βασιλείας ἐθεάσατο. Εἰ οὖν μέθυσοι βασιλείαν Θεοῦ οὐ κληρονομήσουσι, τί σοὶ τὸ ὄφελος, ὅτι τῶν ἄλλων ἁμαρτιῶν δοῦλος, ὡς λέγεις, οὐ γέγονας. καί τοι τῶν ἀδυνάτων ἐστὶ τυφλοῦ καμμύου τῇ μέθῃ τοῦ καθοδηγοῦντος λογισμοῦ καὶ ἀμύνοντος, μὴ παντὶ προσπταίειν λίθῳ τὸν ἄνθρωπον, καὶ μὴ παντὸς πάθους προκεῖσθαι ἀνδράποδον.

Epist. 45.

Georgio Diacono & Hospitalario.

Rerum secretarum Inspector & propalator, ebrietatem à regno Dei summovit longé. Quod si ebrii Dei regnum non hæreditabunt, quid tibi prodest, si (quod affers) aliorum peccatorum servus non existas? Est enim impossibile, cùm ratio (viæ dux quæ esse debuit & injurias propulsare) cœca extiterit per ebrietatem, non ad omnem lapidem offendere, non cujuslibet passionis servum se exhibere.

Epist. 46.

Alexandro Comiti.

ALexander Macedo, qui in summam sublimitatem evexit Macedoniæ regnum, eo die principatum abdicâsse videbatur, quo neminem beneficio ornâsse dicebatur. Rarissimè hoc illi ita contingebat; utpote qui in illud omni studio incumbebat, ut benefaceret hominibus. Quòd si interdum ita contingebat ut nihil præstaret, dolens dicebat, *Hodie non regnavi.* Sed Paganus ille fuit, & inter Paganos rex; & voluptati atque luxui deditus, & ob felicitatem ebrius, quíq; sibi consimiles Deos suarum actionum inspectores fecerat. Tu autem Christianus cum Christianis vivens, & (ut secundùm leges agas) cum imperio existens, sæpiùs in vitæ cursu fluctibus agitatus obrueris, in ipsis sacris, inter sacerdotes, ídq; cùm temperantiam & virtutem honorare te non neges, sed & unum illum verum Deum actionum omnium Inspectorem fallere non posse putes. Quid hinc sequatur, gravor ego dicere. Illud autem affirmo, neminem è tuo subditis regimini esse, quin loco alicujus beneficii aut benignitatis quam agnoscere vellet, non supplicia deplorat inaudita irrogata, aut damnum illatum inexpectatum. Alius aliud insigne facinus dextræ tuæ tragico cothurno dignum deplorans refert: cùm Alexander cum dolore professus fuerit, *Hodie quidem Rex non fui:* tu, quod videtur, non prȩterlabi tibi diem patieris, in quo non verearis dicere *Hodie Tyrannus non fui.*

Ἐπισ. μϛ'.

Ἀλεξάνδρῳ Κόμητι.

ΑΛέξανδρος ὁ Μακεδὼν, καὶ Μακεδόνων ἄρας εἰς ὕψος τὴν βασιλείαν, κατ' ἐκείνην τὴν ἡμέραν ἐδόκει παύεσθαι τῆς ἀρχῆς, καθ' ἣν εὐεργετήσας οὐδένα ἐδείκνυτο· σπάνιον δὲ αὐτῷ τὸ τοιοῦτο συνέπιπτεν, ἅτε μελέτην ἄγοντι ἀνθρώποις εὐποιεῖν· εἰδέποτε καὶ συμπέσοιεν, ἀνιώμενος ἔλεγε, Σήμερον οὐκ ἐβασίλευσα· ἀλλ' ὁ μὲν Ἕλλην· καὶ ἐν Ἕλλησι· καὶ βασιλεύς. ἐξ ἡδονῶν, καὶ τρυφῆς καὶ εὐτυχίαν μεθύων ἄνθρωπος, καὶ Θεοὺς τοιούτους τῆς οἰκείας πολιτείας ἐφόρους ποιούμενος· σὺ δὲ πιστὸς, καὶ ἐν πιστοῖς, καὶ μετὰ τῶν νόμων ἀρχὴν τεταγμένος, καὶ πολλὰ περιπλαίων τοῦ βίου τοῖς κύμασι· καὶ ἐν μέσοις αὐτοῖς ἱεροῖς καὶ ἱερεῦσι, καὶ ἐγκράτειαν καὶ ἀρετὴν τιμᾷν οὐκ ἀρνούμενος· ναὶ δὴ καὶ τὸν μόνον ἀληθινὸν θεὸν ἐπόπτην τῶν πρακτέων, ὃ μὲν οὖν οὐκ ἂν δυνάμενος παραγράψασθαι. ἀλλὰ τί τὸ ἐντεῦθεν; ἐγὼ μὲν εἰπεῖν ἀποκνῶ· πλὴν οὐκ ἔστιν ἰδεῖν οὐδένα τῶν ὑπό σε, ὃς ἀντὶ τοῦ χάριν εὐεργεσίας ἢ τινος ἄλλης φιλανθρωπίας ὁμολογεῖν, οὐχὶ τιμωρίαν οὐκ ὀδύρεται ἄκριτον ἢ ζημίαν ἀπερίφασιστον. Καὶ ἄλλος ἄλλό τι ἔργον τῆς σῆς δεξιᾶς τραγικῆς σκήνης θέαμα κατολοφυρόμενος διεξέρχεται· ἀλλ' Ἀλέξανδρος μὲν ἀνιώμενος ἔλεγέ ποτε, Σήμερον οὐκ ἐβασίλευσα· σὺ δὲ, ὡς ἔοικεν, οὐ παραλείψεις ἡμέραν σαυτῷ ἐν ᾗ θαῤῥήσεις εἰπεῖν, Σήμερον οὐκ ἐτυράννησα.

NOTÆ.

AD hunc ipsum Alexandrum Comitem extat Epistola 158. unde colligitur Comitem respondisse, & Alexandri Exemplum facile se admittere. Certè erat ille Macedo, munificentissimus: at hoc ejus dictum, ποῦ κεῖται; Non extat apud rerum ipsius scriptores. de Trajano, & illo orbis deliciis Tito commemorant: de Alexandro non legi. Fortè legendum, καὶ τρυφῆς ἤπλων, καὶ εὐτυχίαις μεθύων.

Epist. 47.

Basilio Quæstori.

SI justa cum mensura contendentes invicem judicaveris, haud te auri pallor majore pudore suffunderet, temetipsum quàm illos qui tibi offerunt.

Ἐπισ. μζ'.

Βασιλείῳ Κοιαίστωρι.

ΕΙ τῷ δικαίῳ μέτρῳ χρώμενος τοὺς διαμφισβητοῦντας ἀλλήλοις ἐδίκαζες, οὐκ ἄν σε ἡ τοῦ χρυσοῦ ὠχρότης πλέον αἰσχύνεσθαι τοὺς πλέον αὐτὸν χορηγοῦντάς σοι, παρεσκεύαζεν.

Ἐπισ.

Ἐπιστ. μη'.

Ἰωάννῃ Πατρικίῳ καὶ Σακελλαρίῳ.

Λαμπρῶν ἐπαίνων, δι' ὧν πράττεις, παρὰ τοῖς σπουδαίοις *τυχάνων δίκαιος ἂν εἴης· μηδὲ τούτου ἐν ἀγνοίᾳ ἔστι), ὅτι ὅσον ὑψηλὸν καὶ θαυμάσιον τὸ ἐν τούτοις κλέος, τοσαύτης καὶ τῆς ἀσφαλείας καὶ ἐπιμελείας δεῖται). Πολλὰ μὲν γὰρ κατὰ τῶν εὐδοκιμούντων, ἀπὸ τῆς τῶν δαιμόνων ἐπιβουλῆς *ἀφίεται) βέλη· οὐδὲν δὲ ἔλαττον, καὶ ὁ ἐξ ἀνθρώπων ἀνερεθιζόμενος φθόνος, τὸν ἰὸν ἐκχέει. ἀλλὰ σύ γε τὸν τῆς ἀρετῆς οὐκ ἐνδιδοὺς τόνον, καὶ εἰς τὸν αὐτὸν δὲ τοῖς προτέροις ἀγῶνα σὺν μετρίῳ καὶ ταπεινῷ ἐναποδυόμενος τῷ φρονήματι, τὰ μὲν κωφὰ θᾶττον διελέγξας τὰ *μέλη εἰς ἐσχάτην αἰσχύνην καὶ ἀπορίαν μᾶλλον αὐτοὺς περιέστησας· τὸν δὲ, εἰς τοὺς τεκόντας, μετὰ πλείονος πικρίας ἐπαναστρέψαι παρεσκεύασας· καὶ τὸν τῆς ἐχίδνης μῦθον ἐν αὐτοῖς ἐνεργούμενον ἐπιδείξεις· δείξας, οὐχ ἑτέρους, ἀλλ' αὐτούς γε τοὺς γεννησαμένους κατεσθιομένους μᾶλλον καὶ διαφθειρομένους, ὑπὸ τοῦ καλοῦ γεννήματος αὐτοῖς τοῦ φθόνου, δι' ὧν σεαυτὸν λαμπροτέρας εὐφημίας καὶ ἀναῤῥήσεως μάλιστα ἀξιώσεις.

* ἴσ. τυγχάνειν.
* ἐφίεται.
* γρ. τὰ βέλη.

Epist. 48.

Joanni Patricio & Sacellano.

ILlustri laudum præconio ob ea quæ geris apud viros probos & honestos dignus es. Neque ignorare te par & æquum est, quòd quanto sublimior & admiratione dignior ab istis gloria comparatur, tanto majori illa curâ & sedulitate custodienda, & sarta tectáq; præstanda est. Plurima siquidem in eos qui prosperiore famâ florent per insidiantes diabolos immittuntur tela; neque multùm deficiunt his homines, qui invidiæ suæ virus prurigine quâdam excitatum effundunt. Tu autem nihil de virtutis cursu remittis, & ad eademmet ipsa, quæ jam olim adisti certamina, te apparas cum moderata & humili affectione animi; tela irrita reddidisti, & insuper ipsos in extremam desperationem atque verecundiam adduxisti; invidiam autem in autores ipsos cum majori amaritudine retorquendam curâsti. Certè fabulam quæ de vipera fertur, apud ipsos vim obtinere suam declarabis; dum ostenderis, haudquaquam illam alios sed ipsos parentes exedere & disperdere, ità pulchra propago est invidia. tu tamen hanc ob causam illustriori quâdam deprædicatione publicationéque te dignum imprimis arbitraris.

Ἐπιστ. μθ'.

Ἰωάννῃ Πατρικίῳ καὶ Σακελλαρίῳ κατὰ τοὺς Ἀγγουρείους.

*Τῷ Ἄττιδι μέν σε ἀναφέρουσι, Γάλλον καλοῦντες, οἱ παρ' Ἕλλησι σοφισταί· τῇ γυναικωνίτιδι σε κατακλείουσιν, ἀνδρόγυνον καὶ εἰδότες καὶ ὀνομάζοντες, οἱ ἡμέτεροι σοφοί. Πόθεν οὖν σὺ τοὺς ἑκατέρωθεν ὅρους ὑπερβὰς εἰς τὰ τῆς ἐκκλησίας Θεοῦ μυστήρια παρεισέφρησας, ἄνω καὶ κάτω πάντα ποιῶν· καὶ τὸ ἐν τῇ σῇ διαφθόρῳ φύσει ἄκαρπόν τε καὶ ἄχρηστον ἐν τῇ τοῦ Χριστοῦ γονιμωτάτῃ καὶ πολυτέκνῳ ἐκκλησίᾳ, φιλονικεῖς καταπράξασθαι, ἀλλ' ἴσθι σαφῶς ὅτι ἄδου μὲν καὶ τῶν ᾅδου πυλῶν, δι' ὧν πράττεις ἀναιδέστερον, *σεαυτὸν ἐστηλίτευσας·

*Vide Baronium ad annum Christi 868. 46, & 47.
* ἑαυτόν.

Epist. 49.

Joanni Patricio & Sacellano per Anguræos.

SUnt qui te comparant Atti, Gallum nominantes: nimirum Græcanici Sophistæ. Nostri nasutiores, qui & sciunt Androgynon, & ità nominant, Gynæcio includendum tradunt. Unde ergò factum, ut utrinque terminos circumscriptos transiliens, in Ecclesiæ te sacraria injecisti? omnia súsq; déq; habes. Naturæ autem tuæ corruptissimæ quicquid sine fructu & inutile adhærebat, in fœcundissima Christi Ecclesia & liberis quamplurimis fœta, summam per impudentiam inserere voluisti. Sed clarissimè intelligas oportet, quòd per ea quæ operaris impudentissimè,te palàm declarâsti,quòd ad infernum & inferni portas spectes.

Quòd

Quòd porrò ſis quàm illæ fores infirmior, nos & nobiſcum unà numeroſiſſimus Chriſti grex, licèt noſtro cum dolore, manifeſtum facimus. Cùm verò malorum omnium Architectum illum, unà cum ipſius portis (quarum fortaſſis tu una es, cùm in ſolidum ipſi os, linguam, vocem conceſſeris) & omnes ipſius exercitus invalidos, & nihil agentes contra Eccleſiam, Chriſtus ipſa Veritas nobis confirmaverit: quouſq; tu de impudentia tua nil remittis? quouſque non omittes impudentiæ tuæ tela furioſo more in cœlum ejaculari? unde riſum & ludibrium auxiliantibus diabolis miniſtras, dolorem verò de tua perditione ſanctis ſuffundis. Genus porrò tuum, ultra quàm olim fuerat, odio haberi & deteſtationi facis, & ob improbitatem diffamatum.

ὅτι δὲ καὶ ἀσθενέστερος ἦσθα, ἡμεῖς καὶ ὁ τοῦ Χριστοῦ σὺν ἡμῖν πολυάνθρωπος καὶ ἅγιος χορὸς, κἂν λυπήσωμεν, διελέγξομεν. Εἰ δ' ἐκεῖνον τὸν ἀρχιτέκτονα τῶν πονηρευμάτων, μετὰ τῶν αὐτοῦ πυλῶν, ὧν μία τάχα τυγχάνεις αὐτὸς, ὅλον ἐκείνῳ τὸ στόμα καὶ τὴν γλῶσσαν καὶ τὴν φωνὴν χαρισάμενος· ὅμως σύμπασαν αὐτοῦ τὴν παράταξιν ἀνισχύρους καὶ ἀπράκτους *κατὰ τῆς ἐκκλησίας αὐτοῦ Χριστὸς ἡ ἀλήθεια ἀπεφήνατο· μέχρι τινὸς οὐκ ἐνδίδως ἀναιδευόμενος, καὶ εἰς οὐρανοὺς τὰ τῆς ἀπονοίας βέλη μετὰ πολλῆς τῆς ἀναισθησίας ἀφιείς· δι' ὧν, γέλωτα μὲν τοῖς συμπράττουσι δαίμοσι κινεῖς, λύπην δὲ ἐπὶ τῇ σῇ ἀπωλείᾳ τοῖς ἁγίοις προξενεῖς, μισητὸν δὲ τὸ σὸν γένος νῦν μᾶλλον ἢ πρότερον καὶ διαβόητον ἐπὶ κακίᾳ παριστάς.

* μετὰ Haſch.

NOTÆ.

venerationem, ne quidem cogitationem ullam admittet. Tertia objectio secundæ similis est. Ecqualem crucem statuetis prototypo omnino similem, an illam quæ cum titulo effigiatur, aut potiùs quæ sine illo delineatur & efformatur? Cujus enim cunque similitudinem confitemini, per illam (qui vester est præclarè contextus syllogismus) aliarum fabrefactio & veneratio, per vos, qui hæc talia audetis affirmare, omnino negabitur, aut potiùs jam negatur. Quarto loco differentiam illam & dissimilitudinem quas in Mysticis videmus sacrificiis & aliis quibuslibet sanctis officiis, in reprehensionem & subversionem totius immaculatæ oblationis nostræ & latriæ prætendetis: Nam unde adversus Christi Imaginem, impiam in animum vestrum cogitationem subintulistis, universam Christianorum & sacratam Liturgiam, sed & divina quæcunque mysteria, fundamento tenus concutere convincemini. Quintum adjiciemus, quæ valdè ipsorum impietatem, & in Christum odium propalat. Nam quorsum consistitis in imagine, & istiusmodi nugas deblateratis? oportet ut in aciem procedatis contra eum qui imagine repræsentatur qui tamen adhuc latetis. Quorsum, quod tacitis cogitationibus bellum contra Christum meditamini, illud non labiis, & nudata facie, sed tantùm personati, per imaginem indicitis? Dicant enim, quandoquidem Græci asseverant, Christum in terris sibi similem comparuisse, Romani autem sibi potiùs, Indi figurâ suâ, Æthiopes suâ: cùm hæc ità dicantur, non constat quis pro vero Christo, à quibus habeatur, idcircò non oportet confiteri, non credere, quòd Christus in carne versatus sit. Certè apud infaustos istos non est omnino versatus. In quo enim improbi contra imaginem extiterunt, in hoc ipso priùs contra imaginatum insolentiùs opinati deprehenduntur. Nam à discrepantia opinionum concludunt, tollendum prorsùs eum qui opinionibus subjacet. Vides quis illorum scopus fuerit: & quorsum spectet ipsorum contra Imaginem machinamentum. Sed ulteriùs ad ea quæ dicta sunt, adjiciendum illud quidem, non

λατρείαν ὅλως παραδεξάμενος. Τρίτον δὲ, καὶ τοῦ δευτέρου σύστοιχον, ποῖον σταυρὸν προσερήσεσθε πάντως τοῦ πρωτοτύπου νομιοῦμεν ὅμοιον, ὃς μετὰ τοῦ τίτλου σχηματίζεται, ἢ ὃς ἄνευ ἐκείνου διατυποῦται καὶ διαγράφεται; Ὧν γὰρ ἂν ἡ ὁμοιότης ἡμῖν ὁμολογηθείη, ἐκ τούτου (κατὰ τὸν ὑμέτερον σοφὸν συλλογισμὸν) ἡ τῶν λοιπῶν ποίησις καὶ προσκύνησις, (ἀλλ' ὑμῖν γε τοῖς τοιαῦτα περὶ τηλικούτων τολμῶσιν) ἀπαρνηθήσεται, ἢ καὶ ἤδη ἐξήρνηται. Τέταρτον, τὴν διαφορὰν ἡμῖν καὶ ἀνομοιότητα τὴν ἐν ταῖς μυστικαῖς θυσίαις, καὶ ταῖς ἄλλαις ἱερουργίαις, εἰς διαβολὴν ἁπάσης, καὶ ἀνατροπὴν τῆς ἡμῶν ἀχράντου τελετῆς καὶ λατρείας προκομιεῖσθε· ἐξ ὧν γὰρ κατὰ τῆς Χριστοῦ Εἰκόνος πονηρὰν μελέτην ταῖς ὑμῶν διανοίαις ἐμελετήσατε, πᾶσαν τὴν τῶν χριστιανῶν ἱερὰν τελετὴν, καὶ τὰ θεῖα μυστήρια ἐκ βάθρων αὐτῶν ἠλέγχθητε κατασείοντες. Πέμπτον ῥητέον ὃ καὶ λίαν αὐτῶν στηλιτεύει τὸ δυσσεβὲς καὶ μισόχριστον. τί γὰρ ἐπὶ τῆς εἰκόνος ἵστασθε, καὶ τοὺς τοιούτους φλυάρους ἀνελίσσετε; δέον πρὸς αὐτὸν τὸν εἰκονιζόμενον, ὃ κρύπτουσι πῶς, ἀποδύσασθαι. ἵνα τί γὰρ ὃ ταῖς διανοίαις ὑμῶν ὠδίνετε, τὸν ἄσπονδον κατὰ Χριστοῦ πόλεμον, τοῦτον μὴ καὶ τοῖς χείλεσι καὶ γυμνῷ τῷ προσώπῳ, ἀλλ' ὑπὸ προσωπείῳ τῇ εἰκόνι, ἐπιδείκνυσθε; λεγέτωσαν γὰρ, ὡς ἐπειδὴ Ἕλληνες μὲν αὐτοῖς ὅμοιον ἐπὶ γῆς φανῆναι τὸν Χριστὸν νομίζουσι· Ῥωμαῖοι δὲ μᾶλλον ἑαυτοῖς ἐοικότα. Ἰνδοὶ δὲ πάλιν μορφῇ τῇ αὐτῶν. καὶ Αἰθίοπες δῆλον ὡς ἑαυτοῖς· ἐπεὶ ταῦτα, τίς ἐστὶν ὁ ἀληθὴς χριστὸς ὁ παρά τισι νομιζόμενος. οὐκ ἄρα δεῖ ὁμολογεῖν οὐδὲ πιστεύειν σαρκὶ ἐπιδημῆσαι τὸν χριστόν; ὄντως γὰρ αὐτοῖς τοῖς ἀθλίοις οὐδ' ἐπεδήμησεν. ὃ γὰρ κατὰ τῆς εἰκόνος ἐπονηρεύσαντο, τοῦτο πολὺ πρότερον κατὰ τοῦ εἰκονιζομένου πεφώρανται φρυαξάμενοι. ἀπὸ τῆς τῶν νομισάντων διαφορᾶς, ἀναίρεσιν παντελῆ τοῦ νομισθέντος ψηφισάμενοι. Ὁρᾷς οἷος αὐτῶν ὁ σκοπὸς καὶ εἰς οἷον αὐτοῖς τὸ κατὰ τῆς εἰκόνος ἀπέβλεπε τέχνασμα. Ἀλλ', ἐπὶ τοῖς εἰρημένοις, ἐκεῖνο ῥητέον, οὐκ ἐκείνοις (ἀνάξιοι γάρ)

γάρ) ἀλλά γε τοῖς πιστοῖς καὶ φιλοχρίστοις, ὅπερ οὐ πάντως λυμαίνεται τὴν εἰκονισμάτων τὸ ἀνόμοιον τὴν τῆς εἰκόνος φύσιν καὶ τὴν ἀλήθειαν. οὐ γὰρ μόνῳ σχήματι σώματος καὶ μορφῆς εἰκονίζεται χρώμασι τὸ εἰκονιζόμενον, ἀλλὰ καὶ ποιᾷ διαθέσει, καὶ παρεπομένῃ πράξει, καὶ παθῶν ἐμφάσει, καὶ τόπων ἱερῶν ἀναθέσει, καὶ ἐπιγραμμάτων ἑρμηνείᾳ, καὶ συμβόλοις ἐξαιρέτοις ἄλλοις, ὧν μηδὲν παρεῖναι ἢ μὴ τὰ πλείονα ταῖς παρὰ τὴν πιστῶν εἰκόσιν παντελῶς ἀδύνατον. δι᾽ ὧν, οὐδὲν ἔλαττον, ἢ καὶ πάντα παρεστῶν, εἰς ἔννοιαν καὶ τιμὴν τοῦ εἰκονισθέντος, ὅπερ ἐστὶ τῆς εἰκονουργίας σκοπός, ἀναγόμεθα. Ἀλλὰ ταῦτα μὲν κατ᾽ ἐπιδρομὴν, καὶ ὡς ἐν ἐπιστολῆς τύπῳ. Ἡ δὲ τῆς ἐργασίας ἀκρίβεια, θεοῦ διδόντος, εἰς τὴν οἰκείαν ὑπόθεσιν ἀναχωρήσεται.

illis (sunt enim indigni) sed fidelibus & Christum amantibus. Dissimilitudo quæ cernitur inter Imagines, non evacuat prorsus Imaginis naturam aut veritatem. Non enim tantùm per corporis figuram & habitum coloribus exprimitur imaginatum, sed quâdam sui dispositione, congruenti aliquâ actione, passionum emphasi, & in locis sanctis dedicatione, inscriptionum expositione, & aliis quibusdam insignioribus symbolis, quæ vel non omnino, aut saltem non è majori parte, à fidelium imaginibus abesse debent: per quæ, non minùs quàm si omnia adessent, in memoriam & honorem imaginati (qui finis est imagines fabrefaciendi) deducemur. Atque hæc succinctè, & in epistolari formâ. Exactior autem operatio, cum bono Deo, in proprium subjectum deducetur.

NOTÆ.

ERat Iconomachorum hostis vehementissimus Photius. In hac Epistola, ad illud eorum argumentum quod Achilleum planè rebantur hîc respondet; certè acutè, sed an solidè. Erat illud, Cùm diversimodè Christi imago, apud alias & alias gentes formaretur, quænam ex illis omnibus ut vera & genuina repræsentatio admittenda erit.

Ἐπιστ. ξε´.

Μετροφάνῃ μοναχῷ ἀποστατήσαντι.

Οὐδεὶς ἀνθρώπων, οὐδ᾽ ὁ τέλειος, ἀπὸ ῥύπου καθαρὸς· καὶ οὐδεὶς ἀνθρώπων, οὐδ᾽ ὁ κάκιστος, παντελῶς ἀμέτοχος ἀρετῆς· δόγμα παλαιὸν καὶ μέχρι νῦν ταῖς ἁπάντων καὶ ψήφοις, καὶ πράξεσι φυλαττόμενον. μὴ θελήσῃς λῦσαι, τῷ κατὰ σεαυτὸν ὑποδείγματι, κενὸν ἁπάσης ἀρετῆς σαυτὸν ἐπιδεῖξαι φιλονεικῶν καὶ κενὸν ἀνθρώποις διήγημα.

Epist. 65.

Metrophani Monacho, Apostatæ.

NEmo mortalium, nè quidem perfectus, à maculis purus & sordibus. Nullus homo, nè quidem pessimus, quin alicujus virtutis particeps sit: Antiquum dogma est, etiamnum singulorum calculis & actionibus custoditum. Noli tu id, tuo exemplo, evacuatum reddere: dum te penitùs inanem, & quantalibet virtutis portione vacuum contendis exhibere, & fabula apud cunctos inanis fias.

NOTÆ.

APostatam vocat, quia à partibus suis defecerat, à quibus olim gnaviter steterat. Hic est enim quem cum Losima Baronius ait, literas ex Italia contra Nicolaum Papam tulisse. Erat enim Siculus Monachus & Anachoreta. Extat ad illum Epistola numero 149, nondum Apostatam. In fine Epistolæ legendum κοινὸν, non κενόν.

Ἐπιστ. ξϛ´.

Τῷ αὐτῷ.

* ἴσ. οἰκείοις, non enim prophetæ Nathanis.

Ἔπεσε Δαβὶδ, ἀλλ᾽ ἀνέστη· ἀνέστη δὲ προσευχῇ προφήτου, καὶ δάκρυσι*, καὶ πικροῖς ἐλέγχοις προσαχθεῖσιν ὑπὸ δρα-

Epist. 66.

Eidem.

CEcidit David, sed surrexit: surrexit autem per Prophetæ preces, acerbis lacrymis, & amaris reprehensionibus

bus, fictâ quidem personâ, occultè intentatis. Sed & per labores insuper, pœnitentiam, & virtutes alias ipsius qui per lapsum sternebatur. Comparabatur autem Philosophicè ad taxationem. Cecidisti & tu: Prophetam nullam video; non Davidis humilitatem animi, non resipiscentiam. Ad te deinceps spectat videre & curare, ut à lapsu resusciteris, nisi tibi dare pœnas olim in votis magis hęret & proposito, quàm à supplicio expediri.

Epist. 67.

Bardæ Patricio, & Macedoniæ Duci.

IMpera potiùs cum aliorum desiderio & affectu, quàm per timorem. Est enim impossibile ut non in odium timor hic mutetur. Illud autem subditorum benevolentiam omnibus vestigiis insequitur. Patet autem inter utrumq; differentia, in omni actione & usu necessario. Quodsi animum tuum subjecit opinio, futurum ut indè humile quid, abjectum, & contemptibile enascatur, unde tardiùs & invitus ad hoc consilium accedas: tu contrà opponens mores constitutos & stabiles, sententiam obfirmatam, & quod assentationibus & scurris non attenditur, gravitatem in delitiis habitam opponendo. Notum porrò tibi sit, quod tuo subditi imperio, pudorem suavem militari sagulo prælaturi sint, & te eo indutum magis illustrem iis appariturum. Hoc tu lenocinio, subditos tibi, quocunque volueris, perduces, multò efficaciùs & constantiori tenore, quàm qui de fastu supercilioso, & morum asperitate, magnos sibi sumunt spiritus.

Epist. 68.

Euthymio Monacho collapso.

SI neque cœlestis regni desiderium, nec ineluctabilis supplicii metus, nec eorum, qui tui similes, vitam tam insigni improbitate fœdam transigerunt, dura, difficilia & intoleranda quæ statim passi sunt, sed nec ab omnibus ingesta opprobria, ad conversionem & sobrie-

ματί· ναὶ δὴ καὶ πόνοις καὶ μεταμελείᾳ καὶ τῇ ἄλλῃ ἀρετῇ αὐτοῦ ἐκείνου, τοῦ κατενεχθέντος μὲν τῷ πτώματι, διαπτηθέντος δὲ φιλοσόφως πρὸς τὸν ἔλεγχον. Ἔπεσες καὶ αὐτός· καὶ προφήτην οὐχ ὁρῶ· ὅτι μηδὲ τοῦ Δαβὶδ ταπεινοφροσύνην καὶ μετάνοιαν· σὸν ἐπὶ λοιπὸν κατορᾶν καὶ φροντίζειν ὅπως ἀναστήσῃ τοῦ πτώματος, εἰ μή σοι τὸ δοῦναι δίκην καὶ τότε, τὴν ἐκεῖθεν τοῦ διαφυγεῖν, ἐστὶν αἱρετώτερον.

Ἐπιστ. ξζ.

Βάρδα Πατρικίῳ καὶ στρατηγῷ Μακεδονίας.

ἌΡχε ποθούμενος μᾶλλον ἢ σὺν φόβῳ· τὸ μὲν γὰρ οὐκ ἔστι μὴ οὐχὶ εἰς μῖσος ἀποκριθῆναι· τὸ δὲ τὴν τῶν ἀρχομένων εὔνοιαν εἴωθε θηρεύειν· δῆλον δὲ τὸ ἐν πάσῃ καὶ πράξει καὶ χρείᾳ διάφορον ἑκατέρου. Εἰ δέ τι ταπεινὸν καὶ εὐκαταφρόνητον, ὡς ἂν ἐκεῖθεν, ἐπιφύεσθαί σοι μέλλον ὑποτρέχει τοὺς λογισμοὺς, καὶ πρὸς τὴν συμβουλὴν ὀκνηρότερον παρασκευάζει· ἀλλὰ σύ γε τὸ βεβηκὸς τῶν τρόπων, καὶ τὸ ἐστηριγμένον τῆς γνώμης, καὶ τὸ μὴ προσανεῖσθαι κόλαξι καὶ βωμολόχοις τούτοις, ἀντιτάξας σεμνότητα φίλην· εὖ ἴσθι παρὰ τοῖς ἀρχομένοις, καὶ γλυκεῖαν αἰδῶ, τῆς στρατηγικῆς χλανίδος, λαμπρότερον ὀφθήσῃ περιβεβλημένος· καὶ τῶν ἐπὶ σοβαρότητι καὶ ἠθῶν τραχύτητι μέγα φρονούντων εὐσταθέστερον κατὰ πολὺ καὶ βεβαιότερον ἐπιδειχθήσῃ τὸ ὑπήκοον προσάγων.

Ἐπιστ. ξη.

Εὐθυμίῳ μονάζοντι παραπεσόντι.

ΕἸ μήτε τῆς ἐκεῖθεν βασιλείας ὁ πόθος, μήτε τῆς ἀπαραιτήτου τιμωρίας ὁ φόβος, ἀλλὰ μηδὲ τῶν ὁμοίως σοι τὸν βίον ἐν τοσαύτῃ πονηρίᾳ καταδαπανησάντων, τὰ κατὰ πόδας χαλεπὰ καὶ δύσοιστα πάθη, μήτε τὰ κοινὰ παρὰ πάντων ὀνείδη, πρὸς ἐπιστροφὴν

σε καὶ νῦν τῶν τολμωμένων οὔπω διεγείρει· δέδοικα μὴ δαιμόνων φύσις ἀνθρώπου μορφὴν ὑποκρίνεται. Ἀλλ' εἴθε μὴ συνήλασας ἡμᾶς ταῦτα εἰπεῖν, καὶ τοῦ ἀντιχρίστου διὰ σοῦ ἡ παρουσία προοιμιάζεται.

tatem ab audacibus facinoribus adhuc excitârunt: Vereor ego certè, nè dæmonum natura formam in te ſimulaverit humanam. Utinam nunquam me ad iſta proferenda adegiſſes. Certè procemia nobis venturi Antichriſti in temetipſo exhibes.

Ἐπισ. μθ'.

Ἰγνατίῳ Ἐπισκόπῳ Λόφων.

Δυσφορεῖς καὶ θρηνεῖς καὶ τὰ ἄνω κάτω ποιεῖς, ὅτι σε ταχέως οὕτως καὶ ἀφειδῶς, ὡς νομίζεις, ἐπλήξαμεν· Ἐγὼ δὲ οὐδὲν ἔλαττον, ὅτι σεαυτὸν τοιούτων ἄξιον παρεσκεύασας, καὶ ἡμᾶς ἐλθεῖν, παρὰ τὸ ἡμέτερον ἦθος, εἰς τοὺς περὶ σὲ λόγους ἠνάγκασας. Εἰ δ' ἀληθῶς ἐπλήγης, καὶ μέχρι βάθους ἡ τῶν ἐλέγχων ἀκμὴ ἔφθασεν, δείξεις ἐκεῖνα φυγὼν δι' ἃ τὸ βέλος ἀφήκαμεν· καί σοι τὴν πληγὴν σὺν εὐμενείᾳ Θεοῦ οὐ μόνον ἐξιασόμεθα, ἀλλὰ καὶ τὸ λοιπὸν ὡς μέλους ἀντιποιησόμεθα.

Epiſt. 69.

Ignatio Lophorum Epiſcopo.

MAlè te habet, deploras, ſurſùm deorſùm omnia miſces, quod te tam citò, & tam vehementer (ut reris) ſine reſpectu taxaverim. Ego te non minùs incuſo, qui te dignum dederis hiſce reprehenſionibus, & nos adegeris ut ad iſta dicenda, præter conſuetudinem, accederemus. Si autem revera percuſſus fueris, & profundiùs penetraverit reprehenſionum cuſpis, Tute declarabis, dum illa averſeris, quæ telum hoc à nobis extorſerunt. Ità plagam tibi ingeſtam, per Dei miſericordiam, non modò perſanaturi ſumus, ſed deinceps te ut membrum noſtri corporis confovebimus.

Ἐπισ. ο'.

Θεοδώρῳ Μητροπολίτῃ Λαοδικείας.

Νῦν καιρός, ὦ φίλε, εἰ βούλει δὲ καὶ τέκνον ἡμέτερον, ἢ τὰς ἐξ ἀνθρώπων ἀπειλὰς οὐ δεδιότα, στερρὸν ὀφθῆναι τῆς ἀληθείας ὑπέρμαχον, καὶ λαμπρᾶς τυχεῖν τῆς ἐκεῖθεν εὐφημίας καὶ ἀναρρήσεως· ἢ προσκαίρῳ καὶ ῥεούσῃ ἡδονῇ καὶ δόξῃ προδότην τῆς ἀϊδίου καὶ εἶναι καὶ ὀνομάζεσθαι.

Epiſt. 70.

Theod. Metropolitæ Laodiceæ.

OCcaſio nunc (ô amice) offertur, ſi ipſe volueris, & noſter filius exiſtas, vel minimè reformidare mortalium minas, dum immotum te præſtes veritatis athletam, illuſtre laudum præconium de cœlo conſequi, & victorem ibidem declarari: vel dum veritatem prodis, & proditor cenſeris, temporali & fluidâ voluptate & gloriâ fruiſci.

Ἐπισ. οα'.

Τῷ αὐτῷ.

Εἰ τέλος παιδείας τὸ ἑαυτὸν αἰσχύνεσθαι, ἐσχάτης ἀπαιδευσίας τὸ μηδὲ τοὺς ἄλλους αἰσχύνεσθαι· τὸ δὲ καὶ ἐφ' οἷς ἐγκαλύπτεσθαι προσῆκεν, ἐγκαλλωπίζεσθαι, ὑπερόριον καὶ τῆς ἀνθρωπίνης κακίας.

Epiſt. 71.

Eidem.

SI finis doctrinę & inſtitutionis ſit, pudore ſuipſius teneri, extremæ fuerit ineruditionis neceſſe eſt, nullo aliorum pudore moveri. At gloriari de iis quæ occultanda potiùs fuerant, terminos excedit humanæ improbitatis.

Epist. 72.

Sergio Fratri.

NOn Rhetorum more contra contemptibilitatem nostram declamant Sacræ literæ, quæ umbram, & somnum, & fumum, & vanitatem, & similibus titulis vitam humanam insigniverunt. Quo enim loco habiturus es puerilem ætatulam? Ecquid eâ magis vanum, inane, & insensatum? imò & juventutem ipsam, quæ flos quidam naturæ videtur esse, sed multis abundat tempestatibus; sed levitates multæ, vanitates, & inconstantia in eadem sunt; sed ocyùs quovis insomnio præterfluit, nihil præterea aliud largita vel subministrans, quàm quòd tumultus fluctuum, & exæstuationes passionum contra animum concitando, primum incœptum ad virtutis cursum institutum, fluctibus submerserit. De medio ætatis tenore quid aliud dicendum, quàm quod à fumi volatu parùm dissidet? huc enim illuc exiliendo cursitat, planè autem nusquam consistit. Particeps enim quodammodo est levissimę & inordinatæ illius motionis, quæ juvenili ætati convenit, nec enim perfectè expedivit hominem ab illis tenebris & tumultibus: Cùm verò senectuti vicina fuerit, cineribus exinde ejectis, occultè & sensim sine sensu subimpletur; unde deflorescendi defluendíque principium sortitur: videtur quidem remotior esse à malo & detrimento, quod ab extremis utrinque infertur: & tamen miseriæ quam utrinque licet deprehendere, particeps fit, donec in senectutem, fumum, & insomnium merum dissolvatur. Nam quid (quæso) ipsa senectus censenda? Utcunq; nos hîc tacuerimus, ipsa per se singulis suas passiones, grave onus, difficultates proclamabit; esse ipsam nimirum pulvere, fumo, umbrâ, somno, omnibus rebus magis despicabilem, & obscuriorem. Quomodo possimus igitur mala devitare? Omnino, si per ætatem puerilem rectâ utamur institutione, prudentes nacti informatores. Non est hoc in nostra situm potestate, sed spectat ad parentes vel tutores id curare. Per adolescentiam verò, cùm nostræ partes agi cœperint, per adductiora fræna, exactissimam institutionem,

Ἐπισ. οβ'.

Σεργίῳ ἀδελφῷ.

ΟΥ καταρρητορεύουσα τῆς ἡμετέρας εὐτελείας ἡ θεία γραφὴ, σκίαν, καὶ ὄναρ, καὶ καπνὸν, καὶ ματαιότητα, καὶ τοιαῦτα ἄλλα τὸν ἀνθρώπινον βίον ὠνόμασε. Τί γὰρ ἂν καὶ εἴποις τὴν ἐν παισὶν ἡλικίαν· καὶ τί τούτου ματαιότερον ἢ ἀναισθητότερον; ἀλλὰ τὴν νεότητα, ὃ καὶ ἄνθος δόξειεν ἂν εἶναι τῆς φύσεως, ἀλλὰ γέμει ζάλης· ἀλλὰ πολὺ τὸ κοῦφον ἐν αὐτῇ καὶ ὑπόκενον καὶ εὐρίπιστον· ἀλλὰ παντὸς ὀνείρου θᾶττον παρέρχεται, οὐδὲν ἄλλο χαρισαμένη καὶ προξενήσασα, πλὴν ὅτι πολὺν σάλον καὶ κλύδωνα παθῶν τῇ ψυχῇ ἐπικυμήνασα, αὐτὴν τὴν πρώτην ὁρμὴν τῆς ἐπ' ἀρετὴν κινήσεως, ἔστιν οἷς ἐποίησεν ὑποβρύχιον. τί δὲ τὸ τῆς ἡλικίας μεθόριον, ἀλλὰ καὶ τοῦτο καπνοῦ φορᾶς οὐδὲν διενήνοχεν, ὧδε κἀκεῖσε διᾷττον, καὶ καθαρῶς οὐδαμοῦ καθιστάμενον· τῆς τε γὰρ κατὰ τὴν νεότητα, κούφης καὶ ἀτάκτου μετέχει πως ἔτι κινήσεως, οὔπω τελείως τῆς ἐκεῖθεν ἀχλύος καὶ ταραχῆς ἀπαλλάξαι τὸν ἄνθρωπον· καὶ τῷ πρὸς τὸ γῆρας γειτονήματι τῆς ἐξ αὐτοῦ αἰθάλης, ἠρέμα πως καὶ ἀνεπαισθήτως ὑποπιμπλάμενον, καταρρεῖν ἄρχειν παρέχει καὶ ὑπομαραίνεσθαι· καὶ δοκεῖ μὲν τῆς ἀφ' ἑκατέρου τῶν ἄκρων βλάβης τε καὶ κακίας ἀφεστάναι· οὐδὲν δὲ ἧττον τῆς ἐν ἀμφοῖν θεωρουμένης μοχθηρίας μετέχον, εἰς καπνὸν, ὡς ἀληθῶς * καὶ εἰς * τὸ γῆρας, ὄναρ διαλύεται· αὐτὸ δὲ τὸ γῆρας τί; κἂν οὐδὲν ἡμεῖς ἐροῦμεν, αὐτὸ πᾶσιν αὐτοῦ τὰ πάθη, καὶ τὸ βάρος, καὶ τὴν χαλεπότητα διακέκραγε· καὶ ὅτι καὶ κονιορτοῦ καὶ καπνοῦ καὶ σκιᾶς καὶ ὀνείρου, καὶ πάντων ἐστὶν εὐτελέστερόν τε καὶ ἀμυδρότερον· πῶς οὖν ἐστὶ φυγεῖν τὰ κακά; κατὰ παῖδα, μὲν ἀγωγῆς τυχόντα χρηστῆς καὶ σωφρόνων παιδαγωγῶν· ὅπερ οὐκ ἐν ἡμῖν ἐστὶν, ἀλλ' ἐν ταῖς τῶν τεκόντων ἢ τῶν ἐπιτρόπων φροντίσιν· ἐν νεότητι δὲ, καθ' ἣν ἄρχεται καὶ τὸ ἡμέτερον, διὰ σφοδροτάτου χαλινοῦ καὶ ἀκριβεστάτης παιδεύσεως τε καὶ γυμνασίας καὶ

συνασκήσεως· κατὰ δὲ τὴν μέσην ἡλικίαν, διά τε τοῦ προκαταρτισθέντος καὶ προεντυπωθέντος τῇ ψυχῇ ἔθους· ὃ καὶ μεγίστην ἔχει πρὸς τὰ ἑξῆς κατορθώματα τὴν ἰσχὺν, καὶ διὰ τῆς ὁμοίας σπουδῆς καὶ ἐπιμελείας τῆς κατ' ἀρετὴν τελειώσεως. τῷ δ' οὕτω λοιπὸν οἰκονομήσαντι καὶ διακυβερνήσαντι τὸν βίον, λιμὴν ἀπαντήσει τὸ γῆρας, καὶ πόνων ἀνάπαυσις, τῆς κατὰ ψυχὴν ἡδονῆς, καὶ θείας εὐφροσύνης τὰς ἀπὸ τοῦ σώματος λύπας παρωθουμένης τε καὶ ἀποκρυπτούσης, καὶ μακάριον, ὡς ἀληθῶς, ἀποφαινούσης τὸν ἄνθρωπον. Σὺ δέ μοι, τέκνον, μὴ μόνον ἃ γράφω προθύμως ἀναγίνωσκε, ἀλλὰ καὶ διὰ τῶν ἔργων προθυμότερον ἐπιγίνωσκε.

exercitium & ascesin coeuntem: sub ætate maturâ, per compositos & comparatos priùs, & menti præinsculptos mores: unde summa & præcipua potestas accrescit ad rectè consequentia conformanda, ut nimirum per consimile studium & diligentiam adhibitam, virtus tandem consummetur. Ei porrò, qui ad hunc modum vitam suam composuerit & direxerit, offeretur tandem pro portu senectus, laborum requies, gaudii (quod secundùm Deum est) repositorium, quo à corpore dolores amandantur, occultantur, & planè beatus homo tandem renunciatur. Tu autem, Fili, fac, non tantùm ut lubentiùs perlegas quæ à me scribuntur; sed multò studiosiùs eadem per operationes ipsas recognosce.

Ἐπιστ. ογʹ.

Ἰωάννῃ Πατρικίῳ καὶ Σακελλαρίῳ κατὰ τοὺς Ἀγγουρείους.

Λίαν ἐμοί γε δοκεῖ καλῶς καὶ συνετῶς ὁ πάλαι λεγόμενος ἔχειν λόγος, ὡς ἀνέβησαν μὲν ἤδη πολλοὶ ἐπὶ τὸ δένδρον τοῦτο ὃ καλούμενόν ἐστι τυραννίς· κατέβη δὲ οὐδεὶς πάλιν, ἀλλὰ καταπίπτουσιν ἅπαντες. Εἰ δὲ τοῦτο· τί γαυριᾷς καὶ σκιρτᾷς αὐτός; οὐδ' ἐπὶ τοῖς τούτου κλάδοις, καὶ ταῦτα βαρὺς ὢν καὶ σοβαρὸς καὶ φλεγμαίνων, ἀλλ' ἐπὶ τοῖς τῶν φύλλων αὐτοῦ πετάλοις ἀνοήτως ὀχούμενος.

Epist. 73.

Joanni Patricio & Sacellano apud Angurios.

OMninò mihi rectè & sapienter olim dictum videtur, ascendisse quidem multos in arborem illam, quæ Tyrannis nominatur: descendit autem nullus denuò, sed singuli ruinâ præcipitantur. Itaque quid adeò intumescis & exultas tu? Tu nondum super ramos hujus arboris, gravis utcunque & tumidus conscendisti, sed insipienter in ipsis caulium foliis eveheris.

NOTÆ.

HÆc non est illa epistola, unde Baronius, quod diximus comminiscitur; Joannem hunc Patricium & Sacellarium commotiorem in Photium; ea protulit quæ Attin & Gallum ingerunt. Invehitur autem sed non multis in nequissimi hominis mores barbaros & tyrannicos per apologum de arbore, cujus in ramusculis illum consistere fingit, quia cum esset non *αὐτόνομος*, sed alterius potestati subjectus, non poterat reverà tyrannus reputari. Nam Τύραννος ἑαυτῷ τὴν ἀρχὴν σφετερίζεται. Thrasibulus in epistola ad Periandrum, apud Laertium, ejusmodi Tyrannidem *αἰσυμνητείην* vocat.

Ἐπιστ. οδʹ.

Εὐλαμπίῳ Ἀρχιεπισκόπῳ καὶ Σκευοφύλακι.

Gen. 24. 2. Θὲς τὴν χεῖρά σου ὑπὸ τὸν μηρόν μου, φησὶν ὁ πατριάρχης Ἀβραάμ· δύο ταῦτα παραδηλῶν τῷ νυμφαγωγῷ προστάττει θεράποντι· ἓν μὲν καὶ πρόχειρον, τὸν ὅρκον εἰς τὸ τῆς περιτομῆς σεβάσμιον εἰσπραττόμενος.

Epist. 74.

Eulampio Archiepiscopo & Sceuophylaci.

P*One manum tuam sub fæmore meo*, inquit Abrahamus Patriarcha: duo ista subindicans Ministro Nymphagogo, in mandatis dat: prius est, & in promptu, quod jusjurandum in honore circumci-

δεύτερον

sionis inducit; secundum est & subintellectum, id quod ad eum refertur, qui ex se nasciturus erat, Christum Deum nostrum; vinculis eum constringens, & rectè jurando confirmans illum, ac ipsum reddens promptiorē ad exequendā mandata, inspectorem & testem, conciliandæ uxoris in negotio, jurisjurandi eum, inquam, præponendo, & non alium, qui priùs promiserat futurum, ut semen ipsius de Isaaco multiplicaretur quemadmodum cœli sidera: quibus promissis consummationem inducere poterat qui dona sua atque gratias sine pœnitentia elargitur, tantùm non cogitatione complexus & effatus ista, O Famule nymphagoge genuini mei filii, opus tantùm tibi est ut prompto sis animo & propositum sedulum in exequendo præstes ministerio, cætera levi brachio perficiet is, qui jurisjurandi curator & testis adhibetur, qui de multiplicanda prole stipulatus est. Videsis autem mihi quanto cum amore Dei, & quàm justè Mediatorem futurum multiplicandæ in filio prolis per contactum sigilli, quod indicium fidelitatis in fide polygoniæ acceperat, jurare jussit: quasi diceret, qui dedit mihi circumcisionem, Chananæorum gentem inter quos inquilinus versor, execratam habet, nostram verò benedictam. Vide igitur, ut te divini sigilli contactu Legislatorem ejus adjurare jubeo, te non aliter facturum quàm ut ipsi prolis multiplicatæ largitori gratum & acceptum fuerit, hoc est, ut de cognatione puellam meo filio nupturam concilies. In hoc autem ipso id præstare videtur mihi, quod is qui eodem modo pietatem in Deum colit, sub gratia vivens, curaret diligenter, nempe in medium producens divini & salutaris Baptismi insignia, & symbola, hoc est, stolam albam, & quæ cætera spectant ad illud donum, ac deinceps his contactis juberet eum qui profiteretur se facturum quod mandaverit conceptis verbis jurare. Habes ità opinor per epistolam prescriptam quàm secundùm rectam rationem, quàm justam consequentiam & pietatem in Deum fidelis Abraham, hæc meditatus & operatus fuerat, ergò cogitatio omnis vilis, projecta, & adversa veritati excludatur.

δεύτερον δὲ καὶ νοούμενον, εἰς τὸν ἐξ αὐτοῦ τεχθησόμενον Χριστὸν καὶ θεὸν ἡμῶν· δεσμεύων αὐτὸν, καὶ εὐορκεῖν ἐπὶ πλέον ἀσφαλιζόμενος, ἅμα δὲ καὶ προθυμότερον αὐτὸν ἐργαζόμενος, ἅτε δὴ ἔφορον καὶ μάρτυρα τῶν ἐπὶ νυμφαγωγίᾳ ὅρκων, οὐκ ἄλλον αὐτῷ ἐφιστάμενος, ἀλλ' ἐκεῖνον, ὃς καὶ προσυπέσχετο, ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ, τὸ ἐν Ἰσαὰκ αὐτοῦ σπέρμα πληθυνθήσεσθαι· καὶ δυνατὸς ἐστὶ πέρας ἐπιθεῖναι ταῖς ὑποσχέσεσι, καὶ ἀμεταμελήτους οἶδε τὰς δωρεὰς καὶ τὰς χάριτας· μονονουχὶ καὶ ἐννοούμενος καὶ λέγων, ὦ παῖ τοῦ ἐμοῦ γνησίου νυμφαγωγὲ παιδὸς, προθυμηθῆναι δέοι μόνον τῇ ὑπηρεσίᾳ, προαίρεσιν σπουδαίαν εἰσενεγκεῖν, τὰ δ' ἄλλα ῥᾷστον ἀνύσει ὁ καὶ τῆς ὁρκομοσίας ἐπόπτης καὶ μάρτυς, καὶ τὰς τῆς πολυπαιδίας ὑποσχέσεις δωρησάμενος. καὶ ὅρα ὡς φιλοθέως λίαν καὶ εἰκότως τὸν ἐπὶ παιδογονίᾳ τοῦ υἱοῦ μεσίτην ἐσόμενον, τῆς σφραγῖδος ἁπτόμενον, ἣν τῆς ἐν πίστει πολυγονίας σημεῖον ἔλαβεν, ὀμνύειν προσέταξεν· ἵνα εἴπῃς, ὁ δοὺς μοι τὴν περιτομὴν, αὐτὸς ἔδωκε τὸ μὲν Χαναναῖον γένος, μεθ' ὧν ἐγὼ παροικῶ, ἐπάρατον, ἐν εὐλογίαις δὲ τὸ ἡμέτερον. Ἰδοὺ τοίνυν τῆς θείας ἐφαπτόμενον σφραγῖδος, τὸν νομοθέτην ταύτης ὀμνῦναι κελεύω, μὴ ἂν ἄλλως ποιεῖν, ἢ ὡς ἐκείνῳ τῷ τῆς πολυτεκνίας δοτῆρι; χαριούμεθα, ἐξ ὁμογενοῦς νυμφαγωγῆσαι κόρην τῷ παιδί. τοιοῦτόν τι μοι πρᾶξαι δοκῶν, ὁποῖόν τι τῶν ὁμοίων, εὐσεβὴς ἀνὴρ, καὶ τῶν ἐν τῇ χάριτι, διαπραχθῆναι ποιούμενος σπούδασμα, αὐτά πως προθέμενος τὰ τοῦ θείου καὶ σωτηρίου βαπτίσματος σύμβολα, τήν τε λευκὴν φημὶ στολὴν, καὶ τὰ λοιπὰ τοῦ δώρου παράσημα, εἶτα τούτων ἁπτόμενον, εἰς αὐτὰ τὸν ὅρκον ὑπέχειν ἀπαιτοίη τὸν ὑπεσχημένον ὑπηρετήσασθαι τῷ βουλήματι. Ἔχεις τοιγαροῦν, κατ' ἐπιστολὴν, ἐκ τῶν εἰρημένων, οἶμαι, τό, τε εὔλογον καὶ ἀκόλουθον καὶ θεοφιλὲς τῆς τοῦ πιστοῦ Ἀβραὰμ διανοίας καὶ πράξεως· δι' ὧν λογισμὸς ἅπας χυδαῖος καὶ πεπατημένος καὶ ἀντικείμενος, ἀπελαύνεται.

NOTÆ.

ʼΑρχιεπισκόπῳ καὶ Σκευοφύλακι. Sceuophylax est sacrorum vasorum & utensilium, in Ecclesiis custos. Thesaurarium nos olim in Ecclesiis cathedralibus dicebamus. & erat inter dignitates, quas dicebant, prima & honoratissima. Dicebatur interdum & Chartophylax, hoc est, Diplomatum, Donationum, Evidentiarum, & Munimentorum custos, quæ inter præcipua κειμήλια censebantur, meritó. Hinc iste Eulampius in Epistola 182. χαρτοφύλαξ dicitur. Sed incompatibilia sunt munera Archiepiscopatûs & Sceuophylaciæ, certè per se; ut etiam sunt Abbatia. & Præsulatus: Sed per commendam, ut vocant, & per dispensationem conjungebantur, ut & hodie obtinet. Erat autem hic Archiepiscopus Apamensis. Locus autem quem explicat habetur Gen. 24. 2. ubi duo doceri vult: primò, quod πρόχειρον, cuique obvium erat; nempe ad circumcisionem honorandam, hoc ab Abrahamo factum: Tum ad mysticum sensum de Christo è lumbis Abrahami oriundo, ἐπειδὴ ἐντεῦθεν (hoc est, ἐκ τῶν ὀσφύων) ἡ ἀρχὴ τῆς γεννήσεως. non è femore, licèt toties usurpetur, è femore Jacob. Δεσμεύων immediatè refertur ad θεράποντι. Pro ἐφιστάμενος, potiùs ἐφιστάμενον, nempe ἔφορον. In sequentibus lege, καὶ προαίρεσιν, & ἵνα εἴπῃς· & ἐδήλωσε pro ἔδωκε, & ὁμοίως.

Ἐπισ. οε΄.

Εὐσχήμονι ἀρχιεπισκόπῳ Καισαρείας Καππαδοκίας.

Τί θαυμάζεις λίαν τὴν ἐπὶ τοῖς ἄρτοις τῶν μαθητῶν πώρωσιν, καὶ λέγεις, ἆρα γὰρ οὐχ ἑώρων; ἆρα γὰρ τοῖς οἰκείοις ὀφθαλμοῖς, καὶ ταῖς χερσὶν ὑπηρετουμέναις ἠπίστουν τῷ θαύματι; πῶς οὐ συνήεσαν; πῶς ἐπελάθοντο; Ἔστι μὲν γὰρ, εἰ καὶ μὴ ἐπὶ τοσοῦτον, ἀπορεῖν· ἀλλ' ἔστι πλέον ὀρθῶς καὶ ἐννοῆσαι καὶ ἐπιλύσασθαι, ὅτι καὶ τὰ πραττόμενα ἔβλεπον, καὶ οὔτε τοῖς ὄμμασιν, οὔτε ταῖς οἰκείαις χερσὶ διημφισβήτουν, καὶ ἀπεμάχοντο· ἀλλὰ ταῦτα μὲν καὶ ἑώρων, καὶ ἤδεισαν, καὶ ἐθαύμαζον· οὔτε γὰρ ἀνοήτοις, οὔτε τυφλοῖς, οὔτε τοῖς πρὸς ἅπαντα μαχομένοις καὶ ἀναισχυντοῦσιν Ἰουδαίοις παραπλησίως διέκειντο· ἀλλ' οὔπω πρὸς τὸ τέλειον ἀναβεβηκότες, καθ' ἕνα τινὰ τῶν πάλαι ἁγίων καὶ προφητῶν, καὶ ὁπότ' ἂν ἡ ἄνωθεν χάρις ἐπινεύσῃ, ἀλλ' οὐχ ὡς θεὸν, καὶ κατὰ πᾶσαν ἐξουσίαν καὶ κυριότητα, τὸν διδάσκαλον αὐτῶν ἐπιτελεῖν τὰς θεοσημείας, ἐνόμιζον· δι' ὃ, καὶ πλὴν ἑνὸς μὴ συνεπιφέροντες ἑαυτοῖς ἄρτους, ἐπείπερ ἤκουσαν παρ' αὐτοῦ προσέχειν ἀπὸ τῆς ζύμης τῶν Φαρισαίων, οὐκ ἔχοντες, ὅπερ ἔφημεν, ὡς ἐξ αὐτοῦ, καὶ ἀεὶ, καὶ αὐθεντίας κράτει δυνατός ἐστιν ἃ βούλεται πράττειν, εἰς διαλογισμοὺς, τοῦ πῶς ἂν διατραφεῖεν, ἀπηνέχθησαν· καὶ τοῦτο αἰτιασάμενος ὁ δεσπότης, ὅτι μή πω θεοπρεπῆ καὶ τῶν ἀνθρωπίνων ὑπερανέχουσαν μέτρων, τὴν περὶ αὐτοῦ δόξαν ἐκτήσαντο, εἰκότως αὐτοῖς τὴν πώρωσιν ἐπεκάλεσεν.

Epist. 75.

Euschemoni Archiepiscopo Cæsareæ Cappadociæ.

Quid est quod tantoperè miraris discipulorum de panibus obdurationem, ut dicas, An non viderant? An non ipsorum oculi & manus ministrabant miraculo? quorsum illis non credunt? quomodo non intelligebant? quomodo obliti sunt? Certè potest, licet non tantoperè, addubitari, sed potiùs ritè huic dubitationi occurrendum. Quæ gerebantur videbant propriis oculis, & manibus contrectabant, nec diffidebant, nec contrà pugnabant; rem gestam intuebantur, & visam obstupebant; nam non quomodo insipientes, obluctantes, impudentes in omnibus Judæi & ipsi animati erant, verùm non ad perfectionis gradum ascenderant, sed illum quomodo è Sanctis olim Prophetis quidam ubi & quando Divina gratia afflaverit, non tanquam Deum arbitrabantur Magistrum suum cum omni potestate & dominio divina signa patrare: Quocirca, cùm unicum tantùm secum panem attulerant, ubi eum audîssent dicentem, *Caverent à fermento Pharisæorum*, cùm nequirent, quod diximus, capere, quòd ex seipso semper pro summa potestate poterat omnia quæ voluit facere, in disquisitionem illam devenere unde alerentur. Hoc incusato Dominus non injuriâ duritiem illis imputat, quòd nondum divinæ naturæ congruam & humanum modulum transgressam de ipso opinionem tuerentur.

NOTÆ.

Οὐκ ἔχοντες, hiat oratio, quid enim non habebant haud exprimitur, nondum autem habebant perfectam & claram sui magistri cognitionem, deest ergò, γνῶναι, συνιέναι aut tale quid.

Epist. 76.

Eidem.

ITerum dubitas, & interrogas, unde fiebat, quòd cùm Dominus planè & perspicuè discipulis enarraret contumelias quas ab hominibus passurus erat, plagas, crucem, mortem, ipsi tamen non intellexerunt. Ità enim inquit, *at ipsi non intelligebant, & erat hoc verbum ab ipsis ocultatum, nec quæ dicebantur percipiebant*. Tu autem illud mihí cogitato, quòd Servator ut redderet acutiores discipulos, frequentiùs ipsos in parabolis alloquebatur, tum quod paradoxum erat, Mortuos resuscitare, & regnum cœlorum polliceri, & propriam ipsius mortem prædicare. Nec ista tantùm, sed cùm etiam apud discipulos amor erga magistrum suum progressu temporis roboraretur, & floreret, ut nihil illum grave perpeti vellent. Quod verò quis nolit, vix etiam cùm incumbit instanter affuturum apprehendere potest. Ideò parabolam quandam, & non prædenuntiationem malorum quorundam intolerandorum, quæ passionem ipsius tangebant, rebantur Apostoli. Quocirca illa intelligere non poterant, licet aliis aperta essent & perspicua, aut potiùs illa intelligere nolebant. Quod si his adjungere volueris resuscitationis negotium, rem fide majorem, per seipsam consideratam, resurrectionem ab ipsomet defuncto procuratam, agnosces; magìs autem si comparatum cum aliis quibusdam tristibus, & è diametro pugnantibus præannuncietur, nequaquam diffiteberis eos ignorâsse.

Ἐπιστ. ος'.

Τῷ αὐτῷ.

Ἀπορεῖς πάλιν καὶ διερωτᾷς, πῶς τοῦ δεσπότου τρανῶς καὶ σαφῶς τοῖς μαθηταῖς προαγγέλλοντος, τὰς ἐξ ἀνθρώπων ὕβρεις, καὶ τὰς πληγάς, καὶ τὸν σταυρόν, καὶ τὸν θάνατον, αὐτοὶ οὐ συνήεσαν· καὶ γάρ φησι, καὶ αὐτοὶ οὐ συνῆκαν· καί, ἦν τὸ ῥῆμα τοῦτο κεκρυμμένον ἀπ' αὐτῶν. καί, οὐκ ἐγίνωσκον τὰ λεγόμενα. ἀλλ' ἐκεῖνό μοι ἐννόει, ὅτι καὶ τοὺς μαθητὰς ὁ σωτὴρ ὀξυτέρους ποιῶν, πολλάκις αὐτοῖς ἐν παραβολαῖς ἐλάλει· καὶ ὅτι καὶ τὸ πρᾶγμα ἦν ἄλλως παράδοξον, νεκροὺς ἐγείρειν, καὶ βασιλείαν ἀΐδιον ἐπαγγέλλειν, καὶ θάνατον ἴδιον προαγγέλλειν· οὐ μόνον δέ, ἀλλ' ὅτι καὶ τὸ πρὸς τὸν διδάσκαλον τοῖς μαθηταῖς φίλτρον, τῷ χρόνῳ ἤδη ἐρρώννυτο καὶ ἐνήκμαζε καὶ δεινὸν παθεῖν οὐδὲν αὐτὸν ἤθελον· ὃ δέ τις οὐ βούλεται, μόλις καὶ παρὸν ἐφεστηκέναι συντίθεται· διὰ ταῦτα πάντα, παραβολήν τινα, καὶ οὐ τῶν λυπηρῶν ἐκείνων προαγόρευσιν, τὰ περὶ τοῦ πάθους ἐνόμιζον οἱ ἀπόστολοι, καὶ διὰ τοῦτο συνιέναι, κἂν ἄλλως σαφῆ καὶ φανερὰ ἦν, οὐκ ἠδύναντο, μᾶλλον δὲ οὐκ ἐβούλοντο, τὰ λεγόμενα. Εἰ δὲ καὶ τὸ τῆς ἐγέρσεως αὐτοῖς προσεπινοεῖν ἐθελήσεις, πρᾶγμα μεῖζον μὲν πίστεως, καὶ καθ' ἑαυτὸ διασκοπούμενον ἔγερσις αὐτουργουμένη τῷ τελευτήσαντι· μάλιστα δὲ μετὰ τῶν ἄλλων σκυθρωπῶν καὶ ἐκ διαμέτρου μαχομένων συμπαρατιθέμενον καὶ προαγγελλόμενον, οὐκέτι διότι μὴ συνιέσαν, ὅλως ἀπορήσεις

Epist. 77.

Ignatio Monasterii Chrysopolitani Abbati.

ILlud, *Potest Deus vel è lapidibus istis liberos Abrahamo suscitare*; sunt ex antiquis aliqui qui retulerunt ad cre-

Ἐπιστ. οζ'.

Ἰγνατίῳ ἡγουμένῳ μονῆς τῆς ἐν Χρυσοπόλει.

Τό, Δύναται ὁ Θεὸς καὶ ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ, οἱ μὲν περὶ ἡμῶν τοὺς ἐξ ἐθνῶν πεπιστευκότας Matth. 3. 9.

ἐξηλή-

ἐξείληφασιν· οἱ δὲ, κατὰ λίθους δὲ πέτρας, πεπωρωμένην δὲ ἀναίσθητον τὴν καρδίαν ἔχοντες. Τί γὰρ τοῦ, λίθοις καὶ ξύλοις προσκυνεῖν, εἰς πώρωσιν καὶ ἀναισθησίαν ἀτοπώτερον; ὅμως, ἐκεῖθεν διαῤῥαγέντες, εἰς σπέρμα τῷ Ἀβραὰμ, διὰ τῆς πίστεως, ἐξανίσανται· Εἰ δὲ δὲ τῆς λέξεως εἰπεῖν καὶ τῆς ἱστορίας ἐγγύτερον οὐκ ἀδόκιμον, ἀλλ' ἐκεῖνο παροπτέον, ὅτι τὸ ἄῤῥητον καὶ ὑπερφυὲς καὶ παντουργὸν καὶ παντοδύναμον τῆς θείας βουλήσεως, ὁ βαπτιστὴς παραστῆσαι βουλόμενος, ταῦτα ἐφθέγξατο· ἐκεῖνο ὑποδηλῶν, ὅτι ὥσπερ κατ' ἀρχὰς, βουληθεὶς ὁ θεὸς, ἐκ πηλοῦ τὸν ἄνθρωπον διεπλάσατο, οὕτω καὶ νῦν ἐκ τῶν συγγενῶν λίθων καὶ ὁμοστοίχων τῷ πηλῷ, ῥᾷον, εἰ βούλοιτο μεταπλάσας, εἰς σπέρμα καὶ τέκνα τῷ Ἀβραὰμ, ἀναστήσεται. Σὺ δέ μοι καὶ τρίτον ἐννόει, τῶν εἰρημένων, ἵνα μὴ λέγω ἐγγύτερον, οὐδ' ἑτέρου τέως μακρότερον· ὡς ἐξ ἐκείνων τῶν λίθων, οὓς ὁ πρόδρομος ὑποδεικνὺς ἔλεγε, Δύναται ὁ Θεὸς ἐκ τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραὰμ, ἐπ' αὐτοῖς ἔργοις ἐστὶ θεάσασθαι, καὶ τέκνα τῷ Ἀβραὰμ ἀνιστάμενα, καὶ περατουμένην τὴν πρόῤῥησιν· ὅτε γὰρ τὸ τοῦ κόσμου σωτήριον ἐτελεῖτο πάθος, τότε τῶν λίθων ἐκείνων καὶ πετρῶν, μετὰ τῶν ἄλλων, σχιζομένων, πολλοὶ δὲ τῶν ἐθνικῶν δὲ τῶν Ἰουδαίων, μέσας αὐτὰς τὰς πεπωρωμένας καρδίας διαῤῥαγέντες τῷ θαύματι, εἰς τὴν τοῦ Χριστοῦ πίστιν ἐθεμελιώθησαν, δὲ τῶν τέκνων τοῦ Ἀβραὰμ, τῷ τε γένει, καὶ τοῖς κλήροις, συναπεγράφησαν. Προῆκταί σοι τοίνυν, ὡς ὁρᾷς, κατά τε θεωρίαν καὶ ἱστορίαν, ἡ ἑρμηνεία· διπλῆν δὲ τὴν ἱστορίαν, τὴν μὲν προηγουμένην τὴν δὲ ἐπιγεγονυῖαν, καὶ δι' ἑκατέρας, τὸ δημιουργὸν καὶ ἀπειροδύναμον τῆς θείας βουλήσεως, θεωρούμενον.

dentes è Gentibus, qui saxorum & petrarum more corda habebant obdurata. Quid enim magis absurdum, quàm obfirmatè & sine pudore, lapides & ligna adorare; & tamen ab hac consuetudine abstracti per fidem, in semen Abrahæ consurgunt homines: sin autem non est improbandum aliud, quod cum verbis & historica veritate propius est conjunctum, edicere, non est insuper habendum quòd divinam, inenarrabilem, supernaturalem, omnia operantem, & omnia potentem voluntatem, Baptista cùm vellet insinuare, ità prolocutus est. Illud nimirum subindicans, quòd quemadmodum ab initio solâ suâ voluntate, è luto hominem efformavit, ità & nunc etiam è congeneribus saxis & his coequandis facilè modò voluerit, in semen & liberos Abrahamo suscitabit. Tu, autem considerabis & tertiam expositionem nè dicam propriorem iis quæ ante dictæ sunt, certè tamen nullâ alterâ remotiorem; quod è lapidibus illis quos præcursor digito monstrabat, dicens, *potis est Deus vel ex istis lapidibus suscitare liberos Abrahamo*, opere videre licet adimpletum, liberos Abrahamo suscitatos & prædictionem fine adimpletam. Cùm enim passio illa mundo salutifera compleretur, tum saxis illis & petris, unà cum aliis diruptis, multi & è Gentibus & Judæis, habentes corda sua prius obdurata; per medium divulsa illo miraculo, in Christi fidem quasi in fundamentum locabantur, & filiis Abrahæ, cùm genere tum sorte annumerabantur. Ità vides quousque tibi producta est interpretatio, & quoad contemplationem, & quod historiam; historiam porrò geminam, antecedentem unam, subsequentem alteram, & in utraque divinæ voluntatis conditoriam potestatem & potentiam illimitatam in oculos incurrentem.

Ἐπιστ. οη'.

Ταρασίῳ ἀδελφῷ.

Ἀκμάζει τὸ πάθος, καὶ τὸ κακὸν ἐπιτείνεται· καὶ πλὴν Θεοῦ καὶ τῶν ἐκεῖθεν ἐλπίδων, παραμύθιον οὐδέν· ἐπι-

Epist. 78.

Tarasio fratri.

AD summa perducitur passio, & intenditur malum. Ac præter Deum, & à Deo spem, nulla superest consolatio;

tio; inſidiæ, minæ, terrores, qui experientiam fecerunt faciliorem, undiq; apparent. Quis hæc ſiſtet? Fortaſſis illa ipſa quam contra nos parturiunt mors, vel illos privabit poteſtate pœnas & ſupplicia ingerendi, vel nos liberatura eſt à tribulationibus.

Epiſt. 79.

Johanni Spathario.

NOn dolore affeciſti, quòd fraudâſti, & tempus ſatis longum eſt, ex quo ſerpentem ſub humana forma latentem occultas; improbus apparuiſti, amicis inimicus, temporibus ſerviens, fraudibus innixus: ſi te iniquum iſta actio non manifeſtavit, & ad imitationem attraxit proditoris Judæ, ut benemeritum malis penſatum habeas, illud habe cognitum, quod ſi lætitiâ affeceris ob ea quæ patimur, aliquid inde boni tu conſequeris.

Epiſt. 80.

Conſtantino ſpathario Tyrrheni generis perverſis moribus prædito.

PUblica Tyrrhenorum opera, de quibus gloriantur, vetus habet verbum, Orgia fiunt, nè quidem ab impudiciſſimis hominum ſine pudore. Cogita idcirco ut cùm urbem inhabitas Conſtantini vitam optimè inſtituas, ſi enim te intellexerint cives, vel tantillum à recte vivendi ratione declinâſſe, ubi fumum Tyrrhenorum animadverterint, ſuſpicabuntur & ignem, licèt haud ſuccenderis, in magnam flammam attollendum. Quod dum ſedulò præcaves, ſine lapſu, quemadmodum divina jubent oracula, coram omnibus ut incedas nitendum eſt.

βουλαὶ δὲ, καὶ ἀπειλαὶ, καὶ φόβοι, τῶν περιλαβόντων τὴν πεῖραν κουφοτέραν ἀποφαίνουσαι· τίς στήσει ταῦτα; ἀλλ' ἴσως, ὃν αὐτοὶ καθ' ἡμῶν ὠδίνουσι θάνατον, ἢ τοῦ τιμωρεῖν καὶ κολάζειν ἐκείνους, ἢ ἡμᾶς ἀπάγων τῶν θλίψεων.

Ἐπισ. οθ'.

Ἰωάννῃ Σπαθαρίῳ.

ΟΥκ ἐλύπησας ὅτι ἠπάτησας· καὶ συχνὸς ὁ χρόνος ἐξ οὗ τὸν ὄφιν ὑπ' ἀνθρώπου μορφῇ κατεῖχες κρυπτόμενον· ἀλλ' ὅτι κακὸς ἐφάνης, καὶ φίλων ἐχθρὸς, καιροῖς δουλεύων, καὶ ἀπάτῃ ἐπερειδόμενος· εἰ δέ σε μὴ κακὸν ἡ πρᾶξις ἐδείκνυ, καὶ εἰς ζῆλον εἷλκε τοῦ προδότου τὸ κακοῖς τὸν εὐεργέτην ἀμείβεσθαι, εὖ ἴσθι, ὡς καὶ εὐφράνας ἂν ἐκ τοῦ πάσχειν ἡμᾶς, οἷς καθαιρόμεθα, αὐτός τι τῶν ἀγαθῶν ἐκκαρπούμενος.

Ἐπισ. π'.

Κωνσταντίνῳ Σπαθαρίῳ γένους ὄντος Τυῤῥήνων καὶ δυστροπευομένῳ.

ΤΑ' Τυῤῥηνῶν δημόσια ἔργα, καὶ ἐφ' οἷς σεμνύνονται, ἀρχαῖος ὁ λόγος, οὐδὲ τοῖς ἀσελγεστάτοις τῶν ἄλλων ἀνθρώπων, οὐδὲ χωρὶς αἰσχύνης ὄργια γίνεται. Ὅρα οὖν ὅπως αὐτὸς τὴν πόλιν Κωνσταντίνου μετοικῶν ἄριστα βιώσῃς· ἂν γάρ τι σε καὶ μικρὸν τῆς ὀρθῆς παρεκτραπέντα συναίσθωνται πολιτείας, καπνὸν Τυῤῥηνικὸν ἰδόντες, καὶ τὸ πῦρ, κἂν οὐκ ἀνάπτῃς εἰς μέγα φλογὸς ὑποτοπήσουσιν αἴρεσθαι· ἃ χρὴ διευλαβούμενον, ἀπρόσκοπον πᾶσιν, ὡς οἱ θεῖοι θεσμοὶ διακελεύονται, καὶ εἶναι καὶ φαίνεσθαι.

NOTÆ.

TA' Τυῤῥήνων δημόσια ἔργα. Luxum eorum & laſciviam incuſat, quippe quibus nudæ puellæ ad menſam miniſtrabant publicè, nudatæ in Gymnaſiis cum viris exercebantur. Uxores habebant communes. Ità enim ſcribebant olim Timæus & Theopompus. Erant porrò latrociniis dediti, & piratæ; ſed artifices admodum ingenioſi. Laſcivos ipſorum mores vocat hìc ὄργια.

Epiſt.

Ἐπιστ. πα΄.

Λέοντι λογοθέτῃ γεγονότι, καὶ μονάσαντι, ὑπὸ δοκοῦντος φίλου παραλυπηθέντι.

Ἀμβλὺς τὸ ἦθος, καὶ μαλακὸς τοὺς πόνους, γνώμην τε οὐ βέβαιος, καὶ λημμάτων ἥττων, καὶ τῆς ἡδονῆς ἀνδράποδον ἄνθρωπος, οὔτ᾽ ἄν τι τῶν ἀγαθῶν γενναῖον ἐργάσαιτο, καὶ εἰς κακὸν οὐκ ἂν ἀποβαίη μέγα· ὅσοι δὲ φύσιν μὲν ὀξεῖς, καρτερεῖν δὲ πρὸς πάντα δεινοί, ὑπερόπται δὲ καὶ χρημάτων καὶ ἡδονῶν, καὶ γνώμην ἐξαγαγεῖν ἀμετάστρεπτοι· τούτοις δὲ ἄρα, καὶ ἰσχύος πόθεν προστεθείσης, καὶ εἰς ἀγαθὸν ἡ ῥοπὴ τὰ μέγιστα ἐξανύσαι, καὶ πρὸς τὸ φαῦλον ἐπειδὰν ἀποκλίνωσιν ἀφόρητοί τε καὶ ἀπαραίτητοι καὶ φίλοις καὶ οἰκείοις καὶ πᾶσι καθίστανται· οὐ χρὴ τοίνυν δυσφορεῖν, ὅτι μὴ τὰ βέλτιστα παρὰ τοῦ ποτὲ γενναίου φίλου ἐκκαρπούμεθα· ἀλλ᾽ εὐχαριστεῖν, ὅτι οὐχὶ μόνον μηδὲν λυπηρόν, ἀλλ᾽ ἐφ᾽ οἷς μηδὲ τὴν εἰς ὑπερβολὴν ἡκόντων δυσχερῶν, ἐκεῖθεν πειρώμεθα. Εἰ δ᾽ ἐπιστρέψει ποτε, καὶ πρὸς τὰς συγγενεῖς μετὰ τῆς φιλίας ἀναδράμοι ἀρετάς, ἴσως ἀποκρύψει τοῖς εὐφραίνουσιν ἀγαθοῖς καὶ ὅσα τῶν λυπούντων ἡμᾶς προκατέλαβεν.

Epist. 81.

Leonti, qui cùm esset Logotheta Monachus fiebat, & ab amico mœrore affecto.

Moribus piger, ad labores mollis, mens inconstans, succumbens donis, voluptatum mancipium, nec aliquid boni generosive faciet; sed nec in magnam nequitiam emanabit: Naturâ celeres, ad omnia sufferenda impigri, divitiarum voluptatúmque contemptores, & qui facilè è sententia dimoveri nolunt; isti, accedente aliquantò potestate, vel ad virtutem magno futuri sunt momento, vel ad malum cùm inclinent, intolerandi, implacabiles amicis, familiaribus, singulis existunt: Quocirca non est ægrè ferendum, quòd optima quæque ab amico generoso non semper impetramus, sed gratiæ sunt agendæ, eò quòd non tantùm nihil triste reportamus, sed potiùs quòd nihil ab eo proficiscatur quod inter summè tristia & molesta numeretur. At si revertatur aliquando, & ad cognatas cum amicis virtutes recurret, fieri potest ut bona quę deinceps oblectant, omnia illa mala & tristia evanescere faciat, quibus pridem occupabamur.

Ἐπιστ. πβ΄.

Βασιλείῳ Πραίτωρι.

Κείρουσιν οἱ παλαιοὶ λόγοι Προμηθεῖ τὸ ἧπαρ, ἀετὸν ἐφιστῶντες τὸν κείροντα· καὶ ἡ αἰτία, ὅτι θεόθεν τὸ πῦρ ἐκκλέψας, φησί, πόνων καὶ καμάτων ἀνθρώποις ἤνεγκεν αἴτιον. Εἰ δέ σε εἶλον οἱ ποιηταί, τοσαύτην κακῶν πυρὰν τῇ πατρίδι ἀνάψαντα· οὐκ ἀετῶν γένη, καὶ ἰκτίνων, καὶ ἱεράκων τοῖς σπλάγχνοις ἂν διεβόσκησαν· ἀλλὰ καὶ παρδάλεις, καὶ λέοντας, καὶ θηρία πάντα οὐκ ἂν τοῖς ἐγκάτοις ἐπαφιέντες ἀπέκαμον· σὺ δὲ σκόπει, ὡς εἰ καὶ τὸ ποιητῶν γένος ταῦτα σχηματίζειν ἐπιλέλοιπεν, ἀλλ᾽ ἥ γε καθ᾽ ἡμᾶς τῆς ἀληθείας ἀκρίβεια, οὐκ ἀπέστη, φοβερωτέραν τὴν τιμωρίαν ἐπανατείνουσα· πῦρ ἀτελεύτητον· καὶ σκότος ἐξώ-

Epist. 82.

Basilio Practori.

Veterum fabulæ depastum Prometheo hepar ferunt ab aquila detondente; causam dant, quòd de cœlo furatus ignem, laborum & defatigationum causas hominibus dedit. Quòd si te ceperint Poetæ tantum malorum pyram in patriam construentem, non illi aquilarum, milvorum, accipitrum species in te concitarent, quæ viscera depascerent tua; sed & pardos, leones, & cęteras bestias in tua intestina immittere non desisterent. Tu autem cogita, quòd licet poetæ non existant, qui hęc talia confingant, veritatis tamen Christianæ exacta ratio non cesset supplicium magis formidolosum intentare, ignem indefectibilem, tenebras

bras exteriores, stridorem dentium, multitudinem vermium peccatoribus dum substernit. Quòd si te timor futurorum in præsenti non coerceat, nec à cursu inordinato & irrationabili avertit; attamen Sodomæ & Gomorrhæ quæ literis traditur perpessio inconsolabilis, & commune illud omnium hominum naufragium, diluvium; & quotidiana providentiæ opera, animum, & cogitationes, ad sobriam & sapientem cogitationem reforment.

τερον· καὶ βρυγμὸν ὀδόντων· καὶ σκωλήκων πλῆθος ὑποστρωννῦσα τοῖς ἁμαρτάνουσιν. Εἰ δέ σε καὶ τῶν μελλόντων οὔπω συστέλλει ὁ φόβος, οὐδὲ τῆς ἀτάκτου καὶ ἀλόγου φορᾶς ἀνακόπτει· ἀλλὰ κἂν γοῦν τὸ Σοδόμων καὶ Γομόῤῥας ἀνάγραπτον καὶ ἀπαράκλητον πάθος· καὶ τὸ κοινὸν τῶν ἀνθρώπων ναυάγιον ὁ κατακλυσμός· καὶ τὰ καθημερινὰ τῆς προνοίας ἔργα, εἰς σώφρονα τοὺς λογισμοὺς μεταῤῥυθμιζέτω μελέτην.

NOTÆ.

Πράκτορι. Vox est posterioris ævi, significat autem φορολόγον. Suidas, φορολόγος, ὁ τὰς εἰσφορὰς συλλέγων· οὓς πράκτορας καλεῖν εἴωθε τοῖς πολλοῖς. De Prometheo, ejúsque *αἰτία* nota sunt omnia vel ex Æschyli Prometheo vincto. Ὀυκ ἂν τοῖς ἐγκάτοις, ut partes aliquas arroderent: sed ut te totum deglutirent, in frusta discerptum. Vult autem illius maleficia excedere Promethei furtum, quocirca æquum esse ut pari saltem supplicio afficiatur.

Epist. 83.

Theophani Diacono & Protonotario.

DOlet tibi quod invitus in me deliquisti; potiùs quòd tyrannicè compulsus, & plagis inflictis ad tentationem subditus, lingua tenus tantùm, quam vim habuerit eorum violentia, docuisti; tormentis interim animum non succumbentem custodiens. Et quodnam aliud solatium haberi poterat hujusce præsentis animi, quòd nè per tantam terribilium terrorum multitudinem conscientiæ tuæ judicium fœdaveris; nec improbitatum vim inferentium instrumentum te præstitisti, utcunque tormentis multarum specierum & variarum, non leviter, aut digito tenus tortus fuisti. Nos autem quomodo non te veniâ dignum, aut si quid veniâ excellentius sit, & quidem libentissimè decernemus, ut torrente ac violentia in transversum actus, in offensionis peccatum incideris, ubi te taliter humiliâsti; ut non sit tibi opinor opus, à nobis constantiam edoceri. Certè tantùm abest ut nos aliquid acerbitatis in te statuamus, ut pleró sq; te intueri, tanquam in exemplum jubeamus; Tu autem vale, & virtutem cura per quam consummamur; & propter quam te jam olim amicorum albo & genuino meorum familiorum choro ascripsimus

Ἐπιστ. πγ΄.

Θεοφάνει διακόνῳ καὶ πρωτονοταρίῳ.

ἈΑλγεῖς ὅτι * ἄκων εἰς ἡμᾶς ἥμαρτες. * ἄκων.
μᾶλλον δὲ ὅτι τυραννούμενος καὶ πληγαῖς εἰς πεῖραν προσκείμενος, μέχρι γλώσσης μόνον τὴν ἰσχὺν αὐτὴν τῆς βίας ἐπεδείξας, ἀνάλωτον ταῖς βασάνοις συντηρήσας τὴν διάνοιαν. Καὶ τί ἂν ἄλλο ταύτης γένοιτο τῆς εὐψυχίας παραμύθιον, ὅτι τοσούτῳ πλήθει φοβερῶν βασάνων τὴν τοῦ συνειδότος κρίσιν οὐκ ἐθόλωσας, οὐδὲ τῆς κακίας τῶν βιαζομένων ὄργανον ἐγένου, καίτοι πολυειδέσι καὶ πολυτρόποις αἰκίαις ἀλλ' οὐ δακτύλοις, κρουόμενος. Πῶς δὲ ἡμεῖς οὐκ ἂν συγγνώμης καὶ εἴ τι ταύτης ὑψηλότερον, οὐχὶ καὶ σὺν προθυμίᾳ, σε ἄξιον ψηφιούμεθα, ὅτι
* ῥήματι καὶ βίᾳ παρασύρεις, ὡς εἰς τὸ πᾶν * ῥύματι.
καὶ ἑκὼν ἐξημαρτηκώς, οὕτως ἑαυτὸν ἐταπείνωσας· καὶ τῶν ἡμετέρων ῥημάτων οὐκ ἔχεις οἶμαι χρείαν μανθάνειν τὸ βέβαιον. Ἡμεῖς γὰρ τοσοῦτον ἀπέχομεν τι τῶν ἀηδῶν περί σου διανοηθῆναι, ὅτι καὶ πολλοὺς ἄλλους ἀφορᾶν εἰς σε προτρεπόμεθα. Σὺ δὲ ἔρρωσο, καὶ ἀρετῆς ἐπιμελοῦ, δι' ἧς τελειούμεθα, καὶ δι' ἣν σε τῶν φίλων καὶ τῶν γνησίων θεραπόντων πάλαι τῷ χορῷ συγκατελέξαμεν.

NOTÆ.

NOTÆ.

Ἀλγεῖς, ὅτι ἀκών. Ità noster codex, sed rescribendum ἄκων invitus. Sed retineri ἀκών potest, si rescribatur: ἀλγεῖς, ἀκὼν ὅτι εἰς ἡμᾶς ἥμαρτες. Patet autem ex hac Epistola non nimis moderatam fuisse in Photium, Ignatii factionem, sed planè tyrannidem in ipsum exercuisse. Illa autem quæ hîc commemorantur, ob eam causam in Theophanem admissa sunt, quòd Photium nollet accusare, de impostura illa quam è Niceta omnium mendaciorum rapsodo Paphlagone commemorat Baronius, ad annum 878. sect. 38. quem ille fabulator clericum Regium appellat. Pro ῥήματι, legendum ῥύμαλι καὶ βίᾳ. Et mox, ἄκων, non ἑκών.

Ἐπιστ. πδ΄.

Μάρκῳ Σικελῷ μονάζοντι.

Τοὺς πρὸς ἑσπέραν ἀνθρώπους, ὅτε πανταχοῦ γῆς ἐξήπλωτο ἡ ἀσέβεια, Κρόνον, καὶ Ἀφροδίτην, καὶ Περσεφόνην μόνους νομίζειν θεοὺς τῆς ἱστορίας ἡ ἀπειρία παρέδωκεν· καὶ οὔτε τληπαθῆ καὶ καρτερικὸν Ἡρακλέα· οὔτε Ἥφαιστον κλυτοτέχνην· ἀλλ' οὐδὲ λόγιον Ἑρμῆν· οὐδ' ἄλλον τινὰ ὧν ὁ μῦθος χρηστῶν καὶ σπουδαίων ἔργων προστάτας καὶ ἐφόρους ἀποτίθεται, οὐδένα τούτων οὔτε θειάσαι, οὔτε παραδέξασθαι· οὐδὲ βωμὸν ἱδρύσαι δικαιοσύνης· οὐ μὴν οὐδὲ σωφροσύνης· οὐδ' ἄλλης τινὸς ἀρετῆς, ἣν τηνικαῦτα τὸ ἀνθρώπινον γένος ἐθεοποίει τε καὶ ἔσεβε δεισιδαιμονίᾳ καλεχόμενον· διὰ τί οὖν Ἀφροδίτη, καὶ Κρόνος, καὶ Περσεφόνη τούτοις ἐτιμήθησαν; ὅτι μόνης ἡδονῆς καὶ γαστρὸς καὶ ἀφροδισίων ἀεὶ γεγόνασιν ἄνθρωποι. Καὶ γὰρ καὶ τούτους οὓς ἔσεβον, μιγνῶντες ἀλλήλοις καὶ διαπλέκοντες, τροφάς τε καὶ τρυφὰς καὶ ἡδονὰς παντοίας ἐκεῖθεν αὐτοῖς τῷ λόγῳ ῥεούσας, διὰ τῶν πράξεων συνελέγοντο. Οὐδὲν οὖν θαυμαστὸν εἰ καὶ σὺ τὸ γένος ἕλκων ἐξ ἑσπέρας, οὐδὲν, οὔτε σῶφρον λέγειν ἔχεις, οὔτε διαπράττεσθαι. Μεγίστῃ γὰρ σπουδῇ καὶ πόνοις καὶ μελέταις τὰ ἐξ ἔθους καὶ πατρίδος μόλις ποτὲ φιλεῖ μεταρρυθμίζεσθαι.

Epist. 84.

Marco Siculo Monacho.

Multi historici docent, quod cùm per terrarum orbem totum impietas diffundebatur, Saturnum, Venerem, & Proserpinam, occidentales solos pro diis habuisse: & quòd neque malorum toleratissimum Herculem, nec Vulcanum laudandum artificem, nec Rhetoricantem Mercurium, nec alium quemlibet eorum, quos fabulę operū optimorum & ingenuorum præsides & curatores suggerunt, in deorum album retulisse, aut admittere voluisse: sed nec aram justitiæ, temperantiæ, aut alicui alteri virtuti ædificâsse, quas multas mortales tum deificabant, & superstitione prævalente colebant. Quid erat autem cur apud istos Saturnus, Venus, Proserpina colebantur, solùm eò quòd homines solis addicti erant voluptatibus ventris, & rerum venerearum. Certè enim illos quos colebant deos miscentes invicem, & promiscuis complexibus inhærentes, alimenta luxum, omne genus voluptatum, ab illis diis, ut verbis ferebant, fluentes, actionibus suis coacervabant. Non est ergò mirum, si tu, qui genus ab Occidentalibus derivas, nihil prudens aut temperatum dicere, vel facere possis: Certè paternæ consuetudines vix aut nè vix quidem corrigi, & in ordinem redigi possunt, maximâ adhibitâ diligentiâ, curâ, & laboribus.

NOTÆ.

Miror Baronii maledicentiam, qui ad Annum 871. sect. 48. non puduit affirmare, hanc Epistolam pluribus mendaciis quàm verbis contextam: convitiatur Photium scribere, nullum alium Deum ab Occidentalibus cultos, quàm Saturnum, Venerem, Proserpinam: vult Occidentales gentes omnes & singulas intelligi; quorum neutrum affirmat Photius, quorum utrumque falsum est. Οἱ πρὸς ἑσπέραν, Siculi tantùm erant: unde oriebatur Marcus ille μονάζων, ad quem scribit. Et verum est, illos in Sicilia, aut solos, aut longè ante alios cultos. Neque, invidiâ rumpantur ut ilia Annalistæ, tam rudem fuisse Photium certum est, quem calumniator ipse omnis historiæ veteris peritissimum fuisse negare non potest, ut nullum alium Deum cultum putârit, per Italiam, Galliam, Hispaniam, Britanniam affirmet; nec tam impudentem fuisse ut negaret quod vel pueri tonsorum scirent. Comparativè igitur dicuntur quæ de illis habentur; & id verùm est.

Epiſt. 85.

Michaeli Protoſpathario.

CORpus morbis, patiendo anima, vita denique tota ab hominibus contumeliis afflicta deſpondet ſe: amicorum paucitas & abſentia, ſervorum tortiones & vincula, cognati minarum acerbitate divulſi, rerum neceſſariarum ablatio, librorum direptio, ſacrorum ædium expilatio, quas expiatoria nobis futura conſtitueramus, dum caneretur, legeretur, divinis in eiſdē inſerviretur; contra omnes ſententiæ acerbæ ſunt & decreta dura edita, ità ut nemo ad nos propiùs accedere audeat. Quid opus commemorare quotidianas excuſſiones, deciſiones, condemnationes; in quibus nemo teſtis comparet, nemo pro Tribunali judex, nemo accuſator; non dixero contra memet, ſed contra amicos, conſanguineos, ſervos omnino omnes, quos aliqua ſuberat cogitatio, me omnino non negligere. Quòd ſi tandem ceſſârunt, inveſtigantes quæſtiones, non fit id ex animi ipſorum ſententia, aut propter aliquam virtutem meam; ſed ab excelſa fit & profunda Dei miſericordia, à qua ſola pendemus, & ſub qua in vita agitamur; his tot tantis talibúsque exhauſti fluctibus, pro cognatis autem, pro famulis, pro canentibus Pſalmos, pro quocunque humano ſolatio; milites, cuſtodia tribuni, vicarii, militares copiæ nos circumſiſtunt: Unde poterit anima tot malorum falcibus diviſa, à corpore non abripi, & aufugere, certè & hoc mihi ſummam dubitationem movet.

Ἐπιϛ. πέ.

Μιχαὴλ πρωτοσπαθαρίῳ.

Tribunalia paterent iis demum, & Felix amicus pro Tribunali ſederet, tam apertè manifeſtum erat Paulum protuliſſe veritatem, & apud omnes adeò illa obtinebat opinio, ut Judæorum ora obturarentur, licèt eſſent impudentes, & ad quodvis audendum projecti: Atque ità Paulus ille divinus, dum ſe profitetur Romanum, longiſſimè à mendacio abfuiſſe monſtratur, At ſi Romanus erat, dicetur, Quomodo cùm alibi, tum in ipſa illamet concione Judæum ſe pronunciat, & patriam ſibi Tarſum profitetur; ait enim, Ego quidem ſum Judæus, Tarſi, quæ urbs eſt nec ignobilis, Ciliciæ civis. Quâ ratione concurrere hæc utraque poſſunt, ut cùm Romanus tum Judæus habeatur? Dicimus hic nil ſubeſſe abſurdi, ortu quidem generis, & Legis Moſaicæ ſecundùm inſtitutionem Judæus fuit, Tarſum habebat patriam, ubi mater partûs doloribus relevata eum peperit; patrē civibus Romanis aſſcriptum, vel Romanorum indulgentia vel nummi numerati edidere; hinc Romanus ipſe dicebatur, & erat. Quocirca cùm ad eum Lyſias diceret, magnâ ego pecuniâ civitatem emi, reſpondit, At ego liber natus fui; non autem Romæ ſe natum vult; non enim ſe Lyſias ibidem natum gloriebatur, aut contendebat, ſed in & ſub Romana appellatione, & civili ejus ſtatu, in qua & ipſe ſe conſiſtere præ ſe ferebat: Cui divinus Paulus directo ſermone ait, tantùm non ejus ſpiritus deprimens, Tu quidem mihi novitiam narras nobilitatem, & à temetipſo exortam, at mihi cedit hæc prærogativa, à majoribus fundata, & per paternam gloriam nominata ad me derivata. Hoc ille audito, & perſuaſus quòd Romanus erat, propterea quòd verberibus cecidiſſet, in timorem & puſillanimitatem converſâ iracundiâ, coarctabatur; nam per illa tempora deferebatur honor non ſolùm Romanis indigenis, ſed & iis quibus illa appellatio vel per gratiam, vel per pecuniam è lege cederet; nihil ergò obſtat, Divinum Paulum cùm Judæus eſſet, Romanum nominari: nam & viritim multi, ut Lyſias, & integræ confertim civitates

δικαστηρίου πάλιν αὐτοῖς κροτηθέντος, καὶ τοῦ φίλου Φίληκος εἰς κρίσιν προκαθεζομένου· ἀλλ' οὕτως ἦν ἐναργὴς καὶ ταῖς ἁπάντων δόξαις κρατοῦσα ἡ Παύλου ἀλήθεια, ὡς καὶ τῶν ἀναισχύντων Ἰουδαίων, καὶ πάντα λέγειν *εἰς τὸ πράττειν *καί. ἀποτολμώντων, ἐμφράξαι τὰ στόματα· οὕτω μὲν οὖν πολλαχόθεν ψευδολογίας πάσης ἀνώτερος, Ῥωμαῖον ἑαυτὸν εἰπὼν ὁ θεσπέσιος ἀποδείκνυται Παῦλος. Ἀλλ' εἰ Ῥωμαῖος ἦν, φησὶ, πῶς αὐτὸς ἐν ἄλλοις τε, καὶ ἐν τῇ αὐτῇ δημηγορίᾳ, Ἰουδαῖός τε εἶναι, καὶ Ταρσοὺς ἔχειν πατρίδα, διϊσχυρίσατο λέγων, ἐγὼ μὲν εἰμὶ Ἰουδαῖος, *Ταρσεὺς τῆς Κιλικίας, οὐκ ἀσήμου *Ταρσοῦ. πόλεως, πολίτης. Πῶς οὖν ἐστὶν ἀμφότερα συνδραμεῖν, καὶ Ῥωμαῖον καὶ Ἰουδαῖον τὸν αὐτὸν χρηματίσαι. Πρὸς ὃ φαμὲν, ὅτι ἄτοπον οὐδέν· γένει μὲν γὰρ, καὶ τῇ κατ' αὐτὸν Μωσαϊκὸν νόμον ἀγωγῇ, Ἰουδαῖος ἐχρημάτιζε, πατρίδα Ταρσοὺς ἔχων, ἐν ᾗ τὰς μητρικὰς αὐτὸς ἔλυσεν ὠδῖνας· *τόδε τὸν αὐτοῦ πατέρα Ῥωμαϊκῇ φιλοτιμίᾳ, ἢ *τὸν δέ. καὶ χρήμασι, Ῥωμαῖον ἐγγραφῆναι· *Ῥωμαῖος καὶ *ὅθεν. αὐτὸς ἐκαλεῖτό τε καὶ ἐτύγχανεν. Διὸ, καὶ τοῦ Λυσίου πρὸς αὐτὸν εἰπόντος, ἐγὼ δὲ πολλοῦ κε- Act. 23. 28. φαλαίου τὴν πολιτείαν ταύτην ἐκτησάμην, αὐτὸς ἐπήγαγεν, ἐγὼ δὲ καὶ γεγέννημαι· οὐκ ἐν τῇ Ῥώμῃ δηλονότι· οὐδὲ γὰρ οὐδ' ὁ Λυσίας ἐν ταύτῃ γεννηθῆναι ἐμεγαληγόρει, καὶ διετείνετο, ἀλλ' ἐν ταύτῃ τῇ Ῥωμαϊκῇ κλήσει, καὶ τῇ πολιτείᾳ, ἐν ᾗ κἀκεῖνος τελεῖν ἀπεσεμνύνετο. Πρὸς ὃν καὶ ὁ θεῖος Παῦλος ἀποτεινόμενος ἔλεγε μονονουχὶ φάσκων, καὶ καθαιρῶν αὐτοῦ τὸ φρόνημα, ὅτι σὺ μὲν πρόσφατον καὶ ἀπὸ σοῦ προϊέναι ἀπαγγέλλεις τὸ ἀξίωμα, ἐμοὶ δὲ ἄνωθεν ἐρριζωμένον καὶ ἐκ πατρὸς καταγόμενον τῆς δόξης ταύτης καὶ τῆς προσηγορίας ἐκληρώθη τὸ προνόμιον. Διά τοι τοῦτο κἀκεῖνος ἀκούσας καὶ βεβαιωθεὶς, ὅτι Ῥωμαῖον ὄντα τύπτειν ἐπεχείρει, εἰς δειλίαν καὶ φόβον, τὸ θράσος καὶ τὴν ὀργὴν διαλύων, συνεστέλλετο. Τιμῆς γὰρ ἀπήλαυον κατ' ἐκεῖνο καιροῦ, οὐχ ὅσοι μόνον ἰθαγενεῖς τῆς Ῥώμης ἐτύγχανον, ἀλλὰ καὶ ὅσοις αὐτῆς ἡ κλῆσις νόμῳ χαρίτων ἢ χρημάτων, ἐπολιτεύετο· οὐδὲν οὖν δύσκολον καὶ τὸν θεῖον Παῦλον Ἰουδαῖον ὄντα, καὶ Ῥωμαῖον χρηματίσαι. Καὶ γὰρ καὶ κατ' ἄνδρα, ὥσπερ ὁ Λυσίας, καὶ πόλεις ὁλό-

κληροι, τὴν Ῥωμαίων κλῆσιν, ἀλλογενεῖς οὖσαι, εἰς ἑαυτὰς ἐφειλκύσαντο. Καὶ ἵνα νῦν τὰ ἄλλα παρῶ, ἄκουσον Φιλιππησίους ὅπως
Act. 16. ἑαυτοὺς Ῥωμαίους ἀποσεμνύνουσιν. Ἡνίκα γὰρ Παῦλος τὸ πύθωνος πνεῦμα τῆς παιδίσκης ἀπήλασε, καὶ πρὸς ὀργὴν αὐτῆς οἱ κύριοι, δέον εὐχαριστεῖν, ἀνεφλέχθησαν, καὶ τοὺς εὐεργέτας εἰς τὴν ἀγορὰν ἐπὶ τοὺς ἄρχοντας εἵλκυον, οὕτω φασίν. Οὗτοι οἱ ἄνθρωποι ἐκταράσσουσιν ἡμῶν τὴν πόλιν, Ἰουδαῖοι ὑπάρχοντες. Εἶτα καὶ καταγγέλλουσιν ἔθη ἃ οὐκ ἔξεστιν ἡμῖν παραδέχεσθαι οὐδὲ ποιεῖν, Ῥωμαίοις οὖσιν. Ὁρᾷς ὅπως οἱ Φιλιππήσιοι Ῥωμαῖοί τε ἐσχημάτιζον, καὶ Ῥωμαίους ἑαυτοὺς ἐξονομάζουσι· τὸ μὲν ἔχοντες ἐκ πατρίδος, τὸ δὲ, ἀπὸ ψηφισμάτων. Τί οὖν ἐμποδών; μᾶλλον δὲ, πῶς οὐ γέγονε φανερὸν, καὶ τὸν μακάριον Παῦλον Ἰουδαῖον ὄντα, καὶ Ῥωμαῖον εἶναι; Δῆλον δὲ κἀντεῦθεν, ὡς οὐκ ἀπάτης ἦν ἢ ψεύδους πρόσχημα τῷ Παύλῳ, τῆς Ῥωμαϊκῆς κλήσεως ἡ οἰκείωσις. Εἰ γὰρ πρὸς ἄλλους μὲν Ἰουδαῖον ἑαυτὸν ἐκάλει, Ῥωμαῖον δὲ πρὸς ἑτέρους, εἶχεν ἂν ἡ τῆς ἀπάτης σκήνη τινὰ λόγον. Εἰ δὲ πρὸς τοὺς αὐτοὺς ἀμφότερα διετείνετο, πῶς οὐ λίαν εὐηθὲς ὑπονοεῖν, ὅτι ψεῦδος εἰπεῖν μελετήσας, ἐκεῖνο προὔθηκε καὶ προωμολογήσατο, δι' οὗ μᾶλλον ἄν τις πεπλασμένα λέγων ἐξελέγχοιτο. Θαρροῦντος γὰρ μᾶλλον ἦν, ὡς ἀληθῶς τῇ τῶν πραγμάτων φύσει, καὶ τὴν ἀλήθειαν ἔχοντος, διαβολῆς ἁπάσης καὶ ὑπονοίας καὶ ψεύδους ἐναργεστέραν τε καὶ λαμπροτέραν, τὸ πρὸς τοὺς αὐτοὺς, καὶ ἐν ὁλοκλήρῳ δήμῳ, Ἰουδαῖον ἑαυτὸν ἀνειπόντα, καὶ τὴν πατρίδα ὅτι Ταρσεὺς, Ῥωμαῖον ἐφεξῆς ἀποφήνασθαι· καὶ μάλιστά γε, ὅτι οὐχ ἅπαξ οὐδὲ ὥσπερ λανθάνων, τὸ Ῥωμαῖος, ἐπήνεγκεν· ἀλλὰ καὶ δὶς, καὶ εἰς τρίτον, καὶ τὸν χιλίαρχον δεδιττόμενος· ὃ μάλιστα καὶ εἰς ὀργὴν ἐκκαλεῖ καὶ πρὸς ἀκριβεστέραν, καὶ τοὺς γε μὴ βουλομένους, ἀνακινεῖ καὶ διαγνίσησιν ἔρευναν. Ἐστὶ τοίνυν τὸν θεσπέσιον Παῦλον, διὰ πλειόνων ὡς ἐδείχθη, Ῥωμαῖον εἶναι καταμαθεῖν· πρῶτον μὲν ἀπὸ τῆς προσούσης αὐτῷ ἀληθείας· καὶ ὅτι κήρυξ αὐτῆς ἐγνωρίζετο. Δεύτερον, ὅτι καὶ κριτη-

cùm extraneæ essent, titulum Romanorum civium in se derivârunt. Ut cætera prætermittam, Audi Philippenses, ut se cives Romanos gloriantur: cùm enim Paulus spiritum Pythonicum è puella expulisset, illiúsq; Dominus qui gratias debebat, ob eam rem irâ inflammatus Benefactores in forum ad Magistratum adductos, Tribunali sisteret, Isti, inquit, homines, cùm sint Judæi, civitatem nostram turbant; annunciant enim nova nobis instituta quæ admittere non licet, cùm Romani simus. Audis, ut Philippenses Romani dicebantur, & ipsi se Romanos nominant; Philippenses, à patria dicebantur, Romani per decretum. Quid impedit ergò, potiùs Unde non clarè constat, Paulum qui Judæus erat, & Romanum fuisse? Liquet enim non fuisse imposturam aut mendacii prætextum, quòd Paulus Romani titulum sibi vindicârit. Si nonnullis se Judæum profiteretur, aliis se vocaret Romanum, fictio illa de deceptione aliquam speciem præ se ferret: quòd si apud eosdem utrumq; se esse contendat, certè valde stultum foret existimare, quòd mendacium meditatus, illud imprimis proponeret, & antè alia fateretur, unde quàm expeditissimè ficta proferre convinceretur. Magìs pertinebat, ad hominem jure confidentem secundùm rei naturam, & veritatem dicere, quæ omni calumnia, suspicione, falsitate efficacior est & illustrior, apud ipsos præsertim in pleno consessu Judæos, se Judæum declarare, & quòd Tarsensis patriâ, & ità demum quòd Romanus erat: eóq; potiùs quòd non semel, nec occultè se Romanum profiteretur, sed bis, térve Tribunum terrefaciens, qui omnino in furorem conversus fuisset, si falsitatem post accuratam quęstionem, ad quam incitabatur per illam affirmationem, reperisset. Facilè idcirco ediscere poterimus è multis præostensis, beatum Paulum Romanum extitisse; imprimis ab insidente ipsi veritate, cujus præco agnoscebatur, tum quòd cùm sistitur Tri-

bunali,

bunali, seipsum Romanum proclamat. Tertiò quòd cùm de impostura, & fallaciis postularetur, non nisi ridiculè & impudenter mentiri poterat: & quòd non, ut fit, fortuitò illam vocem emittebat, aut joculari quâdam simulatione usus, quod quis suspicari possit, sed ut se eximeret à tormentis, & præfectum terrefaceret. Porrò quòd Lysiam in suas partes pertraxit, ut à contumelia inferenda abstineret; & quòd Lysias ad Felicem scripsit, se Paulum Romanũ civem à Judæorum sanguineo furore exemisse. Et certè Felix licèt voluerit Judæis gratificari, de tali suspicione ne cogitabat quidem: imprimis refelli non potest illud, quòd gens Judæorum tum præsens, & contra eum cædem spirans, & nil non ausura, non audebant illi dicam istiusmodi mendacii inscribere. Accedit quòd apud eosdem utrumque professus fuerit, nempe quòd Judæus & quòd Romanus erat; quod nemo liberè profiteri vellet, nisi qui veritati summopere confideret; nec simpliciter tantùm sed quòd cum asseveratione immanendo illum titulum præ se ferret. Si adhuc placet & illud, quòd viritim & urbatim, Romanum titulum, qui non eandem patriam sortiebantur per psephismata consequebantur. Atq; ità manifestum, & sine dubio constare arbitror, quòd Paulus, si quis alius in re aliqua, in utroque verum dixit, qui se cùm Judæum prodidit tum Romanum. At quid, inquient, nonne Christianus fuit? omnino fuit: Quid igitur, non per hoc nomen se nominavit? scilicet, in præsenti non erat opus; nam propter istud nomen, & hanc professionẽ omnia pati, cum omnibus conflictari fortiter persistebat; gaudebat autem eo titulo, quem Princeps Antiochensium civitas usurpârat, & doctrina, laboribus, sudoribus procurabat. Quòd si historias audire libet, narratur quædam valde antiqua; quòd Tribus Benjamini in Palestina radicata, usq; ad partes Italiæ germinando se diffuderit, dum & genti Romanorum originem & Romæ nomen & appellationem impertit. Unde Divinus Paulus qui de illa tribu Benjamini derivabat

εἴω παρεστηκὼς ἑαυτὸν Ῥωμαῖον ἀνεκήρυττε. Καὶ τρίτον, ὅτι εἰς ἀπάτην καὶ κακουργίαν συκοφαντούμενος, ἐν ᾧ οὐδὲ τὸν λίαν εὐήθη καὶ ἀναιδῆ ἐστὶν διαψεύσασθαι. Καὶ ὅτι οὐχ ἁπλῶς ἀφῆκε ταύτην τὴν φωνὴν καὶ θρυπτόμενος, ὅπερ ἄν τις ἴσως καὶ ὑπερόψαιτο, ἀλλὰ βασάνων ἑαυτὸν ἐξαιρούμενος καὶ τὸν ἄρχοντα δεδιττόμενος. Ἔτι δὲ καὶ ἐξ αὐτοῦ τοῦ πεπεῖσθαι Λυσίαν καὶ ἀπέχεσθαι τῆς ὕβρεως, καὶ ἐκ τοῦ πρὸς Φίληκα δὲ διατείνασθαι, ὅτι Ῥωμαῖον ὄντα τὸν Παῦλον, τῆς Ἰουδαϊκῆς μιαιφονίας ἐξείλατο. Οὐ μὴν ἀλλὰ καὶ ἐξ ὧν Φίληκι μηδ' εἰς ἐξέτασιν ἐλθεῖν τοιαύτης ὑπονοίας ἐξεγένετο, καίτοι χαρίζεσθαι Ἰουδαίοις προῃρημένῳ καὶ σπεύδοντι· καὶ τὸ σφόδρα ἀναντίρρητον, ὅτι οὐδὲ τῶν Ἰουδαίων
ὁ δῆμος παρὼν καὶ *φωνῶν, καὶ πάντα τολμῶν, leg. φονῶν.
οὐδ' ἐκεῖνος ἐτόλμησεν ἐπὶ τούτῳ ψευδολογίας αὐτὸν γράψασθαι. Πρὸς δέ γε τούτοις ὅτι καὶ πρὸς τοὺς αὐτοὺς ἄμφω ἔφη, ὡς Ἰουδαῖός τε καὶ Ῥωμαῖος εἴη· ὅπερ οὐκ ἄν τις μὴ λίαν πεποιθὼς τῇ ἀληθείᾳ, παῤῥησιάσοιτο· καὶ ὅτι διατεινόμενος καὶ ἐπιμένων τὴν προσηγορίαν προεβάλλετο. Εἰ βούλει δέ, ὅτι καὶ κατ' ἄνδρα καὶ κατὰ πόλεις τὴν Ῥωμαίων κλῆσιν, οὐ ταύτην λαχόντες πατρίδα, πολλοὶ ψηφίσμασιν ἐκληρώσαντο. Ἐξ ὧν, οἶμαι φανερὸν καὶ ἀναμφισβήτητον καθιστάναι, ὡς ἐν ἀμφοῖν ὁ Παῦλος, εἴπερ τις ἄλλος, ἠλήθευε, Ῥωμαῖον ἑαυτὸν καὶ Ἰουδαῖον ἀποφαινόμενος. Τί οὖν, φησιν, οὐκ ἦν χριστιανός; καὶ μάλιστά γε. Πῶς οὖν οὐκ ἐκάλει ἑαυτὸν καὶ τούτῳ τῷ ὀνόματι; ἐνταῦθα περιττὸν ἦν· ὑπὲρ γὰρ ταύτης τῆς θρησκείας καὶ τῆς κλήσεως πάντα πάσχων καὶ ἐναθλῶν, διεκαρτέρει καὶ ἔχαιρεν· αὐτός τε ἦν ὁ διδασκαλίαις καὶ πόνοις, καὶ ἱδρῶσι, πρώτην ἁπασῶν πόλεων τὴν Ἀντιόχειαν, τῇ τῶν χριστιανῶν κλήσει παρασκευάσας ἐγκαλλωπίζεσθαι. Εἰ δὲ δεῖ τι καὶ ἱστορίας ἐπακοῦσαι, λέγεται τις εἰς πολλὴν ἀρχαιότητα ἀνηγμένος· ὡς ἡ τοῦ Βενιαμὶν φυλὴ ἐν Παλαιστίνῃ ῥιζωθεῖσα, μέχρι τῶν τῆς Ἰταλίας μερῶν τὰς βλάστας ὑπεξέτεινεν, αὐτῷ γένει Ῥωμαίων καὶ αὐτῇ Ῥώμῃ χαρισαμένη γένεσιν τε καὶ ὄνομα. Ἐξ ὧν ὁ θεῖος Παῦλος εἰς τὸ τοῦ Βενιαμὶν,

ιαμὶν αἷμα ἀναγόμενος, Ῥωμαῖος ἂν εἰκότως χρηματίσειε· ἐγένοντο γὰρ ἀπόγονοι τῷ Βενιαμὶν, ἄλλοι τε οὐκ ὀλίγοι, ἐξ ὧν Ἄραδός τε καὶ πόλεις ἄλλαι καὶ χῶραι τὰς ἐπωνυμίας ἐκληρώσαντο, καὶ δὴ καὶ ἀνήρ τις ὄνομα Ῥῶς, ὃς ἐπὶ τὰ τῆς Ἰταλίας μέρη χωρήσας, καὶ πολλοὺς ἐκεῖσε τοῦ σπέρματος φύσας, καὶ ἐπὶ μέγα δόξης καὶ ἰσχύος ἀνελθὼν Ῥώμην τε τὴν ἐπωνυμίαν ἕλκειν ἐξ ἑαυτοῦ, καὶ τὸ Ῥωμαῖον γένος, ἔδωκε· τὰς γὰρ Ἑλλήνων ἐπ' αὐτῇ αἰτίας, * πολάς τε καὶ οὐδὲ πρὸς ἀλλήλας συμφωνούσας, οἱ ταῦτα λέγοντες οὐδ' ἀκούουσιν. [* ἴσ. πολλάς.] Ὁ τοίνυν Ῥῶς ἀπόγονος μὲν ὑπάρχων τοῦ Βενιαμὶν, πρόγονος δὲ Παύλου, εἰκότως τὸν ἄνδρα Ῥωμαῖον ἀπέφηνεν, ἐξ αὐτοῦ μὲν, τὴν τοῦ πορρωτέρου γένους αἰτίαν, ἐκ δὲ τοῦ Ῥωμαϊκοῦ συστήματος τὴν ἐγγυτέρω φέροντα. Ἀλλ' αὕτη μὲν ἡ ἱστορία, ἡδὺς μὲν ἀκοῦσαι καὶ ἐπαφρόδιτος, οὐ μὴν γε μετὰ τοῦ χαρίεντος, καὶ τὴν πειθὼ ἐπιφέρουσα· πολλοῦ γὰρ ἂν ἔγωγε τῆς ἀπαρχῆς ἀποδεδομένης μοι αἰτίας ταύτην προεξέταξα, εἰ μὴ λίαν ἀρχαία τε ἦν καὶ πολιωτέρα ἢ πιστεύεσθαι· οὐ τοῖς νῦν μόνον, ἀλλὰ καὶ τοῖς τότε ἀνθρώποις· καὶ οὐδὲν ἔχεγγυον ἔχουσα πρὸς τὸ ἐξελέσθαι Παῦλον τοῦ τύπτεσθαι. Τούτοις οὖν διαλύσας σου τὰς καλὰς ἀπορίας (καλαὶ γὰρ ὅτι ἀπὸ καλῆς καὶ φιλοπόνου γνώμης καὶ φιλοθέου βλαστάνουσι) καὶ εἴ τι ἄλλό σοι παρέστη, θαρρῶν οὐχ ἡμῖν ἀλλὰ Παύλῳ καὶ τῷ κοινῷ διδασκάλῳ Παύλου καὶ ἡμῶν Χριστῷ τῷ ἀληθινῷ Θεῷ ἡμῶν ἐπερώτα, καὶ ἔρρωσο.

sanguinem, Romanus nec injuriâ dicebatur: de Benjamini progenie disseminabatur, alia atque altera, à quibus Aradus, aliæq; urbes & loca nomenclaturas sortiebantur; & inter alios, vir quidam Ros dictus, qui in partes Italiæ profectus, cùm multos de semine suo procreâsset, & magnam existimationem potentiámque consecutus esset, Romam ab eo denominatam dedit, & Romanum quoque genus procreatum: Græcorum enim sententias, quæ plurimæ sunt & diversissimæ, illi qui hanc historiam narrant, non admittunt. Quocirca Ros Benjamini progenies, inter majores Pauli, rectè illum Romanum esse docet, & originem antiquam imprimis, deinceps civitatem datam largiri titulum. Verùm jucunda narratu est hæc historia, sed non perinde persuadet, atque delectat; certè ego imprimis hanc causam annumerâssem iis quæ præmisi, si non adeò antiqua, & canitie aspersa foret historia, ut fidem superet; nec apud nos tantùm qui nunc vivimus, sed & apud illos antiquiores; neque sponsorem invenit, qui de veritate stipularetur, Paulum indè à plagis exemtum iri. Atque ità cùm responderim præclaris tuis objectionibus (certè præclaræ, quòd profectæ ab honesto, diligenti, & Deum amante animo) si tibi quid aliud occurrat, confidens non mihi, sed Paulo, & communi Præceptori cùm nostro, tum Pauli, Christo, vero Deo, interroga, & vale.

NOTÆ.

NOn meminit nominis illius ad quem scribit, fortè propter fatuitatem quæstionis, cui nimis operosè & solicitè respondet: nec semper apposité, & ad rem: erat autem à ταχυγράφῳ, non καλλιγράφῳ, quodam negligentissimè exarata epistola. Nos ut potuimus, è conjectura emendavimus. Post ἐψεύσατο lege, & distingue, ἀπατεὼν οὗτός ἐστι, nam insulsum est, ἀπαιτεῖν. tum γοῦν οὗτός ἐστιν ἀνήρ. Statim, καὶ πρὸς ὑμᾶς τί θεατεύεσθαι, & συγκροτηθέντος, potiùs quàm κροτηθέντος. φίλου φίληκος] Nempe Judæis contra leges, quod dixit, gratificatus; sed erat hoc ἐκ τοῦ ὑπομνήμ., alludit enim ad illud, quòd cùm provinciâ discederet, vinctum reliquit Paulum; quare potiùs ῥητορεύων, quàm ἀληθεύων hoc scripsit. Pro οἷς legendum καὶ, & mox fortè, ὅθεν καὶ Ῥωμαῖος. Λέγεται τις] Ineptissimum & insulsissimum Rabbinorum commentum, nusquam dictum aut visum Dionysio Halicarnassæo, qui tamen omnia huc spectantia exactissimâ diligentiâ collegit. Judicium in κριτικωτάτῳ Photio desidero, tum quòd scriptione dignatus sit, tum quòd ἡδὺν & ἐπαφρόδιτον appellet, laudo quòd rejiciat.

Epist. 103.

Metrophani monacho Apostatæ.

IMprobitatis passio (passionem ego intelligo quicquid illud quod secundùm naturam est demolitur) hæc cùm superior evaserit omni admonitorum medicinâ, vel per supplicii gravitatem, vel per mortem intercipitur ne in deterius procedat: admonui non semel, sed sæpiùs; at tu quod habet vetus verbum, *pulsantes foras surdus non audivisti*. Verùm morbo te laborare qui humanam excedat curationem, doces; sed opinor non prestabis ultra legibus pœnam irrogandam. Quòd si, quæ tua est improba audacia, & illam volueris flocci facere, omnino evitare nequibis, quo minùs tua illa importuna contentio in ipso fine malè succumbat.

Ἐπισ. ργ'.

Μητροφάνει μονάζοντι ἀποστατήσαντι.

ΤΗς πονηρίας τὸ πάθος (πάθος γὰρ ἔγωγε μάλιστα καλῶ πᾶν ὅπερ λυμαίνεται τοῖς κατὰ φύσιν) τοῦτο δὴ ἐπειδὰν κρεῖττον γένηται τῆς ἀπὸ τῶν παραινούντων ἰατρείας· ἢ σφοδρότητι τιμωρίας, ἢ τῷ θανάτῳ, τὴν ἐπὶ τὸ χεῖρον νομὴν ἀνακόπτεται· παρῃνέσαμεν οὐχ ἅπαξ, ἀλλὰ καὶ πολλάκις· κωφὸν δὲ ἄρα θύρας, τὴν παροιμίαν, ἀπέδειξας κόπτοντας. Ἀλλ' ἔδειξας μὲν νόσον ἀνθρωπίνης μείζονα θεραπείας, οὐ δείξεις δὲ οἶμαι καὶ τῆς ἀπὸ τῶν νόμων τιμωρίας. Εἰ δὲ καὶ ταύτην, ὑπερβολῇ θράσους ἐλέγξαι φιλονεικήσεις, ἀλλ' οὖν ἁλώσεταί γε πάντως τῷ θανάτῳ τὸ σοὶ ἐπὶ τῇ σαυτοῦ καταστροφῇ πρὸς πάντα φιλόνεικον.

Epist. 104.

Georgio Diacono & Cubiclusio.

DEnuntio tibi, amicorum optime, nè deinceps amicus nobis nomineris. Nunc enim intelligo me præ cunctis mortalibus in veris amicis habendis infelicissimum. Bonus ille & fidelis œconomus communis amicus, (hei mihi qui hoc dico & scribo, ipso interim tacente) me relicto, temporali amico, pro me, ut videtur, æternos amicos permutavit. Non enim pati potuit tantam virtutem tali temporum opportunitate obtinere. Timon ille apud antiquos improbitate hominum fortassis intolerabili motus, prudenter egisse quidem visus est, cùm pro *philanthropo misanthropus* haberi volebat. Ego multò quidem rectiùs videbor, pro affectu quo sum, *misophilus* nominandus: nam cùm inter amicos mirâ quidem virtutis admiratione frui viderer, de fruitione gaudebam, & statim cum dolore acerbo, indè, quod me malè habet, exturbor; ità ut quicunque ille est qui telum hoc in me amentavit, sive ex invidia sive aliunde motus, id egit tantùm ut cruciaret, & de voluptate extremis quasi labeculis degustaremus. Extra me

Ἐπισ. ρδ'.

Γεωργίῳ Διακόνῳ καὶ Κουβουκλεισίῳ.

ἈΠαγορεύω σοι, φίλων ἄριστε, μηκέτι φίλον ἡμέτερον ὀνομάζεσθαι· νῦν γὰρ ἔγνων ἐμαυτὸν, περὶ τοὺς ἀληθεστάτους φίλους, πάντων ἀνθρώπων δυστυχέστατον. Ὁ καλὸς ἡμῖν καὶ πιστὸς οἰκονόμος, ὁ κοινὸς φίλος (οἴμοι λέγω καὶ γράφω σιγῶντος ἐκείνου) λιπὼν ἡμᾶς τοὺς προσκαίρους, ἀνθ' ἡμῶν, ὡς ἔοικε, τοὺς αἰωνίους φίλους ἠλλάξατο· ὥσπερ οὐκ ἀνεχόμενος ἀρετὴν τοσαύτην καιροῖς τοιούτοις ἐμπολιτεύεσθαι. Ὁ μὲν οὖν παλαιὸς ἐκεῖνος Τίμων, μοχθηρίαις ἀτόποις ἀνθρώπων ἴσως περιτυχὼν, ἔδοξέ τι σοφὸν ἐπιτελεῖν, ἀντὶ φιλανθρώπου, μισάνθρωπος, καὶ εἶναι καὶ ὀνομάζεσθαι. Ἐγὼ δὲ πολλῷ ἂν φανείην δικαιότερα, οἶμαι, διαπραττόμενος, ἀνθ' οὗπερ εἰμὶ, μισόφιλος ἀξιοῦσθαι διανοούμενος. Τῆς γὰρ ἐν φίλοις θαυμαστῆς ἡλίκης ἀρετῆς ἀπολαύειν ἀρχόμενος, ἅμα μὲν χαίρω τῆς ἀπολαύσεως, ἅμα δὲ λίαν πικρῶς ἀνιώμενος, ταύτης ἀθλίως ἐλαύνομαι· ὥσπερ ἵνα μόνον λυπήσῃ καὶ τὴν συναίσθησιν τῶν ἀλγεινῶν ἀφόρητον ἐπαφήσῃ, διὰ τοῦτο μόνον τῆς τοιαύτης ἡδονῆς ἡμᾶς γεύσαντος τοῦ, ὅστις ποτὲ ἐστὶν, ἐκεῖνος, ὁ τηλικοῦτον καθ' ἡμῶν ῥίψας τὸ βέλος, εἴτε

φθόνος,

φθόνος, εἴτε ψῆφος ἄλλη. Ἐξάγομαι γὰρ ὑπὸ τοῦ πάθους, καὶ οὐκ ἔχω τί εἴπω πλὴν ὅτι μὴ κατηλέησας ἡμᾶς, μήτε τῆς ὑπερορίας, μήτε τῆς φυλακῆς, μήτε τῶν ἄλλων χαλεπῶν, οἷς τὸν βίον διαντλούμεθα. Ὑπὸ μηδενὸς τούτων δυσωπηθεὶς, λαβὼν ἀθρόον καὶ διασπάσας ἀφ' ἡμῶν τὸν φίλον ᾤχετο πικρὸν καὶ ἀπαραίτητον κατὰ μέσης αὐτῆς καρδίας τὸ κέντρον ἐμπήξας. Ἀλλ' ἴσως οὐ πολὺς χρόνος καὶ τελείως ταύτην διεργασάμενος (τοῦτο γὰρ ὡς ἐν τηλικούτοις κακοῖς ἡμᾶς μόνον ἀναψύχει) πρὸς τὸν ποθούμενον ἀπελάσει. Σὺ δὲ ὦ μοι λοιπὸν τοῦ βίου παραμύθιον, ἔρρωσο· καὶ με φίλει· καὶ τὴν ὁσίαν ἐκείνῳ, ἀνθ' ἡμῶν, ἀξίως τῆς σῆς ἀρετῆς καὶ τῆς ἐκείνου φιλίας, ἐπιτέλει, καὶ τῶν συγγενῶν καὶ οἰκείων ἀνθ' ἡμῶν καὶ σαυτοῦ προστάτης καὶ κηδεμὼν καθιστάμενος, κούφιζε τὸ πολὺ τοῦ πάθους· ἄλλο γὰρ οὐδὲν ἐστὶν οἶμαι τῷ κειμένῳ συνεισενεγκεῖν. Εἰ δ' ἔτι καὶ πλέον ἤθελον γράφειν, ἀλλὰ σφοδρότερον ῥέον ἐπέχει τὸ δάκρυον τὴν γραφήν.

rapior ab iis quę patior, nec est quod dicam aliud, quàm quòd omnino mei non sis misertus, nec cùm in exilium relegarer, nec cùm in vincula conjicerer, nec in aliqua mearum quibus exhaurior miseriarum: in nullo ipsorum emollitus, magno impetu amicum arreptum à me avulsisti, qui abiit stimulum acerbum, & inflexibilem medio meo cordi infigens: sed fortassis haud diuturnum erit tempus, & penitùs hoc conficiet (istud enim solùm, utpote in tantis malis, nos refrigerat) & ad desideratum nobis exturbabit: Tu autem, ô vitæ meæ solamen solum, vale: me ama, exequias meâ vice perfice, prout dignum tua virtute & illius amicitiâ fuerit, & meo loco cognatis & affinibus & tibimetipsi curator & patronus constitutus, alleva magnum doloris partem. Neque enim opinor facultas est, defuncto amico aliunde opitulari. Certè plura me scribere volentem inhibuere lacrymæ profusiores.

NOTÆ.

Κουβουκλεισίῳ] A claudendis & obserandis cubiculis, idem qui κουβουκλάειος. Defunctum quendam amicum ex affinitate Georgii deplorat, cui vult ab illo justa persolvi, seu parentari; ὅσια enim justa funeralia sunt: τὰ περὶ τοὺς θνήσκοντας ὅσια. Nazianzen. in sororem Gorgoniam, φέρε δὲ προσβῶμεν ἤδη τοῖς ἐγκωμίοις τὴν ὀφειλομένην ὁσίαν, ὡς ἄλλο τι χρέος τῶν ἀναγκαιοτάτων πληροῦντες. Ὀνομάζεσθαι] Quasi fato quodam statutum esset, ut in amicitia infelicitatem experiretur; nempe, illo, quem designat, morte abrepto.

Ἐπιστ. ρε´.

Λέοντι καὶ Γαλάτωνι ἀδελφοῖς καὶ ἀσηκρήτις.

Εἶτα πρὸς ἔτι παρασκευὰς ἐξελύσατε, τὰς ἡμετέρας ἐντολὰς, κἂν νῦν γοῦν, ἐπεὶ μὴ πρότερον, ἐκπληρώσατε, καὶ τὸ βιβλίον διορθώσασθε· σφαλμάτων γὰρ αὐτὸ μᾶλλον ἢ γραμμάτων, ὁρᾶν ἐστὶ τοῖς ἐντυγχάνουσι [βιβλίον]· οὕτω δὲ οἶμαι κατὰ σπουδὴν πράξασι, καὶ ἡ ἐπὶ τῇ προτέρᾳ παρακοῇ συγγνώμη, μὴ πλέον οὖσα συγγνώμης, ἀλλὰ τὸν ὀρθὸν φυλάττουσα λόγον, ἐπακολουθήσει.

Epist. 105.

Leonti & Galatoni fratribus & à secretis.

Contentionis studio præcepta mea violâstis, at nunc, siquidem non priùs, observate, & librum corrigite. Nam qui eum in manus sumpserint, magìs erroribus scatere quàm literis videbunt. Quòd si gnaviter in hoc incubueritis veniam consequimini de præterita insuper habitione & neglectu, nec ultra veniam quid consequimini, nam secundùm rectam rationem indulgebitur vobis.

Epiſt. 106.

Zachariæ Chalcedonis Metropol.

SI meum ignorem Zachariam, & meimet oblivifcerer; fed ille mei (neq; enim effari quid moderatius poſſum) ut videtur oblitus eſt: nec ſuſpicetur me vulgi ſermone, ab illa quam jam olim de eo fovi opinionē abſtractum. At ille ibi valde timet ubi non tantùm non eſt timor, ſed nec timoris aliqua, ab iis qui me noverant, ſuſpicio. Si enim diuturnum illud tempus in quo te à pueris cognovi, magnum, & cujus magna gloria, certamen pro nobis, aut Chriſto potiùs, ſuſceptum, & in ipſius mandatis curſus, nondum de tua virtute me confirmatum reddidit, certè non video quomodo non, cum inſipiente, iniquiſſimus videar; & qui metuerint, nè quid tale patiamur nos, eò quòd ipſi nos non noverimus, ſatìs juſtā habebunt cauſam, ut inter peſſimos me recenſeant. Sed tu hiſce de rebus ſis perſuaſiſſimus, & me cognoſcas velim, ſicut aliis notis, ità quòd mentem aliorſum per alios pertrahi nolò: noli ergò ob nudam nec congruam ſatìs ſuſpicionem, & me & te potiùs ipſum inſigniter reos ſtatuere; ſed & fratres etiam noſtros, ſi quid humano more patiantur, tuis excitatos præeminentiis fraternè tolerato & ſufferto; neque enim par eſt ut aliis ſuccenſeamus pro iis de quibus nobis agendæ ſunt gratiæ; nec è quibus demonſtrari liquidò poterit, nos obtinere principatum, tenemur ob illa ſuccenſere iis qui culpabiles ſunt, ut ſic irrationalem paſſionem in rationabilem apologiam commutemus. Sed & aliud è dictis te intelligere velim, hoc nempe, quòd debemus nos qui validiores ſumus, infirmitates infirmorum portare & ſuſtinere. Imprimis per totæ vitæ curſum illius habeto curam, Quòd nihil indecorè faciat cautus amor; ſedulò inquira quid ſibi velit, Nihil facit indecorè, (certè immenſam & innarrabilem utilitatis invenies profunditatem.) Nimirum quòd non quærit quæ ſua ſunt, ſed omnia tegit, ſperat omnia, ſublimia ſunt iſta onera ſufferenda, e-

Ἐπιστ. ρϛʹ.

Ζαχαρίᾳ Μητροπολίτῃ Χαλκηδόνος.

Εἰ ἐγὼ τὸν ἐμὸν Ζαχαρίαν ἀγνοῶ, καὶ ἐμαυτοῦ ἐπιλέλησμαι· ἀλλ' ἡμῶν, ὡς ἔοικεν, ἐκεῖνος (οὐ γὰρ ἔχω τι μετριώτερον * εἴπω) ἐπιλέλησται. Οὐ γὰρ ἂν ἡμᾶς ὑπετόπαζεν, ἀνθρώπων λόγοις, τῆς περὶ αὐτὸν δόξης, ἣν ἐκ παλαιοῦ φυλάττομεν, παρασύρεσθαι. Ὁ δὲ καὶ φοβεῖται διὰ ταῦτα φόβον, ἐν οἷς οὐ μόνον οὐκ ἔστι φόβος, ἀλλ' οὐδέ τις φόβου, τοῖς ἡμᾶς ἐγνωκόσιν, ὑπόνοια. Εἰ γὰρ ἡμᾶς ὁ μακρὸς, ὃν ἐκ παιδὸς σχεδὸν ἔγνωμέν σε, χρόνος, καὶ ὁ πολὺς καὶ οὗ μέγα κλέος ὑπὲρ ἡμῶν, μᾶλλον δὲ Χριστοῦ καὶ τῶν αὐτοῦ θεσπισμάτων, ἀγὼν καὶ δρόμος, οὔπω πεῖραν ἔχειν τῆς σῆς ἐγύμνασεν ἀρετῆς, οὐκ οἶδα ὅπως ἡμεῖς τε οὐχὶ κακοὶ, μετὰ τοῦ ἀνοήτου, δόξαιμεν ἂν καὶ οἱ δεδιότες μή τι πάθοιμεν τοιοῦτον, τὸ μὴ ἀγνοεῖν ἡμᾶς, οὐ φυγόντες * ἀλλ' ὅτι πλεῖον τοῦ χειρίστους εἰπεῖν, εὐπορήσουσιν· ἀλλὰ τούτων τε ἕνεκα θάῤῥει, καὶ ἡμᾶς, ὥσπερ τοῖς ἄλλοις, οὕτω καὶ * τὸ μὴ παρασύρεσθαι τοὺς λογισμοὺς, ὑφ' ἑτέρων, ἐπιγίνωσκε· ἵνα μὴ διὰ μιᾶς, οὐ προσηκούσης ὑπολήψεως, ἡμᾶς τε καὶ σαυτὸν μᾶλλον, * ἐν αἰτίᾳ ποιήσῃς μεγάλῃ· καὶ τοὺς ἀδελφοὺς, εἴ τι ἄρα καὶ ἀνθρώπινον αὐτοῖς ὑποτρέχει * πάθος, τοῖς σοῖς ἀνερεθιζομένους προτερήμασιν ἀδελφικῶς φέρε καὶ διαβάσταζε· οὐ γὰρ ἐφ' οἷς ἡμᾶς εὐχαριστεῖν δεῖ, ἄλλοις ἀπεχθάνεσθαι χρή· οὐδ' ἐξ ὧν ἐστὶ λαβεῖν ἀπόδειξιν λαμπρὰν τοῦ πρωτεύειν ἡμᾶς, διὰ τούτων ὀφείλομεν πρὸς τοὺς αἰτίους δυσαναχετεῖν, καὶ τὸ ἄλογον πάθος, εἰς εὔλογον αὐτοῖς ἀπολογίαν μεταποιεῖν. Ἀλλὰ καὶ * τῶν εἰρημένων, ἄλλον ἴσθι τοῦτο· ὅτι ὀφείλομεν ἡμεῖς, οἱ δυνατοὶ, τὰ ἀσθενήματα τῶν * ἀδυνάτων βαστάζειν· καὶ πάντων δὲ μάλιστα ἐκεῖνο διὰ βίου μελέτην ποιοῦ· τὸ ποῖον; Ὅτι ἡ ἀγάπη οὐκ ἀσχημονεῖ. Ἐρεύνα καλῶς τί ποτέ ἐστι τὸ, οὐκ ἀσχημονεῖ· βάθος γὰρ ἄφατον εὑρήσεις ὠφελείας. Εἶτα, διὰ τί οὐκ ἀσχημονεῖ; Ὅτι οὐ ζητεῖ, φησι, τὰ ἑαυτῆς· ἀλλὰ καὶ πάντα στέγει * πάντα ἐλπίζει· ὑψηλὰ μὲν [καὶ] ταῦτα ἀνέχεσθαι βάρη, καὶ βελτίωσιν

* εἰπεῖν.
* ἴσ. ἄλλο τι.
* πῶς.
* ἴσ. ἐν αἰτίᾳ
* ſubrepit πάθος.
* ἴσ. ἐκ.
* ἀδυνατούντων.
* πάντα πιστεύει. 1 Cor, 13. 7.

πίωσιν ἀεὶ καὶ μεταβολὴν ἐπὶ τὸ κρεῖττον, ἐλπίζειν τοῦ πλησίον. Τί δὲ ἄλλο ὦ Παύλου σοφία, πλοῦτος, καὶ χάρις; ἡ ἀγάπη, φησὶν, οὐδέποτε ἐκπίπτει. ὢ μακαρίας φωνῆς, καὶ μακαριωτέρου στόματος, καὶ κρείσσων ἐγκωμίων, καὶ θαύματος, γνώμη· οὐδέποτε, φησὶν, ἐκπίπτει. κἂν στασιάζωσιν ἄλλοι· κἂν χαίρωσι μάχαις· κἂν τὰ πρῶτα ζητῶσι· κἂν φθόνος αὐτοὺς ἀνερεθίζῃ· κἂν χειρῶν ἄρχωσιν ἀδίκων· κἂν τὰ ἄνω στρέφωσι κάτω· οὐδέποτε ἡ ἀγάπη τῆς οἰκείας ἕδρας καὶ ἀρετῆς ἐκπίπτει, οὐδ᾽ ἀπογινώσκει, οὐδ᾽ ἀποστρέφεται τοὺς λελυπηκότας· ἀλλ᾽ ἀεὶ προφάσεις ἐπιζητεῖ, καὶ πάντα κινεῖ, καὶ μεθοδεύει, δι᾽ ὧν αὐτοὺς καὶ ἀποσκιρτῶντας εἰς τὸν οἰκεῖον τῆς συναφείας καὶ ἑνώσεως συναγελάζῃ λειμῶνα. Ταῦτα, τέκνον ἡμέτερον ἐν Κυρίῳ, μελέτα· καὶ τούτοις ἑαυτὸν ῥύθμιζε, κατεπᾴδων. Οὐδὲν γὰρ, εὖ ἴσθι, τῶν παναρίων τούτων εὑρήσεις ὠφελιμώτερον· τὰ δ᾽ ἄλλα, ἔρρωσο, ἱερώτατε, τῆς ἡμῶν ὑπερευχόμενος μετριότητος.

mendatio semper & conversio in melius speranda est de proximo. Quid aliud vult Pauli sapientia, divitiæ, gratia? Charitas, inquit, nunquam excidit: beata planè vox, magìs beatum os, sententia laudes & admirationem omnem excedens; Nunquam, ait, excidit, licèt tumultuentur alii, licèt concertationibus gaudeant, licèt primaria quærant, licèt ipsos exstimulet invidia, licèt manus injustè violentas injiceant, licèt susque habeant déque; nunquam charitas de sua statione dejicitur, nec deficit à virtute, non desperat, non aversatur dolentes; semper occasiones quærit, semper omnem movet lapidem, omnem init methodum, ut extra se desultores in proprium conjunctionis & unionis pratum reducat. Hæc, ô fili mi in Christo meditare, & hisce te conforma, tibi concinens. Certè bene nôris quòd nihil his panariis magìs utile reperire poteris: cęterum vale, & precibus nostram mediocritatem commendatam habe.

Ἐπιστ. ρζ.

Τῷ αὐτῷ.

ΧΑ'ρις Χριστῷ τῷ ἀληθινῷ θεῷ ἡμῶν, τῷ ἐπὶ πᾶσι παρακαλοῦντι ἡμᾶς, τῷ καὶ τὰς γενναίας τῶν φύσεων (ἐπειδ᾽ ἂν τῆς οἰκείας ἀρετῆς μικρὸν ἀποκλίνωσι) θᾶττόν τε συνορᾷν * δυναμοῦντι τὸ ὀλίσθημα, καὶ πρὸς τὸ οἰκεῖον καὶ εὐγενὲς ἐπανατρέχειν ἀξίωμα. Ὃς καὶ νῦν, οὐ τῇ τῶν ἡμετέρων λόγων, ὡς ἂν αὐτὸς φαίης, δυνάμει καὶ παραινέσει· ἀλλὰ τῆς οἴκοθεν, καὶ ἐξ αὐτοῦ σοι παρασχεθείσης μεγαλονοίας, τῇ ῥώμῃ τὸ χυδαῖον μὲν καὶ ταπεινὸν τῶν λογισμῶν ἐχαρίτωσέ σε διαπτύσαι. Εἰ δὲ τὸ προσφυὲς καὶ κατάλληλον μέγεθος τῆς ἀρίστης προαιρέσεως, καὶ τῆς ἄλλης πολιτείας, ἐκ τοῦ ῥᾴστου ἐπανήγαγεν, ἐν οἷς εἴης μοι κἂν μυρίους κύβους ἡ τῶν πραγμάτων ἀναρρίπτοι περιπέτεια, αὐτὸς διαπαντὸς ἐν ἀκλονήτῳ τῆς ἀγάπης ἐστηριγμένος φρονήματι. Ἔρρωσο τέκνον ἡμέτερον ἱερώτατον

* καὶ ἐνδυναμοῦντι.

Epist. 107.

Eidem.

GRatia Christo vero Deo nostro qui in omnibus nos consolatur, qui naturas generosas si vel aliquatenus ab innata virtute exorbitent, potestate donat, ut quantociùs suum lapsum intelligant, & ad suam nobilitatem & dignitatem regrediantur; Qui etiam nunc, non mearum rationum & orationum, ut tute putes, vi & admonitione, gratiam largitus est, ut viles & humiles cum despectu habitas cogitationes abjicias, sed facultate & robore tuæ ipsius quam possides magnanimitatis. Si autem innata & apposita propriæ voluntatis amplitudo quæ optima est, & cæteræ tuæ conversationis, sine difficultate reduxit, utcunque rerum contingentium occasio, multiplici me aleâ jactatum turbaverit, tu tamen usque in immotæ amicitiæ institutione solidatus persistes. Vale, mi fili, sacratissime.

Epist.

Epist. 108.

Damiano Hospiti.

VEnit ad me hesterno die, cùm jam Luminaria accenderentur (urgentior ejus miseria ab intempestivo accessu videbatur) homo indigens, cum ejulatu, & voce calamitatem testante, ità ut mollefacere & exorare posset ferarum animos; tunica illum lacera vitæ opertura tegebat; vultus plagas impactas hominum pugno præ se ferebat, quæ imprimis contuentes in compassionem & luctum adigerent; me imprimis ità malè habuerunt, quòd intelligerem, illum pauperem ista passum, à mihi notis; at causam cùm rescivi, propter quam perpessus hęc insufferenda, fuit; eum nimirum ideò hæc luisse in corpore, eò quòd cùm silentio & voluntariè nolebat, terram ipsis tradere, quæ licèt fluctuantem vitæ tamen spem ipsius fovebat; hæc ubi velut cumulum cæteris adjecit, confusus ego omnino constiti, nè quidem minùs, quàm ipse ille pauper, ut nè dicam magìs, & profectò qui meum dolorem de homine injuriâ affecto, & te considerabit, omnino dicturus est, duplicatum esse. Quare mi homo miseriam pauperi condona, redde quod injustè tenes, vulnera curato beneficentiæ oleo. Quòd si pauperem despicatui habes, at meum dolorem & calamitatem dele, si non potiùs tuam; certè, tua, & pauperis, & meam excedit, licèt nondum, ut reor communem illius sensum habeas.

Ἐπιστ. ρη'.

Δαμιανῷ Ξενοδόχῳ.

Ἧκε χθὲς, ὡς ἡμᾶς, περὶ λύχνων ἁφὰς (μεῖζον γὰρ αὐτῷ καὶ τῆς ἀωρίας τὸ πάθος ἐτύγχανεν) ἄνθρωπος πένης κλαίων, καὶ φωνὰς ἠφίει * πάσας ἐπ' ἐλέῳ, οἷ μαλάττειν καὶ δυσωπεῖν ἴσχυον καὶ γνώμην θηρείων· χιτωνίσκος ἦν αὐτῷ περιερρηγμένος, κάλυμμα τοῦ βίου· καὶ πληγὰς τὰς ἐξ ἀνθρώπων ἔφερεν ἐπὶ τοῦ προσώπου· ἃ μᾶλλον τῶν ἄλλων εἰς οἶκτον καὶ θρῆνον τοὺς ὁρῶντας παρεκάλει· ἐμὲ δὲ πλέον, ὅτι καὶ γνωρίμων * ἔργα τὰ πάθη τοῦ πένητος ἐπυνθανόμην· ὡς δέ μοι καὶ ἡ αἰτία, δι' ἣν τὰ ἀνήκεστα πάθοι, δήλη ἐγεγόνει, ὅτι ποινὰς ἔπισε ταῦτα, ἀνθ' ὧν μὴ σιγῶν μηδὲ ἀγαπᾶ το γήδιον αὐτὸ ἐφ' ᾧ ὁ τὰς τοῦ ζῆν ἐσάλευεν ἐλπίδας προηδικημένος· ὡς οὖν καὶ ταῦτα τοῖς ἄλλοις προσετέθη, ὅλος σφόδρα συνεχύθην, καὶ οὐδὲν ἔλαττον τοῦ πένητος (οὐ γάρ ἐστιν εἰπεῖν, μεῖζον) τὴν ψυχὴν διετέθην· πλὴν εἰ μή τις τὴν ἐμὴν ἀλγηδόνα ἐπὶ σοί τε καὶ τῷ ἠδικημένῳ γινομένην βλέπων διπλῆν ἀποφαίνῃ. Λῦσον ἄνθρωπε τῷ πένητι τὴν συμφορὰν, ἀποδιδοὺς τὸ ἀδίκημα, καὶ τὰ τραύματα θεραπεύων εὐεργεσίας * ἐλέῳ. Εἰ δὲ τοῦ πένητος ὑπερορᾷς· ἀλλ' οὖν τὴν ἐμὴν λῦσον συμφορὰν· μᾶλλον δὲ τὴν σήν· ἡ σὴ γὰρ μείζων, καὶ τῆς τοῦ πένητος καὶ ἡμῶν, κἂν οὔπω ταύτης, οἶμαι, συναίσθησιν ἔχῃς.

* πικράς.
* ἴσ. τις ἦν, ἔνθα τά.
* ἐλαίῳ.

NOTÆ.

DE hac ipsa re, tres ad Damianum istum epistolas scripsit 112. 195. & hanc ipsam, omnium scrinium. pro πάσας legendum omnino πικρὰς, nisi fortè, hoc modo φώνας ἠφίει πικρὰς, πάσας ἐπ' ἐλέῳ· quæ omnino ad misericordiam movendam faciebant. ὅτι καὶ γνωρίμων ἔργα τὰ πάθη. restituo. ὅτι καὶ γνωρίμων τις ἦν, ἔνθα τὰ πάθη τοῦ πένητος· nam nihili est illud ἔργα. Statim, lego ἀνθρώπῳ non ἄνθρωπε. In fine epistolæ, καὶ τῆς ἡμετέρας.

Epist. 109.

Michaeli Protospathario.

INstitutionis possessio, ætate proveɛtiori vitæ baculum firmissimus est, & ætate florentem juvenili, fine tristitia ad virtutis transmittit tempestatem. Quocirca tuos liberos prudentiâ imbu-

Ἐπιστ. ρθ'.

Μιχαὴλ Πρωτοσπαθαρίῳ.

Τῆς παιδείας ἡ κτῆσις τῷ γεγηρακότι κρατίστη γίνεται βίου βακτηρία· καὶ τὸν ἀνθοῦντα τὴν νέαν ἡλικίαν, εἰς ἀρετῆς ὥραν ἀλύπως διαβιβάζει. Παίδευε τοίνυν σοφίαν

καὶ ἀρετὴν τοὺς σοὺς παῖδας· ἵνα καὶ νεάζοντες, ὡραίαν ἔχωσι τὴν πολιτείαν, καὶ γηρακότες μὴ * δεήσονται τῆς ἑτέρων βοηθείας.

* δεήσωνται, Hæsch.

Ἐπισ. ρι'.

Νικήτᾳ Πρωτοσπαθαρίῳ.

Αὐχεῖς, ὅτι γονέων ἔφυς εὖ γεγονότων· ἐγὼ δέ σε ἠξίουν μᾶλλον μέγα φρονεῖν, εἰ τοῦ γένους ἡγεμόνα σαυτὸν δι' ἀρετῆς περιέθεις· τὸ μὲν γὰρ, ἔσθ' ὅτε, καὶ ὁ χείριστος ἔχει λέγειν· τὸ δὲ, μόνου καθέστηκε τοῦ ἀρίστου.

Ἐπισ. ρια'.

Γρηγορίῳ ἀρχιεπισκόπῳ Συρακούσης.

Ὅσα πρὸς καταρτισμὸν τῆς τοῦ θεοῦ ἐκκλησίας ἡ ἀρχιερατικὴ ὑμῶν διαπράττεται ὁσιότης, ἄνωθεν καὶ ἐξ ἀρχῆς τὴν ἡμετέραν ἔχεις συμφωνοῦσαν μετριότητα· διόπερ οὐ δεῖται συνεχοῦς ἐπὶ τούτοις ὑπομνήσεως· μάλιστά γε νῦν, ὅτε φωνῆς ἁπάσης λαμπρότερόν τε καὶ τελειότερον, ἀναδιδάσκουσιν ἡμᾶς τὰ ἀλλήλων, καὶ εἰς μίαν γνώμην καὶ τὸ αὐτὸ συνάπτουσι φρόνημα· ὅτε κοινὸς ὑπὲρ Χριστοῦ διωγμὸς, καὶ τὰ κοινὰ πάθη καὶ ἀνιστόρητα, οἷς ἐναθλεῖν διὰ τὴν συντήρησιν τῶν δεσποτικῶν ἐντολῶν καὶ παραφυλακὴν, ἀξιούμεθα. Ἔντεινε τοίνυν καὶ κατευοδοῦ χειροθετῶν τε καὶ ἱεροτελῶν, καὶ τὸ ποίμνιον αὔξων καὶ πληθύνων Χριστοῦ· ναούς τε σεπτοὺς ἐγείρων καὶ τελεσιουργῶν· * ἀλλ' ὥστε καὶ καιροῖς τοιούτοις ἐν οἷς ἱερεῖς τε καὶ ἱερωσύνη, τὸ μέρος ἐκείνων τῶν τρισαθλίων, σεσίγηται καὶ ἐξ ἀνθρώπων ἠφάνισται· ναῶν τε ἐρημία καὶ πόρθησις ἀντὶ τῆς πρὶν εὐκοσμίας, τὸ Ῥωμαϊκὸν κατέχει πολίτευμα, καὶ μονονουχὶ τὰ χριστιανῶν ἐκ βάθρων αὐτῶν ἀνατέτραπται· οἷς, τίς ἀξίως ἄλλος ἢ Ἱερεμίας ἐπιστενάξειε δυνατὸς ὢν οἰκείοις θρηνοῖς τηλικαύτης ἐρημίας ἐκτραγῳδῆσαι καὶ παραστῆσαι μέγεθος; ἀλλὰ ταῦτα μὲν καὶ σιωπώμενα κέκραγεν. Σὺ δέ μοι τά τε ἄλλα ἔρρωσο, καὶ τῆς ἡμῶν ὑπερεύχου μετριότητος.

* ἄλλως τε.

ito & virtute; ut adhuc adoleſcentes maturam exhibeant converſationem, & ſic cùm conſenuerint, aliorum auxilio non indigebunt.

Epiſt. 110.

Nicetæ Protoſpathario.

De Nobilibus te natum parentibus gloriaris, at ego te potiùs juberem magnos tibi ſpiritus ſumere ſi virtute tuâ mereres, ut generis princeps exiſtas ipſe; illud enim nequiſſimus allegabit, at hoc niſi optimus nemo dicet.

Epiſt. 111.

Gregorio Syracuſæ Archiepiſc.

Quæcunque Archiepiſcopalis tua ſanctitas ad conſtitutionem Dei Eccleſiæ operatur, ab ipſo principio mea mediocritas tecum in iis conſpirat: ut frequentiùs tibi in memoriam revocare non ſit opus; nunc temporis præcipuè, cùm voce quacunque clariùs & conſummatiùs nos id doceant quæ mutuò nobis contigerunt, ac utriuſque ſtatum æqualem, eundem animum, cogitationes eaſdem ſuggerant, communis noſtra in Chriſto cauſa, perſecutio, communes paſſiones, ineffabiles quibus meremur conflictari propter obſervationem, & cuſtodiam mandatorum Domini noſtri. Intende autem porrò, & recto tramite incedito, manus imponens, ſacra peragens, Chriſti gregem multiplicans & adaugens, Templa veneranda conſtruens & dedicans; præcipuè cùm tempora ſint ejuſmodi, in quibus ſacerdotes & ſacerdotium, magnam partem, miſerandum in modum ſilentio obruuntur, & ex hominibus eliminantur; cùm Templa paſſim deſolata jaceant, & demolita ſint aut expilata, pro illo ordine & pulchritudine quâ priùs Romana reſpublica florebat, & Chriſtianiſmus tantùm non ex imis ſubruitur fundamentis. Ingemiſcere ad hæc, pro meritis quis alius ſufficerit quàm Jeremias, qui propriis ſuis leſſis & lamentis, tantæ vaſtitatis & deſolationis magnitudinem & exprimere poſſit, & Tragicè deplorare? ſed hæc ſilentio preſſa exclamant tamen. Tu cætera vale, & pro mea mediocritate apud Deum precibus intercede.

NOTÆ.

NOTÆ.

GRegorius iste Syracusanus Archiepiscopus cognomento Asbesta fuit. In eum non minùs quàm in Photium Baronius ubique debacchatur. Multa ille passus fuit à factione Ignatiana, & Pontifice Romano Nicolao. Ὁσιότης olim erat inter titulos Episcopales, non solius Pontificis Romani. Qui cur non debeant usurpari non video, cùm muneris prærogativam, non personæ mores respiciant: Neque enim nimis sancta Jerusalem erat, quæ tamen sancta Civitas indigitatur.

Epist. 112.

Damiano Xenodocho.

CUm tacet qui injuriam patitur, multò magìs afficientem convincit: patet enim quòd nisi summam & inexplicabilem injuriam irrogantium crudelitatem sentiret, non ea omisisset, quæ movere ad misericordiam possent, nec silentium prætulisset justæ injuriarum deplorationi. Miser autem ille & pauper, in cujus jampridem causa ad te literas dedi, fatetur te injuriam intulisse, injuriarum porrò illatarum haud alios testes quàm teipsum citat. Dominum earum rerum haberi te vis legitimum, quas per vim & tyrannidem priùs abstulisti. Non tamen desperato morbo teneri te, vel incurabili, nec pœnitentia corrigendo, arbitratur. Idcirco passim amicos adit, sermones serit miserabiles, atque imprimis jus ipsum deprecatorem offert: nec rem apud forensia tribunalia tractat, sed amicis arbitris, & ad tribunal conscientiæ tuæ. Si adhuc nil humanius, nihil cum justitia conjunctum, statuas in hac ejus causa, nec cedere velis possessionem eorum quæ per tyrannidem, non legem, abstulisti, scias, quòd utcunque ille quem tu pauperem affecisti injuriâ, id non contra te dixerit, temet tamen contra te sciscere; per ea quæ perpetras, esse te nimirum omnium hominum nequissimum.

Ἐπιστ. ριβʹ.

Δαμιανῷ Ξενοδόχῳ.

ΤΟ σιγᾶν ἀδικούμενον, μείζονα τῶν ἀδικούντων ποιεῖται τὸν ἔλεγχον· δῆλον γὰρ ὡς εἰ μὴ μεγάλην τινὰ καὶ ἀνυπέρβλητον τῶν ἀδικούντων ὠμότητα κατεγίνωσκεν, οὐκ ἂν ἀφεὶς τὸ κινεῖν ἐπ' ἔλεον, ἀντὶ τούτου τε καὶ τῶν δικαίων λόγων, τὴν σιωπὴν ἔστερξεν· ἀλλ' ὁ μὲν δυστυχὴς ἐκεῖνος καὶ πένης ἄνθρωπος, περὶ οὗ καὶ πρὶν ἔγραψα, ἠδικηκέναι μὲν ὑμᾶς ὁμολογεῖ, καὶ τῶν ἀδικημάτων οὐκ ἄλλους, ἀλλ' ὑμᾶς ἐπάγεται μάρτυρας. Κύριοι γὰρ νῦν ἀξιοῦτε γενέσθαι ὧν τυραννίδι καὶ βίᾳ τὴν ἐξουσίαν περιειλήφατε. ἀνίατα δὲ νοσεῖν, καὶ κρείττους εἶναι διορθώσεως καὶ μεταμελείας, οὔπω κατέγνωκε· διὰ τοῦτο, καὶ φίλους περινοστεῖ, καὶ λόγους φθέγγεται ἐλεεινούς, καὶ πρὸ τούτων, ὥσπερ ἱκετηρίαν, αὐτὸ προτείνει τὸ δίκαιον· οὐκ ἐν τοῖς ἔξωθεν κριτηρίοις, ἀλλ' ἐν μέσοις φίλοις, καὶ ἐπὶ τοῦ βήματος τῆς ὑμῶν συνειδήσεως. Εἰ δ' ἔτι μηδὲν χρηστὸν μηδὲ δίκαιον περὶ αὐτὸν ἐννοήσητε, μηδ' ἐκείνων αὐτῷ ἐκστῆτε ἃ τυραννίδος νόμος αὐτοῦ μὲν ἥρπασεν, ὑμῖν δὲ ἐνεχείρισεν, ἴστε, ὡς ὅπερ ἐκεῖνος ὁ ὑφ' ὑμῶν ἀδικούμενος εἰπεῖν καθ' ὑμῶν ἐφυλάξατο, αὐτοὶ καθ' ἑαυτῶν, διὰ τῶν ἔργων, τὸ χείρους ἀνθρώπων εἶναι πάντων ἐψηφίσασθε.

Epist. 113.

Gregorio Diacono & Chartulario

ANathemate nos perculerunt jamdudum Synodus Hæretica, & universus Iconomachorum consessus; nec nos tantum, sed et patrem & patruum etiam nostrum viros Christi Confessores, & Episcoporum gloriam; sed tamen anathematizatum in thronum Ar-

Ἐπιστ. ριγʹ.

Γρηγορίῳ Διακόνῳ καὶ Χαρτουλαρίῳ.

ἈΝαθεμάτισαν ἡμᾶς χρόνοις μακροῖς, πᾶσα σύνοδος αἱρετική, καὶ πᾶν εἰκονομάχων συνέδριον· οὐχ ἡμᾶς δὲ μόνον, ἀλλὰ καὶ πατέρα καὶ θεῖον ἡμέτερον, ἄνδρας ὁμολογητὰς Χριστοῦ, καὶ ἀρχιερέων σεμνολόγημα· ἀλλ' ἀναθεματίσαντες, εἰς τὸν ἀρχι-

ρατικὸν θρόνον ἡμᾶς ἀνήγαγον καὶ μὴ θέλοντας. Ἀναθεματιζέτωσαν τοιγαροῦν καὶ νῦν οἱ παραπλησίως ἐκείνοις τῶν δεσποτικῶν ἐντολῶν ἀλογήσαντες, καὶ παρανομίας ἁπάσης πλατεῖαν τὴν πύλην καὶ εὐρύχωρον ἀναπεπτάσαντες, ἵνα καὶ αὐτοὶ ἀπὸ γῆς εἰς τὴν οὐράνιον ἡμᾶς βασιλείαν καὶ ὀκνοῦντας ἀναβιάσωσιν.

chiepiscopalem intruserunt non volentem. Anathemate, nunc etiam non minùs feriant illi, qui Domini mandata facientes flocci, sed & transgressioni cuicunque spatiosum & amplum portum aperientes, in eum finem ut me de terra in cœleste regnum transmittant.

Ἐπιστ. ριδ'.

Βαάνῃ Πραιποσίτῳ καὶ Πατρικίῳ.

Ἦν ποτὲ Ῥωμαίοις, ἀλλὰ καὶ Ἕλλησι, (τί γὰρ δεῖ λέγειν, Χριστιανοῖς;) καὶ κατὰ τῶν ἐχθίστων, μὴ ὅτι γε κατὰ τῶν εὐεργετησάντων, ὅρος κακώσεως· οἶδε καὶ τὸ βάρβαρον μὴ ὑπερβαίνειν νόμους κολάσεων· καὶ πολλὰ δέ φασι τῶν θηρίων, ὥσπερ εὐλαβεῖσθαι καὶ ὑποστέλλεσθαι, πρὸς τοὺς ἐν συμφοραῖς ἐσχάταις κειμένους, καὶ τὸ θηριῶδες οὐκ ἐπιδείκνυσθαι. Ἡμεῖς δὲ νῦν, ὦ φιλανθρωπότατος, ἀπὸ τῶν ἄλλων ἔργων ὑμῶν, καὶ νόσῳ κείμεθα· καὶ ἰατρὸν ἡ νόσος ἐπιζητεῖ· καὶ ἡμέραι τῇ νόσῳ τριάκοντα παρετάθησαν, καὶ πολλοὶ πολλάκις ὑμῶν ἐδεήθησαν, ἰατροῦ συγχωρῆσαι παρουσίαν· ἀλλ' (ὦ φύσις ἀνθρώπων, καὶ Ῥωμαίων, ὅποι γῆς ἐστε νόμοι, καὶ κλῆσις χριστιανῶν;) οὐκ ἐδυσωπήθητε. Ἀλλ' ἡμεῖς μὲν, βαρβάρους ὑμᾶς ἢ θηρία νομίζειν, οὔπω πειθόμεθα· ὑμέτερον δ' ἐστὶν ἐπισκοπεῖν, δι' ὧν εἰς ἡμᾶς τοὺς ταπεινοὺς, τὰς ὑπερορίους ταύτας καὶ καινὰς ὑπὸ τὸν ἥλιον τιμωρίας, ἐπενοήσατε, τίνα προσηγορίαν, ἀντὶ τοῦ Χριστιανοὶ, καὶ Ῥωμαῖοι, καὶ Ἕλληνες, καὶ βάρβαροι, καὶ θηρία, ὀνομάζεσθαι, ταῖς ὑμετέραις πράξεσιν ἁρμόζουσαν, ἐξευρήσετε· ἡμεῖς δὲ, κἂν τῇ νόσῳ νικηθῶμεν, λαμπρότερον, εὖ ἴστε, τὸ καθ' *ἡμῶν στήσομεν τρόπαιον· τὸν ἡμέτερον βίαιον θάνατον, τῷ παντὶ βίῳ, στήλην τῆς ὑμῶν μιαιφονίας ἐναπολίποντες ἀνεξάλειπτον.

* lege ὑμῶν.

Epist. 114.

Banæ Præposito & Patricio.

ERat olim apud Romanos, sed & Græcos (nam quid opus Christianos nominare?) etiam contra inimicissimos, nedum bene meritos malefaciendi terminus, & modus statutus. Quin & barbari solent leges suppliciorum statas non excedere; imò bestias non paucas narrant, revereri quodammodo & submittere se extremas inter angustias conclusis, nec feritatem in prostratos exercere. Ego in præsenti, O clementissime, per tuam operam ultrà alia, & ex morbo decumbo; medicum flagitat illa ægritudo quæ dies jam triginta me afflixit, multi interea multis apud te intercesserunt medici, ut præsentiam concedas mihi; sed (ô communem hominum naturam! ô leges Romanas! ô Christianorum titulos! ubi estis?) non impetrârunt: & tamen nondum mihi subiit sententia, te cum barbaris, aut bestiis annumerare; cogitare autem te tuâ interest, quamobrem in me vilem & abjectum, peregrina hæc, nova, nec sub sole adhuc visa supplicia excogitaveris, quam tibi denominationem aliam pro Christiani titulo, Romani, Græci, barbari hominis, imò bestiæ, quæ tuis respondeat actionibus excogitare velis. Ego autem si morbo succumbam, extinctus splendidiorem de te scias velim triumphum reportaturus sum: mortem enim mihi violenter illatam columnæ vicem obeuntem indelebilis, contra tuam sanguinariam crudelitatem statuam sum relicturus.

Ἐπιστ. ριε'.

Ἰγνατίῳ Μητροπολίτῃ Κλαυδιουπόλεως.

Ἦν ποτε φευκτὸν καὶ φοβερὸν τὸ ἀνάθεμα· ὅτε κατὰ τῶν ἐνόχων τῆς ἀσε-

Epist. 115.

Ignatio Metrop. Claudiopolitano

ERat olim terribile anathema, & fugiendum; nempe cùm à veritatis præconibus,

conibus, contra reos & improbos ferebatur; ex quo verò audax & impudens Alaſtorum quorundam veſania, contra leges omnes divinas, humanas; contra omnem rationem Græcam, barbaram, ipſorum anathema in propugnatores Orthodoxæ pietatis jaciat inſolenter, & furores barbaricos, eccleſiaſticas tranſgreſſiones magna contentione habendas contendunt; è veſtigio illud formidandum, & omnium ſuppliciorum extremum, in fabulam & ludibrium evaſit: potiùs viri pii illud exoptaverint; non enim ſententia per audaciſſimos veritatis hoſtes lata pœnas ſaltem eccleſiaſticas formidabiles facit, ſed reatus eorum in quos intorquentur. Quòd ſi innocens quis fuerit, ridendas illorum pœnas propinat, & in ipſorummet judicium mutat, illi autem quem mulctârunt coronam immarceſsibilem, & immortalem gloriam pro ſuppliciis procurat. Quocirca quiſque pius & ſanctus vir mille modis optaverit, potiùs ab iis qui à Chriſto alieni ſunt contumeliis affici, & anathemate feriri, quàm cum ſplendore & applauſu de ipſorum impietatibus participare, qui Chriſto odioſi, & Deo inviſi ſunt.

βείας, ὑπὲρ τῶν τῆς εὐσεβείας κηρύκων, ἐφέρετο· ἀφ᾽ οὗ δὲ ἡ τολμηρὰ καὶ ἀναίσχυντος τῶν ἀλαστόρων ἀπόνοια, παρὰ πάντα θεσμὸν θεῖόν τε καὶ ἀνθρώπινον, καὶ παρὰ πάντα λόγον Ἑλληνικόν τε καὶ βάρβαρον, τὸ οἰκεῖον ἀνάθεμα κατὰ τῶν προμάχων τῆς ὀρθοδοξίας ἀναστρέφειν ἐκφρυάξατο, καὶ τὴν βαρβαρικὴν μανίαν ἐκκλησιαστικὴν παρανομίαν ἐφιλονείκησαν ἀπεργάσασθαι, αὐτίκα καὶ τὸ φρικτὸν ἐκεῖνο καὶ ποινῆς ἁπάσης πέρας ἔσχατον, εἰς μύθους καὶ παίγνια μεταπέπτωκε· μᾶλλον δὲ, τοῖς εὐσεβέσι καὶ αἱρετὸν παρεσκεύασται· οὐδὲ γὰρ οὐδ᾽ ἡ πάντολμος τῶν ἐχθρῶν τῆς ἀληθείας γνώμη, τὰς ποινὰς, καὶ μάλιστα τὰς ἐκκλησιαστικὰς, ποιεῖ φοβερὰς, ἀλλὰ τῶν παθόντων τὸ ὑπεύθυνον, ὡς τό γε ἀνεύθυνον καὶ εἰς χλεύην τὰς ἐκείνων τιμωρίας τρέπει, καὶ κατ᾽ ἐκείνων τὸ δικαίωμα τῆς τιμωρίας ἀναστρέφει, καὶ τῷ ὑπ᾽ αὐτῶν τιμωρουμένῳ στεφάνους ἀκηράτους, καὶ ἀθάνατον δόξαν, ἀντὶ ποινῆς, ἀπεργάζεται· δι᾽ ὃ καὶ ἕκαστος τῶν εὐσεβῶν καὶ ἁγίων, ὑπ᾽ αὐτῶν ἠλλοτριωμένων Χριστοῦ, μυριάκις αἱρεῖται προπηλακίζεσθαι, καὶ ἀναθεματίζεσθαι ἢ τοῖς αὐτῶν μισοχρίστοις καὶ θεοστυγέσι μετὰ λαμπρᾶς τῆς εὐφημίας κοινωνῆσαι πονηρεύμασιν.

Epiſt. 116.

Michaeli Mitylenes Metropolitæ.

QUemadmodum diſcipulos Domini noſtri Judæorum Chriſtioſorum Synedrium è Synagogis ejicientes, illos eo facto, magis Domino dedére copulatos, at ſeipſos penitus à cœleſti myſtagogia & regno cœlorum alienos reddidere. Ad eundem modum & nunc Judæorum imitatores Apoſtolorum zelotas nos è Synagogis ejicientes, eo facto divinis illis, & verbi incarnati ſpectatoribus nos magìs conjunctos adunierunt; ſiquidem communes paſsiones, exactiſsimam vitæ & fidei conjunctionem operantur; ſemet autem ipſos ab eorum doctrina, & orthodoxa noſtra fide, miſerum & miſerandum in modum abſciderunt; & cùm ſeparati ſunt omnino à Chriſtianorum nomine & politia, in Judæorum quos zelo imitantur, oppoſitionem contra Chriſtum, & homicidii pollutionem abrepti exciderunt.

Ἐπιστ. ρις´.

Μιχαὴλ Μητροπολίτῃ Μιτυλήνης.

ΩΣπερ τοὺς τοῦ δεσπότου μαθητὰς τὸ μισόχριστον τῶν Ἰουδαίων συνέδριον ἀποσυναγώγους ποιήσαντες, ἐκείνους μὲν μᾶλλον τῷ διδασκάλῳ καὶ δεσπότῃ προσῳκείωσαν, ἑαυτοὺς δὲ τέλεον καὶ τῆς θείας μυσταγωγίας, καὶ τῆς οὐρανῶν βασιλείας ἠλλοτρίωσαν. Οὕτω καὶ νῦν οἱ τῶν Ἰουδαίων μιμηταὶ, τοὺς τῶν ἀποστόλων ζηλωτὰς, ἀποσυναγώγους ποιήσαντες, ἡμᾶς μὲν τοῖς θεσπεσίοις ἐκείνοις καὶ αὐτόπταις τοῦ λόγου, συνῆψάν τε μᾶλλον καὶ συνῳκείωσαν· ἡ γὰρ κοινωνία τῶν παθῶν ἀκριβεστέραν ποιεῖται τὴν ἐν βίῳ καὶ πίστει συνάφειαν· ἑαυτοὺς δὲ καὶ τῆς ἐκείνων διδασκαλίας, καὶ τῆς ἡμετέρας ὀρθοδοξίας, ἐλεεινῶς τε καὶ ἀθλίως ἐναπέτεμον· καὶ τῆς χριστιανῶν ὅλως καὶ κλήσεως καὶ πολιτείας τὴν ἑαυτῶν μοῖραν διχάσαντες, εἰς τὴν τῶν Ἰουδαίων, οὓς παρεζήλωσαν, καὶ χριστομαχίαν καὶ μιαιφονίαν φερόμενοι ἐκπεπτώκασιν

Ἐπισ. ριζ'.

Θεοδοσίῳ μονάζοντι καὶ ἡσυχαστῇ.

Τί θαυμάζεις εἰ προκάθηντο μὲν ἐξοφρυώμενον τὸ ἀνίερον, παρείστατο δὲ τῶν ἀρχιερέων θεοῦ τὸ ἐπίσημον; καὶ κρίνειν μὲν ἐλέγετο τὸ κατάκριτον, κατεδικάζετο δὲ ξίφεσι περιεστοιχισμένον, ὑπὲρ τοῦ μηδὲ φωνὴν ἀφεῖναι, τὸ ἀνεύθυνον· ἔχεις γὰρ πολλὰ καὶ νέα καὶ παλαιὰ παραδείγματα. Ἄννας καὶ Καϊάφας καὶ Πίλατος ἐδίκαζον, καὶ Ἰησοῦς, ὁ ἐμὸς δεσπότης καὶ θεὸς, καὶ κοινὸς ἁπάντων κριτὴς, παρίστατο ἐταζόμενος. Στέφανος ὁ καλλίνικος, καὶ πρῶτος τῶν Χριστοῦ μαρτύρων παρείστατο, καὶ τὸ τῆς μιαιφονίας συνέδριον, λίθοις θεολογοῦντα τὸν ἀθλητὴν κατεχώννυον. Ἰάκωβος ὁ πρῶτος ἀρχιερέων, καὶ δεσποτικῇ χειρὶ τὸ ἱερὸν χρίσμα καὶ τὴν ἐφορείαν Ἱεροσολύμων λαχὼν, παρειστήκει· καὶ Ἄνανος ὁ ἐκ Σαδδουκαίων, ἐκρότει συνέδριον, καὶ θάνατος ἦν εὐθὺς τῷ δικαίῳ τῶν παρανομούντων τὸ ψήφισμα. Παῦλος πάλιν ὁ μέγας καὶ λαμπρὸς τῆς οἰκουμένης κήρυξ παρείστατο, καὶ Ἀνανίας, ὁ καθάπερ τοῖς χρόνοις Ἀνάνου πρότερος, οὕτω καὶ τοῖς τρόποις οὐ δεύτερος, τὸ τῆς ἀληθείας στόμα προσέταττε τύπτεσθαι· ἀλλὰ Παύλου μνησθεὶς, πολλῶν τοιούτων εὑρήσεις συνεδρίων ἀπαρίθμησιν. Τί δὲ δεῖ καὶ κατ' ἄνδρα λέγειν; πᾶσα τῶν διωκτῶν καὶ τυράννων, ἡ κατὰ τῶν ὁμολογητῶν Χριστοῦ καὶ μαρτύρων, ὠμότης καὶ ἀπόνοια, ὑπάρξει σοι τοῦ λαμπροῦ τούτου συνεδρίου, παραδείγματα. ἐν ἅπασι γὰρ ἐκείνοις δῆλον, ὡς, οἱ μὲν οὐχ ἅπαξ, ἀλλὰ πολλάκις θανεῖν ἄξιοι μετὰ σοβαροῦ τοῦ φρονήματος προεκάθηντο, νομοθετῶν καὶ κριτῶν περιβεβλημένοι ὄνομα· ὧν δ' οὐκ ἦν ἄξιος οὐδ' αὐτὸς ὁ κόσμος, παρεστῶτες τὴν ἐπὶ θανάτῳ κατεκρίνοντο. Μηκέτι οὖν * ἐκπλήττου τοῖς τετολμημένοις, μηδὲ τὴν ἐπ' αὐτοῖς ἀνοχὴν τοῦ θεοῦ καὶ μακροθυμίαν ἐγκατάλειψιν αὐτοῦ νόμιζε τῶν ἀνθρωπίνων. Οὐ γὰρ εἰς

* ὑπερεκπλήττου.

Epist. 117.

Theodosio Monacho & Anachoretæ.

QUorsum miraris si profani cum supercilio præsident, gloriosi autem Antistites Dei adstent? quid, quòd judicium exercent judicio damnati, culpâ vacui judicio sistantur, gladiis circumvallati, ità ut ne vocem emittere audeant? sed hujuscemodi suppetunt multa, & vetera, & novitia exempla. Annas, Caiaphas, & Pilatus sedentes pro Tribunali judicabant, adstabat meus Dominus Deus, & communis olim omnium futurus judex examini subjectus. Stephanus ille Martyrii lemniscis & adoreâ gloriosus, pro tribunali stetit, & Concilium homicidarum, athletam illum de Christi divinitate concionantem lapidibus obruerunt. Jacobus ille princeps Episcoporum, quíque de manu Domini unctionem sacram, & Hierosolymitanum Præsulatum accepit, pro Tribunali stetit; & Ananias Sadducæus consessum congregavit, à quo mors decernebatur continuò contra virum justum quasi Legis transgressorem. Paulus ille magnus & illustris totius orbis præco astitit, & Ananias qui tempore ut præcessit Anano, ita moribus illi secundus haud extitit, veritatis os illud pugnis cædi jubebat: Pauli autem ubi injecta est mentio, simul multa ejusmodi Concilia in numerato, repræsentabantur. Quid viritim singulos percensere opus? crudelitas & furor ille insanus persecutorum & tyrannorum quorumcunq;, contra Christi Martyres & Confessores, illustrem tibi præclari istius Concilii repræsentationem dabunt. Patet enim quòd in illis homines non unâ, aut simplici tantùm morte digni, sed multiplici, cum superciliosa quadam gravitate pro Tribunali consederint, Legislatorum & Judicum nomen induti; & illi, quibus mundus haud dignus fuit, adstiterint capitali sententiâ damnati. Noli igitur rebus gestis nimìs vehementer percuti, sed nec Dei patientiam, & longanimitatem in iis tolerandis sic interpretare, quasi rerum humanarum esset derelictio: neque enim per hæc tempora

tempora Divina providentia rebus præesse, aut eas procurare destitit; nam quî poterit illud fieri; sed ità est, Dispensatio divina res nostras sapienter, & ineffabili modo supra captum humanum optimum & mirandum in modum dirigit.

ἀνεπισάτητον καὶ ἀπρονόητον νῦν (πόθεν) τὰ τῆς προνοίας περιέστη· ἀεὶ δὲ ἐπὶ ἡμῖν πέρας, σοφῇ τινὶ καὶ ἀπορρήτῳ καὶ ὑπὲρ νοῦν, ἐπὶ τὸ ἄριστόν τε καὶ θαυμασιώτατον, μεθοδεύεται οἰκονομία.

NOTÆ.

HAc & sequenti epistola, quæ nonnihil intumescit, persequitur morem procedendi in VIII[a] Synodo, ut appellat Baronius, per Basilium Macedonem Imperatorem contra Photium, συγκροτηθεῖσαν; in qua depositus erat, eò quòd regicidam nequissimum, Domini sui & patroni Michaelis tertii interfectorem, à communione propelleret. Synodus erat Latrocinalis, nec à Græcis ipsis approbata vel agnita: quam non contradicentibus Romanis, Marcus Ephesius sess. vi[a]. in Concilio Florentino jugulavit, quicquid blaterant apud Binium. Huic Synodo præsidentes non immeritò comparat Photius cum Anna, Caïpha, Pilato, &c. qui Dominum & Servatorem nostrum, Stephanum Protomartyrem, Jacobum, Paulum, pro Tribunali sedentes morti adjudicârunt: quòd verò Jacobum appellat πρῶτον ἀρχιερέων, cúmque δεσποτικῇ χειρὶ consecratum in Episcopatum Hierosolymitanum; imprimis, non de Jacobo Zebedæi intelligendum, sed de illo, qui Frater Domini vocabatur. de quo Nicephor. lib. 2. cap. 38. ὃς ἀδελφὸς τοῦ Κυρίου ἐλέγετο, καὶ τὴν Ἱεροσολύμων Ἐκκλησίαν πρῶτος παρὰ τοῦ σωτῆρος χειρὸς ἐγκεχείρισται, ὡς δέ τινες καὶ παρὰ τῶν ἀποστόλων αὐτοῦ ὕστερον. sed non omnibus. ità enim Hegesippus lib. 3. cap 3 narrat, referente eodem Nicephoro, Jacobum istum à Petro, Johanne, & Jacobo altero electum: sed reverà, quod ab eodem Nicephoro ex eodem Hegesippo proditur, à Christo, nequaquam αὐτοχειρὶ, quasi de cœlo descendente, sed per Apostolos Christo dirigente, Ecclesiam regendam accepit, cum ipsis unà. διαδέχεται τὴν ἐκκλησίαν μετὰ τῶν Ἀποστόλων ὁ ἀδελφὸς τοῦ Κυρίου Ἰάκωβος. Ἄνανος ὁ ἐκ Σαδδουκαίων] Dictus Ananus secundus: filius erat Anani prioris, illius nempe qui Annas in Evangelio dicitur: qui apud Nicephorum lib. 2. cap. 4. perperam confunditur cum Anania, quos rectè distinguit Photius. erat enim Ananias alius ab Anano, & illo posterior: meminit Josephus Anani, non tantùm in Catalogo, sed etiam xx[o] Antiquitatum in Albini rebus. Πέμπει δὲ Καῖσαρ Ἀλβῖνον εἰς Ἰουδαίαν ἔπαρχον Φήστου πυθόμενος τὴν τελευτήν· ὁ δὲ νεώτερος Ἄνανος, ὃν ἀρχιερωσύνην εἴπομεν ἀνειληφέναι, θρασὺς ἦν τὸν τρόπον καὶ τολμητὸς διαφερόντως· αἵρεσιν δὲ τὴν Σαδδουκαίων μετῄει, οἵπερ εἰσὶ περὶ τὰς κρίσεις ὠμοὶ παρὰ πάντας τοὺς Ἰουδαίους. Præclaram verò nobis Synodum hanc proponit in qua τῶν ἐπὶ θανάτῳ vel innocentissimi κατεκρίνοντο. Huic geminum germanum, quod epistola sequenti narratur, Ismaelitas non modò adfuisse, sed etiam præfuisse illi præclaro Concilio; de quo, altum apud Baronium silentium: erant autem ab Ignatio, ad firmandas suas partes, ejectis veris Episcopis subintroducti. Statim legendum ξιφήρη στρατὸν, nam cum gladiis, & armati Synodo interfuerant; & Photius, novo exemplo, vi armatæ ad dicendam causam Synodo sistitur, militibus circumclusæ. Τορὸν καὶ διωλύγιον] vehementi & penetranti clamore. Lucianus dixit, φωνὴ λαμπρὰ καὶ φθέγμα τορόν.

Epist. 118.

Eidem.

ENimverò, licet hucusque non sit audacter tentatum, & sine exemplo sit, ut Ismaelitarum atheorum Legati & administri in Archiepiscopos refingantur, & ut Patriarchalibus prærogativis exornentur, & admirandi ipsorum concilii præsides fiant; Noli tamen ut hospes hac in re versari diutiùs; respondet enim cæteris ipsorum audaciis; sciebántque sacerdotii gratiam, & ipsis & illis ex æquo factam, competere: non erant facilè profani illi inveniendi, qui alterius Concilii consessum adimplerent; nec isti cùm essent Apostoli eorum, qui Christum oderant, fieri poterant principes, & Coryphæi aliorum ab ipsis quorumcunq;. Ecqui enim alii ad eorum partes accederent, contra tot, tales, tantos Dei Antistites & Sacerdotes, & eorum furorem imitarentur, nisi barbarorum Christum & Deum oppugnantium Mi-

Ἐπισ. ριή.

Τῷ αὐτῷ.

ἈΛλὰ γάρ, εἰ καὶ μέχρι νῦν οὐ τετόλμηται, οὐδ' ἐστὶν * ἔχον παράδειγμα, Ἰσμαηλιτῶν ἀθέων πρέσβεις καὶ ὑπηρέτας, εἰς ἀρχιερατικοὺς ἄνδρας μεταπλάσαι, καὶ πατριαρχικὰ τούτοις προνόμια περιθεῖναι, καὶ τοῦ θαυμασίου αὐτῶν συνεδρίου κορυφαίους ἀποφῆναι· ἀλλ' οὖν μηδὲ τοῦτό σε ξενιζέτω· ἀκόλουθόν τε γὰρ ταῖς ἄλλαις αὐτῶν τόλμαις· καὶ ᾔδησαν τῆς ἱερωσύνης τὴν χάριν, αὐτοῖς τε κἀκείνοις ἐξ ἴσου, ἀνήκειν· οὔτε οὖν τούτους ἦν εὑρεῖν, ἀνιέρους γεγονότας, ἑτέρου συνεδρίου πλήρωμα γίνεσθαι· οὔτε ἐκείνους μισοχρίστων ἀποστόλους ὄντας, ἄλλων τινῶν κορυφαίους καὶ ἐξάρχους, εἰ μὴ τούτων ἀναρρηθῆναι. Τίνες δ' ἂν αὐτοῖς καὶ συνῆλθον, κατὰ τοσούτων καὶ τηλικούτων ἀρχιερέων θεοῦ καὶ ἱερέων συνεκμανῆναι, εἰ μὴ θεομάχων βαρβάρων καὶ ὑπηρέται, καὶ θρέμματα, καὶ γεννήματα;

* ἔχειν.

τὸ δὲ κριτήριον μὲν καὶ σύνοδον τὴν μιξοβάρβαρον αὐτῶν ἐνέδραν ἀποκαλέσαι· εἶτα δὲ μήτε μάρτυράς ποθεν τινὸς ἀδικήματος, μήτι * κατηγόρους παραστῆσαι, ἀλλὰ μηδὲ κατηγορίαν τινὰ προενεγκεῖν ἐξισχῦσαι, καί τοι τῶν ἄνω κάτω γινομένων· μήτε μὴν ὅλως τι αἰτιάσασθαι· * εἰ τὸ δέ τι γέγονεν, * εἰ μὴ τό δε; * ξιφήρη λαὸν στρατὸν περιστῆσαι, τὸν θάνατον τοῖς ἀθληταῖς ἀνασείοντας, ὥστε μηδὲ φωνὴν ἀφεῖναι· καὶ τὴν στάσιν αὐτοῖς ἐφ' ὅλαις ἓξ καὶ ἔννεα ὥραις, οἷα κόρον οὐκ ἔχοντας ἐνασελγαίνειν καὶ τρυφᾶν αὐτῶν ταῖς ὕβρεσι, παρατεῖναι· μακρᾶς ἄλλης τερατείας ἐπιδεικνυμένης, καὶ δραμάτων, ὥσπερ ἐπὶ σκηνῆς, ἄλλων ἐπ' ἄλλοις τῶν βαρβαρικῶν καὶ βλασφήμων γραμμάτων ἐπεισιόντων. Ἐπὶ δὲ τούτοις, τὸ θέατρον λύοντας ὀψὲ καὶ μόλις, τῶν ἀνθρωπίνων μὲν ὅλως οὐδὲν, κἂν γοῦν ἐν σχήματι, μήτε πράξαι μήτε φθέγξασθαι· ὥσπερ δὲ κορυβαντιῶντας καὶ βεβακχευμένους τορόν τι καὶ διωλύγιον ἀνακράξαι, Ὡς ἡμεῖς οὔτε κρινεῖν συνήλθομεν, οὔτε κρίνομεν ὑμᾶς· ἤδη γὰρ κατεκρίναμεν· καὶ δέον στέργειν τὴν κατάκρισιν. Τοῦτο δὴ οὖν τοῦτο τὸ ἄθεον καὶ ἀναίσχυντον καὶ ἀνιστόρητον τόλμημα, εἰ καὶ πάσας Ἰουδαίων τόλμας, ὅσας ἥλιος ἐπεῖδε καὶ σελήνη συνέκρυψεν, ἀπεκρύψατο· καὶ τῶν ἀθεότητα νενοσηκότων Ἑλλήνων τὸ ἀναιδὲς ὑπερέσχε καὶ παράνομον, καὶ βαρβάρων ὅποι γῆς εἰσὶ, τὸ μανικὸν ὑπερεβάλλετο καὶ ἐμβρόντητον· ἀλλ' οὖν μηδὲν τούτῳ καταπεπληγμένος ἔσο, μηδὲ τῶν θείων καὶ σοφῶν κριμάτων ἀλόγιστός τις τοῖς λογισμοῖς συμπαρεισδυέτω μῶμος· ὡς ἔγωγε, τοσούτῳ δέω τούτοις ἐκπεπλῆχθαι, καὶ σὺ μετ' ὀλίγον οἶδα συνήσεις· ὥστε τοὐναντίον, εἰ καὶ παράδοξόν τισι δόξω λέγειν, ἐκ τούτων μάλιστα τῆς θείας καὶ ὑπερφυοῦς προνοίας ἀλάθητόν τε καὶ πανεπίσκοπον ἐνεργεστάταις ὁρῶ μαρτυρίαις. Πῶς δὴ καὶ τίνα τρόπον; ὅτι τῆς κρατούσης, κατὰ τῶν πιστῶν, ὀργῆς, ἀνθ' ὧν αἱμάτων καθαρὰς καὶ γλώσσας καὶ γνώμας ἐφύλαξαν, οὕτω μέγα καὶ βαρὺ πνεούσης, καὶ τῆς μὲν ἀλη-

* κατήγορον.

* εἶτα.
* ἢ.
* ξιφήρη.

nistri, alumni, soboles. Judicialem porrò sive Synodalem consessum eorum, barbaris immixtum, insidiis occultandis locum appellare licet; cùm non testes injuriæ illatæ nec accusatores producere possunt, utcunque res súsque déque agebantur, sed nec aliquid culpare quod certò constabat factum esse. Quid autem ulteriùs fiebat? certè gladiis armatus stabat exercitus, mortem intentans in circuitu vocatis in judicium, qui interea nec hiscere nec vocem efferre audebant; quo statu, ad sex aut novem etiam horas circumsepientes, nullâ satietate tenebantur insolescendi lasciviendíque, quin contumeliis perpetuò incesserent. Interea prodigiosè multa ostendebantur, tanquam in scena peragebantur actus, barbaræ & blasphemæ legebantur Epistolæ. His ità expeditis, tardiùs tandem Theatrum dimiserunt, nihil humanitùs, licet id prætendebant, nec actu nec voce facientes; sed Corybantum more & bacchantium fortiter & inconsonè eboabant, scilicet, Nos huc non accessimus, ut hanc causam cognosceremus: sed nec de vobis judicium fecimus; condemnavimus enim jampridem, & illâ condemnatione sitis contenti. Hoc itaque, hoc inquam impium impudens nullâ historiâ memoratum facinus, Judaicas omnes audacter perpetratas nequitias, quas Sol vel vidit, vel abscondit Luna, silentio involvit: sed & Paganorum Atheismos & impudentiam excessit, exlegum & barbarorum quotquot ubique gentium sunt furores & insanias post se reliquit; noli tamen istis consternari, nec de sapientibus divinis judiciis animum tuum irrationabilis subeat cogitatio, vel obmurmuratio; longè ego absum ut istis percutiar; & tu, non dubito, deinceps ità affectus eris. Ex adverso, ego potiùs, licèt paradoxum videro quibusdam dicere, ab istis ità gestis, divinæ & naturam transcendentis providentiæ inexplicabilem, & omnia permanentem curam, ex priscissimis testimoniis confirmatam video. Quomodo autem? Nimirum cùm eorum qui cum imperio sunt, iracundia adeò graviter & in immensum inflammetur contra fideles, eò quod à sanguine puras linguas & men-

tes

tes conſervârint: cúmque veritas tot modis injuriâ afficiatur: mendacium ſplendido cultu proſtet: cúmque impia audacia omnem actum, verbum, motum acerbiùs exagitet; homines pii his viſis ſoli ingemiſcant, & ad judicii oculum, Lumina manúſque extendant: Cúmque alii Sycophantas adeant ut accommodent teſtimonium; multi poteſtatibus gratificari cupiant & ad placitum obſecundari; timor non unicus, nec mors ſingularis intentetur iis circumfuſus, qui pro veritate proloqui cupiunt: cùm tot ut illi audeant, & ad hæc plura, tolerentur; cùm hi non habeant vel literam ſcribendi facultatem conceſſam, aut ſi ſcripſerint exhibendi; cùm nemo teſtis cujuſcunque criminis in ſanctos producatur, cùm nec barbarici judicii forma & proceſſus obſervetur, ſed tam pudendum in modum & ridiculè, tam ſine pudore, & modeſtia diſſolvatur, Quomodo non manifeſtiſſimas demonſtrationes inde deducemus, & inexpreſſiſſimis & indubiis teſtimoniis arripiemus commendatam illam divinam providentiam, quæ univerſa amplectitur cum ſapientia; quódque illi adſit ſemper, licèt ſe latenter exerat, & humanam mentem non afficiat, unà tamen procedens ultrix juſtitia, quæ ſupplicium eroget in injuſtos, vindex adſit, & auxiliatrix injuriâ affectis. Per hanc ſuam providentiam, Deus etiam contumelioſos illos, utcunque videantur ſplendidati exercere Tyrannidem & ab omnibus obſervati, pudore ſupplevit & dedecore: certaminibus expoſitos, licèt omnia extrema pati adjudicatos, gaudio replevit & exultatione, & omnium linguarum applauſionibus continuis, veluti Coronis immarceſſibilibus exornavit; & illis quidem propter ea quæ impiè perpetrârunt, ab iſtis primitias quaſdam apparat ſupplicii inferendi, & miſeriæ aliquando inconſolabiliter ſubeundæ in futuro ſœculo, quaſi procemia quædam ſtruit. Iſtis autem certaminis parat prœmia, & pignus quoddam depoſitúmque diſponit retributionum in cœlis indicendarum, & felicitatis æternæ ac multùm deſideratæ. Habes ità opinor perſpicuè, ità ut nihil varius omnino dubites, admirandæ & naturam excedentis pro-

θείας πᾶσι τρόποις ἐπηρεαζομένης, τοῦ ψεύδους δὲ λαμπρῶς παρρησιαζομένου· καὶ τῆς μὲν ἀνιέρου τόλμης πᾶσαν πρᾶξιν καὶ λόγον καὶ κίνημα πικρῶς πολυπραγμονούσης, τῶν εὐσεβῶν δὲ τοῖς ὁρωμένοις μόνον ἐπιστυγναζόντων, καὶ πρὸς τὸν τῆς δίκης ὀφθαλμὸν ὄμμα τε καὶ χεῖρας ἀνατεινόντων· καὶ τῶν μὲν συκοφάντας καὶ μάρτυρας περιεργαζομένων, πολλῶν δὲ ζητούντων τῇ δυναστείᾳ χαρίσασθαι καὶ καθ' ἡδονὴν ὑπηρετῆσαι, πλείονος δὲ φόβου καὶ θανάτου, κατὰ πάντων τῶν ὑπὲρ ἀληθείας λέγειν τι βουλομένων, ἐπικεχυμένου· Τὸ γοῦν τοσούτων αὐτοῖς, καὶ πολλῷ πλειόνων πλεονεκτημάτων συγκεχωρημένων, ἐξαπορῆσαι μὲν ὅλως γράψασθαί τινα γραφὴν, ἐξαπορῆσαι δὲ γραφόμενον παρασχεῖν· καὶ μήτε τινὸς ἐπικλήματος κατὰ μηδενὸς τῶν ἁγίων μάρτυρα παραστῆσαι, ἀλλὰ μηδὲ βαρβαρικοῦ κριτηρίου μηδὲ σχῆμα ἰσχῦσαι φυλάξαι, ἀλλ' οὕτως αἰσχρῶς τε καὶ καταγελάστως, καὶ πλήρη ἀσχημοσύνης καὶ αἰσχύνης ἀπαλλάξαι, πῶς οὐκ ἔστιν ἐναργεστάταις καὶ ἀναμφηρίστοις πίστεσι λαβεῖν τῆς πάντα σοφῶς περιεπούσης προνοίας τὰς ἀποδείξεις, καὶ ὅτι ἐστὶν ἀεί, * καὶ τὸν ἀνθρώπινον νοῦν πολλάκις ὑπολανθάνῃ, συμπαροῦσα τις αὐτῇ τιμωρὸς δίκη, κολάζουσα μὲν τοὺς ἀδικοῦντας, τιμωροῦσα δὲ καὶ ἐπίκουρος τοῖς ἀδικουμένοις οὖσα. Δι' ἧς καὶ νῦν τοὺς μὲν ὑβριστὰς, καί τοι δόξαντας λαμπροὺς ἐν τῷ τυραννεῖν καὶ περιβλέπτους, αἰσχύνης καὶ ἀτιμίας ἐπλήρωσε· τοὺς δὲ ἀθλητὰς, καίπερ τὰ ἔσχατα πάσχειν νομισθέντας, χαρᾶς καὶ εὐφροσύνης ἐνέπλησε, καὶ γλώσσης ἁπάσης διηνεκέσιν εὐφημίαις, οἷα δὴ στεφάνοις ἀμαραντίνοις, ἐκόσμησε· τοὺς μὲν τῶν ἀνοσίως αὐτοῖς τετολμημένων ἐκ τούτων ἀπαρχομένη τὰς τιμωρίας εἰσπράττεσθαι, καὶ προοιμιαζομένη τὴν ἐκεῖθεν αὐτοῖς ἀπαραίτητον ἀθλιότητα· τοῖς δὲ τῶν ἄθλων ἀμειβομένη, καὶ ὥσπερ ἀρραβῶνά τινα καταπιθεμένη τῶν ἐκεῖθεν ἀρρήτων ἐπάθλων, καὶ τῆς πολυεράστου καὶ ἀϊδίου μακαριότητος. Ἔχεις, οἶμαι, τρανῶς καὶ οὐδὲν ἐπιδιστάζων τῆς θαυμασίας καὶ ὑπερφυοῦς

* ἴσ. κἂν.

προνοίας τὸ ἀλάθητόν τε καὶ πανεπίσκοπον· καὶ ὅτι κἂν τοῖς δοκοῦσι παραλογωτάτοις, ἀπορρήτῳ τινὶ καὶ ἀπειροδυνάμῳ κράτει καὶ σοφίᾳ τὰ δίκαια αὐτῆς καὶ ἀρρεπῆ συνεπιζεύγνυσα φυλάττει ζυγὰ, εἱρμόν τινα θεῖον ἐν αὐτοῖς, καὶ τάξιν ἀρίστην καὶ καλλίστην ἐνιεῖσα, εἰ καὶ τοῖς ἀνθρωπίνοις λογισμοῖς διὰ βάθος κριμάτων ἀνεξιχνίαστον, καὶ σοφίας ἀδιεξίτητον πέλαγος, οὐκ ἀεὶ πέφυκε γίνεσθαι ἐφικτά.

videntiæ inobliviosum, & omniscium; quæ ipsa, etiam in rebus, ab omni ratione quæ videntur alienissimæ, abscondita quadam vi, & potestate ineluctabili, sapienter justitiam & incommutabilitatem suam copulat, & libræ pondera justa statuminat, & divinam quandam seriem, & concatinationem in rebus optimam, ordinem & pulcherrimum immittens, licèt hominum ratiociniis propter judiciorum profunditatem imperv estigabilem, & ob pelagus non adeundum, non semper ut obvia arripienda.

Ἐπιστ. ριθ.

Ἀκακίῳ Μοναχῷ καὶ ἰατρῷ.

Εἰ μὲν μηδέποτε γέγονας καθαρὸς λογισμῶν ἀκαθάρτων, καινόν τι λέγεις, καὶ οὗ μή ἐστιν εὑρεῖν δάκρυον ἐξισῶσαι. Εἰ δὲ γέγονας· γέγονας δὲ πάντως· (οὐ γὰρ οὐράνιον τὸ μηδέποτε καθαρεῦσαι) καὶ οὐκ ἂν οὐδ' εἰς ἔρωτα νῦν τῆς καθαρότητος, εἰ μὴ ταύτης πεῖραν ἔλαβες, ἦλθες· οὐδ' ἂν εἰ μὴ ἀπηλλάγης, κἂν ἐπὶ ποσὸν, ἐκείνου τοῦ ῥύπου,
* μαθεῖν. διέβλεψας ἂν ἐπιζητῆσαι * δι' ὅτου ἄν τις καθαρὸν ἑαυτὸν συντηρήσῃ· ἐπεὶ δέ ποτε γέγονας, ᾧ τρόπῳ γεγένησαι, τῷ αὐτῷ τούτῳ καὶ διατηρεῖν σεαυτὸν ἐν τῇ καθαρότητι, διαγώνισαι. προσευχή σοι τούτου πρόξενος, κἂν ἐπ' ὀλίγον κατέστη παρατείνων ταύτην· Παῦλος ὁ θεῖος πρὸ ἡμῶν σοι τὴν παραίνεσιν εἰσηγεῖται, ἀδιαλείπτως, λέγων, προσεύχεσθε. Ἀλλ' ἐγκρατείας τὸ δῶρον ἔχου [ταύτης] ἐπιμελέστερον· φύσει γὰρ αὐτῇ καὶ κράτος ἄμαχον πρόσεστι πρὸς τὰ τοιαῦτα τῶν παθημάτων. ἀλλ' ἐπ' ἐλέῳ πενομένων ἀφίκετο, μὴ ἀφίστασο τῆς ἐλεημοσύνης· με-
* ἐλαιον. γάλην γὰρ ἀνάπτει λαμπάδα τὸ ἱερὸν * ἔλεον τοῦτο, καὶ μερίζει τὰς ἐνεργείας, καὶ ταῖς μὲν φλέγει τὰ πάθη, ταῖς δὲ φωτίζει καὶ κατευθύνει πρὸς τὸν τῆς ἀρετῆς δρόμον τὰ διαβήματα. Ἀλλ' ὅτι ἀφῆκας τοῖς δόξασιν εἰς σὲ πεπλημμεληκέναι εἰ μὲν δυνατὸν μηδ' ὀργίζου. Εἰ δ' ἐξέπεσας· ἀλλ' οὖν ἀεὶ πρὸ
* ἐπανιών. δυσμῶν ἡλίου εἰς σεαυτὸν * ἀνιὼν ὅλως γίνου τῆς συγγνώμης· καὶ ἁπλῶς εἰπεῖν, δι' οὗ σοι ἐν βρα-

Epist. 119.

Acacio Monacho, & Medico.

SI neutiquam aliquando ab impuris cogitationibus purus exstitisti, prorsus novum est quod ais, nec lachrymæ exprimendæ quæ adæquent. Quòd si fueris aliquando mundus, & certe fuisti; (neque enim cœlestibus convenit nunquam mundari) sed nec in præsenti ullo puritatis amore tenerere, si non illius aliquando experientiam haberes; & certè si non expeditus fuisses, saltem aliqua ex parte, ab illis sordibus, haud circumspexisses quomodo se purum quis conservaret; at cùm mundus factus fueris, eo modo quo ità factus existis, eo te ut conserves mundum operam dato. Oratio hoc tibi subministrabit, modò illam ad tempus aliquod extenderis. Paulus ille divinus, me prior, tibi exhortationem suggerat, ubi ait, *Indesinenter orate*: sed & abstinentiæ donum cum summa custodito curâ: naturaliter enim accedit vis & potentia irresistibilis ad ejusmodi passiones retundendas: sed & ad misericordiam erga indigentes accedito, nec ab illa velis resilire: sacrum quippe oleum istud facem accendit luculentam, operationes suas dividendo; nam per quasdam incensas consumit passiones; per alias illuminat & dirigit in virtutis cursu gressus. Erga illos, qui videntur in te deliquisse, si potes, noli commoveri: sin in iram prolabaris, nihilominus ante solis occasum in te reversus absolutè concede veniam ut simpliciter dicam, unde tibi accidit, ut quàm expeditè mundatus fueris,

ris, inde omni modo decet indagare, nec abſiſtere à vitæ puritate: alioquin non continget facilè quietem à moleſtiis adipiſci, ſed aut per aliquid è ſupradictis: aut etiam aliqua: ſi non per omnia ſimul conjuncta.

Epiſt. 120.

Theophilo Præpoſito.

ODio habentes diligere, virtutis opus, & divinum; diligentes, humanum & vulgare; ſed diligentes odio proſequi haud eſt opinor belluarum. Ego re ipſa docui me te diligere; nec nunc primùm, ſed jamdudum, cùm in cæteris (ſed non ego ſoleo vel exprobare, vel enumerare gratias) tum vel maxime ſcribendo, alloquendo, adhortando, & quæ tibi conveniunt ſuggerendo. Sin tute diligentes odio habes, certè me, quod vides, in ſuperiorem gradum extuliſti; invenies autem, quod nolueris, & qui te ità tractabit.

Epiſt. 121.

Heliæ Protoſpathario.

TEntationes tentantibus tentationes fiunt; non-tentantibus cauſant coronas & brabia.

Epiſt. 122.

Acacio Monacho & Medico.

MAgnum malum eſt opinio ſui, ſtultum enim hominem reddit, nec morbo patitur liberari, aut ſerò addiſcere quod in rem erit; imò loco inimicorum habendos ſuggerit, qui operam impendunt, ut ab errore retrahant & auxilientur: eos autem qui per adulationem morbum exulcerant & inſanabilem reddunt, familiares magìs reddit; Omni ope igitur operâque opinionem vita, inane præcipitium quippe eſt, omnémque obſtruit ſalutis aſcenſum.

χει καθαρεῦσαι προσεχέτω, διὰ τούτου θηρεύειν ἀεὶ μὴ ἀποστῆς καὶ τὴν διὰ βίου καθαρότητα. ἄλλως γὰρ ἄλλως οὐκ ἔστιν ὅλως ἄνεσιν εὑρεῖν τῶν ἐνοχλούντων, ἀλλ' ἢ διά τινος τῶν εἰρημένων ἢ τινῶν ἢ καὶ διὰ πάντων ἅμα.

Ἐπιστ. ρκ΄.

Θεοφίλῳ Πραιποσίτῳ.

ΤΟ μὲν, ἀγαπᾷν τοὺς μισοῦντας, ἀρετῆς, καὶ θεῖον· τὸ δὲ, τοὺς ἀγαπῶντας, ἀνθρώπινον καὶ κοινόν· τὸ δὲ μισεῖν καὶ τοὺς ἀγαπῶντας, οὐδὲ θηρίων οἶμαι. Ἡμεῖς μὲν οὖν ἀγαπᾷν σε δι' ἔργων δείκνυόμεθα· οὐ νῦν, ἀλλὰ καὶ πάλαι. τά τε ἄλλα (οὐ γὰρ ἐμὸν ὥσπερ οὐδ' ὀνειδίζειν, οὕτως οὐδ' ἀριθμεῖν χάριτας) ἀλλὰ καὶ γράφοντες, καὶ προσαγορεύοντες, καὶ παραινοῦντες τὰ δέοντα. Εἰ δ' αὐτὸς ἀγαπῶντας ἐμίσησας, ἡμᾶς μὲν εἰς μείζονα βαθμὸν, ὡς ὁρᾷς, φέρων ἔστησας· εὑρήσεις δὲ καὶ σὺ τὸν σαυτοῦ ὡς εἴθε μὴ ὄφελες.

Ἐπιστ. ρκα΄.

Ἡλίᾳ πρωτοσπαθαρίῳ.

ΟΙ πειρασμοὶ πειραζομένων γίνονται πειρασμοί· μὴ πειραζομένων δὲ, στεφάνων καὶ βραβείων παραίτιοι.

Ἐπιστ. ρκβ΄.

Ἀκακίῳ μοναχῷ καὶ ἰατρῷ.

ΜΕγα κακὸν ἡ δόκησις· ἄφρονα τὸν ἄνθρωπον ποιεῖ, οὐδ' ἀπαλλαγῆναι τοῦ πάθους ἐᾷ, οὐδὲ μεταμαθεῖν τὸ συνοῖσον· ἐχθροὺς ὁρᾷν ἀναπείθει τοὺς μεθέλκειν τῆς πλάνης καὶ βοηθεῖν ἐπιχειροῦντας· τοὺς δὲ φλεγμαίνοντας τὴν νόσον κολακείας καὶ ἀνίατον ποιοῦντας πλέον εἰσοικίζει. φεῦγε πάσῃ δυνάμει τὴν οἴησιν, κρημνός ἐστι βαθὺς πᾶσαν σωτηρίας ἄνοδον περιῃρημένος.

NOTÆ.

Ἡ δόκησις.] Id eſt, οἴησις, opinionem taxat de ſua præſtantia; cùm ſibi quis videtur ſaperda, qui eſt σαπρός; aut Ἀγαμέμνονα ὑποκρίνει, ὧν Μίθαικος· & quidem οἴησιν in fine epiſtolæ vocat. Nazianzenus vocat ἔπαρσιν. Μὴ καταπιπτέτω διὰ τὴν ἔπαρσιν· μὴ περιρρηγνύσθω διὰ τὸ ὕψος τῆς πλήσεως.

Ἐπισ. ρκγ΄.

Θεοφίλῳ πρωτοσπαθαρίῳ.

ΤΑχὺ μανθάνεις τοὺς φίλους· ταχύτερον δ' ἀπομανθάνεις· ἀλλ' ἔρρωσο· μήτε μανθάνων ῥᾷον, μήτ' ἀπομανθάνων· τὸ μὲν γὰρ προπετοῦς καὶ κούφης διανοίας· τὸ δὲ ἀγνώμονος, ἵνα μηδὲν εἴπω φαυλότερον, ἀβεβαίου· κρίσει δὲ συνέσεως διδοὺς τὸ πρακτέον, ἵστασο μένων ἐν οἷς ἔδοξας μεμαθηκέναι.

Ἐπισ. ρκδ΄.

Θεοδότῳ σπαθαροκανδιδάτῳ.

ἍΠαντα μὲν τὰ ἀνθρώπινα συγκαταρρεῖ τῷ χρόνῳ καὶ ἀφανίζεται· ἀρετὴ δέ, ὥσπερ πυρὶ καὶ σιδήρῳ, καὶ πᾶσιν οἷς ὑπείκει τὰ ἐν γενέσει πάντα, ἀνάλωτος· οὕτω καὶ χρόνου καὶ πάθους καὶ αὐτοῦ θανάτου περιγίνεται. Εἰ δ' ἀκριβέστερον ἴδοις, τῷ χρόνῳ καὶ τῷ θανάτῳ μᾶλλον ἀναζῇ καὶ θάλλει, καὶ τὸ οἰκεῖον κλέος, καὶ τὴν εὐπρέπειαν, ἐναποσβεσθέντος αὐτοῖς τοῦ φθόνου, λαμπρότερόν τε καὶ θαυμασιώτερον ἀναδέχεται. Τί οὖν σὺ τῶν μὲν μετ' ὀλίγον οὐκέτι ὄντων, ὡς ἀεὶ μενόντων, ἀντιποιῇς; ὀλιγωρεῖς δὲ τῶν ἀϊδίων, ὡς ῥεόντων; οὐ χρυσῷ χαλκὸν, τὸ ποιητικὸν, ἀμείβων; βραχὺ γὰρ τὸ ἁμάρτημα· ὅτι φθαρτῆς ἑκάτερον καὶ ῥευσῆς ὕλης. ἀλλὰ φθορὰν ἀφθαρσίας, καὶ φρονήσεως ἄνοιαν, καὶ δόξης αἰσχύνην, καὶ γέενναν οὐρανῶν βασιλείας ἀνταλλασσόμενος.

Ἐπισ. ρκε΄.

Ἰγνατίῳ Μητροπολίτῃ Κλαυδιουπόλεως.

ῬΗγνυται τὸ καταπέτασμα τοῦ ναοῦ, ξύλῳ τοῦ δεσπότου κρεμαμένου, διὰ πολλὰς οἶμαι τὰς αἰτίας. Τὸ μὲν γὰρ τὴν γῆν, κατ' ἐκεῖνο τὸ σωτήριον πάθος, κλόνῳ καὶ τρόμῳ, μικροῦ δεῖν, συγκατενεχθῆναι δυνατόν ἐστι τοῖς ἀγνωμονοῦσι καὶ εἰς τὰ κατὰ φύσιν ἄγειν τῶν στοιχείων πάθη· τὸ δὲ ῥαγῆναι καταπέτασμα, μηδενὸς μάλιστα διασπῶντος, ἀπὸ ἄνωθεν ἕως κάτω, μήτε πρὶν, μήτε μετὰ ταῦτα φύσιν ἔχον ἐπιτελεσθῆναι, οὐδε-

Epist. 123.

Theophilo Protoſpathario.

CItiſsimè amicos ediſcis: dediſcis autem multò citiús: vale autem, & nè citò diſce, nec citiùs eorum obliviſcere; eſt enim illud animi leviculi, nimiùm properantis; & incerti, ut nè quid gravius dicam, judicii illud; intelligentiæ tribunali ubi quod agendum ſtiteris, conſiſte firmus in iis quæ videris addidiciſſe.

Epist. 124.

Theodoto Spatharocandidato.

HUmana omnia ſimul diffluunt cum tempore & evaneſcunt; virtus autem, ut igne & ferro, & omnibus rebus inconſumptibilis eſt, quibus omnia ſuccumbunt quę generantur; ita quoq; tempus, pathos, mortem ipſam ſuperat. Sin intuearis perſpicatiùs, à tempore & morte ipſa magis reviviſcit, & egerminat; proprium ſplendorem gloriámq; magìs admirabili modo & illuſtriori immoriente iterum invidiâ reaſſumit. Quid tu igitur erga ea quæ ſtatim nunquam erunt, acſi ſemper perdurarent, ſis affectus? æterna interim ſúsq; déq; habes, non aliter quàm defluxura. Nonne aurum pro ære, quòd in poeſi eſt, permutas? Certè breviuſculum eſt peccatum, quòd Natura fluida & corruptibilis ſit: ſed mutatur incorruptibile pro corrumpendo, ſapientia pro inſania, gloria pro dedecore, gehenna pro cœlorum regno.

Epist. 125.

Ignatio Metropol. Claudiopolis.

DIrumpitur velum Templi, Dominus in lignum cùm attolleretur; ídque plures reor propter cauſas. Terra tum cùm pateretur Salvator, ſuccuſſione & tremore de loco moveri potuiſſe concedant etiam infideles, qui in naturam reducent elementorum labes: at velum ut diſcinderetur, cùm à nullo in diverſum diſtraheretur, à ſummo uſq; ad imum, quod nec priùs nec deinceps factum fuit, nec ad id per ullam naturalem propenſionem inclinat, nè quidem impro-

improbiſſimis refugium concedit, ut cavillentur, non fuiſſe hoc prodigium à divino furore erga Judæos profectum, ut eſſet id contra ipſorum homicidium indelebilis convictio. Secundam aſſignare cauſam licet, & dicere ſymbolum & prædeſignationem extitiſſe illius ruinæ, ſubverſionis, & deſolationis, quæ non poſt multos annos celebratiſſimum illud Templum, & quæ in Templo erant ſacra ſolennia, orgia Judaica, ſequebatur; quorum magna pars ſummo ſtudio intra velum illud celebrata peragebantur, ut nemini è promiſcua multiudine cernerentur; atque ideò extendebatur illud velum, ut veneranda illa myſteria à vulgi oculis remota cuſtodirentur, & ſolis videnda paterent ſacerdotibus: velo autem dirupto, patuiſſe ea omnium oculis, clarum eſt, & quòd tunc communia facta fuerint, quæ uſq; eò ſancta & ſacra fuerunt, in omnium producta conſpectum & profanationē; & hęc quaſi procemia ipſis contigerunt univerſalis illius ſublationis, quæ leges ipſorum, & legalem cultum ceſſare fecit in æternum. Sed & tertiam quoque rationem advertere licet, quæ cùm contraria videatur præcedenti, ab illo tamen ſuum ortum ſortitur, & originem. Quænam illa autem? Nimirum Judæorum de Deo cognitio, & cogniti numinis cultus, concluſus erat loco circumſcripto, hoc eſt Judææ finibus & Hieroſolymis, quæ tamen omnia typorum & prædeſignationum gratię locum obtinebant. Quocirca, cùm in anguſtum concluſa illa cognitio & Dei cultus, ceſſare oporterent, illa autem latria quæ per crucis paſsionem Servatoris erat patefacienda, & uſque ad terminos orbis diſſeminanda, & in eorum vicem ſubintroducenda; ob eam cauſam dirumpitur hoc, velut fronti ſuperinductum, velum, per quod Sancta illa Sanctorum, in obſcuro & intacto loco concludebantur: ità ut tantùm non clarâ voce pronuncietur per ipſa opera, Venite omnes vos ad videnda inviſibilia, ad divinum intuitum & cognitionem, nec adhuc ut olim parte quadam orbis terræ & unâ natione non ità numeroſâ, cultus divinus concludetur, ſed gentes univerſæ, termini terræ illis fruentur liberè, quæ adiri, nec accedi à Judæis ipſis poterant. At tu hinc ulteriùs

μίαν ἀναχώρησιν δίδωσιν, οὐδὲ τοῖς λίαν κακουργοῦσι, τὸ μὴ οὐχὶ θεομηνίαν εἶναι τὸ τέρας, καὶ τῆς Ἰουδαϊκῆς μιαιφονίας ἀπαράγραπτον ἔλεγχον τὸ γεγενημένον. Δευτέραν δ᾽ ἄν τις αἰτίαν ἀποδοίη, σύμβολον αὐτὸ καὶ προμήνυμα γενέσθαι λέγων, τῆς μετ᾽ ὀλίγα ἔτη καταστροφῆς τε καὶ ἐξερημώσεως τοῦ τε περιωνύμου ναοῦ, καὶ τῶν ἐν αὐτῷ Ἰουδαϊκῶν τελετῶν τε καὶ ὀργίων· ὧν μέγα τε καὶ διὰ σπουδῆς, τὸ μηδενὶ τῶν πολλῶν, τὰ ἔνδον τοῦ καταπετάσματος, ὀφθῆναι· διὰ τοῦτο καὶ διεπετάννυτο τὸ ὕφασμα, ὥστε ἀθέατα μὲν φυλάττειν τὰ τίμια τῷ λαῷ, μόνοις δὲ τοῖς ἱερεῦσιν εἶναι ὁρατά· οὗ δὴ περιρραγέντος, ἀνεπετάσθη μὲν * δηλονότι, πᾶσιν ἡ ὄψις αὐτῶν, κοινὰ δὲ γέγονεν, εἰς κοινὴν ἀπενεχθέντα θέαν καὶ βεβήλωσιν, τὰ τέως ἅγια καὶ φρικτά· δι᾽ ὧν περιμάθη καὶ τῶν ἄλλων αὐτοῖς ἁπάντων θεσμῶν, καὶ τῆς νομικῆς λατρείας ἡ παντελὴς ἀναίρεσις καὶ σχολή. Ἔστι δὲ καὶ τρίτην αἰτίαν συνιδεῖν, ἐναντίως μὲν πρὸς τὴν εἰρημένην ἔχειν δοκοῦσαν, ἐξ αὐτῆς δὲ μᾶλλον τικτομένην. Τίς οὖν αὕτη; Ὅτι τῶν Ἰουδαίων ἡ περὶ τὸ θεῖον γνῶσις καὶ λατρεία, εὐπεριγράπτῳ μὲν τόπῳ, τῇ τε Ἰουδαίᾳ καὶ τοῖς Ἱεροσολύμοις, ἐναπεκλείετο· τύπων δὲ ὅμως καὶ προχαραγμάτων τάξιν ἀνεπλήρου τῆς χάριτος. Ἐπεὶ οὖν ἔδει τὴν εἰς στενὸν κομιδῆ περιγεγραμμένην λατρείαν καὶ γνῶσιν, ἀργῆσαι, τὴν εἰς τὰ πέρατα δὲ τῆς οἰκουμένης διὰ τοῦ σωτηρίου πάθους ἐξαπλοῦσθαι, μέλλουσαν εἰς ἀρχὴν καθίστασθαι· διὰ τοῦτο δὴ [τοῦτο] ῥήγνυται τὸ προμετωπίδιον ὕφασμα ἐκεῖνο· δι᾽ οὗ τὰ τῶν ἁγίων ἅγια, ὡς ἐν ἀπορρήτῳ καὶ ἀψαύστῳ περιεστέλλετο χωρίῳ, μονονουχὶ τοῖς ἔργοις βοῶν καὶ προκαλούμενον ἅπαντας, εἰς τὴν τῶν ἀθεάτων [καὶ] * θείαν ἐποπτείαν τε καὶ ἐπίγνωσιν, καὶ ὡς οὐκέτι μέρει τινὶ τῆς οἰκουμένης καὶ εὐαριθμήτῳ ἔθνει ἡ εὐσέβεια συγκλεισθήσεται, ἀλλ᾽ ἅπαντα τὰ ἔθνη καὶ τὰ πέρατα τῆς οἰκουμένης, τῶν τοῖς Ἰουδαίοις ἀπροσίτων καὶ ἀνεφίκτων ἐναπολαυστὰ γενήσεται. Ἀλλὰ σύ

* γρ. δῆλον ὅτι

* ἴσ. θεῶν.

μοι

μοι καὶ πρὸς τὴν ἐχομένην ταύτης μετάβαινε, καὶ σκόπει ὧδε· ἡ κιβωτὸς, καὶ τὰ ἐν τῇ κιβωτῷ, κατὰ τὸν τύπον γέγονε τοῦ οὐρανοῦ τε καὶ τῶν ὑπὸ τὸν οὐρανόν. Ὅρα, γάρ φησι, ποιήσεις πάντα κατὰ τὸν τύπον δειχθέντα σοι ἐν τῷ ὄρει. Αὕτη οὖν μετὰ τῶν ἄλλων ἀπορρήτων, ἐν τῷ ναῷ ἀπεκρύπτετο, διειργομένη τῷ καταπετάσματι, καὶ πρόσοδον αὐτῆς πλὴν ὅσα τοῖς ἱερεῦσιν, οὐδενὶ ἀνθρώπων ἐμπαρέχουσα. Ἐδήλου δὲ ἄρα τοῦτο καὶ ὑπέγραφεν, τὴν εἰς οὐρανὸν εἴσοδον, ἀνθρώποις ἄβατον συντετηρῆσθαι τέως, καὶ μηδένα μηδὲ τῶν τῆς νομικῆς λατρείας ἐραστῶν, ταύτης ἀξιωθῆναι τῆς λήξεως. Ῥήγνυται οὖν τοῦτο, τοῦ δεσπότου σταυρουμένου, τὴν εἰς οὐρανοὺς εἴσοδον πᾶσιν ἡμῖν ὑποσαλπίζον καὶ εὐαγγελιζόμενον. Καὶ γὰρ δὴ διὰ τοῦ ζωοποιοῦ θανάτου αὐτοῦ, τὴν εἰς οὐρανοὺς εἴσοδον, παντὶ τῷ ἀνθρωπίνῳ γένει, ἐνεκαίνισεν ὁ διὰ τοῦτο κενωθεὶς, καὶ σάρκα τὴν ἡμετέραν προσλαβὼν, καὶ πάντα παθὼν ὑπὲρ ἡμῶν, Χριστὸς ὁ θεὸς ἡμῶν.

progredere, & adverte ista: arca, & quæ continebantur in arca in typum cœli cedebant, & eorum quæ sub cœlo sunt: *Vide*, enim inquit, *ut facias omnia juxta figuram quæ tibi ostendebatur in monte.* Hæc ipsa Arca unà cùm aliis occultatis, in templo abscondebatur, velo interducto exclusa, neque accessus cuiquam præterquam sacerdotibus permittebatur. Declarabat istud, & delineabat ascensum in cœlis hominibus impervium custoditum fuisse, nec quenquam ex iis qui legalis cultus sectatores fuerant ad hanc dignitatem fuisse admissum. Quocirca rumpitur hoc obstaculum crucifixo Domino, & tubâ clariùs significatur & prædicatur, introitum in cœlos nobis singulis patere. Certè enim is qui ob hoc ipsum evacuatus fuit, & carnem nostram in se assumpsit, & omnia passus est pro nobis, Christus ille Deus noster, per mortem suam vivificantem universo mortalium generi ingressum in cœlos instauravit.

NOTÆ.

Continet explicationem illius Evangelicæ narrationis de scisso Templi velo, pendente super crucem Domino Jesu Christo. in quo illud imprimis miraculosum observat, quòd diruptio illa à summitate veli inciperet, & non ab ima parte, ut necessariò fieri oportuit, si è motu aut succussione terræ contigisset. Erat ergò manifestum θεομηνίας signum, & θεία δύναμις in illa apertiùs operabatur, præcipuè cùm in re præsenti omnia vehementiùs per terræ motum concuterentur. Πλὴν ὅσα τοῖς ἱερεῦσιν.] Imò nec ἱερεῦσιν, soli etenim ἀρχιερεῖ patebat sanctuarium, nec ille ad placitum ingredi eò potuit: semel in anno, unica vice sub pœna capitali. Quod relatum à *Philone* & *Josepho* rerum Judaicarum callentissimis; quocirca errat *Photius* qui de sacerdotibus commentatur. Idque convenit cum archetypo, quod affert & persequitur Photius de cœlo summo & glorioso, sanctis omnibus impervio, sub Veteri Testamento, usquedum Christus à morte redux.

Ἐπισ. ρκϛ.

Εὐσχήμονι καὶ Γεωργίῳ Μητροπολίταις.

Οὐκ ἀθυμῶ, τὸν χειμῶνα τῶν κακῶν καὶ τῆς τυραννίδος ἐπιτεινόμενον βλέπων· Ταῖς γὰρ εἰς θεὸν ἐλπίσι, καὶ τῇ εὐσεβείᾳ ἀνθοῦντας ὑμᾶς καὶ ἐαρίζοντας ἀκούω· μᾶλλον δὲ καὶ χαίρω, ὅτι καὶ ὡραιοτέρους καὶ δοκιμωτέρους ἡ τῶν καταισχῦναι καὶ ἀσχημονῆσαι σπουδασάντων ὑμᾶς ἔδειξεν ἀναισχυντία. Ἀλλ', ὦ φίλοι καὶ τέκνα καὶ ἀδελφοὶ, καὶ εἴ τι στοργῆς καὶ σχέσεως φυσικῆς οἰκειότερον, ἕως τέλους θεῷ τὴν αὐτὴν εὐγνωμοσύνην καὶ τὸ φίλτρον διασώσωμεν· καὶ ὥσπερ Ἰὼβ ὁ γενναῖος τὴν καθηγητὴν αὐτῶν * πεπονθότα, διὰ τῆς θαυμασίας ἐκείνης ὑπομονῆς καὶ ἀνδρείας

ἴσ. γεγονότα.

Epist. 126.

Euschemoni & Georgio Metrop.

Non despondeo animum, dum intueor tempestatem malorum, & tyrannidis intensionem; audio enim vos per fidem in Deo certam, & pietatem efflorescentes & vernantes: Imò lętitiâ afficior eò quòd illorum summa impudentia, qui dedecus vobis & turpitudinem volebant affricare, vos & pulchriores reddidit, & probatiores. Sed ô vos amici, filii, fratres, & si quid nomen filiali amore & naturali affectione magìs familiare sit, usque ad finem consummatum in Deum hunc animum & affectum conservemus: & quemadmodum Iobus ille generosus, ipsorum ducem diabolum, per stupendam illam patientiam & fortitudinem triumpho duxit;

duxit; ità vos ut Chriſti populus ille ſanctus, regaléque ſacerdotium, ut & olim, ità etiamnum iſtosce illius germanos & primipilares diſcipulos, cum leſſis & lamentis, nec quò ſe conferant ſcientes, publicè ſpectandos exhibebimus: nam quod vos probè nôſtis æque atque ego, brabia & coronæ expectant eos, qui uſque ad finem decertant.

ἐθριάμβευσε· τοῦτο καὶ ὑμεῖς, καὶ λαὸς ἅγιος τοῦ Χριστοῦ, καὶ βασίλειον ἱεράτευμα, ὥσπερ μέχρι νῦν, οὕτω καὶ διαπαντὸς, τουτουσὶ τοὺς ἐκείνου γνησίους καὶ κορυφαίους μαθητὰς, ὀδυρομένους καὶ ἀμηχανοῦντας ἐπιδειξόμεθα· καὶ γὰρ, ὡς καὶ ὑμεῖς συνεπίστασθε, τῶν εἰς τέλος ἀγωνιζομένων ἐστὶ τὰ βραβεῖα καὶ οἱ στέφανοι.

NOTÆ.

MΗτροπολίταις.] Nempe Georgius erat Nicomedienſis, Euſchemon Cæſareæ: horum uterque in ſchiſmate Ignatiano, partes Photii ſtrenuè tuebatur, unà cum ſuffraganeis ſubjectis, & multa eapropter patiebantur. Pro πεπόνθοτα, legendum ſentio γεγονότα: non enim Dæmon, ſed Job paſſus fuit: nec Job ſed Dæmon malorum καθηγητής.

Epiſt. 127.

Eulampio Archiepiſcopo, & Sceuophulaci.

QUandoquidem expoſitiones illas quas divini patres, plures quam quaternas nobis propoſuerunt, illius dicti, *Omne peccatum & blaſphemia remittetur hominibus, blaſphemia autem in Spiritum Sanctum non remittetur.* Et, *Qui protulerit verbum in Spiritum Sanctum non remittetur ei, neque in hoc ſæculo, neque in futuro; at remittetur qui verbum in filium dixerit.* Quandoquidem tu ab iſtis dictis aliam requiris, cùm tot illæ ſint, cur autem ſic, neſcio; (nam ſufficiunt illæ allatæ ad implendum animi deſiderium diſcendi vel cupidiſſimi) nihil fortè obſtabit, & illam aliam contemplare quæ cum rebus ipſis ſummam admittit conſonantiam: At quænam illa? Nimirum quòd is qui impegerit in Chriſtum Deum noſtrum, propter humanitatis demonſtrationem; ut puta quòd commedebat, idque cum publicanis & peccatoribus: quòd dormiebat: quòd laſſitudine tenebatur: Quòd dixerit, *Triſtis eſt anima mea uſque ad mortem:* & quæ ſunt ejus generis: quæ omnia, *verbum* quod omnia ſapienter adminiſtrabat, ad confirmationem & evidentem declarationem aſſumptæ carnis perpetrabat. Qui igitur propter iſta impingebant in Chriſtum, facillimam acquirent, ut videtur, emendationem: nam ab ignorantia quodammodo exciderat blaſphemia, cùm non poſſent in profundum, vel per rimulam diſpenſationis penetrare, vel inenarrabilem perſpice-

Ἐπιστ. ρκζʹ.

Εὐλαμπίῳ Ἀρχιεπισκόπῳ καὶ σκευοφύλακι.

ΕΠειδὴ πρὸς ταῖς ἑρμηνείαις, ἃς οἱ θεῖοι πατέρες ἡμῶν κατὰ πλείους ἢ τεσσάρας, οἶμαι, διανοίας ἐκδεδώκασιν, εἰς τὸ, Πᾶσα ἁμαρτία καὶ βλασφημία ἀφεθήσεται τοῖς ἀνθρώποις, ἡ δὲ τοῦ πνεύματος βλασφημία οὐκ ἀφεθήσεται· καὶ, Ὃς ἂν εἴπῃ λόγον κατὰ τοῦ υἱοῦ τοῦ ἀνθρώπου, ἀφεθήσεται αὐτῷ· ὃς δ' ἂν εἴπῃ κατὰ τοῦ πνεύματος τοῦ ἁγίου, οὐκ ἀφεθήσεται αὐτῷ, οὔτε ἐν τῷ νῦν αἰῶνι, οὔτε ἐν τῷ μέλλοντι. Ἐπεὶ οὖν καὶ ἑτέραν πρὸς ταῖς εἰρημέναις ἐκείναις, καίτοι τοσαύταις οὔσαις, οὐκ οἶδα ἀνθ' ὅτου ἐπιζητεῖς· (ἱκαναὶ γὰρ ἐκεῖναι ψυχὴν φιλομαθοῦς ἐμπλῆσαι τῆς ἐπιθυμίας) οὐδὲν χεῖρον ἴσως κἀκεῖνο συνιδεῖν πλείστην ὅσην τὴν ἀπ' αὐτῶν τῶν πραγμάτων ἔχον συμφωνίαν· ποῖον δὴ τοῦτο; Ὅτι ὁ μὲν προσπταίων τῷ Χριστῷ καὶ Θεῷ ἡμῶν, ἀπὸ τῶν ἀνθρωπίνων ἐνδείξεων· οἷον ὅτι ἤσθιε καὶ μετὰ τελωνῶν καὶ ἁμαρτωλῶν· ὅτι ἐκάθευδεν· ὅτι ἐκοπία· ὅτι περίλυπός ἐστιν, ἔλεγεν, ἡ ψυχή μου· καὶ εἴ τι τοιοῦτον· ὧν ἕκαστον εἰς βεβαίωσιν καὶ παράστασιν ἐναργῆ τῆς ἐνανθρωπήσεως, ὁ πάντα σοφῶς πρυτανεύων, διεπράττετο λόγος· οἱ γοῦν ἐκ τῶν τοιούτων προσεπταικότες Χριστῷ, ῥᾳδίαν, ὡς εἰκὸς, δύνανται τὴν διόρθωσιν ἔχειν. Τρόπον γάρ τινα αὐτοῖς ἐξ ἀγνοίας διεξέπιπτεν ἡ βλασφημία, οὐ δυναμένοις διακύψαι πρὸς τὸ βάθος τῆς οἰκονομίας,

Matth. 12. Marc. 3. Luc. 12.

νομίας, καὶ τὴν ἄρρητον συγκατάβασιν. Διὸ ἐκ τῶν θειοτέρων αὐτοῦ ἔργων καὶ πράξεων, ταχίστην τὴν μεταβολὴν ἐπιδείξουσιν οὗτοι, καὶ παραπλησίαν ἕξουσι τὴν ἐφ' οἷς ἡμάρτανον ἄφεσιν. Οὕτω Παῦλος διωκτὴς, σταυρὸν ἀκούων καὶ θάνατον, καὶ ὅτι ἔφαγε καὶ ἔπιε καὶ ὅσα ἄλλα τοῖς Ἰουδαίοις εἰς διαβολὴν τοῦ δεσπότου προεφέρετο· ἐπεὶ δὲ θειοτέρας ἔτυχε πείρας καὶ τῆς ἄνωθεν ὀπτασίας, αὐτίκα πάντα τὰ βλάσφημα ῥίψας ἐκεῖνα, κήρυξ τοῦ διωκομένου γίνεται. Οὕτω πάλιν τρισχίλιοι ἅμα καὶ τούτων ἐφεξῆς πλείους, εἶτα καὶ λαὸς μείζων ἀριθμεῖσθαι, ταῖς θεοσημείαις μετατεθέντες, σπουδῇ πρὶν τῷ ὑπ' αὐτῶν πολεμουμένῳ προσῆλθον κηρύγματι· δῆλον οὖν ἐκ τῶν εἰρημένων ὅπως τοῖς εἰς τὸν υἱὸν τοῦ ἀνθρώπου βλασφημοῦσιν ἡ ἄφεσις δίδοται, ὅτι τῷ ῥαδίῳ τῆς μεταβολῆς καὶ τὸ πρόχειρον τῆς συγγνώμης ἕπεται. Ὅσοι δὲ τῶν θαυμασιωτέρων, καὶ ἃ μόνης ἐστὶ τῆς θείας δυνάμεως * ὕποψιν ἔχοντες τὴν ἐνέργειαν· δαίμονας διωκομένους, νόσους ἐλαυνομένας, τυφλοῖς τὰς ὄψεις ῥήματι δημιουργουμένας· τὰ ὑπερφυῆ καὶ παράδοξα ἐκεῖνα· πρὸς οὐδὲν τούτων ἐθέλουσιν ἐπιστρέφεσθαι, ὡς ἑκόντες πρὸς τὰ τοῦ πνεύματος ἔργα καὶ τὸ φῶς ἀποτυφλώττοντες, οὗτοι χαλεπὴν ἢ καὶ ἀδύνατον παντελῶς τὴν μεταμέλειαν ἔχουσιν, ἐξ οὗπερ αὐτοῖς ἀφαιρεῖται καὶ ἡ ἄφεσις. Τίνι γὰρ ἂν καὶ μεταπεισθεῖεν οὗτοι πρὸς τὰ οὕτω καινὰ καὶ πολλῷ τῆς φύσεως κρείττονα πωρωθέντες, καὶ μηδ' ὑπό τινι αὐτῶν πρὸς ἐπιστροφὴν ἰδεῖν δυσωπηθέντες; Διὸ δικαίως αὐτῶν καὶ * σύγγνωστον τὸ πλημμέλημα, καὶ μείζων ἡ βλασφημία τῆς ἀφέσεως. Παραδείγματα τοῦ λόγου Ἄννας καὶ Καϊάφας καὶ πολλοὶ τῶν Ἰουδαίων, οἱ δαίμονας ἀπελαύνοντα ἰδόντες, δέον προσκυνεῖν τὸν εὐεργέτην, ἐν τῷ ἄρχοντι τῶν δαιμονίων (πρᾶγμα πάσης ἀναισχυντίας τολμῶντες ἐπέκεινα) ἐκβάλλειν αὐτὸν ἐλοιδόρουν τὰ δαιμόνια· τυφλοὺς βλέποντας ὁρῶντες, καὶ κλινήρεις δρόμῳ καὶ φορτίῳ τὴν ἴασιν βεβαιοῦντας· οὐκ ἔστιν ὁ ἄνθρωπος οὗτος, ἔλεγον, ἐκ τοῦ θεοῦ· τὸν Λάζαρον ἀνιστάμενον τεταρταῖον εἰς πλείονα * φόνον

* ὑπ' ὄψιν.

* ἴσ. ἀσύγγνωστον.

* φθόνον.

re condeſcenſionem: Quapropter per divina ipſius opera inducti, proclivem illi admittent immutationem, & conſimilem de peccatis conſequentur veniam. Ità extitit Paulus perſecutor, cùm crucem & mortem audiret; & cùm ederet, biberet, & reliqua faceret, quæ in calumniam Domini Judæi proferebant. Cùm verò ſemel diviniorem experientiam per cœleſtem viſionem conſequebatur, continuò rejectis quæ blaſphemè locutus erat & fecerat, præco prodiit illius quem perſequebatur. Ad eundẽ modũ ter mille imprimis, & deinceps hiſce plures; & poſteà numeroſior multitudo per ſigna divina immutati, cum feſtinatione ad prædicationem ejus quem perſequebantur accurrerunt. Patet ergò jam dictis, qualis venia conceditur illis qui in Filium hominis blaſphemant; nimirum facilitatem mutationis conſequitur facilitas indulgentiæ. At qui res magìs admirabiles, & quæ ſoli divinæ potentiæ ſubjacent, ſub aſpectum habent manifeſtum; dæmonas nimirum expulſos, morbos abactos, cæcis viſum reſtitutum ſolo verbo; & cetera naturam excedentia, planéque ſtupenda; nec ad horum aliqua converti volunt, ſed voluntariè ad ſpiritus opera & illuminationem occœcantur: Iſti difficulter ſi omnino tamen reſipiſcunt, atque ità indulgentiam haud impertitur iis Deus. Quo enim alio perſuaſu reſipiſcant, qui ad tam nova & naturam ità excedentia obdurantur, nec ab aliquo induci poſſunt ut converſionẽ ſuam meditentur? Non igitur immeritò, ſine venia hoc illorum peccatum, & blaſphemia indulgentiam excedit. Exempla apponantur Annas, Caiaphas, & complures è Judæis; hi cum Dæmonia ejicientem cernerent, cùm deberent venerari benefactorem, auſi ſunt rem impudentiam omnem excedentẽ proloqui, & per convitia dicere, eum dæmonia ejicere per principem dæmoniorum; cùm cœcos intuerentur videre, lecto affixos per curſum & bajulationem ſanitatem ratam facientes, dixerunt tamen, Non eſt à Deo iſte homo; & per Lazarum mortuum quatriduanum vitæ reſtitutum, ad majorem invi-

diam

diam inflammabantur. *Quærebant enim*, ait, *ut & Lazarum interimerent.* Et poſtquam reſciverint reſurrexiſſe, illam reſurrectionem occultare, datâ pecuniâ & per mendacium nitebantur. Et cùm diſcipuli linguis igneis exacuarentur, & magnalia Dei verbis peregrinis deprædicarent, & magna hominum multitudo ad pietatem miraculo inducerentur, ſine omni pudore, miraculi auguſtum & venerandum factum, ad *muſtum* transferre, & ebrietatem ſatagebant; nec verebantur nequiſſimi alaſtores, nè ab igne illo miraculoſo abſumerentur. Itâ nihil prorsùs quantumvìs naturam exuperaret, ad mutandum ipſorum nequam & abſurdam opinionem ſufficiebat, poſtquam ſemel contra præcipua Spiritus Sancti & divina opera ſine omni modeſtiâ & pudore ſe diſpoſuerant, ad audendum. Quocirca, nec injuriâ, manifeſtè pronunciatur, *Qui verbum protulerit contra filium hominis, remittetur illi; at qui contra Spiritum Sanctum protulerit non remittetur ei, nec in hoc ſeculo, neque in futuro.* Cùm qui propter humanas & humilitatis paſſiones ſcandalizabantur in Domino Chriſto, proclivem habeant per & propter majora & ſublimiora mutationem & remiſſionem: at qui in rebus ſpiritualibus, ſupernaturalibus & divinis ſine ratione inſaniunt, admodum difficulter, aut non omninò, redeunt ad meliorem frugem. Ideóq; haudquaquam peccatorum obtinget indulgentia.

Epiſt. 128.

Iſacio Monacho.

Utcunque ad meſſem illam obeundam ad quam miſericordiæ viſceribus Dominus tactus emiſit diſcipulos ſuos, ſis maximè immaturus; ad illam tamen, ad quam meſſores delegantur Angeli, ætas te tua valdè comparatum docet. Unde ergò proferendo fructum cum ſis, ſpinas producis? zizania autem pro frumento. Nec eſt operoſum, virum bonum probum fieri, licèt ſeriùs, per pœnitentiam: Tu te autem, utinam ſolùm inutilem, ac non, quod vereor; vas depravatæ cor-

ἀνεφλέγοντο. Ἐζήτουν γάρ φησιν, ἵνα καὶ τὸν Λάζαρον ἀποκτείνωσιν. εἶτα ἀναστάντα μεμαθηκότες, χρήμασι καὶ ψεύδει κατακρύπτειν ἐπεχείρουν τὴν ἀνάστασιν. Καὶ δὴ καὶ τῶν μαθητῶν πυρίναις γλώσσαις στομωθέντων, καὶ τὰ μεγαλεῖα τοῦ θεοῦ ξένοις ῥήμασιν ἀνακηρυττόντων, καὶ πλῆθος ἄπειρον τῷ θαύματι πρὸς τὴν εὐσέβειαν ἐναγόντων, εἰς γλεῦκος οὗτοι καὶ μέθην τὸ φρικτὸν τοῦ θαύματος διασύρειν οὐκ ᾐσχύνοντο, οὐδ᾽ ἐφοβοῦντο μὴ τῷ ξένῳ πυρὶ καταδαπανηθῶσιν οἱ ἀλάστορες. Οὕτως οὐδὲν αὐτοῖς τὴν ὑπερφυὴν εἰς μεταβολὴν τῆς μοχθηρᾶς καὶ ἀτόπου γνώμης ἐξήρκεσεν, ἅπαξ πρὸς τὰ πρῶτα τῶν πνευματικῶν καὶ θείων ἔργων ἀναισχυντεῖν ἑαυτοὺς παρεσκευακόσι καὶ ἀποθρασύνεσθαι. Δικαίως ἄρα λίαν καὶ σοφῶς εἴρηται, ὅτι, Ὃς ἂν εἴπῃ λόγον κατὰ τοῦ υἱοῦ τοῦ ἀνθρώπου, ἀφεθήσεται αὐτῷ· ὃς δ᾽ ἂν εἴπῃ κατὰ τοῦ πνεύματος, οὐκ ἀφεθήσεται αὐτῷ, οὔτε ἐν τῷ νῦν αἰῶνι, οὔτε ἐν τῷ μέλλοντι· τοῖς μὲν γὰρ ἀπὸ τῶν ἀνθρωπικωτέρων καὶ ταπεινοτέρων σκανδαλισθεῖσιν ἐπὶ τῷ δεσπότῃ Χριστῷ, ῥᾳδία ἡ διὰ τῶν μειζόνων καὶ ὑψηλοτέρων μεταβολὴ καὶ ἡ ἄφεσις. Τοῖς δὲ πρὸς τὰ πνευματικὰ καὶ ὑπερφυῆ καὶ θεῖα ἀπονοηθεῖσι, παγχάλεπος ἢ καὶ ἀδύνατος ἡ διόρθωσις. Διὰ τοῦτο καὶ οὐδεμία τῶν πλημμεληθέντων ἀπαντήσει ἄφεσις.

Ἐπιστ. ρκη΄.

Ἰσακίῳ Μοναχῷ.

Εἰ καὶ πρὸς θερισμὸν, ἐφ᾽ ὃν ὁ δεσπότης σπλαγχνιζόμενος ἐργάζεσθαι πέμπει τοὺς μαθητὰς, ἀωρότατος εἶ· ἀλλ᾽ οὖν ἐφ᾽ ὃν οἱ θερισταὶ παραγίνονται ἄγγελοι, καὶ λίαν ἐπιτήδειόν σε δείκνυσιν ὁ τῆς ἡλικίας καιρός. Πῶς οὖν ἀντὶ μὲν τοῦ καρπὸν φέρειν ἀκάνθας ἐκφέρεις; ζιζάνια δὲ ἀντὶ σίτου· καὶ οὐδὲν ἐργῶδες ὂν καλὸν καὶ ἀγαθὸν, κἂν ὀψὲ τοῦ καιροῦ, διὰ μετανοίας γενέσθαι· σὺ δὲ σαυτὸν εἴθε ἄχρηστον (ἀλλὰ δέδοικα μὴ καὶ) αὐτοσαπείας ἀγγεῖον

ἐργάζῃ. Ἀλλ' ἐπίγνωθι, κἂν νῦν ἤδη, τὸν ἀνθρώπινον καταδυόμενος βίον· ὅτι τὰ μὲν συνάγεται καὶ ἀποθησαυρίζεται εἰς ἀκαταλύτους ἀποθήκας καὶ τῆς οὐρανῶν ἀξιοῦται βασιλείας· τὰ δὲ ἐκκόπτεται, οἴ μοι, καὶ ἐκβάλλεται, καὶ καταχεῖται τῷ ἐξωτέρῳ καὶ ἀτελευτήτῳ πυρὶ διαπαντὸς δαπανώμενα.

Ἐπιστ. ρκθ'.

Χριστοφόρῳ ἀσπαθαρίῳ καὶ ἀσηκρήτις.

Ἐπειδὴ τὸ ἀλείφεσθαι τὴν κεφαλὴν, καὶ τὸ πρόσωπον νίπτεσθαι τοῖς εὐφραινομένοις καὶ χαίρουσι, κατά τι παλαιὸν ἐπετηδεύετο ἔθος, καὶ σύμβολα ταῦτα χαρᾶς ἐνομίζετο καὶ εὐφροσύνης· ὁ δεσπότης τὸν περὶ νηστείας νόμον εἰσάγων, καὶ βουλόμενος ἡμᾶς μετὰ χαρᾶς καὶ εὐφροσύνης ταύτην ἐπιτελεῖν, (Matth. 6.17.) Ἄλειψαί σου, φησί, τὴν κεφαλὴν, καὶ νίψαι τὸ πρόσωπον· οὐ τοῦτο λέγων ἐλαίῳ λιπαίνειν τὴν κεφαλὴν, ἢ τὸ πρόσωπον ἐκπλύνειν ὕδατι· οὐδὲ γὰρ αὐτὸς νηστεύσας ἐφ' ὅλας ἡμέρας τεσσαράκοντα τούτοις ἐχρήσατο· οὐδέ τι κέρδος ἐκ τούτων, εἴ τις αὐτοῖς χρῷτο, ὁρᾶν ἐστὶ παρεπόμενον. Οὐκ οὖν ἀλείφεσθαι καὶ νίπτεσθαι ἡμᾶς διὰ τούτων ἐγκελεύεται, ἀλλ' ἀπ' αὐτῶν τῶν συμβόλων τῆς χαρᾶς καὶ τῆς εὐφροσύνης, χαίρειν ἡμᾶς καὶ εὐφραίνεσθαι ἐν τῷ νηστεύειν νομοθετῶν, ταῦτα ἔφησεν. Οὕτω γὰρ ἑαυτοὺς διαθέντες καὶ διακοσμήσαντες, τοὺς τε ἄλλους, ἐν οἷς πράττομεν, λαθεῖν δυνησόμεθα, καὶ ἑαυτοῖς ἀνεπαχθῆ τὸν τῆς νηστείας ἀγῶνα ἀπεργασόμεθα. Ἔνθα γὰρ προθυμία καὶ χαρὰ, ἐκεῖ κοῦφον καὶ τὸ ἐπίπονον· ὥσπερ ἔνθα τὸ ῥάθυμον καὶ τὸ ἀηδὲς, ἐκεῖ καὶ τὸ ῥᾷστον δυσχερέστατον. Ἄλειψαι τοίνυν καὶ αὐτὸς τὴν κεφαλὴν, καὶ τὸ πρόσωπον νίψαι· ὅπερ μαθεῖν ἐπηρώτησας· φαιδρὸν σεαυτὸν καὶ ἱλαρὸν ἀπὸ τῆς ἐν τῇ καρδίᾳ εὐθυμίας καὶ ἀγαλλιάσεως, ἐν τῷ νηστεύειν, παρασκευάζων, καὶ παντὶ τρόπῳ λαθεῖν ἐπιτηδεύων τοῖς ἀνθρώποις τὸ κατόρθωμα, ἵνα μισθαποδότην ἕξῃς τὸν ἔφορον τῶν κρυφίων θεόν. Εἰ δὲ καὶ νηστεύων, ἐλαίῳ

ruptiones te præbeas: Sed Tu recognosce, vel nunc tandem, qui penitùs in mortali vita immerges, quòd sunt quæ congregantur & reponuntur in apothecas haud unquam dissolvendas, & regno cœlorum digna habentur: sunt, qui exscinduntur, eheu, & ejiciuntur, & igne exteriori, qui nunquam extinguetur, & flammâ consumenda & comburenda destinantur.

Epist. 129.

Christophoro aspathario, & à secretis.

CUm caput inungere & faciem lavare, de vetusta quadam consuetudine, ab iis qui gaudio & lætitia afficiebantur, usurpetur, quæ gaudii & oblectation s Symbola quædam erant; Dominus de jejunio Legem rogaturus, quam nos lubentes voluit & gaudentes adimplere, *Caput tuum*, ait, *inungito, & lavato faciem*: non quòd volebat oleo caput mollefacere, aut faciem aquâ abstergere; cùm nec ipse, qui totos quadraginta dies jejunabat, istis uteretur: nec intueri licet emolumentum aliquod iis contingere, qui utuntur. Quocirca nec inungi, nec ablui istis mandavit, sed per Symbola gaudii & lætitiæ voluit & mandavit, ut jejunium cum gaudio & voluptate agamus. Ad hunc modum si nos componamus & exornemus, cùm alios latere poterint quæ facimus, & jejunii certamen haud gravatim subibimus. Nam ubi paratus accedit quis cum gaudio, ibi quod laboriosum est, leve fiet; è contra, quod facile fit, difficilimum redditur ubi intervenit socordia, & adversa voluntas. Inunge Tu ergo caput, & faciem lava; id quod cupiebas quid esset intelligere; hoc est, Te sereno & hilari vultu præditum exhibe, propter gaudium animitùs & exultationem repositam in jejunando; Enitere autem & operam da omnimodam ut hoc præclarum facinus celetur, ut sic Deum qui secreta omnia intuetur, habeas retributorem. Quòd si por-

τὸ

rò cùm jejunas, oleo Beneficentiæ caput affatim irrigas, & in capite partem principatum obtinentem, itá ut inde tanquam de fonte intellectuali, te totum, nec solùm faciem abluas, & mundes (nam emundat, ut dicitur, eleemosyna peccatum) palàm facies divinorum oraculorum explicationem tibi extitisse fructuosam.

Epist. 130.

Johanni Patricio & Sacellano apud Angurios.

MOlestias intueri, volentem me oportuit; nolentem autem tu docuisti: & quid tibi adhuc reliquum est, quàm ut sub omnium oculis & testimonio convictus tenearis, multa adhuc duriora in me machinari, quia per quotidianum exercitium, ea omnia cum minore dolore subire edoctus sum.

Epist. 131.

Tarasio Patricio fratri.

DEfunctus est nobis secundùm corpus amicus, sed nec ipse tu inficias iveris quin reliquit columnam universæ suæ vitæ virtutem: quocirca beatum prædicabimus eum, & tum quemnam pro illo lessum meditabimur.

Epist. 133.

Eidem.

QUod in Evangelio dixit Servator, *Quæ est mater mea, & quinam sunt fratres mei?* non itá protulit, ut imprudens fortè aliquis arbitrari poterit, quasi materni partûs dolores verecundaretur: aut eo fine ut matrem materno honore privaret. Quî enim illud admitteret, is, qui ante tempus operandi miracula, ob eam quam erga illam reverentiam habebat, aquam in vinum commutavit: & qui sub ipso passionis tempore cùm vulneribus, lanceâ, cruce, clavis extendebatur, tamen etiam tum summam se illius curam gerere patefecit: quíque ante hæc omnia, subjiciebatur, non illi tantummodo quæ ipsum verè genue-

εὐποιΐας τὸ ἐν τῇ κεφαλῇ δαψιλῶς πιάνας ἡγεμονικὸν, ἐκεῖθέν τε ὥσπερ ἀπό τινος πηγῆς νοερᾶς, ὅλον σεαυτὸν καὶ τὸ πρόσωπον ἐκπλύνας φαιδρὸν ἀπεργάσῃ καὶ καθαρόν (ἐλεημοσύναις γάρ φησιν ἀποκαθαίρονται ἁμαρτίαι) εἰς τὸ χρησιμώτατόν σοι δείξεις τὴν θείων λογίων τὴν ἀνάπτυξιν προσεληλυθέναι.

Ἐπιστ. ρλ΄.

Ἰωάννῃ Πατρικίῳ καὶ Σακελλαρίῳ κατ᾽ Ἀγγούρους.

ΠΡὸς λύπας ὁρᾶν, καίτοι ἑκόντας ἐχρῆν, ὅμως καὶ ἄκοντας ἐδιδάξατε. Τί δὴ νῦν ὑμῖν ἔσται πλέον, πλὴν οὐ κακοὺς κρίνεσθαι ὑπὸ μάρτυσι τοῖς πάντων ὀφθαλμοῖς, πλείονα ἐπινοοῦσι τὰ καθ᾽ ἡμῶν λυπηρὰ, ὅτε διὰ τῆς καθημερινῆς γυμνασίας καὶ ἀλυπώτερον αὐτὰ φέρειν ἐπαιδεύθημεν.

Ἐπιστ. ρλα΄.

Ταρασίῳ Πατρικίῳ ἀδελφῷ.

ΤΈθνηκεν ὁ φίλος τῷ σώματι· ἀλλ᾽ οὐδ᾽ ἂν αὐτὸς ἀρνηθείης, ὡς οὐχὶ ἀθάνατον ἀφῆκε στήλην, παντὶ τῷ βίῳ, τὴν αὐτοῦ ἀρετήν. Ἄρα οὖν εὐδαιμονίσομεν ὅλως· τίνα ἂν τοῦτον θρηνεῖν μελετήσομεν.

Ἐπιστ. ρλβ΄.

Τῷ αὐτῷ.

ὍΠερ ἔφησεν ἐν τοῖς εὐαγγελίοις ὁ σωτὴρ, Τίς ἐστιν ἡ μήτηρ μου, καὶ τίνες εἰσὶν οἱ ἀδελφοί μου; οὐχ᾽ ὡς ἄν τις ἀφρόνως οἰηθείη, ἐπαισχυνόμενος ὠδῖνας τὰς μητρικὰς, ἢ τὴν μητέρα ἐκβάλλων τοῦ μητρικοῦ *κλέους καὶ τῆς προνομίας τοῦτό φησι. Πῶς γὰρ, ὅ γε καὶ πρὸ καιροῦ τῶν θαυμάτων, διὰ τὴν πρὸς αὐτὴν αἰδῶ, εἰς οἶνον μεταστοιχειώσας τὸ ὕδωρ, καὶ κατ᾽ αὐτὸν τοῦ πάθους τὸν καιρὸν, ὅτε τραύμασι, καὶ λόγχῃ, καὶ σταυρῷ, καὶ ἥλοις κατετείνετο, πλείστην ὅσην περὶ αὐτῆς τὴν φροντίδα ἐπιδεδειγμένος· καὶ πρό γε τούτων οὐκ αὐτῇ μόνον τῇ γεννησαμένῃ ἀληθῶς, ἀλλὰ καὶ Matth.12.48.

* κλήρου.

καὶ τῷ νομισθέντι ὑποτασσόμενος πατρί; Ἦν γάρ φησιν ὑποτασσόμενος αὐτοῖς. Ἀλλὰ τί ταῦτα λέγω; Ὁ μήτραν οἰκῆσαι μὴ ἐπαισχυνθείς, καὶ τὸ ἔργον ἑκὼν ὑπελθών, πῶς ἂν ἔχοι λόγον τὴν κλῆσιν αἰσχύνεσθαι; καὶ ὁ τιμᾶν γονεῖς, μετά γε τὸ θεῖον εὐθὺς, νομοθετῶν, πῶς ἂν αὐτὸς ὑπεύθυνος ὀφθείη μητρικῆς καταφρονήσεως; Οὐκ ἔστι τοίνυν, οὐκ ἔστιν εἰπεῖν, ὅτι τὴν μητέρα ἐν αἰσχύνῃ ποιούμενος ὁ κοινὸς πλάστης ἡμῶν ἢ ὑπερορῶν, τὸ, Τίς ἐστιν ἡ μήτηρ μου; καὶ, τίνες εἰσὶν οἱ ἀδελφοί μου; ἐφώνησεν· ἀλλὰ διὰ τῶν ῥημάτων τούτων ἕτερά τινα διοικονομεῖται μείζονα· καὶ γὰρ ὁ τὴν σωτηρίαν τῆς ψυχῆς, τῶν ἄλλων ἁπάντων, πολλαχοῦ διδάσκων προτιθέναι, καὶ μήτε πατέρα, μήτε μητέρα, μήτε τέκνα, μήτε ἀδελφοὺς αὐτῆς προτιμᾶν, ἀλλὰ μηδὲ αὐτὸν σύμπαντα τὸν κόσμον, νῦν διὰ τῶν ἔργων αὐτῶν αὐτὸ τοῦτο περιφανῶς ἐπιδείκνυσιν. Ἐπεὶ γὰρ διδάσκοντος αὐτοῦ τοὺς ὄχλους, καὶ τὸν τῆς σωτηρίας λόγον ταῖς ἐκείνων ψυχαῖς ἐγκατασπείροντος, ἐπέστησαν ἡ μήτηρ καὶ οἱ ἀδελφοὶ πρὸς ἑαυτοὺς τὸν εὐεργέτην καὶ κοινὸν σωτῆρα μετακαλούμενοι, εἰκότως οὐκ ἐπεστράφη τῇ κλήσει, οὐδὲ ὑπήκουσεν, οὐδὲ καταλιπὼν τὴν διδασκαλίαν, καὶ τὴν τῶν ἀκροατῶν ὑπεριδὼν σωτηρίαν, τὴν μητρικὴν ἐντυχίαν προὐτίμησεν· ἔργῳ παιδεύων, ὡς ἐπειδὰν ἄν τις γεωργῇ ψυχικὴν σωτηρίαν, ὥσπερ ὁ γεωργούμενος μόνῳ προσέχειν ὀφείλει τῷ γεωργῷ, ἂν μὴ ἄρα παρὰ τὴν ὁδὸν, ἢ ἐπ' ἀκάνθαις, ἢ πέτραις ὑποδέχεσθαι μέλλοι τὴν κατασποράν· οὕτω δὴ

* πνευματικός. οὕτω καὶ ὁ * γεωργὸς, ὅλον ἑαυτὸν ἐπιδιδόναι τῷ πόνῳ καὶ τῇ γεωργίᾳ χρεωστεῖ, καὶ μὴ πρὸς

* ἑτέρας. * πέτρας καταμερίζεσθαι τὰς φροντίδας· μηδ' ἂν μήτηρ, ἢ τις ἄλλος [ἢ] τῶν ἐγγυ-

* ᾖ. τάτω γένους * ὁ πρὸς ἑαυτὸν ἐκεῖθεν μετακαλούμενος καὶ μεθέλκων. Τοῦτο δὲ οὐκ ἔστι παρόρασις μητρὸς, ἀλλὰ πολλὴ πρόνοια καὶ σπουδὴ τῶν σωζομένων· οὐδὲ γὰρ οὐδὲ τὸν τῆς διδασκαλίας καιρὸν, εἰς τὴν τῶν συγγενῶν χρὴ καταναλίσκειν θεραπείαν. Διὰ τοῦτο τοὺς μαθητὰς ἐπὶ πλέον οἰκειούμενος ὁ σωτὴρ, Ἰδοὺ ἡ μήτηρ μου φησὶν, καὶ οἱ ἀδελφοί μου. Τουτέστιν, οὗτοι δὴ οὗτοι, τὸν πατρικὸν τῆς διδασκαλίας σπόρον τοῖς ψυχικοῖς ὑπο-

rat, sed & patri quoque putativo: nam *erat*, ait Scriptura, *subditus illis*? Quid autem hæc allego? Qui uterum incolere non erubuit, qui opus & rem ipsam sponte subivit, quomodo sermone nominationem aversaretur? qui parentes post Deum sancivit, quomodo reus ille fuerit maternæ alicujus vilificationis? Non est ergò dicendum, Omnino non est, quòd matrem agnoscere erubesceret qui communis nostrum omnium conditor, aut contemptui haberet, cùm dixit, *Quæ est mater mea? quinam sunt fratres mei?* omnino per hæc verba aliud quiddam eximius dispensatur; qui non unâ vice docuit, animæ salutem rebus aliis omnibus anteponendam, ità ut nec patrem, matrem, liberos, fratres, illi præferamus, imò nè mundum certè universum, is in præsenti hoc idem opere declaravit. Nam cùm multitudinem promiscuam doceret, & salutis semen cordibus ipsorum inseminaret, aderant mater & fratres ipsius, qui communem omnium benefactorem & servatorem ad se vocabant; cui citationi non obedivit, nec injuriâ, neque enim docendi functionem deseruit, non comperendinavit auditorum salutem, aut maternam prætulit salutationem; ità reipsâ docuit quòd cùm quis salutem animarum velut agrum colendum suscipit, id agricolam imprimis sollicitum habere debeat, ut nec juxta viam tritam, neque inter spinas, neque in petra semen spargat: eodem modo & spiritualis agricola se totum labori & agriculturæ impendere tenetur, nec in alias curas & cogitationes se dividere: nè quidem si mater aut propinquorum aliquis sit, qui inde ipsum avocare aut abducere velit. Nec est hic maternus aliquis contemptus, sed summa provida cura & solicitudo de salute salvandorum: sed nec tempus docendo assignatum in obsequium propinquorum impendi debet. Itaque discipulos sibi magìs conjunctos cupiens, Salvator ait, *Ecce mater mea, & fratres mei:* id est, isti Patris mei doctrinam ut semen in sinum animarum suscipientes,

loco

loco matris meæ & fratrum meorum mihi reputantur. Ità patet nequaquam hoc dictum, ut matrem vilem haberet; neque enim tales quales erant discipuli, in sortem maternam extulisset: sed multò magis ut eam veneratione & honore prosequeretur: Ait enim, qualem demum cunque filialem amorem in matrem quis, aut quem in fratres tenetur habere, tali omnino digni reputantur illi, qui doctrinam observant, & bona inde promanantia opera gignunt. Attendito autem & illud, cùm præmiserat, *Qui diligit patrem vel matrem plùs quàm me, non est me dignus*, nè gravius quid & difficilius in mandatis dedisse videretur, ipse illud imprimis proprio exemplo adimpletum dat, facilitans ità imitationem, materno obsequio utilitatem & salutem multorum præponens; vocem hanc opere ipso tantùm non edens, Nolite arbitrari meum mandatum grave quid esse vel difficulter obeundum; Ego enim qui nulli debitor sum, rem ipsam princeps exordior, & ante matris mei cultum, ut intueri oculis potestis, vestram pono salutem. Ubi verò omnium Rex ego qui sum & Dominus & Conditor, haud sum ità gerere me erga vos dedignatus, ut vestram salutem affectui & amori materno prætulerim, certè multò vos magìs tenemini similiter compensare, & præ cæteris omnibus ferre amicitiam meam, & in me benevolentiam: nec ob aliquod meum hoc emolumentum; amor enim humanus & desiderium, quid proderit ei qui cuncta vel nutu circumrotat, cujus opus digitorum hominum est natura, cœlum & quæ existunt universa. Hæc ego ipsa, ut & alia, ob vestram desidero salutem. Nec mirari oportet, si matrem Christus ut oportuit honorans, illam haud prætulit saluti hominum: nam matrem illam propter nos & nostram salutem assumpsit, ut nequaquam sibi parcens, nostrâ causâ longè alia & innumera passus est. Imprimis contumeliosam illam & violentam mortem crucis, ut vitæ nos æternæ hæredes, qui mortis fueramus, faceret: non est improbabile illum nostram salutem an-

δεχόμενοι κόλποις, τὸν μητρικὸν τόπον καὶ ἀδελφικὸν ἀναπληροῦσιν ἐμοί. Τοῦτο δὲ δῆλον, ὡς οὐ φαυλίζοντός ἐστι τὴν τεκοῦσαν· πῶς γὰρ ἂν τοὺς τοιούτους, ὡς εἰς μέγα κλέος, εἰς τὸν μητρῷον ἀνέφερε κλῆρον; ἀλλὰ μᾶλλον ἀξίως σεμνύνοντος καὶ τιμῶντος αὐτήν. Ἣν γάρ φησι πρὸς μητέρα καὶ ἀδελφοὺς στοργὴν καὶ διάθεσιν ὀφείλει τις κεκτῆσθαι, τῆς αὐτῆς ἀξιοῦνται καὶ οὗτοι πληρωταὶ τῆς διδασκαλίας, καὶ γεννητικοὶ τῶν, ἐξ αὐτῆς φυομένων ἀγαθῶν ἔργων, γινόμενοι. Σκόπει δὲ κἀκεῖνο, ὡς ἐπεὶ προεῖπεν, Ὁ φιλῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμὲ, οὐκ ἔστι μου ἄξιος, ἵνα μὴ δόξῃ βαρὺ καὶ δύσκολον ἐπιτάσσειν πρόσταγμα, αὐτὸς τοῦτο πρῶτος ἐκπληροῖ τῷ καθ' ἑαυτὸν ὑποδείγματι ῥᾳδίαν παρασκευάζων τὴν μίμησιν, καὶ τῆς μητρικῆς θεραπείας προτίθησι τὴν ὠφέλειαν, καὶ σωτηρίαν τῶν πολλῶν· μονονουχὶ τοῖς ἔργοις φωνὴν ἀφιείς, Μὴ * νομίσηται τὴν ἐμὴν ἐντολὴν βαρεῖαν εἶναι καὶ δυσεξάνυστον, ἔργῳ γὰρ ὑμῖν, ὁ μηδενὶ τυγχάνων ὑπόχρεως, πρῶτος τοῦ ἔργου ἀπάρχομαι, καὶ τῆς μητρικῆς θεραπείας, ὡς ὑμῖν ὁρᾶν πάρεστι, τὴν ὑμῶν προκρίνω σωτηρίαν. * νομίσητε. Ὅπου δὲ πάντων δεσπότης ὑπάρχων καὶ δημιουργός, τοῦτο περὶ ὑμᾶς αὐτοὺς οὐκ ὤκνησα ἐπιδείξασθαι, ἀλλὰ καὶ μητρῴας στοργῆς τὴν εἰς ὑμᾶς σπουδὴν προτίθημι καὶ διάθεσιν· πῶς οὐκ αὐτοὶ μᾶλλον ὀφείλεται καθεστήκατε, τοῖς ὁμοίοις ἀμείβεσθαι, καὶ πάντων ἔμπροσθεν ἄγειν τὴν περὶ ἐμὲ τὸν εὐεργέτην φιλίαν καὶ εὔνοιαν· καίτοι οὐδὲ ταῦτα δι' ἐμέ· τί γὰρ εἰς οἷον πόθος ἀνθρώπινος τῷ πάντα νεύματι περιάγοντι, καὶ οὗ δακτύλων ἔργον, αὐτὴ φύσις ἀνθρώπων, καὶ οὐρανὸς, καὶ τὰ σύμπαντα; ἀλλὰ καὶ ταῦτα, ὥσπερ καὶ τἄλλα, διὰ τὴν ὑμῶν αὐτῶν ἐπιζητῶ σωτηρίαν. Οὐ χρὴ δὴ θαυμάζειν, εἰ τὴν μητέρα τιμῶν ὁ Χριστὸς, ὡς προσῆκεν, ὅμως οὐδὲ ταύτην τῆς ἡμῶν ὑπερτίθησι σωτηρίας· καὶ γὰρ δὴ καὶ μητέρα ὅλως δι' ἡμᾶς, καὶ διὰ τὴν ἡμῶν ἐκτήσατο

σωτηρίαν, * ἀλλ' ὥστε δὲ αὐτοῦ φεισάμενος, ὑπὲρ ἡμῶν ἄλλα, κἀκεῖνα τὰ μυρία πάθη * ἄλλως τε γε οὐχ ἑαυτοῦ.
ὑποστὰς, καὶ τὸν ἐπονείδιστον ἐκεῖνον καὶ βίαιον θάνατον, ἵν' ἀντὶ θανάτου ζωῆς ἡμᾶς ἀθανάτου
δείξῃ κληρονόμους, οὐκ ἂν ἀπεικότως καὶ τῆς μητρικῆς συμπαθείας τὴν ἡμῶν ἠγήσα-

τὸ προτιμοτέραν σωτηρίαν. Εἰ βούλει δέ, κἀκεῖνο σκόπει· || σκόπει. πολύχους γὰρ ἡ τῶν θείων γραφῶν γεωργία, καὶ πολλὴν ἀναδιδοῦσα τοῖς φιλοπονοῦσι τὴν ὠφέλειαν· οὐδενὸς τῶν ἄλλων ἐνδεέστερον ὄψῃ, ὅτι τό, Τίς ἐστιν ἡ μήτηρ μου καὶ οἱ ἀδελφοί μου; οὐ πρὸς τὴν μητέρα ἀποτεινόμενος εἰρήκει ὁ σωτήρ· ἐκείνη γὰρ ἡ μακαρία παρθένος, σεμνοπρεπῶς τε καὶ σὺν εὐλαβείᾳ, ἔξω ἵστατο, οὐδὲ τὴν πρὸς τὸν υἱὸν παρρησιαζομένη εἴσοδον· οὐ μὲν οὖν οὐδὲ τὴν διδασκαλίαν παρεκόπτουσα, αὐτὸν δὲ μόνον ἰδεῖν ἐπιποθοῦσα. Πρὸς τίνα λοιπὸν ὁ δεσποτικὸς λόγος ὁρᾷ; δῆλον, ὡς πρὸς ἐκεῖνον, τὸν οὐκ ἐν καιρῷ καὶ θρασέως ἐπιφωνοῦντα καὶ ἀνακράζοντα, Ἡ μήτηρ σου καὶ οἱ ἀδελφοί σου ἔξω ζητοῦσί σε. Ἐκεῖνος γὰρ ὁ Ἰουδαῖος (οὐδὲ γὰρ ἔχομεν τούτου κυριώτερον ἐκ τῶν εὐαγγελίων ὄνομα) ὅτε τῷ δεσπότῃ προσεφώνει, οὐδὲν οὐ μόνον || συνῆπλει ῥῆμα σεβασμιότητος, || συνέστη vel συνῆψε. ἀλλ' οὐδὲ τὸν πρέποντα καιρὸν ἀναμείνας, ἀλλὰ καὶ τὴν διδασκαλίαν παρεκόπτων, καὶ πολλῇ χρώμενος τῇ αὐθαδείᾳ καὶ θρασύτητι, τό, Ἡ μήτηρ σου καὶ οἱ ἀδελφοί σου, προσέρριπτεν, ἔξω ζητοῦσί σε. Οἶμαι δὲ αὐτὸν τοῦτο δεδρακέναι, ὡσανεὶ καὶ ἀπὸ τοῦ γένους ἐπισκώπτειν τὸν κοινὸν τοῦ γένους σωτῆρα διαμηχανώμενον. Οὐ γὰρ ἄν, οὕτω θρασέως καὶ εἰς || ὑπήκοον τῶν διδασκομένων, || ἐπήκοον. τὸν ὀνειδισμὸν οἰκειότερον εἰπεῖν ἢ τὴν πρόσκλησιν τοῦ δεσπότου ἐπεποίητο· καὶ ταῦτα διεμηχανᾶτο καὶ συνεσκευάζετο, ῥαθυμοτέρους τε περὶ τὴν ἀκρόασιν, τό γε καθ' ἑαυτόν, τὸ πλῆθος ἀπεργαζόμενος, καὶ τὸ ἀξιόπιστον τοῦ διδασκάλου, ἀπό γε τῆς συγγενείας, ὡς ἐνόμιζεν, ἐξευτελίζων καὶ ὑποτεμνόμενος. Καὶ γὰρ καὶ ἀλλαχοῦ φαίνεται τὸ Ἰουδαῖον ἔθνος, καὶ μάλιστα κατὰ τὸν καιρὸν τῆς τε διδασκαλίας, καί γε καὶ τῆς θαυματουργίας, τῷ φθόνῳ διαπιμπράμενον, καὶ πρὸς διαβολὰς καὶ ὕβρεις
Matth. 13:55 τοῦ δεσπότου ἐκτόπως ἀναφλεγόμενον. Οὐχ
Joan. 6. 42. οὗτος γάρ ἐστι, φησίν, ὁ τοῦ τέκτονος υἱός;
Joan. 9. 29. Marc. 6. 3. Καὶ πάλιν, Οἴδαμεν τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα· καί, Οὗτος οὐκ οἴδαμεν πόθεν ἐστίν; καί, Οὐχὶ παρ' ἡμῖν εἰσὶν οἱ ἀδελφοὶ αὐτοῦ, καί, αἱ ἀδελφαὶ αὐτοῦ; καὶ πολλὰ τοιαῦτα βασκανίας ῥήματα. Διὸ καὶ ὁ δεσπότης Χριστὸς ἐλέγχων αὐτοῦ τὴν παρανομίαν, καὶ διὰ τοῦ τῶν ὁμοφρόνων τὸ σύστημα, εἰς

tiquiorē, quàm maternam habuisse observantiam. Si adhuc libet & illud mihi nota; divinarum Scripturarum agricolatio multiplicibus spicis abundat, & plurimū industriis commodum concedit;non minimum illud, quòd illa (*Quæ est mater mea, & qui fratres mei?*) non in matrem directa protulit Servator (illa enim beata virgo modestè ut oportuit foràs constitit, nec liberam adeundi filium licentiam vindicavit) sed nec docendi cursum interrumpere volebat, sed ipsum tantummodo gestiebat salutare. Ad quem igitur dirigitur sermo dominicus? patet quod ad eum, qui satìs intempestivè vociferando & inclamando dicebat, *Mater tua & fratres tui te foràs vellent:* Erat ille Judæus, nec alio proprio nomine dictum habemus in Evangelio: Ille cùm Dominum alloqueretur, non modò nullum verbum reverentiæ evolavit, sed nec tempus præstolatus oportunum docendi cursum interrupit, & cum multa audacia & supercilio projecit illud, *Mater tua & fratres tui te foràs quærunt.* Reor autem eo fine hoc ab illo factitatum, ut qui voluerit omni machinâ adhibitâ generis nostri authorem ab humana sua generatione traducere: non enim tam petulanter in auribus auditorum exprobationem potiùs, quàm evocationem adhibere volebat, nisi id agebat machinando, ut ignaviores redderet auditores. Itâ quantum in ipso erat abduxit ab audiendo multitudinem, & doctoris reverentiam imminuendi animo, per vilificationem prosapiei interrumpit. Apparet enim & alibi Judaicam gentem cùm aliàs, tum præcipuè cùm doceret aut miracula daret, invidiâ succensam, & ad accusandum convitiandúmque Dominum insano modo inflammatam. Itâ inquiunt, *Annon hic est fabri filius?* &, *Novimus patrem ejus ac matrem ejus:* & *Annon nos scimus unde iste est?* &, *Nonne apud nos sunt fratres & sorores ipsius?* & multa alia malevolentiæ verba ingerunt. Quocirca Christus Dominus incivilitatem illius redarguens, propter conventum eorum qui eodem animo affecti erant, ad cogitationes istiusmo-

di

di accommodat reſponſum; & inquit, *Quæ eſt mater mea, qui mei fratres?* quaſi diceret, Quid mihi matrem & fratres in opprobrium ingeris? fruſtrà tibi hoc ceſſit machinamentum, in contrarium convertetur inſidioſa hæc tua ſatagentia. Tantùm enim abeſt ut me parentum meorum tenuitatis pudeat, ut non ſolùm matrem quæ me incarnatum verè peperit, agnoſcam, ſed inſuper & iſtos quos viles intueris & deſpectos, ſine urbe & loco pauperes, licèt nulla me attingant affinitate, non abnego, ſed mihi propriùs aſſumo, matris & fratrum mihi locum impleturos, modo per meam doctrinam inducti, patris mei adimpleant voluntatem: Quemadmodum enim illam, nulla me conſanguinitate attingentem (nam quid habet genus humanum cum Deitate commune?) de paterna tamen voluntate incarnatus ex illa, matrem monſtravi, & omnia materna privilegia, unà cum virginitate illibatâ ſarta illi tecta ſervavi; ità quoq; & iſtos qui nullum juſtum titulum adire poſſunt, quo mihi per carnē conjungantur aut tribum, modò adimplentes cepero doctrinam meam & voluntatem Patris, in ſortem & dignitatem fraternam maternámque aſſumam. Atque ità, ut ego opinor, è dictis tibi patet & ſatisfit, quòd propter illud dictum, (*Quæ eſt mater mea*, & quæ ſequuntur) nullatenus dominus & Salvator noſter reus tenebatur alicujus contemptûs aut deſpectûs erga matrem; ſed contra, tam per iſta quàm alia omnia Dei operà oſtenditur, maternis privilegiis & honoribus, ídque meritiſſimò, apud eum quem pepererat, fructam & gaviſam fuiſſe.

τοιαύτην τινὰ διάνοιαν τὸν λόγον σχηματίζων τῆς ἀποκρίσεως, Τίς ἐστί, φησιν, ἡ μήτηρ μου, καὶ οἱ ἀδελφοί μου; Τουτέστι, Τί τὴν μητέρα, καὶ τοὺς ἀδελφοὺς εἰς ὀνειδισμὸν περιφέρειν ἐμελέτησας; μάτην σοι διεμηχανήθη τὸ κακούργημα, εἰς τοὐναντίον σοι περιτραπήσεται τὸ σκευώρημα. Ἐγὼ γὰρ τοσοῦτον ἀπέχω τοῦ τῇ εὐτελείᾳ τῶν συγγενῶν ἐπαισχύνεσθαι, ὥστε οὐ μόνον τὴν κατὰ σάρκα γεννησαμένην ἀληθῶς, μητέρα ἐπιγράφομαι, ἀλλὰ δὴ καὶ τούτους ὁρᾷς, τοὺς εὐτελεῖς καὶ ἀπόλιδας, τοὺς ἀοίκους καὶ πένητας, καί τοι μηδὲν κατὰ γένος προσήκοντας, οὐ παραιτοῦμαι ὡς μητέρα καὶ ἀδελφοὺς οἰκειοποιήσασθαι, ἂν ὦσι μόνον τὸ πατρικὸν, διὰ τῶν ἐμῶν διδαγμάτων, ἐκπληροῦντες θέλημα. Ὥσπερ γὰρ ἐκείνην μηδὲν τῇ θείᾳ φύσει προσήκουσαν (τί γὰρ κοινὸν ἀνθρωπίνῳ γένει καὶ θεότητι) ὅμως θελήματι πατρικῷ σαρκωθεὶς ἐξ αὐτῆς, μητέρα ἀνέδειξα, καὶ πάντα τὰ μητρικὰ προνόμια, μετά γε τῆς παρθενείας αὐτῆς, συνετήρησα· οὕτω δὴ οὕτω καὶ τούτους μηδὲν μηδὲ ἐκ τῆς κατὰ σάρκα προσεχοῦς φυλῆς ἐμοὶ δικαίωμα διασώζοντας, ἂν μόνον λάβω πληρωτὰς τῆς ἐμῆς διδασκαλίας καὶ τοῦ πατρικοῦ θελήματος, εἰς τὸν τῶν ἀδελφῶν καὶ μητέρων ἀναβιβάζω κλῆρον καὶ τὸ ἀξίωμα. Ἐκ τοίνυν τῶν εἰρημένων, οἶμαι, σοι σαφῶς ἐπιγνωσθῆναι, ὡς οὐδὲ διὰ τοῦ, Τίς ἐστιν ἡ μήτηρ μου; καὶ τῶν ἐφεξῆς, οὐδαμῶς ὁ δεσπότης ἡμῶν καὶ σωτὴρ μητρικῆς ὑπεροψίας, ἤ τινος ὀλιγωρείας, ἐγένετο ἔνοχος· ἀλλὰ καὶ διὰ τούτων, ὡς καὶ διὰ πάντων τῶν ἄλλων, ἡ θεοτόκος ἐπιδέδεικται τῶν μητρικῶν γερῶν ἀξίως παρὰ τοῦ τεχθέντος ἐξ αὐτῆς ἀπολαύουσα.

Epiſt. 133.

Michaeli ſpatharocandidato.

PRæconis illius vocem quâ profitebatur, ***Non ſum dignus qui ſolvam corrigam calcei ejus***, quod à te quæſitum eſt, ſecundum diverſas conſiderationes expoſitum invenimus: ſunt qui non ſolùm propiùs ad ſcopum, ut ego arbitror accedunt, ſed & ad vocis proprietatem, calceum & corrigiam, hi

Ἐπιστ. ρλγ΄.

Μιχαὴλ σπαθαροκανδιδάτῳ.

ΤΗν τοῦ κήρυκος φωνὴν, καθ᾽ ἣν ἐκεῖνος ἐκήρυττεν, Οὐκ εἰμὶ ἱκανὸς λῦ- Luke 3. 16.
σαι τὸν ἱμάντα τοῦ ὑποδήματος αὐτοῦ, ὅπερ αὐτὸς διηρώτησας, κατὰ διαφόρους θεωρίας ὑπειλημμένην εὑρίσκομεν· Οἱ μὲν γὰρ, οὐ μόνον ἐγγύτερον, οἶμαι, τοῦ σκοποῦ, ἀλλὰ καὶ οἰκείως τῆς λέξεως, ὑπόδημα καὶ ἱμάντα,

τα, οὐχ ἕτερόν τι παρ' ὃ κατὰ κοινὴν χρῆσιν ἅπαντες ἴσασιν, ἀλλ' αὐτὰ ἐκεῖνα νενομίκασι· καὶ τὸν βαπτιστὴν διὰ τούτων ἀποφαίνεσθαι, τὸ καθ' ὑπεροχὴν τοῦ βαπτιζομένου ἀσύγκριτον· τοσοῦτον γὰρ ἐκεῖνόν, φησι, συνεπίσταμαι ἐν ὑπεροχῇ μεγέθους καὶ ἀξιώματος, οὐχ' ὅσον ἐστὶ τὸ μέσον δούλου καὶ δεσπότου, ἀλλὰ καὶ εἴ τις ἄλλη διαφορὰ καὶ διάστασις μηδενὶ ἑτέρῳ ὑπερβολὴν ἀπολείπουσα, οὐδὲ γὰρ οὐδ' εἰς τὴν ἀπασῶν ἐσχάτην δουλείαν ἄξιον ἐμαυτὸν ἐτάζεσθαι τίθημι· τοιοῦτον γὰρ τὸ λύειν ἱμάντα τοῦ ὑποδήματος. Οἱ δὲ ἀναγωγικώτερον ἴσως, ὑπόδημα μὲν τὸν κόσμον ὑποτίθενται, ἱμάντα δὲ τῶν ἐν αὐτῷ θεωρημάτων ὅσα δυσεύρετον ἔχει τὴν κατάληψιν, καὶ τὸν τῆς ἀγνοίας δεσμὸν ἄλυτον· ὃν ὑπόδημα ποιοῦσι τοῦ Ἰησοῦ, ὅτι διὰ παντὸς αὐτοῦ φασὶν ἡ πρόνοια διαπεφοίτηκε, καὶ ὅλον αὐτὸν ἔχει περιλαβὼν καὶ συνέχων· μᾶλλον δὲ ποδὶ τῷ οἰκείῳ διϊθύνει καὶ φέρει πανσόφως· τουτέστιν, οὐδὲ πολλῆς δεῖται τῆς ἐπ' αὐτῷ βουλῆς καὶ προνοίας, ἀλλὰ διὰ τῆς ἐσχάτης καὶ τελευταίας ἐπισκοπῆς τὸ τηλικοῦτον καὶ τοσοῦτον συντηρεῖ τε καὶ διακοσμεῖ φιλοτέχνημα. Αὕτη δὲ ὅσον κομψείᾳ τινὶ διεσχηματίσθη ἡ περίνοια, ἐπὶ τοσοῦτον οἶμαι τῆς ἀληθοῦς ἐννοίας διέστηκεν. Ἕτεροι δέ τινες ὑπόδημα μὲν τὴν σάρκα σημαίνεσθαι, ταύτην γὰρ ὁ λόγος ὑπέδυ φασίν· ἱμάντα δὲ γεγενημένην τῶν φύσεων πρὸς ἀλλήλας συνάφειαν, ἣν ὁ πρόδρομος οὐκ ἀποτολμᾷ λύειν· οὐδ' ὅσοι τῆς ἐκείνου διδασκαλίας κατήκοοι. οὐδὲ γὰρ οὐδὲ θεμιτὸν ἀτόποις ἐννοίαις κατ' ἰδίαν σχίζειν ὑπόστασιν ἀπὸ τοῦ λόγου τὸ πρόσλημμα. Ἄλλοι δὲ παρὰ τούτους, οὐχ ἁπλῶς τὴν σάρκα, ἀλλ' αὐτὴν τὴν σάρκωσιν, καὶ τὴν ἐν ἀνθρώποισι, ὑπόδημα νενοήκασιν· ἱμάντα δὲ, οὐ συνάφειαν φύσεων, ἀλλὰ τῶν περὶ τὴν σάρκωσιν καὶ τὴν ἐνανθρώπησιν ἀπόρων, καὶ λογισμοὺς ἀνθρωπίνους ὑπερβεβηκότων, τὸν σύνδεσμον· ὧν τὴν ἐπίλυσιν καὶ σαφήνειαν, οὐχ ὅτι τινὰς τῶν πολλῶν ἑαυτοῖς ἐπιτρέπειν

non aliud intelligunt quam quæ communiter in communi usu posita esse sciunt: & per illas voces volunt Baptistam intelligere baptizati illius excellentiam, sine comparatione transcendentem. Scio enim illum ego tam excellenti esse dignitate præditum supra meipsum, non in quantum servus à Domino distat, sed si quæ alia est differentia & distantia, quæ à nulla re alia superetur, neque certè ego me in eorum numero reponam, qui illum infimâ contingunt servitute; id enim indicat *solvere corrigiam calceamenti*. Sunt qui magìs adhuc secundum Anagogen, *calcei* nomine Mundum supponunt; *Corrigiam* autem interpretantur speculationes in mundo illiusmodi quæ apprehensionem habent haud facile inveniendam, sed vinculo ignorantiæ insolubili constringuntur. Hunc Jesu calceum supponunt esse, propterea quòd inquiunt Providentia ipsius omnia permeet, & totum mundum amplectatur & contineat. Potiùs autem proprio ipsius pede regulat & agit cum summa sapientia; non eget ob id ipsum, consilio multo aut providâ curâ, sed per extremam & ultimam inspectionem, opus optimo studio ab ipso elaboratum, tale cum sit & tantum, conservat & exornat. Hæc autem expositio, quo magìs ornatu quodam effigiatur, eo opinor recedit longiùs à veritatis intentione. Alii sunt qui per *Calceum*, intelligunt *Carnem* significari, quam nimirum sibi induit *verbum*: *corrigiam* autem naturarum adinvicem connexionem, quam nequaquam ille præcursor solvere audebat, nedum doctrinæ ipsius auditores. Neque enim fas cuicunque fuit per absurdas opiniones quaslibet propria authoritate solvere hypostasin illam quam assumpsit sibi *verbum*. Aliqui ab istis alii non simpliciter *Carnem*, sed ipsam & *Incarnationem*, & Humanitatem susceptam *calceum* interpretantur: *Corrigiam*, non naturarum unionem, sed quæstionum illarum & dubiorum, quæ circa humanitatem in carne susceptam, agitantur; vinculum & annexionem, quæ mentem omnem humanam longè superet: quarum quæstionum solutionem & explicationem, non aliqui è vulgo sibi arrogare debent, aut curiosiùs circa

easdem versari, sed illud exquisitè imprimis cognoscere, quòd nec Johannis sectatores, qui in actione & contemplatione sublime quid & excelsum habebant, abscondita hæc & vix comprehensibilia, certè inexplicabilia, intelligebant. Ipse *Major inter omnes è mulieribus natos*, cùm profitetur se solvere indignum esse *corrigiam calcei*, eodem actu agnoscit non posse se ejusmodi dubias solvere quæstiones. At quænam illæ sunt? Quænam verbi exinanitio? Rerum Conditor quo pacto rei conditæ adunitur? quo pacto pepererit virgo, & partûs dolorum solutionem, sigillum adhibuit virginitatis? quomodo Servator qui pondus & corpus habuit, maris tergora cursu peragravit? quomodo sepulchro, claustris, sigillis tenebatur inclusus? & iisdem ipsis immotis custodiris, indè egreditur? quomodo deinde ostiis clausis in medium processit discipulorum, cum eodem corpore? quomodo plagas, inflicta vulnera impassibilis corporis & incorruptibilis, oculi & digiti perscrutantur? Quomodo cibus & potus conferent non indigenti, nec fluido corpori, quis autem effari potest? Hæc autem & similia vincula, nemo, non dixero è vulgo hominum & fœce promiscua, sed ne quidem si ad Præcursoris perfectionem ascenderit aliquis, planè, clarè, & perspicuè solverit: fieri autem potest, ut unus altero, apud auditores, quid magìs ad animæ solamen, dixerit, & in difficultatis multiplicis expeditionem: veritas autem in istis sine speculis & ænigmatis ultra ipsius vitæ terminos removetur. Atque ità tibi earum expositionum quæ mandantur memoriæ, præcipuas enarravi. Tu factâ discussione optimam amplectere. Quòd si judicium interponere verecunderis, ego primam atque ultimam cæteris præpono. Nam earum una cum argumento subjecto, & cum verbis majorem habet affinitatem; postremam reperies magìs ad contemplationis analogiam facientem. Vale.

λέξει καὶ περιεργάζεσθαι, ἀλλ' ἀκριβῶς κἀκεῖνο συνεπίστασθαι, ὡς οὐδὲ τοῖς κατὰ Ἰωάννην, ἔν τε πράξει καὶ θεωρίᾳ, τὸ ὑψηλὸν καὶ μετέωρον ἔχουσιν, οὐ μὴν ὅσῳ οὐδὲ τούτοις, τῶν ἀπορρήτων ἐκείνων τὸ κρύφιον καὶ δυσκατάληπτον εἰς γνῶσιν ἀφίκοιτο. αὐτὸς γὰρ ὁ μείζων ἐν γεννητοῖς γυναικῶν, δι' ὧν μὴ δύνασθαι λύειν τὸν ἱμάντα ὡμολόγησε, μηδ' αὐτὸν ἱκανὸν ἂν γενέσθαι παρίστησι τὰ τοιαῦτα τῶν ἀπορημάτων ἐπιλύσασθαι. Τίνα δέ ἐστι ταῦτα; τίς ἡ τοῦ λόγου κένωσις; πῶς ὁ πλάστης ἑνοῦται τῷ πλάσματι; παρθένος δὲ πῶς ἂν τέκοι, καὶ τὴν τῶν ὠδίνων λύσιν σφραγῖδα τῆς παρθενείας ποιήσαιτο; πῶς ὄγκον ἔχων ὁ σωτὴρ καὶ σῶμα, θαλάσσης νῶτα διέτρεχε; πῶς δὲ τάφῳ καὶ κλείθροις καὶ σφραγῖσι περιείχετο; τούτων δὲ πάλιν ἀκινήτων φυλαττομένων ἐκεῖθεν προέρχεται; εἶτα δὲ καὶ τῶν θυρῶν κεκλεισμένων εἰς μέσους τοὺς μαθητὰς, μετὰ τοῦ αὐτοῦ σώματος, ἐπιφαίνεται; καὶ πληγὰς καὶ τρώσεις τοῦ ἀπαθοῦς καὶ ἀφθάρτου ὄψεις ἐξερευνῶσι καὶ δάκτυλοι; βρῶσις δὲ καὶ πόσις τῷ ἀπροσδεεῖ καὶ *ἀρεύστῳ πῶς ἄν τις ἐξείποι διαπράττεται σώματι; Τούτων οὖν καὶ τῶν τοιούτων δεσμῶν οὐκ ἔστιν ὅστις οὐχ ὅτι τῶν πολλῶν καὶ τυχόντων, ἀλλ' οὐδ' εἴ τις εἰς τὴν τοῦ προδρόμου διέβη τελείωσιν, οὐδὲν σαφῶς καὶ καθαρῶς ἐπιλύσεται. ἀλλ' ἕτερος μὲν ἴσως ἑτέρου τοῖς ἀκροαταῖς ἐρεῖ τι ψυχαγωγικώτερον, καὶ τῆς πολλῆς ἀπορίας παραμύθιον· ἡ δὲ χωρὶς ἐσόπτρων καὶ αἰνιγμάτων ἐν τούτοις ἀλήθεια, τῶν ἐν βίῳ πάντων ὁμοίως ἀποκεχώρηκεν. Ἀλλὰ ταῦτα μέν σοι τῶν κατὰ μνήμην σωζομένων οἶμαι τὰ ἀξιολογώτερα ἔγραψα· σὺ δ' ἐπικρίνας στέργοις τὸ ἄμεινον. Εἰ δ' ἐξ εὐθείας τὴν κρίσιν, ἐγώ σοι τὸ πρῶτον καὶ τὸ τελευταῖον τῶν ἐν μέσῳ προτίθημι. Τὸ μὲν γὰρ καὶ τῆς ὑποθέσεως καὶ τῶν ῥημάτων ἐστὶν οἰκειότατον· τὸ δὲ τελευταῖον τῶν κατὰ θεωρίαν εὑρήσεις ἀναλογώτερον. Ἔρρωσο.

* leg. ἀῤῥεύστῳ.

Ἐπισ. ρλδ'.

Ἰωάννῃ Ἀσπαθαρίῳ καὶ Ἀνθ. τοῦ δρ. τὸ ἐπίκλην Χρυσοχέρῃ.

Οὐδὲν λυμαίνεται τῇ εἰκόνι Χριστοῦ, τὸ, λέγεσθαι τὸν υἱὸν ἀληθινὴν εἰκόνα τοῦ πατρὸς, ἢ τὸν ἄνθρωπον ἀληθῶς κατ' εἰκόνα γεγενῆσθαι θεοῦ· οὐ μὴν οὐδ' ἐπειδὰν λέγωμεν, τοὺς κατ' ἀρετὴν βεβιωκότας τὴν ἀληθῆ μορφοῦσθαι εἰκόνα Χριστοῦ. Οὐ γὰρ ἐπὶ διαβολῇ τῆς τεχνήτης εἰκόνος, ταῦτα λέγεται, οὐδ' ἵνα ψεῦδος αὐτῇ ἐπιγράφοιτο· ἀλλ' ὡς ἂν αὐτῶν ἡ πρὸς ἄλληλα διαφορὰ ἐπιγινώσκοιτο. Οὐδὲ γὰρ οὐδ' ὅταν τὸν υἱὸν ἀληθινὴν σοφίαν προσαγορεύωμεν, τὴν ἐκ τῶν θείων γραφῶν σοφίαν τῆς ἀληθείας ἐξορίζομεν· οὐδ' ἐπειδὰν φῶς αὐτὸν ἀληθινὸν, ἢ ζωὴν ἀληθινὴν ὀνομάζωμεν, τὸ ἡλιακὸν φῶς, ἢ τὴν ἡμετέραν ἐνταῦθα ζωὴν, ἵνα μὴ λέγω τὴν ἐκεῖθεν, ψευδυπόστατον ἀποφαίνομεν· οὕτως οὐδ' ὁπηνίκα φαμὲν ἀληθινὴν εἰκόνα τὸν υἱὸν, οὐχὶ τὰς εἰκόνας, αἳ τὴν γένεσιν εἰσὶ λαχοῦσαι διὰ μιμήσεως, εἰς ψεῦδος ἐλαύνομεν· ἀλλὰ, τὸ πρὸς αὐτὰς, ἐκείνης, καθ' ὑπεροχὴν δηλοῦμεν διάφορον. Ἄκουσον τοίνυν τὸν υἱὸν τῆς βρόντης, ὅπως ἡμῖν ἄνωθεν βροντῶν, τὴν τοιαύτην χρῆσιν τῶν λόγων ἐννοεῖν δίδωσιν. Ἄμφω γὰρ ἐν τῷ εἰπεῖν, καὶ χάριν ἀντὶ χάριτος, τήν τε παλαιὰν καὶ τὴν νέαν, τῷ τῆς χάριτος ἐξονομάσας προσρήματι· εἶτα τὸ ὑπερανεστηκὸς * θάτερα πρὸς τὴν ἑτέραν παριστῶν, ὁ νόμος, φησὶ, διὰ Μωσέως ἐδόθη, ἡ χάρις δὲ καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο. Δῆλον γὰρ ὡς ταῦτα λέγων, οὐχὶ τὴν ἀλήθειαν ἢ τὴν χάριν, τοῦ Μωσαϊκοῦ νόμου περιέκοψεν· αὐτὸς γὰρ ἦν, ὁ μικρῷ πρόσθεν, τῷ τῆς χάριτος αὐτὸν ἀποσεμνύναι ὀνόματι. Οὐ μὴν οὐδὲ ψεῦδος αὐτοῦ κατηγόρησεν, οὐδὲ γὰρ ἐφ' ὕβρει καὶ διαβολῇ τοῦ νόμου, τὸ, Ἡ χάρις δὲ καὶ ἀλήθεια δι' Ἰησοῦ Χριστοῦ ἐγένετο, τοῖς εὐαγγελικοῖς θεσμοῖς περιήρμοσεν (Ἡρακλέων γὰρ ἂν οὕτως εἴποι, καὶ οἱ παῖδες Ἡρακλέωνος) ἀλλ' ἐπισημοτέραν δηλονότι καὶ τελειοτέραν τὴν τοῦ δεσπότου φιλοτιμίαν τῆς

τεχνίτης.

* ἴσ. θατέρας.

Epiſt. 134.

Johanni Aſpathario cognominato Chryſoceri curſus Curatori.

NOn detrahit aliquid Chriſti imagini, ſi Filius dicatur vera Patris imago, aut, homo verè factus ad imaginem Dei: nè tum ſi affirmamus eos qui ſecundum virtutem vivunt, ad veram Chriſti imaginem conformari. Non enim ut traducatur imaginis artificium, hoc dicitur; non ut mendacium imagini affricetur: ſed ut illa quæ intercedit diverſitas intelligatur. Non enim cùm Filium veram ſapientiam nominamus, ſapientiam à divinis oraculis eliminamus; ſed nec cùm lucem veram, vitam veram, dicimus, lumen ſolare aut vitam hîc noſtram, multo minùs illam futuram, falſariæ ſubſiſtentiæ inniti inſinuamus. Eodem modo & cùm Filium profitemur veram imaginem, non illas imagines, quæ ſuum ortum ab imitatione ſortiuntur, in mendaciorum ordinem rejicimus; tantummodò differentiam quam illa ad iſtas habet per exceſſum ſignificamus. Audi igitur Filium tonitrûs, quemadmodum ille, de cœlo intonans, nobis talem verborum ſenſum ſuggerit. Utrumque certè, in eo, *gratiam pro gratia*, novum & vetus; uno eodem gratiæ titulo appellans; addit deinde eminentiam, ubi unum cum altero comparat, *Lex* inquiens *per Moyſen dabatur*, *Gratia autem & veritas per Jeſum Chriſtum.* Manifeſtè patet, quòd cùm ità dicat, nec gratiam nec veritatem à Moſaica lege abſcidit, ipſe enim ille fuit qui paulò priùs appellatione *gratiæ* ipſam inſignierat. Sed nec mendacium illi imputat. Non enim in contumeliam aut Crimen legis dictum illud, *Gratia autem & veritas per Jeſum Chriſtum fuit*, Evangelicis ſancitis adaptabatur (Heracleon ità diceret, & Heracleonis filii) ſed profectò magìs illuſtrem & perfectam Domini magni-

ficentiam

ficentiam oſtendere volens quam habuit Lex per Moyſen data, generali illo nomine *Gratiæ* & *veritatis* complexus eſt. Quin & divinus Paulus cùm dixit, *Umbram habens Lex futurorum bonorum, non ipſam imaginem rerum*, legem typum & imaginem eſſe futurorum bonorum, non prædicavit; ſed imprimis per verborum illorum tenorem, docere voluit potiùs gratiam, quàm legem, bonorum futurorum fruitionem repreſentare. Quin & decantatus in explicandis & docendis divinis literis, Johannes Chryſoſtomus, multis in locis hâc figurâ dictionis uſus eſſe agnoſcitur. Divina oracula commentariis explanans, & linguam in iis enodandis adhibens, quæ cum Nicodemo diſſerebat Servator, ſermonéſq; ferens de Baptiſmate regenerationis, & generatione ſupra & ſine tempore, Filii à Patre, *Utramque ait hæc generatio cæleſtis ſit, cum illa tamen vera generatione collata, quæ de paterna eſſentia eſt, terrena potiùs cenſebitur.* Audis, ut dicat, reſpectu ad illam veram habito. Num non ergo per baptiſma vera eſt regeneratio? Quis niſi ſummâ inſaniâ percitus, dicet itá? Quomodo ergò dixit ille, *Collata cum illa vera?* nempe hujus ſublimitatem laudat, admiratur, nec tamen hanc privat veritate. Quid opus eſt ità colligam? Attende enim potiùs ut ipſe rem eandem, non ſenſu ſolo, ſed verbis ipſiſſimis, unà concinit mecum, & oſtendit illum ipſum ſermonum uſum in Domini noſtri verbis inſidentem. Nam cùm de Manna Judæis, ſic prolocutus Chriſtus eſſet, *Moſes non dedit vobis panem, ſed Pater meus vobis dat verum panem;* ille mortem Domini enucleans, ait; panem autem appellat hîc verum, non quod falſum erat illud miraculum, quod in Manna edebatur; ſed quòd figura erat, & non ipſa rei veritas: ſunt & ſexcenta alia iſtiuſmodi. Sed quorſum hanc vel illum ego teſtem cito? generatim omnes, cùm Eccleſiæ alumni, tùm exterorũ doctiſſimi, ſolis exceptis

Μωσαϊκῆς νομοθεσίας παραστῆσαι βουλόμενος, τῆς χάριτος αὐτὴν καὶ ἀληθείας τῇ κοινῇ προσηγορίᾳ περιέλαβεν. Ἀλλὰ καὶ Παῦλος ὁ θεῖος, Σκιὰν ἔχων ὁ νόμος τῶν μελλόντων ἀγαθῶν, οὐκ αὐτὴν τὴν εἰκόνα τῶν Heb. 10 1.
πραγμάτων, ἀποφαινόμενος, οὐ τὸ εἶναι τὸν νόμον τύπον καὶ εἰκόνα τῶν μελλόντων ἀγαθῶν, ἀπεκήρυξεν· ἀλλὰ διὰ τῶν ῥημάτων τούτων ἐνεδείξατο, μᾶλλον τὴν χάριν ἢ τὸν νόμον, τῶν μελλόντων ἀγαθῶν εἰκονίζειν τὴν ἀπόλαυσιν. Ναὶ δὴ καὶ ὁ πολὺς ἐν τῇ τῶν θείων γραφῶν ἀναπτύξει καὶ διδασκαλίᾳ Ἰωάννης ὁ Χρυσόστομος, πολλαχοῦ κεχρημένος τῷ τοιούτῳ σχήματι τῶν λόγων δείκνυται. Τοὺς γὰρ θείους ὑπομνηματίζων χρησμοὺς, καὶ εἰς τὰ πρὸς τὸν Νικόδημον εἰρημένα τῷ δεσπότῃ, τὴν τῆς ἑρμηνείας γλῶτταν ἐπαφεὶς, καὶ περὶ τῆς διὰ τοῦ βαπτίσματος ἀναγεννήσεως, καὶ τῆς ἀχρόνως ἐκ πατρὸς τοῦ υἱοῦ γεννήσεως τὸν λόγον κινῶν, Εἰ γὰρ καὶ αὐτή, φησιν, ἡ γέννησις ἐπουράνιος· ἀλλὰ πρὸς ἐκείνην παραβαλλομένη τὴν ἀληθῆ, καὶ ἐκ τῆς τοῦ πατρὸς οὐσίας, ἐπίγειος. Ἀκούεις ὅπως πρὸς ἐκείνην φησὶ τὴν ἀληθῆ. Τί οὖν ἡ διὰ τοῦ βαπτίσματος οὐκ ἔστιν ἀληθής; καὶ τίς ἄν, εἰ μὴ τῶν σφόδρα μαινομένων εἴη, τοῦτο φάναι τολμήσειε; Πῶς οὖν ἐκεῖνος ἔφη πρὸς ἐκείνην τὴν ἀληθῆ; τὸ ὑψηλότερον ἐκείνης καὶ θαυμασιώτερον ἐξυμνῶν, οὐ ταύτην τῆς ἀληθείας ἀποστερῶν. Καὶ τί δὲ τοῦτο φημί; ἄκουε μᾶλλον αὐτὸν τὰ αὐτὰ ἐμοὶ, οὐ τοῖς νοήμασι μόνον, ἀλλὰ καὶ αὐτοῖς τοῖς ῥήμασι συμφθεγγόμενον, καὶ τὴν τοιαύτην τῶν λόγων χρῆσιν ἡμῖν, κἂν τοῖς τοῦ δεσπότου ῥήμασιν ἐγκειμένην, ὑποδεικνύοντα. Τοῦ γὰρ σωτῆρος τοῖς Ἰουδαίοις εἰπόντος περὶ τοῦ Μάννα, ὡς οὐχὶ Μωσῆς δέδωκεν ὑμῖν τὸν ἄρτον· ἀλλ᾽ ὁ πατήρ μου δίδωσιν ὑμῖν τὸν ἀληθινὸν ἄρτον· αὐτὸς τὸν νοῦν ἀναπτύσσων τὸν δεσποτικὸν, οὕτω φησίν. Ἄρτον δὲ ἀληθινὸν καλεῖ, οὐκ ἐπειδὴ ψευδὲς ἦν τὸ θαῦμα, τὸ ἐπὶ τοῦ Μάννα· ἀλλ᾽ ὅτι τύπος ἦν, οὐκ αὐτοαλήθεια. Καὶ μυρία ἄλλα. Ἀλλὰ τί τὸν δεῖνα μάρτυρα ἢ τὸν δεῖνα καλῶ; κοινῶς ἅπαντες καὶ τῆς ἐκκλησίας οἱ τρόφιμοι, καὶ τῶν θύραθεν οἱ λογιώτατοι, πλὴν τῶν Εἰκονομαχούν-

τῶν, ὡς ἔοικε, ταύτην τοῦ λόγου τὴν χρῆσιν συνεπίσαντο· καὶ γέμουσιν αἱ βίβλοι τὸ τοιοῦτο τῶν λόγων ἰδίωμα. Ὡς ἐπὰν ὦσι δύο τινὰ, ἢ καὶ πλείονα καθ' ὁμωνυμίαν, ἢ καθ' ἕτερόν τινα τρόπον, τὴν αὐτὴν κλῆσιν ἐφελκόμενα, ἢ καὶ ἄλλως ἐν τισι κοινωνίαις ἰδιωμάτων τυγχάνοντα· ἡνίκα τις περὶ τοῦ ἐν αὐτοῖς ὑπερέχοντος τὸν λόγον ποιήσασθαι βουληθῇ, τὰ κοινῇ προσόντα πᾶσι, κατ' ἐξαίρετον ἐκείνῳ φέρων δίδωσιν· οὐχὶ τῶν ἄλλων αὐτὰ παντελῶς ἀφαιρούμενος, ἀλλὰ διὰ τούτου τὴν τοῦ προκειμένου ὑπεροχὴν πρὸς τὰ λοιπὰ ἐνδεικνύμενος· καὶ τοῦ λόγου ἀρκέσῃ παράδειγμα, τὸ, οἶμαι, ἃ προείρηται. Εἰ δὲ καὶ ἑτέρων βούλει παράθεσιν, αὐτὸς κατὰ σεαυτὸν τὰ βιβλία διερχόμενος, ὅλην ἀπαρτίσεις βίβλον τῶν τοιούτων χρήσεων τὰ παραδείγματα ἐγγραφόμενος.

Iconomachis, hunc verbi usum, ut videtur, agnoscunt: & scatent passim libri, istiusmodi verborum proprietatibus: Ut putà, cum duo quædam aut etiam plura sunt, quæ per homonymiam aut alium quendam modum dicuntur, eandem attrahunt ad se appellationem, vel alio aliquo modo, cum communicatione idiomatum adhibentur; qui sermonem instituit de præcellentiori, illa quæ communiter ad omnia spectant, per excessum eidem accommodando tribuit; nec ab aliis interim illa aufert, sed per illud alicujus excellentiam super cætera declarat. Opinor quod allatum est exemplum, sufficit, quod dico, demonstrare. Sin & alia quoque adjicienda desideres, ipse per temet solus sacra biblia percurre, & coacervabis tot exempla, istius usus, quæ conficere volumen queant.

NOTÆ.

PLuries ad hunc scripsit Photius, & in omnibus ad quæsita de scripturis respondet; hinc patet fuisse discendi cupidum: alibi Σπουδαῖος dicitur, & χρυσοχέρης. Fuit autem cursus publici Curator; postmaster-generall nos dicimus: Græci posteriores λογοθέτην τοῦ δρόμου. Quæstionem nimis subtilem, si non ridiculam tractat, An quia Filius, vera Imago Patris sui dicitur, ideo imagines artificiosæ falsæ sint, fictæ, nec Imagines. Cui respondet, nequaquam ità esse. Non enim veritas uni alicui individuo ascripta, omnibus aliis detrahitur. Hanc ipsam quæstionem, Iconomachorum præcipuum argumentum, & alibi tractat. Ἐπὶ διαβολῇ τῆς τέχνης τῆς εἰκόνος] In margine nostri codicis erat τεχνίτης· frustrà: legendum τῆς τέχνης aut τοῦ τεχνίτου τῆς εἰκόνος. In loco recitato, ex Evangelii Johannis 1. 14, 16. deerant ista necessariò adhibenda, διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο. Heracleon de prosapia Gnosticorum erat, antiquissimus Hæreticus, Marci sectator. Æonum assertor. Duorum Principiorum architectus; sed contra legem nihil ejusmodi statuit quale commemorat Photius, apud Tertullianum, Epiphanium, Augustinum. Διὰ μιμήσεως.] est hæc Imaginis, εἰκόνος ὀνοματοθεσία: nam ab imitatione Imago dicitur, quasi imitago. Ἐικὼν, ab εἴκω similis sum, vel ὁμοιῶ, ut exponit Etymologus.

Ἐπισ. ρλε'.

Κωνσταντίνῳ ἀδελφῷ.

Τὸ περὶ τοῦ προδρόμου, ἐν ἐπαίνῳ καὶ κατ' ἐρώτησιν εἰρημένον, Ὁ δὲ μικρότερος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, μείζων αὐτοῦ ἐστιν· τοὺς πλείστους τῶν πρὸ ἡμῶν, ἀποφαινομένους εἰπεῖν τὸν δεσπότην, καὶ ψῆφον οἰκείαν φέρειν, ὑπειληφότας ἐγνώκαμεν. Τούτων δὲ, οἱ μὲν συνάπτοντες τὸ, μικρότερος, καὶ τὸ, ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, ὑφ' ἓν ἀναγινώσκουσι· καὶ τὸν ἐν αὐτῇ τῶν ἄλλων μικρότερον, τοῦ Ἰωάννου τιθέασι μείζονα. Βασιλείαν μὲν ἐνταῦθα, τὸν μετὰ τὴν δεσποτικὴν ἀνάστασιν * ἐξακούοντες· καθ' ὃν μάλιστα τῷ σταυρῷ, καὶ τῷ βαπτίσματι, καὶ τῷ πνεύματι, ἐτελεῖτο καὶ ἐκρατύνετο τὰ τῆς πίστεως· μικρότερον δὲ, τὸν ἐν αὐτῇ πολιτευομένων

Luc. 7. 28. Matt. 11. 11.

* χρόνον.

Quod per quæstionem in Præcursoris laudem dicitur, *At qui minimus est in regno cælorum, major illo est*; scio plurimos ex iis qui me præcesserunt, arbitrari Servatorem ità protulisse, ut proprii animi sensum explicaret. Inter illos quidam connectunt illud, *Minimus*, cum illis *in regno cælorum*, & ὑφ' ἓν, aut tanquam unicum periodum, pronunciant: atque illum qui in illo regno aliis minor est omnibus, majorem existimant Johanne. *Regnum* illi hic interpretantur, tempus destinatum post Dominicam resurrectionem: quo temporis curriculo, res fidei per crucem, baptismum, spiritum, perfectionem & robur

robur acquirebant. *Minimum* in eo, postremum inter eos volunt, qui in illa politia conversantur; qui utcunque quàm cæteri minùs possidet, magis tamen Johanne consequitur. Præcursor enim, aiunt, sub legis adhuc disciplina vivens, inter *natos* censetur de *mulieribus*, & contra illos omnes principatum retulit. At qui sub gratia vivit, inter *natos* est de Spiritu, & de sursum regeneratos; *Dedit* enim *ipsis potestatem filios Dei esse, qui in nomen ipsius credunt, qui non ex sanguinibus, nec de voluntate carnis, sed ex Deo nati sunt*: Atque nullo istorum inquiunt Præcursor major est, quinimò vel minimo eorum indigentior. Atque hactenus illi. Alii Baptistam opinor nec immeritò, reveriti, nè talem tantúmque virum cum nullo eorum qui per *gratiam* consummantur, æquiparandum statuant, sed vel minimo magis vilem: imprimis illud, *Is qui minimus est*, per disjunctionem à sequentibus, *qui in regno cælorum est*, legunt: secundò, *per regnum cælorum* expeditiùs secundum Domini adventum capiunt; *Minimum* dici volunt ipsum Dominum Jesum Christum, qui utcunque in primi sui adventus tempore, de multorum opinione non erat major quàm Præcursor; tunc tamen temporis ab omnibus etiam non volentibus eum olim agnoscere & profiteri, cum horrendo & horribili aspectu agnoscetur, judex nimirum in adventu illo & rex apparens: sed tamen isti Dominum nostrum Jesum Christum, *minimum* dici arbitrantur, non secundùm unam & eandem intelligentiam: Quidam referunt ad tempus nativitatis in carne; nam per sex totos menses, nativitas Præcursoris, Domini, antevertebat. Alii ad ætatis extensionem & vitæ mensuram: traditum enim est, Præcursorē Dominum excessisse cursu corporali suo. Alii illud *minimus* secundùm multorum opinionem dictum arbitrantur; ferebatur enim major Johannes, utpote Deo ab infantia consecratus, quique vitam asceticam & eremicolam ab ipsis crepundiis sectabatur: tum quòd communi & trito sermone, is qui baptizat major habetur baptizato & venerabilior. Attamen isti, utcunque propter diversas

νων, τὸν ἐλάσσονα· ὃς εἰ καὶ τῶν ἄλλων ἔχει τὸ ἔλαττον, ἀλλ' οὖν τοῦ Ἰωάννου τὸ μεῖζον ἀποφέρεται. Καὶ γὰρ ὁ μὲν πρόδρομος ἔτι, φασιν, ὑπὸ τῷ νόμῳ πολιτευόμενος, ἐν γεννητοῖς ἐστι γυναικῶν, καθ' ὧν ἁπάντων, καὶ τὰ πρεσβεῖα ἠνέγκατο· ὁ δὲ ἐν τῇ χάριτι, καὶ ἐν γεννητοῖς ἐστι πνεύματος, καὶ ἀναγεγεννημένος ἄνωθεν· ἔδωκε γὰρ αὐτοῖς ἐξουσίαν τέκνα θεοῦ γενέσθαι, τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ, οἳ οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος σαρκὸς, οὐδὲ ἐκ θελήματος ἀνδρὸς, ἀλλ' ἐκ θεοῦ ἐγεννήθησαν· ὧν ὁ πρόδρομος, οὐδενὸς, φασὶν, οὐχ ὅτι μείζων, ἀλλὰ καὶ τοῦ μικροτέρου * ἐνδεέστερος. Ἀλλ' οἱ μὲν οὕτως. Οἱ δὲ τὸν * ἔπι. Βαπτιστὴν, οἶμαι, καὶ δικαίως δυσωπούμενοι, εἰ τηλικοῦτον ὄντα, μηδενὸς τῶν ἐν τῇ χάριτι τελειωθέντων ἰσοστάσιον, ἀλλὰ καὶ τοῦ μικροτέρου ποιήσωσιν εὐτελέστερον· πρῶτον μὲν τὸ, ὁ δὲ μικρότερος, κατὰ διαστολὴν τοῦ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, ἀναγινώσκουσιν· Ἔπειτα βασιλείαν οὐρανῶν, ἑτοιμότερον τὴν δεσποτικὴν καὶ δευτέραν παρουσίαν ἐξακούουσι· μικρότερον δὲ, αὐτὸν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν· ὃς, εἰ καὶ μὴ κατὰ τὸν καιρὸν τῆς πρώτης αὐτοῦ παρουσίας, μείζων τοῦ προδρόμου τοῖς πολλοῖς ἐνομίζετο· ἀλλ' οὖν τηνικαῦτα δὲ πᾶσι, καὶ τοῖς μὴ βουληθεῖσιν ἐπιγνῶναι πάλαι, μετὰ φοβερᾶς καὶ φρικώδους ἐπιγνωσθήσεται τῆς εἰδήσεως, κριτὴς πάντων καὶ βασιλεὺς παραγενόμενος. Ἀλλὰ καὶ οὗτοι, μικρότερον εἰρῆσθαι τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, οὐ κατὰ μίαν καὶ τὴν αὐτὴν παρεδέξαντο ἔννοιαν· ἀλλ' οἱ μὲν τῷ χρόνῳ τῆς κατὰ σάρκα γεννήσεως· μησὶ γὰρ ὅλοις ἓξ ὁ δεσποτικὸς τόκος τοῦ προδρόμου ὑπελείπετο· οἱ δὲ, τῷ μήκει τῆς ἡλικίας· ὑπερέχειν γὰρ τοῦ δεσπότου, καὶ τῇ τοῦ σώματος ἀναδρομῇ, τὸν Βαπτιστὴν παραδέδοται· ἄλλοι δὲ, τὸ μικρότερος, εἰρῆσθαι πρὸς τὴν τῶν πολλῶν ὑπόληψιν ἐξειλήφασιν· ὑπείληπτο γὰρ μείζων ὁ Ἰωάννης, ἅτε δὴ θεῷ ἐκ βρέφους ἀνειμένος, καὶ βίον * ἄσκευον ἐκ * ἀσκητικόν. σπαργάνων αὐτῶν καὶ ἐρημικὸν ἐπανῃρημένος· καὶ διότι τὸν βαπτίζοντα τοῦ βαπτιζομένου, ὁ πρόχειρος λογισμὸς * ἐθέλει σεβασμιώτερον· ἀλλ' οὗτοι μὲν, κἂν ἐπὶ διαφόρους αἰτίας, μι- * ποιεῖν.

 κρό-

κρότερον τοῦ προδρόμου τὸν κηρυσσόμενον τοῖς πολλοῖς νομισθῆναι συγκατέθεντο, πλὴν ἀλλ' ὁμοφώνως ἀναῤῥηθῆναι μείζονα τοῦ δούλου τὸν δεσπότην, κατὰ τὴν οὐράνιον ἐκείνην καὶ φρικτὴν βασιλείαν, ἀπεφήναντο. Ἐγὼ δὲ τούτοις διαιτᾷν ἐμαυτὸν ἐξίστας, καὶ τὸν ἄμεινον εἰπόντα * φυλοκρινεῖν οὐ νομίζων ἐμόν· οὐδ' ὡς ἀντείποιεν οἱ ἐπικληθέντες τοῦ βαπτιστοῦ πολλὴν [illegible] ταπεινότητα, ὅπερ οὐδὲ τοῖς αἰτιασαμένοις ὑμῖν μέγα τι [illegible]), μείζονα τοῦ δούλου τὸν δεσπότην ἀποφῆναι, ποῖον γὰρ κλέος δεσπότην δούλου μείζονα φαίνεσθαι· καὶ τότε κατὰ τὴν ἄφραστον ἐκείνην καὶ φρικτὴν παρουσίαν; Οὐδὲν οὖν τούτων λέγειν, ἐμοὶ [illegible] δικαιώσας, ἀλλὰ τοὺς ἄνδρας ἀρχιερεῖς ὄντας μάλιστα, καὶ θεοῦ [illegible], στέργων, καὶ χάριν μεγάλην ὑπὲρ ὧν εἶπον, ὁμολογῶν· (οὐ γὰρ ἔστι τὴν ἑτέραν διανοίας [illegible] ποιεῖν, ταῦτα καὶ τοῖς ἐξηγηταῖς [illegible] λαβήν τινα προξενεῖ· ἀγαπητὸν μὲν εἴ τις ἀρχόμενος ὑψηλῆς τινὸς θεωρίας, ἐπιποσόν τι τῆς ἀληθείας ἐφίκοιτο· οἱ δέ γε κλεινοὶ τῶν πατέρων ἡμῶν, ἐπὶ γε τὸ πλεῖστον, καὶ εἰς ἀκρίβειαν τὴν τῶν θείων γραμμάτων διάνοιαν ἀπεκάλυψαν) πλήν γε δὴ τοὺς ἄνδρας ἐν τοῖς μάλιστα τιμῶν καὶ θαυμάζων, οὐδ' ὅπερ ἐμοὶ παρέστη, σιγήσομαι. Ὁρῶ [illegible] ἐνταῦθα σκοπὸν τῷ δεσπότῃ, οὐχ ἑαυτὸν τὸν βαπτιστὴν ὑπερβεβηκότα δεῖξαι, οὐδ' ἄλλου τινὸς (μὴ ὅτι γε τοῦ μικροτέρου πάντων ἀτιμότερον) ἀλλὰ καὶ πᾶν τοὐναντίον ἐπαίνοις δοξάσαι· καὶ γὰρ τῶν προειρημένων, τὸ μὲν ἀσύμφορον ἴσως, τὸ δὲ ταπεινόν· εἴ τε γὰρ τὸν κήρυκα εἰς ἐσχάτους ἐλαύνοις, οὐδὲ τοῦ κηρυσσομένου τὸ ὑψηλὸν διασώσεις· καὶ τὸ δοῦλον ἐλαττῶσαι, μάλιστα νῦν [illegible], καὶ μικροψυχίαν [illegible] ἐκφεύγει· ἀλλ' ὅ γε ὁ δεσποτικὸς σκοπὸς δῆλος ἐστὶν εἰς ἔπαινον ἀφορῶν (καὶ μάλα δικαίως) τοῦ προδρόμου· ᾤκει μὲν γὰρ ὁ μέγας ἐκεῖνος ἄνθρωπος, ὑπὲρ θείων νόμων τὸ δεσμωτήριον· ἀλλὰ τῶν μὲν κακῶν, οἷς συνείχετο ὑπερορῶν [illegible] * [illegible] ξίφος, οὐδὲ τὴν σφαγήν· ἀλλὰ μή, τὸν θάνατον ὑπερ-

* ἴσ. φιλοκρινεῖν.

* δ.

causis, cum qui prædicabatur, minorem præcursore a multis existimatum consentiant, nihilominus unanimi conspiratione docent, Dominum suo servo majorem prædicari in regno illo cœlesti, & adorando. Ego me hisce conciliandis non immisceo, nec mihi arrogo facultatem dijudicandi, quinam ex illis potiorem sequantur sententiam; nec contrà contendent illi ob hanc causam, qui dicuntur extremam Baptistæ humilitatem exprobare; sed nec vos qui quæruli culpatis, quasi magnum nescio quid cogitaretur in eo, quod major esse servo suo prædicatur Dominus. (Quantum enim quæso accederet gloriæ, si Dominus servo major appareat, maximè per adventum illum ineffabilem & formidabilem) nihil igitur istorum affirmare cùm ad me statuam attinere, sed Authores, cùm essent homines Episcopatu præditi, dilectione prosequens, & simul ipsis gratias multas debere agnoscens pro scriptis suis (nec enim eadem quæ evidentiam aliorum animis imprimunt, iis qui Principes illa prædicârant verba Scripturæ ansam exporrigunt, certè habendum est in numerato, siquis exorsus sublimem aliquam speculationem quadantenus progreditur in apprehendenda veritate: præclari certè Patres illi nostri, plerumque sacrorum literarum intimos sensus exactiùs expressere) tamen cùm illos summo honore prosequar, non ego subticebo quod mihi visum est. Animadverto enim hoc in loco, Dominum haudquaquam id intendere, ut se baptistam superambulare demonstraret, nè quidem in aliqua re (nedum ut per illud *minimus* omnium hominum poneret vilissimum) sed planè contrarium, voluisse laudibus illustrare. Certè præallegatarum sententiarum, una incommoda est fortassis, altera humilis; nam si Præconem in ima subsellia rejeceris, haud tueberis prædicati sublimitatem; & servum imminutum dare imprimis supervacaneum est, nec non abjecti animi existimabitur. Scopus domini manifestè collimet laudem Præcursoris (nec immeritò) egregius enim ille vir pro lege tunc divina includebatur carceri; mala quibus stringebatur infra se posita ducebat; nec metuebat gladium, non occisionem; sed nè cùm mortem superâsset perniciosum dogma sub-

subintroductum apud homines deponeret, & Domini magnalia per socordiam neque quidem leviter vilificaret; plurimi enim præconem ipsum præconizato majorem arbitrabantur: quorum è numero erant ex ejus discipulis aliqui, per ambitionem hoc morbo laborantes, magistri sui præstantiam ad ipsorum propriam existimationem augendam trahentes. Hoc cùm ille adverteret, urebatur, & ut improbam hanc evelleret opinionem, nil non tentavit; sæpè varios miscendo sermones discipulos inde abducere nitebatur; quos cùm videret haud sufficienter movere, quin potiùs ut acriùs certamen inirent, aliam inivit rationem, & ab ipso oculorum intuitu cogitavit id iis persuadere. Vide mihi sis autem quàm prudenter hoc tractat argumentũ. Mittit discipulos ad eum cujus emulatione capiebantur, & quæstionis formam præscribendo id egit, ut per ea quæ oculis usurpabant salutem ipsorum procuraret, atq; error ille antiquior per discipulorum emendationem etiam apud alios excuteretur, & in toto diffluerent; itaque ubi advenerant, is qui baptistæ immiserat cogitationem illam, verbis ad quæsita nihil respondet; sciebat enim & persuasum habebat, eum qui per exultationem in utero materno, qui per maternam linguam ipsum prædicaverat, necnon plurimis deinceps illustrissimis testimoniis & divinis enunciationibus idem præstiterat, nullâ indigere ulteriùs de se doctrinâ; ità signis & prodigiis opinionem excedentibus, inconcretum suæ suggerit Deitatis; qui eos mittebat id machinabatur ut suspensos redderet à miraculis, quos demum morigeros præceptori factos, & Divinitatis suæ præcones remittit Christus. Enimverò Baptista cùm hoc modo discipulis errorem exemisset, per eosdem etiam cæteros omnes, viæ dux ad communem dominum se transferre fecit. Quin & Servator, cùm auditores suos ad imitationem reliquarum viri virtutum induxerat, tantum ipsius atque tale studium amplexatus, propensionem animi dominicis suis & meritis remunerat en-

χόμενος, ὀλέθριον δόγμα ὑπολείποιτο τῷ βίῳ· καὶ τὸ τοῦ δεσπότου μεγαλεῖον, τῷ καθ' ἑαυτὸν ῥᾳθύμῳ, οὐκ ἐν μικροῖς ταπεινώσῃ· * πολλοὶ γὰρ μείζονα τοῦ κηρυσσομένου, τὸν κήρυκα ὑπενόουν. Ἐξ ὧν τινὲς, καὶ τῶν αὐτοῦ μαθητῶν ὑπὸ φιλαυτίας τοῦτο ἔπασχον, τὴν ὑπεροχὴν τοῦ διδασκάλου, εἰς αὔξησιν οἰκείας ἐπισπώμενοι δόξης. Ἅπερ ὁρῶν ἐκεῖνος, ὅλος ἐφλέγετο, καὶ τὴν πονηρὰν ταύτην ὑπόνοιαν, ὥστε καθελεῖν, πάντα ἔπραττε· καὶ πολλάκις μὲν τοὺς μαθητὰς ἀπάγειν ἐπεχείρει, ποικίλοις λόγοις, * τῆς ὑπολήψεως· ἐπεὶ δὲ τοὺς λόγους ἑώρα τῆς ἐκείνων γνώμης ἡττωμένους, καὶ τὰ τῆς φιλονεικείας ἐπικρατέστερα, ἐπ' ἄλλην ᾔει ὁδὸν, καὶ τὴν δι' αὐτοψίας πειθὼ περιάγειν αὐτοὺς ἐμελέτησε. Καὶ ὅρα ὅπως ἐμφρόνως μεταχειρίζεται τὴν ὑπόθεσιν. Πέμπει τοὺς μαθητὰς πρὸς τὴν ὑπ' αὐτῶν ζηλοτυπούμενον, καὶ σχῆμα δι' ἐρωτήσεως, τὴν ἑαυτῶν παρασκευάζει, διὰ τῶν ὀφθησομένων, σωτηρίαν καρπώσασθαι, καὶ τὴν προτέραν πλάνην ἐν τῇ τῶν μαθητῶν διορθώσει, καὶ τοῖς ἄλλοις ἀποσβεσθῆναι καὶ διαρρυῆναι τέλεον· αὐτίκα γὰρ παραγεγονότων, ῥήμασι μὲν τέως ὁ σωτὴρ, (ὁ καὶ ταῦτα τῷ βαπτιστῇ χαριτώσας λογίσασθαι) οὐδὲν πρὸς τὴν ἐρώτησιν ἀποκρίνεται· ᾔδει γὰρ ᾔδει τὸν ἐξ αὐτῆς μήτρας, σκιρτήμασι, καὶ μητρῴᾳ γλώσσῃ αὐτὸν προκηρύξαντα, καὶ μυρίαις ὅσαις μετὰ ταῦτα λαμπραῖς μαρτυρίαις καὶ θεοπρεπέσιν ἀναῤῥήσεσι, μηδεμιᾶς δεῖσθαι περὶ αὐτοῦ μαθήσεως· σημείοις δὲ παραδόξοις καὶ τέρασι τὸ ἀσύγκριτον ἑαυτοῦ παραστήσας τῆς θεότητος (τοῦτο γὰρ ὁ πέμψας ἐπραγματεύετο) ἐξ αὐτῶν ὀμμάτων τοὺς σταλέντας τοῖς θαύμασιν ἀνηρτήσατο, καὶ λοιπὸν εὐπειθεῖς τῷ διδασκάλῳ, καὶ τῆς αὐτοῦ θεότητος ἀναπέμπει κήρυκας. Ἀλλ' ὁ μὲν βαπτιστὴς, οὕτω τοὺς μαθητὰς μεθιστῶν τῆς πλάνης, καὶ δι' αὐτῶν, τοὺς ἄλλους ἀνθρώπους, τῷ κοινῷ προσδραμεῖν ἐμεθόδευε δεσπότῃ. Ὁ δέ γε σωτὴρ, τῆς τε ἄλλης ἀρετῆς τοῦ ἀνδρὸς εἰς ζῆλον τοὺς ἀκροατὰς προτρέπων, καὶ τῆς τηλικαύτης αὐτὸν καὶ τοσαύτης ἀποδεχόμενος σπουδῆς καὶ προθυμίας, δεσποτικοῖς καὶ δικαίοις ἀμείβεται ἐγκωμίοις· οὐδὲ γὰρ οὐδ'

* -σειε.

* ταύτης.

ἠνέσχετ' ἄν, ὁ προῖκα πᾶσι καὶ κοινὸς φανεὶς εὐεργέτης, τῆς προκαταβληθείσης στοργῆς, καὶ τοῦ μέχρι σφαγῆς διαπύρου πόθου, ἀγέραστον μόνον τὸν Βαπτιστὴν ἀποπέμψαι. Ἀλλ' αὕτη μὲν οἶμαι τῶν ἐπαίνων ἡ πρώτη αἰτία· οὐδὲν δὲ ταύτης ἐλάττων καὶ αὕτη. Ἐπεὶ γὰρ τὸ, Σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἕτερον προσδοκῶμεν; ὁ μὲν ἐπὶ τῇ τῶν μαθητῶν διηρώτα σωτηρίᾳ· Τὸ δὲ πρόχειρον τῆς ἐρωτήσεως, τοῖς μὴ πρὸς τὸ εὐμήχανον καὶ σοφὸν τοῦ ἐρωτήσαντος διακύπτουσιν, ἐξ ἀγνοίας τοῦτο πυθέσθαι τὸν Βαπτιστὴν ὑποτίθεται· ἵνα καὶ ταύτης αὐτὸν τῆς ὑποψίας ἐκ περιουσίας ἐλευθερώσῃ (μεγίστη γὰρ ὡς ἀληθῶς κήρυκος διαβολὴ καὶ κατηγορία, τοῦ κηρυσσομένου ἡ ἄγνοια) ἐπὶ τοὺς ἐπαίνους ἔρχεται· καὶ πλείοσιν αὐτοὺς ἐξυφαίνει τρόποις. Ἄτοπον γάρ, ὡς ἀληθῶς, εἰ δι' ὧν ἄλλως προσεκέρδανεν ἂν ὁ Βαπτιστὴς, καὶ τῆς προτέρας διεκπίπτοι δόξης. Διὸ πρῶτον μὲν ἔπαινον προσάγει, ἀπ' αὐτῆς ἐκείνης τῶν ἀκροατῶν τῆς ψήφου· τρίτον ἀπὸ τῆς τῶν προφητῶν μαρτυρίας καὶ προῤῥήσεως. Τῶν δὲ λοιπῶν δύο, ἑκάτερον ἐκ τῆς ἰδίας καὶ δεσποτικῆς ἐπικρίσεως· ἀλλ' ὁ μὲν δεύτερος τρόπος, ἐκ τοῦ εὐθέως λέγει τὸν ἔπαινον· ὁ δὲ τέταρτος, ἐκ τοῦ παρακολουθοῦντος ἀτοπήματος, τοῖς ἐξ ἀγνοίας ὑπειληφόσι τὸν Βαπτιστὴν προσενεγκεῖν τὴν ἐρώτησιν, διαπλέκει τὸ ἐγκώμιον. Ὁ μὲν οὖν πρῶτος καὶ ὁ τέταρτος τῶν ἐπαίνων τρόπος, ἐξ ἀναιρέσεως ὑφαινόμενος, τῶν μηδαμόθεν μὲν τῷ Βαπτιστῇ προσηκόντων, μάτην δὲ ἐνίοις ὑπειλημμένων, κατ' ἐρώτησιν τε σχηματίζεται, καὶ * τὸν ἐναντίον ἀπαιτεῖ καὶ διδάσκει τῆς ἐρωτήσεως· οἱ δὲ μέσοι, ἐπ' εὐθείας τε τὴν εὐφημίαν, καὶ σὺν ἀποφάσει, ἀναγράφουσιν. ὥσπερ γὰρ ἐν τῷ, Τί ἐξήλθετε εἰς τὴν ἔρημον ἰδεῖν; κάλαμον ὑπὸ ἀνέμων σαλευόμενον; οὐ κάλαμον εἶναι τὸν Βαπτιστὴν, ὁ κατ' ἐρώτησιν ἐσχηματισμένος λόγος ἀποφαίνεται, τοὐναντίον δὲ κατασκευάζει, πόῤῥω καθεστάναι πάντων, ὅσοι καλάμου δίκην τὴν γνώμην σαλεύονται· οὕτω καὶ ὁ διὰ τοῦ, Ὁ δὲ μικρότερος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, μείζων αὐτοῦ ἐστι, παραπλησίως προσαγόμενος, οὐχὶ μικρότερον, οὐ μὲν οὖν ἀλλὰ μηδένα εἶναι τοῦ προδρόμου παρείσησι μείζονα· οὐδὲ γὰρ

* τό.

1, Pet. 5.5. ΘΑυμάζω μάλιστα, εἰ καί σοι γραμματικευομένῳ, καὶ ταῖς τῶν ποιητῶν λεσχηνεύοντι μελέταις, τὸ ἐγκομβώσασθαι βαρβάρου φωνῆς, ἀλλ' οὐχ Ἑλληνικὴ λέξις, ἔδοξεν. Ὁ μὲν γὰρ μακάριος καὶ κορυφαῖος Πέτρος, οὐδὲν περὶ τὴν ἐκλογὴν τῶν Ἑλληνικῶν ὀνομάτων σπουδάζων, ταύτην τοῖς ἑαυτοῦ παρείληφε γράμμασιν· οὐ γὰρ ἠχώ τινα καὶ τέχνην ῥημάτων, οὐδὲ λεξιδίων ψόφον, καὶ κτύπον ῥημάτων, δι' ὧν τινες τὰ τῶν μειρακίων ὑπογαργαλίζουσιν ὦτα, καὶ κρότον ἑαυτοῖς ἐγείρουσιν ἐκεῖθεν, ἀλλὰ ψυχῶν σωτηρείαν τοῖς ἀκροαταῖς ἐνθεῖναι * φορτίδα ἐπίθετο. Σὲ δ' οὖν Ἐπιχάρμου μάλιστα, καὶ Ἀπολλοδώρου τοῦ Καρυστίου, τῶν σῶν, μεμνημένον, ἐχρῆν περιπτύσσεσθαι μᾶλλον, ἢ δυσχεραίνειν, τῇ λέξει. Ὁ μὲν γὰρ πολλαχοῦ, καὶ κατὰ διαφόρους ἐγκλίσεις σχηματίζων τὴν λέξιν, ἐχρήσατο ταύτῃ.

* ἴσ. φροντίδα, & sic Hæsch editio.

Epist. 156.

Georgio Metropolitæ Nicomediæ.

MIror sanè, cùm Grammaticaster sis, & Poetarum studio vaces, tibi ἐγκομβώσασθαι videri vocem barbaram, & non græcam. Beatus ille, & Coryphæus Petrus, quæ nullum in græcarum vocum electione posuit studium, hanc suæ inseruit epistolæ. Non ille Echo, aut artificium verborum, nec syllabarum sonum, aut sonitum, unde quidam juventutis lenocinantur auribus, & applausum sibi concitant; sed salutem animarum auditoribus inserere, curam habuit. Te autem decuit tui meminisse Epicharmi, & Apollodori Carystii, eóque amplecti potiùs dictionem, quàm illâ offendi. Ille multoties, & secundum varias formationes declinatâ voce utitur: Ait enim

Ἐγκεκόμβωται

ἐγκεκόμβωται, & in infinitivo ἐγκομβώσασθαι. Carystius autem in Apolipusa, seu desertrice, [comœdiâ sic dictâ,] (in tuam enim gratiam dicatur lectionis usus,) τὴν ἐπωμίαν dicit πτύξασα διπλῆν, ἄνωθεν ἐνεκομβωσάμην· Hos in memoriam reducens, non oportuit te veritatis præconem de voce barbara insimulare; potiùs mirari, quòd cùm tale studium puerile contempserit Apostolus, nihilominus juxta Criticos dictionum græcarum suas, nescio quo pacto, epistolas exaravit. Hinc autem intelligere dedit; quòd si vocis sonitus & oblectatio arrideret, facilè ipse feret vel in istis acquirere admirationem: & si ex isto studio curâve, salutem animarum resultare vidisset, vidisses ipsius sermones insitâ quâdam pulchritudine, cujus & nunc participant, in tantum transcendisse Platonis incantamenta, Demosthenis cincinnos, magniloquentiam Thucidideam, in quantum illi Asiaticos istos oratores superant: non enim in tuam gratiam licebit vocare eos affectatos. Patet autem quod affirmo; nam qui longè majora & sublimiora ad hominum salutem procurandam suscepit, siquidem exinde commodum accresceret, haud certè recusâsset aliquid de puerili hâc ambitione possidere; verùm & in illiusmodi ultra omnes obtinuisse, & quidem sine certamine videretur.

Ἐγκεκόμβωται γάρ, φησι, καὶ ἀπερεμφάτως, ἐγκομβώσασθαι. Ὁ δὲ Καρύστιος, ἐν Ἀπολειπούσῃ (εἰρήσθω γὰρ εἰς τὴν σὴν χάριν καὶ ἡ λέξις) τὴν ἐπωμίαν, φησι, πτύξασα διπλῆν, ἄνωθεν ἐνεκομβωσάμην. Οὓς ἐχρῆν ἀναλαμβάνοντα, μὴ βαρβαροφωνίας τὸν τῆς ἀληθείας κήρυκα αἰτιᾶσθαι· ὑπερθαυμάζειν δὲ μᾶλλον, ὅτι καὶ τῆς τοιαύτης σπουδῆς, ὡς παιδιᾶς ὑπερορῶν, ὅμως κατὰ τοὺς τῶν Ἑλληνικῶν κριτὰς ὀνομάτων ἔστιν οὗ, τὰς ἑαυτοῦ ἐπιστολὰς ἐξεδίδου· διδοὺς ἐκ τῶν τοιούτων ἐννοεῖν, ὡς εἴπερ ἔμελλεν αὐτῷ λεξειδίων ἦχος καὶ τέρψις, ῥᾴδιον ἦν αὐτῷ κἂν τούτοις ὑπερθαυμάζεσθαι· καὶ εἴγε ψυχῶν τινῶν σωτηρίαν, ἐκ τῆς τοιαύτης σπουδῆς περιοῦσαν συνεώρα, ἴδοις ἂν αὐτοῦ τοὺς λόγους, τῷ ἐμφύτῳ κάλλει, οὗ καὶ νῦν μέτοχοι, τοσοῦτον τῶν Πλατωνικῶν γοητευμάτων, καὶ τῆς Δημοσθενικῆς κομψείας, καὶ τῆς Θουκυδίδου μεγαλαῤῥημοσύνης, ἔχοντας τὸ ὑπερέχον, ὅσον τῶν Ἀσιακῶν (Οὐ δὲ γὰρ ἂν ἡδέως εἴποιμι τῶν κακοζήλων διά σε) τούτους φασὶν ὑπερκεῖσθαι. Καὶ δῆλον ἐντεῦθεν. Ὁ γὰρ τὰ πολλῷ μείζονα καὶ ὑπερφυῆ λαβὼν, ἐπὶ σωτηρίᾳ τῶν ἀνθρώπων, εἰ κέρδος τι τοιοῦτον ἐφύετο ἐκεῖθεν, οὐκ ἂν οὐδὲ τῆς μειρακιώδους ταύτης ἔχων τὸ ἧττον ἐφάνη φιλοτιμίας· ἀλλὰ κἂν τούτοις, τὸ κατὰ πάντων κράτος, καὶ χωρὶς ἀγῶνος, ἐδείχθη ἂν ἀναδεδεγμένος.

NOTÆ.

ERudita est dissertatio de voce ἐγκομβώσασθαι, quâ utitur sanctus Petrus, 1. 5. 5. quam & Græcam, & vetustam probat ex Epicharmo, & Apollodoro. Quorum opera, ut videtur per Photii ætatem exstabant. sed de Apollodoro, dubito an non sit Photii ἁμάρτημα μνημονικόν· nam Geloum & non Carystium in ἀπολιπούσῃ, citat Athenæus in 3°. Et erat ille Comicus, Menandro σύγχρονος; sed Carystius, Grammaticus non Comicus: quanquam è Polluce colligi potest, fabulas quasdam ab eo scriptas. Scipio Tettus, in Commentario de Apollodoris negligenter satis se hîc gessit. Κακοζήλων διά σε.) Imò & διὰ Φώτιον. Nam in epistolis etiam inflatus incedit, & Asiatico tumore sophistam agit, quod non semel cum indignatione, in vertendo animadverti.

Epist. 157.

Euschemoni Archiepisc. Cæsareæ.

ET quorsum rogitas Cherubinæ facies divinis prophetis revelebantur, sub formis Boum, Leonum, Aquilarum, Hominum? Rationes ab antiquis redditas haud te arbitror ignorare: at

Ἐπισ. ρνζ.

Εὐσχήμονι Ἀρχιεπισκόπῳ Καισαρείας.

ΤΙ' δήποτε, διαπυνθάνῃ, βοῶν καὶ λεόντων, ἀετῶν τε καὶ ἀνθρώπων μορφαῖς, αἱ τῶν Χερουβὶμ ὄψεις, τοῖς θείοις προφήταις ἐνεφανίσθησαν; Ἀλλὰ τὰς μὲν, τοῖς πρὸ ἡμῶν ἀποδεδομένας αἰτίας, οἶμαί σε μὴ

ἀγνοεῖν, κἀκείνους δὲ παρορᾶν, οἱ τοὺς λόγους, ἔφασαν, ὧν ἐτάχθησαν ἔφοροι, διὰ τῶν σχημάτων ἐκείνων αἰνίττεσθαι· βοῶν γὰρ αὐτοῖς οὗτοι, καὶ ἀνθρώπων, ἀετῶν τε καὶ λεόντων, οὐκ οἶδ' ἀνθ' ὅτου, τὴν ἐφορείαν ἐγχειρίζουσι· Πλατωνικώτερον μᾶλλον, δι' ἑτέρων λόγων, τὰς ἰδέας εἰσάγοντες, ἢ εὐσεβέστερον παριστῶντες τὸ ζητούμενον. Ἐγὼ δὲ φαίην ἄν, ὡς οὐχ ὧν ἔφοροι τυγχάνουσι, ταῦτα διὰ τῶν σχημάτων ἐμφανίζουσι· πολλοῦ γε καὶ δεῖ· εἷς γὰρ ἁπάντων δημιουργός τε, καὶ ἔφορος. Ἀλλ' ἐκεῖνο τρανῶς ἐν τοῖς τύποις δεικνύουσιν, ὡς ὁ τὴν γῆν τε, καὶ τὸν ἀέρα, καὶ τὸν οὐρανὸν, καὶ τὰ ἐν αὐτοῖς ὑποστήσας (ἐν τούτοις γὰρ τῶν ἐμφαινομένων ζώων, τοῖς τόποις, ὅτε βίος καὶ ἡ γένεσις) αὐτός ἐστιν οὗτος, ὁ καὶ τὰς ὑπερουρανίους δυνάμεις οὐσιώσας, καὶ παραγαγὼν εἰς ὕπαρξιν. Ἔπειτα δὲ, διὰ τούτων ὁ λόγος διδάσκει, ὅπερ καθ' ὃν τρόπον ἄνθρωπός τε καὶ βοῦς καὶ λέων καὶ ἀετός, καὶ τἄλλα τῶν κτισμάτων, εὐχερῶς καὶ ῥήματι μόνῳ συνέστη· οὕτω δὴ οὕτω, καὶ ἡ μακαρία φύσις ἐκείνη, λόγῳ τοῦ κτίσαντος, ἐκ τοῦ μὴ ὄντος ἤχθη πρὸς γένεσιν. Τὸ γὰρ, ἐν ἐκείνῃ τῇ ἀσωμάτῳ καὶ ἀσχηματίστῳ φύσει, μορφάς τινας καὶ τοιαῦτα σχήματα παρυποδεῖξαι, οὐδὲν ἕτερόν ἐστιν, ἢ ἕνα τε καὶ τὸν αὐτὸν ἁπάντων ποιητὴν ὑπάρχειν, ἐπιδεδειχέναι· καὶ ὅτι οὐδὲν ἐργωδέστερον, ἢ τἄλλα τῶν κτισμάτων, ἡ ἀσώματος καὶ νοερὰ φύσις ὑπέστη· ἐν πᾶσι παραπλησίως καὶ ἰσοσθενῶς, τοῦ θείου καὶ ἀπειροδυνάμου δρῶντος βουλήματος. Εἰ βούλει δὲ, πρὸς τούτοις, καὶ τρίτον ἄλλο διδάσκουσιν, αἱ ἐν τοῖς Χερουβὶμ ὁμοιώσεις. Ὅτι, ὥσπερ ἄνθρωπός τε καὶ ἀετὸς καὶ βοῦς, καὶ ἁπλῶς ἕκαστον τῶν κτισμάτων, τῷ δεσποτικῷ προστάγματι πειθαρχεῖ, καὶ τὴν ἐκεῖθεν ἐντολὴν ὑποπτήσσει· οὕτω δὴ οὕτω, καὶ πᾶσα ἡ ὑπερκόσμιός τε καὶ ὑπερουράνιος οὐσία, τοῖς αὐτοῦ νεύμασιν ὑπείκει, καὶ πρὸς ἅπαν τὸ κελευόμενον προθύμως ὑπηρετεῖται. Τάχα δ' ἄν σοι, καθ' ἑαυτὸν σκοποῦντι, ἐκ τῶν εἰρημένων, καὶ ἕτεραι προσεξευρηθήσονται αἰτίαι· αἷς ἂν ἡδέως ἐντύχοιμι.

illos negligere qui dixerunt sermones illos, quorum ordinabantur inspectores, per illas figuras insinuari: Boum quippe ipsis nescio cur, Hominum, Aquilarum, Leonum curam & inspectionem concredunt: Platonico more, sed verbis diversis ideas introducentes, potiùs quàm pietatis studio quæstioni institutæ respondentes. Dixerim ego, quòd haudquaquam eorum animantium, quorum erant curatores, species per figuras istas repræsentabantur. Absit: unus enim omnium conditor & inspector est. Verùm illud perspicuè per figuras ostendunt, quòd qui Terram, Aerem, Cœlum, & quæ in iis sunt, stabilivit, (istis enim in locis, ostensorum animalium vita victúsque habetur, & generatio) is ipse est, qui potestates cœlestes subsistere fecit, & inesse produxit. Sed & ulteriùs Scriptura per ista docet, quòd quomodo Homo, Bos, Leo, Aquila, & cæteræ omnes creaturæ, per solum Verbum producebantur; ità & beatæ illæ creaturæ, per verbum Conditoris de non esse productæ & generatę fuerant. In illa quidem incorporea & ineffigiata natura figuras aliquas, & formas istiusmodi representare velle, nihil aliud est quàm declarare, unum & eundem rerum omnium existere conditorem; tum quòd nihil laboriosius ipsi fuit, incorporeas & intellectuales naturas procreare, quàm cæteras quaslibet creaturas; cùm in omnibus ex æquo, & pari potestate voluntas divina infinitæ potentiæ operetur. Si placet, est & tertium quod illæ in Cherubinis similitudines insinuant: nempe, quemadmodum Homo, & Aquila, & Bos, & quælibet omnino creatura Dominicis pręceptis obsecundabatur, illius reveretur cum timore mandatum: ità omnis quoque ultramundana, & ultracœlestis substantia nutibus ipsius subsidet, & libenter subservire gestit ad quicquid jubetur expediendum. Fortassis autem & aliæ insuper suppetent causæ, dum tacitus hæc apud te mediteris quæ jam dixi, in quas libenter te incidere velim.

NOTÆ.

NOTÆ.

Lusit mirificè humana curiositas, in explicatione Cherubinicarum formarum quæ apud Ezechielem repræsentantur: videantur apud Interpretes illæ. Cæterùm, quòd ait Photius quosdam extitisse, qui opinabantur, Cherubinos quadriformi illâ figurâ visos, quia custodes angeli illi, sive ἔφοροι constituebantur quatuor specierum animalium; Hominum, Boum, Leonum, Aquilarum; ridiculum est. Nam divina providentia cùm pertingat à fine ad finem fortiter, & disponat omnia suaviter, nequaquam cæteras creaturarum species, custode suo destitutas reliquisset: sed cùm hoc sit Platonicum, ut ait, dogma; non video tamen quomodo ideas spectet. Non longè recedunt, qui quadriformem fingunt hanc apparitionem; eò quòd quatuor Angeli Ecclesiæ præsint procurandæ, Michael, Gabriel, Raphael, Uriel; ut testatur Villalpandus: Sed & Photii expositio ejusdem est furfuris, cùm in terra, aere, cœlo, plures sint creaturæ; nec in illorum locorum singulis reperiantur omnes; nec loci omnes, in quibus creaturæ reperiuntur, hîc ab illo reperiantur: ποῦ γὰρ κεῖται aquarum regio, & pisces maris. Quocirca Photii seria cum aliorum nugis eant.

Epist. 158.

Alexandro Comiti.

SI Regis Alexandri sententiam amplexarere, haud excideres in contumeliam ferrarii Alexandri. Ille non admisit promiscuas quasvis accusationes, nè contrà subditos; sed dum accusator diceret, alteram auriculam obturabat: symbolicè ostendens, quòd qui accusabantur, & judicandi erant, tribunal invenirent purum à convitio solitario, nec linguæ detractionem admittens. Iste autem cùm non egeret criminationibus, aut eas desperaret se reperire potuisse, seipsum, loco linguæ & manuum exhibuit contra eos, à quibus maximis beneficiis affectus fuerat. Quòd nisi me præveniens Divinus Paulus, venturum in te supplicium per eum, qui moribus tibi similis erat clarissimè præsignâsset, omnino idem & tibi iisdem ipsis verbis denunciâssem.

Ἐπισ. ρνη´.

Ἀλεξάνδρῳ Κόμητι.

Εἰ τὴν Ἀλεξάνδρου τοῦ βασιλέως γνώμην ἔστεργες, οὐκ ἂν εἰς τὴν τοῦ Ἀλεξάνδρου τοῦ χαλκέως ὕβριν ἐξέπιπτες. Ὁ μὲν γὰρ, οὐδὲ κατὰ τῶν ὑπηκόων, ὡς ἔτυχε, τὰς διαβολὰς προσεδέχετο· θάτερον δὲ τῶν ὤτων, ἐν τῷ τοὺς κατηγόρους λέγειν, ἀπέφραττε· δεικνὺς ἐν τῷ συμβόλῳ, ὡς καθαρὸν μονομεροῦς λοιδορίας, καὶ διαβόλῳ γλώσσῃ ἀνεπίβατον, εὑρήσουσι οἱ κατηγορηθέντες, τὸ κριτήριον. Ὁ δὲ, μηδὲ διαβολῶν δεηθεὶς, ἢ μηδὲ εὑρεῖν ἐλπίσας, οἶμαι, αὐτὸς, κατὰ τῶν τὰ μέγιστα εὐεργετησάντων, καὶ γλῶσσαι καὶ χεῖρες, ἐγίνετο. Ἀλλ' εἰ μὴ προλαβὼν ἡμᾶς ὁ θεσπέσιος Παῦλος, τὴν μέλλουσάν σοι τιμωρίαν, διὰ τοῦ ὁμοτρόπου, τρανῶς προεμήνυσε, πάντως ἂν ἡμεῖς σοι ταύτην, διὰ τῶν αὐτῶν ῥημάτων, διεμαρτυρόμεθα.

Epist. 159.

Nicolao Hegumeno Monasterii S^ti^ Nicephori.

AMicus est res necessaria; quidni enim? sed magis necessarius sermo justi. Optâram utramque concurrere in in eo pro quo intercedis, amicitiam nempe & justitiam. Ità enim cum gaudio gratificabor amico. Sin id minùs, non jam ego culpandus, sed is qui amicitiam disjunxit à justitia. Animo certè haud feres, me amantem cum justitia, ei qui sine ea diligit, non præferri. Quin scio, quòd hoc ante illud animo recoles, quòd haud tibi libitum est, ut ego

Ἐπισ. ρνθ´.

Νικολάῳ ἡγουμένῳ μόνης τοῦ ἁγίου Νικηφόρου.

Ἀναγκαῖος μὲν ὁ φίλος· πῶς γὰρ οὔ; ἀναγκαιότερος δὲ ὁ τοῦ δικαίου λόγος. Εὔχομαι * ἀμφότερα συνδραμεῖν ὑπὲρ οὗ * μοι. πρεσβεύεις· καὶ τὴν φιλίαν, καὶ τὴν δικαιοσύνην. Οὕτω γὰρ ἂν ἡδέως φίλῳ χαρισαίμην. Εἰ δ' οὖν, μηκέτι ἡμᾶς, ἀλλὰ τὸν διχάσαντα τὴν ἑαυτοῦ φιλίαν τῆς δικαιοσύνης, αἰτιατέον. Πάντως γὰρ, οὐδ' αὐτὸς ἀνέξῃ, ἐμὲ φιλοῦντα μετὰ τῆς δικαιοσύνης, τοῦ χωρὶς ταύτης ἀγαπηθέντος, μὴ προκρίνεσθαι. Ἐκεῖνο δέ μοι, καὶ περὶ τούτου, εὖ οἶδ' ὅτι, σκοπήσαις· ὡς οὐκ ἂν θελήσαις ἐμέ τε δίκην ὀ-

ὀφείλειν ἐκεῖθεν, τῆς οὐκ ὀρθῆς, οὐδὲ ἴσης κρίσεως, ἐκεῖνόν τε διπλᾶς ὑπέχειν ποινάς. τοῦ τε πρώτου ἀδικήματος· καὶ τοῦ, ἐφ' ᾧ τὴν δίκην διαφθείρας, καὶ φυγὼν, δεύτερον ἀδίκημα, τῷ δίκην ὀφείλοντι, παρὰ τοῦ λαβεῖν, ἤνεγκεν.

qui olim in futuro judicio pœnas pendam pro judicio nec æquo, nec recto, & ille duplici pœnâ plectatur. Nimirum quòd injustè fecit primùm; secundò, quòd cùm justitiam violâsset, & solutus esset crimine, aliam rem injustam perpetravit, quòd cùm pœnam luere debuerat, illi non erat inflicta.

Ἐπισ. ρξʹ.

Ταρασίῳ Πατρικίῳ ἀδελφῷ.

Εἰ τοῦ ἀνδρὸς πεῖραν λάβοις, περὶ οὗ γράφω· οὐκέτι πρεσβευτὴν ὑπὲρ ἐκείνου ἐμὲ ἕξεις· ἀλλ' ἐκεῖνον ὑπὲρ ἄλλων πολλῶν. Οὕτω καὶ τῇ σῇ εὐμενείᾳ, καὶ χρηστότητι, καὶ τῇ ἐκείνου ἀρετῇ καὶ δεξιότητι, πεποιθώς εἰμι.

Epist. 160.

Tarasio Patricio fratri.

SI illum expertus cognosceres, pro quo scribo, non me intercessorem pro illo haberes, sed illo uterere pro multis aliis advocato: adeò confido tuæ facilitati & bonitati, itá ejus virtuti & dexteritati.

Ἐπισ. ρξαʹ.

Σεργίῳ Ἀσπαθαρίῳ ἀδελφῷ.

Ἐρωτᾷς, πῶς ἐστὶ λέγειν, θεὸν τὸν πατέρα, θεὸν τὸν υἱὸν, θεὸν τὸ πνεῦμα, καὶ μὴ εἰς ἀνάγκην περιΐστασθαι, τρεῖς, ἀνθ' ἑνὸς, θεοὺς ἀνομολογεῖν. Ἐγώ σοι σαφῶς καὶ συντόμως ἐρῶ. Παραδείγματα μὲν γὰρ πολλὰ καὶ ποικίλα, τοῖς θείοις ἡμῶν πατράσιν, εἰς τὸ διαλῦσαι τὴν ἀπορίαν ταύτην, ὑπ' αὐτῆς τῆς ἀληθείας, ὑπὲρ ἧς ἐσπούδαζον, ἀφθόνως τε χορηγήθη καὶ εἰς δέον διατέτακται· ὧν εἴ τις ἐπιμνησθῆναι θελήσειε βιβλίον ὅλον ἀντ' ἐπιστολῆς ἂν γράψειε. Τοῦτο δὲ καὶ ἄλλως οἶμαι περιττόν· τί γάρ; οὐδὲν τοῖς ἀρχαίοις, καὶ ἐξ ἑτοίμου, προσομιλεῖν. Σὺ δὲ (οὐ γὰρ ἔχω πῶς ἂν ἐπαχθέστερον εἴπω) ἀντὶ τῶν πάλαι καλῶς γεγραμμένων, καινῶν προσδέῃ γραφέων, ἐξιδιαζομένων τὰ πρὸ αὐτῶν καὶ ἀλλότρια. Ἀλλὰ χωρὶς ἐκείνων, τὸ σύντομον καὶ σαφὲς, καὶ οὐδὲ χωρὶς τοῦ συμπείθειν, μετὰ προσοχῆς ἄκουε. Ἔχει δὲ ὧδε· Θεὸν καλεῖς τὸν πατέρα· πότερον τεμὼν τὴν ὑπόστασιν, καὶ ἀλλοτριώσας τῆς ἐν αὐτῷ καὶ κοινῆς θεότητος, ἢ οὐκ ἂν τολμήσαις εἰπεῖν; οὕτω γὰρ ἂν εἴη τὸ τιμᾶν καὶ ὀνομάζειν θεὸν τὸν πατέρα, τῆς ἐσχάτης βαρύτερον ὕβρεως

Epist. 161.

Sergio Aspathario fratri.

ROgas quomodo dicimus *Deum Patrem*, *Deum Filium*, *Deum Spiritum Sanctum*, nec tamen cogimur necessariò tres Deos non unum confiteri: clarè & breviter respondeo. Exempla enim plura & varia à divinis Patribus ad solutionem hujus quæstionis, ab ipsa veritate, cui operam locabant, abundè suppeditata fuere, & ab iis adhibita prout oportuit; quorum siquis mentionem vellet replicare, librum scribere oportet, non epistolam. Quod facere mihi videtur supervacaneum, cùm cuivis obvia sint apud antiquiores lectori. Tu autem (neque enim habeo quod graviùs dicam) pro olim optimè relatis in literas, novorum indigus scriptorum es, qui sibi aliena & antiquiora appropriant. Absque illis autem breviter & perspicuè, cum attentione, ut persuadearis, audi; quod sic se habet: Patrem appellas Deum, utrúmne Hypostasin diffindendo & alienando illum à communi, quæ ipsi inest, Deitate, an non audes effari? hoc enim modo, honorare & nominare Deum Patrem extremi convitii gravitatem excederet; abstractionē enim quandam, & excrescentiam imaginaris totaἀποσπάδα τινὰ καὶ παραφυάδα νοεῖν τῆς ὅ-
lis,

lis, & ſuperſubſtantialis Deitatis, à qua omnis divina unio, conjunctio & cohæſio, etiam illis ineſt quorum eſſentia in diviſione & fluxu conſiſtit. Vides út rectè apud animum ſtatuas & profitearis Deum Patrem. Quocirca nec cùm Deum dicas Filium, ab eadem ſeparabis Deitate, niſi fortè uno intelligendi modo Filium, alio Patrem perhibendum ſentias; ſed nec cùm Spiritum ſanctum, eadem enim ſequetur impia intelligentia. Siquidem ergò, horum trium quilibet, ſeparatim & per ſe comprehenſus animo & Deus, Deus, Deus, erit dictus, nullatenus aliquando ab unica, & mente conſiderata Deitate abſcinditur; certè nec injuriâ, ubi conjunctim prædicantur, non tres Dii, ſed ut unus Deus, tres illi glorificabuntur. Si horum ſinguli ſeparatim prolati, Deus diceretur, veluti in appropriatam Deitatem & alienigenam abducti, omnino certè inter ſe tres Dii dicerentur. Sin autem in unam, & honore æqualem Deitatem adducti, Deus trium quilibet vocetur; Ecquis eſt, qui coget ea quæ nullo modo alicubi ſeparari poſſunt à Deitate internè conſideratâ, & omnibus ſuis numeris abſolutâ, tres Deos nominare; jam verò omnino neceſſe erit, Tres dicere unum Deum, cùm nullatenus aliquis è tribus dividatur, vel alienetur unâ indiviſâ & inſecabili Deitate.

λικῆς καὶ ὑπερουσίου θεότητος ἐξ οὗ πᾶσα θεία, καὶ τοῖς ἐν διαιρέσει καὶ ῥεύσει τὸ εἶναι λαχοῦσιν, ἕνωσίς τε, καὶ συνοχὴ, καὶ συνάφεια. Ὁρᾷς πῶς ἂν ὀρθῶς ἐννοηθείης τε, καὶ φήσαις, θεὸν τὸν πατέρα. Οὐκοῦν οὐδὲ τὸν υἱὸν θεὸν ὀνομάζων, ἀφοριεῖς τῆς αὐτῆς θεότητος· εἴπερ μὴ κατ᾽ ἄλλην μὲν ἔννοιαν τὸν υἱὸν, κατ᾽ ἄλλην δὲ τὸν πατέρα θεὸν ὑποκρίνοιο ἀποφαίνεσθαι· οὐδὲ τὸ πνεῦμα δὲ δηλονότι· ἡ αὐτὴ γὰρ ἂν παρακολουθήσῃ κακόνοια. Εἰ τοίνυν ἕκαστον τῶν τριῶν, καθ᾽ ἑαυτὸ τῷ νῷ λαμβανόμενον, καὶ Θεὸς, καὶ Θεὸς, καὶ Θεὸς ὀνομαζόμενον, οὐδαμῇ οὐδαμῶς τῆς ἐνθεωρουμένης καὶ μιᾶς ἀποτέμνηται θεότητος· εἰκότως ἄρα καὶ σὺν ἀλλήλοις λαμβανόμενα, οὐ τρεῖς θεοὶ, ἀλλ᾽ εἷς τὰ τρία θεὸς δοξασθήσεται. Εἰ μὲν γὰρ θεὸς ἐλέγετο, καθ᾽ ἑαυτὸ νοούμενον ἕκαστον, ὡς εἰς ἰδίαν καὶ ἔκφυλον θεότητα ἀναγόμενον, εἰκότως ἂν, σὺν ἀλλήλοις, καὶ τρεῖς θεοὶ ὠνομάζοντο. Εἰ δὲ, ὡς τὴν αὐτὴν ὁμοτίμως καὶ μίαν θεότητα συναγόμενον, θεὸς τῶν τριῶν ἐκαλεῖτο ἕκαστον· τίς ὁ βιαζόμενος, τὰ μηδαμῇ μηδαμῶς τῆς ἐνθεωρουμένης αὐτοῖς καὶ συμπληρωτικῆς διαιρεθέντα θεότητος, τρεῖς λέγειν θεούς· μᾶλλον δὲ, πῶς οὐκ ἀνάγκη πᾶσα, τὰ τρία λέγειν ἕνα θεὸν· οὐδαμοῦ διαιρεθέντος οὐδενὸς τῶν τριῶν, τῆς ἑνιαίας καὶ ἀτμήτου καὶ ἀδιαιρέτου θεότητος.

Epiſt. 162.

Amphilochio Metropol. Gyzici.

NOminis Dei tria ſunt ſignificata, quantum recordari poſſum, juxta Scripturæ ſenſum: unum, quod ſit propriè & primariò Ens, cujus in manu omnia ſunt, & qui omnibus dominatur; *Omnia enim ſerviunt tibi:* ordine ſecundo & relativè ad cauſam primam, dicetur Hominum Deus ille, qui in quantum poſſibile eſt naturę creatæ, ſe per virtutis exercitium ad imitationem Dei conformat. Etenim quemadmodum principaliter bonum eſt natura illa divina omnium rerum creatrix; per participationem verò, & illi homines, qui de vita mundificata radiorum inde e-

Ἐπιστ. ρξβ΄.

Ἀμφιλοχίῳ Μητροπολίτῃ Κυζίκου.

ΤΡία σημαινόμενα τοῦ, Θεὸς, ὀνόματος, ὅσα γε εἰς μνήμην κατὰ δόξαν οἶδα τῆς θείας γραφῆς· ἓν μὲν τὸ κυρίως καὶ πρώτως ὂν, οὗ ἐν τῇ χειρὶ πάντα, καὶ ὃς ἁπάντων δεσπόζει· τὰ γὰρ σύμπαντα δοῦλα σά· δευτέρᾳ δὲ τάξει, καὶ μεθέξει τῆς πρώτης αἰτίας, λέγοιτ᾽ ἂν καὶ τῶν ἀνθρώπων ἐκεῖνος, θεὸς, ὃς, ἐφ᾽ ὅσον ἐστὶ δυνατὸν, γενητῇ φύσει, εἰς μίμησιν ἑαυτὸν, ἀρετῶν ἀσκήσει, διαπλάττοι θεοῦ. Καὶ γὰρ, ὥσπερ κυρίως μέν ἐστιν ἀγαθὸν ἡ θεία καὶ παντουργὸς φύσις· κατὰ μέθεξιν δὲ, καὶ τῶν ἀνθρώπων, ὅσοι διακαθάρσει βίου, τῆς ἐκεῖ-

θεν

θεῖν ἀκτῖνος ἐναυγάσθησαν † ταῖς μαρμαρυγαῖς· οὕτω καὶ θεός, οὐ μόνον ἡ πάντων δεσπόζουσα καὶ κατεξουσιάζουσα φύσις, ἀλλὰ καὶ τοὺς ἀνθρώπους ἔστιν ἰδεῖν ταύτης ἠξιωμένους τῆς ὀνομασίας. Πρῶτος δὲ τῆς κλήσεως τυγχάνει ὁ τοῦ Σὴθ παῖς Ἐνώς· ἀνὴρ, δι' εὐσέβειαν καὶ χρηστότητα τρόπων, ὑπὸ τῶν τότε ἀνθρώπων, τῇ τοῦ θείου κλήσει τετιμημένος· ἐξ οὗ καὶ τὸ γένος ἅπαν, θεοί τε, καὶ θεῶν παῖδες, ὠνομάσθησαν· καθάπερ φησιν, Ἰδόντες δὲ οἱ υἱοὶ τοῦ θεοῦ, τὰς θυγατέρας τῶν ἀνθρώπων, ὅτι καλαί εἰσιν, ἔλαβον ἑαυτοῖς γυναῖκας, ἀπὸ πασῶν, ὧν ἐξελέξαντο. Υἱοὺς γὰρ θεοῦ δηλονότι, τοὺς ἐκ τοῦ Ἐνὼς φύντας, ἐκάλεσεν· οἳ ταῖς ἐκ τοῦ Κάϊν ὁμιληκότες, τό, τε γένος ἐνόθευσαν, καὶ εἰς ἀσέβειαν καὶ κακίαν, *συναλίσθησαν. Τὸ γὰρ λέγειν ἀγγέλους πεσεῖν, τὴν ἀσώματον φύσιν, εἰς ἔρωτας γυναικῶν, πεσόντων ἐστίν, ὡς ἀληθῶς, εἰς μυθώδεις, καὶ οὐδὲ κεχωρισμένους τοῦ ἀσεβεῖν, λογισμούς. Ἐξ ἐκείνου τοιγαροῦν τοῦ γένους, καὶ τῶν ἄλλων ἀνθρώπων, ὅσοι δι' ἐπιμελείας ἠθῶν, τῷ θεῷ προσεγγίζειν ἐμελέτησαν· ναὶ δὴ καὶ ὅσοις εἰς ἀξίωμα τῶν δικαίων κριτῶν ἀνελθεῖν, καὶ ἀρχόντων τάξιν ἐξεγένετο, οὗτοι πάντες τῆς θείας κλήσεως τετυχήκασι· Θεὸς γὰρ, φησι, θεῶν κύριος ἐλάλησε· καὶ, Ἐγὼ εἶπα, θεοί ἐστε, καὶ υἱοὶ ὑψίστου πάντες. καὶ, Ὁ θεὸς ἔστη ἐν συναγωγῇ θεῶν. καὶ, Ἐν μέσῳ δὲ θεοὺς διακρινεῖ. καὶ, Θεοὺς οὐ κακολογήσεις, καὶ ἄρχοντα τοῦ λαοῦ σοῦ, οὐκ ἐρεῖς κακῶς. Δῆλον γὰρ ἐκ τῶν εἰρημένων, ὅτι θεοὺς ἡ θεία γραφὴ, τούς τε τῆς ἀρετῆς φίλους, καὶ τοὺς τῆς δίκης καλεῖ ὑπηρέτας. Ἔστι δὲ καὶ τρίτον, παρὰ ταῦτα, σημαινόμενον· τρόπῳ μέν τινι συναπτόμενον· τρόπῳ δὲ πλείονι διαιρούμενον, δευτέρου· καθ' ὃ δέδοται Μωσῆς θεὸς εἶναι Φαραώ. Εἴη δ' ἂν ὁ τρόπος οὗτος, τῆς προσηγορίας, ἐξ ἀναλογίας εἰλημμένος. Καὶ γὰρ, ὥσπερ θεὸς ἐχρημάτιζε Μωσῇ, ῥίψαι τὴν ῥάβδον, εἰς πίστωσιν τῶν ἐπηγγελμένων· οὕτω Μωσῆς Ἀαρὼν ἐκέλευσε ῥίπτειν τὴν ῥάβδον, εἰς ἔκβασιν τῶν ἀπειλουμένων. καὶ Μωσῆς μὲν ὑπηρετεῖτο προστάγμασι θεοῦ· Ἀαρὼν δὲ Μωσέως ἐξεπλήρου τὰς ἐντολὰς εἰς Φαραώ, μαστίζων τὴν Αἴγυπτον, καὶ * προφήτης γινόμενος τὰ δὲ λ-

Margin: * ταῖς μαρμαρυγαῖς. — Gen. 6. 2. — * συνωλίσθησαν — Psal. 82. 6. — Psal. 82. 1. — Exod. 22. 28. — * ἰσ. ὑποφήτης, h. e. διερμηνευτὴς aut ὑποτετυγμένος.

manantium fulgore illustrantur: Ità &, Deus, non tantùm est illa natura, quæ cunctis dominatur, & pro potestate imperat; sed & homines videre est istius appellationis participes. Sethi enim filius Enos hujus nominis titulum assecutus est: vir ob potestatem, & ob morum probitatem honoratus, per illos qui tunc vivebant, Dei nominis appellatione; à quo posteri omnes dii & deorum filii dicebantur: ut alicubi habetur; *Videntes autem filii Dei filias hominum, quòd pulchra essent, assumpserunt uxores sibi ab omnibus quas elegerant.* Filios Dei eos scilicet vocat, qui de Enos propagabantur; qui per coitionem cum posteris Cain, genus adulterabant, & cum illis in impietatem & improbitatem commiscebantur. Affirmare enim quòd Angeli incorporeæ essentiæ in mulierum amorem inciderint, est exorbitare in fabulosas quasdam cogitationes, nec ab omni impietate remotas: Quocirca deducti ab Enosi genere, & alii quilibet, qui ut moribus & conversatione Deo propiùs accederent, dederunt operam: quin ulteriùs & quicunq; ad honorem justorum judicum, aut principum dignitatem admittebantur, illi omnes Dei titulum assequebantur: *Deus deorum*, inquit, *locutus est*: &, *Ego dixi, quòd dii estis, & filii Altissimi omnes*: &, *Deus stetit in congregatione deorum*: & *In medio inter deos disceptabit*: &, *Diis non maledices, nec de principe populi tui improbè loqueris.* E quibus dictis apparet, quòd Deos divina Scriptura virtutis amantes, & justitiæ administros vocat. Est & tertium ad hæc significatum, modo quodam cum secundo conjunctum, & quodammodo latiùs separatum, juxta quod Moses dicitur *Pharaonis Deus*: qui dicendi modus ab analogia procedit: nam ut Deus dixit Mosi, *Projice virgam, in confirmationem eorum quæ mandabantur*; sic Aaroni Moses imperavit projicere virgam, ut confirmarentur quæ minatus fuerat: & Moses divinis præceptis parebat; Aaron Mosaicas jussiones adimplebat versùs Pharonem, flagellando nempe Ægyptum, & Prophetę partes

erga

erga Moſen, quemadmodum ut ille erga Deum. Quocirca non abſolutè *deus* dicitur Moſes, ſed *Pharaonis deus*. Omnia enim fecit in eum tanquam de abſoluta poteſtate, adminiſtrante ei Aarone. Sed hujus appellationis modus particeps eſt ejus qui ante fuit; & quòd de homine uſurpetur, & quòd de virtute præditis; multimodis autem differt: Inprimis quòd appropriatus Moſi, ipſius fit; nec eſt, ut ille alter, communis; & quòd ibi Deus abſolutè, & non alicujus Deus dicitur, qui titulum ſibi vindicet: hîc autem è contrario *Deus Pharaonis* nominatur: quòd nequaquam illo ſenſu, ſed eo quem diximus, Moſes dicitur *Deus Pharaonis*, è dictis ſcitur. Sed conjectari præterea licet, quòd Aaron, homo cùm eſſet, qui virtutem exerceret, & fortaſſis miracula operaretur, nullibi appelletur *Deus Pharaonis*. Iſta tria cùm ſubjecta reperiantur divinæ propoſitæ nominationis; quorum unum propriè, duo homonymè dicuntur: alia vocis ſignificatio reperiri poteſt, non formatâ opinione, uſu tantùm obtinente divinarum Scripturarum. Quæ enim à Paganis colebantur numina, *deos* interdum vocat per Ironiam, in convictionem eorum qui colebant; *Ite*, inquit, *& inclamate apud deos quos elegiſtis vobis, & ipſi vos ſalvos facient*: ſæpè etiam ut tantummodo indicet quem deſignat, ità appellare ſolet; *Non erunt*, inquit, *tibi dii alii præter me*: &, *Annon feciſtis vobis deos argenteos, & aureos?* ſed multiplex iſte uſus. Iſtæ quatuor vocis *Deus* ſignificata cùm diſtinguantur, ſciendum eſt, ut dubium à te propoſitum explicemus, *Homo qui Deo maledicet peccatum capiet, &c.* Sunt qui verè & propriè intelligi Deum volunt: alii falſo nomine dictos: Principium verò ſibi diſcrepans ſubſternunt iſti, & diverſimodè de ſequentibus determinant. Nam qui ſupponunt Deum hîc intelligi, quem pro numine quiſpiam adorat impiè, ſenſum ità reddunt: Non oportet nè quidem paganicæ religionis addictum,

φοῦ, ὃν ἐκεῖνος τρόπον ἐγίνετο τοῦ θεοῦ· διὸ ὁ
οὐδὲ θεὸς Μωσῆς ἁπλῶς, ἀλλὰ θεὸς εἴρηται
Φαραώ· πάντα γὰρ ἔπραττεν εἰς αὐτὸν, ὥσ-
περ αὐτεξουσίῳ κράτει, ὑπηρετουμένου τοῦ
Ἀαρών. Ἀλλὰ κοινωνεῖ μὲν οὗτος τῆς κλήσε-
ως ὁ τρόπος, τῷ πρὸ αὐτοῦ· τῷ τε ἐπ' ἀν-
θρώπου καὶ ταύτην τεθεῖσθαι· καὶ τῷ, ἔχοντος
ἀρετήν· διαφέρει δὲ ἄλλοις τε πολλοῖς· καὶ
ὅτι, ἡ μὲν ἐξιδιωσαμένη Μωσῆν, αὐτοῦ γίνε-
ται· καὶ οὐκ ἔστιν, ὥσπερ ἐκείνη, κοινή· καὶ ὅτι,
ἐκεῖ μὲν θεὸς ἁπλῶς, καὶ οὐχί τινος, ὁ τὴν κλῆ-
σιν ὑπελθὼν, ἀπεδέδοτο· ἐνταῦθα δὲ τοὐναν-
τίον, θεὸς Φαραώ. Ὅτι δ' οὐ κατ' ἐκεῖνον
τὸν νοῦν, ἀλλὰ καθ' ὃν ἔφαμεν, ὁ Μωσῆς εἴ-
ρηται θεὸς Φαραώ, γνώριμον μὲν ἐκ τῶν εἰρη-
μένων· οὐδὲν δὲ ἔλαττον, τεκμήριον καὶ τὸ *τῶν * ἴσ. τόν.
Ἀαρὼν, ἄνθρωπόν τε ὄντα, καὶ ἀρετὴν ἀσκοῦν-
τα, εἰ βούλει δὲ, καὶ ταῖς τερατουργίαις ἐφεστη-
κότα, μηδαμοῦ κληθῆναι θεὸν Φαραώ. Ἐπεὶ
γοῦν τελῶν διαφόρων ὑποκειμένων τῆς *θεί- + ἴσ. θεός.
ας προτεθεμένης προσηγορίας, καὶ τοῦ μὲν κυρί-
ως, τῶν δὲ καθ' ὁμωνυμίαν λεγομένων· ἔστιν
εὑρεῖν καὶ ἄλλο τι τῆς φωνῆς σημαινόμενον· οὐκέ-
τι μὲν κατὰ δόξαν, χρήσει δὲ μόνῃ λαμβανόμε-
νον τῆς θείας γραφῆς. Τὰ γὰρ τῆς Ἑλληνι-
κῆς θρησκείας σεβάσματα, Θεοὺς καὶ * αὐτὴ * ἴσ. αὐτούς.
πολλάκις μὲν κατειρωνευομένη, καὶ ἐπὶ ἐλέγχῳ
τῶν προσκεκυνηκότων. (Βαδίζετε γὰρ Judic. 10.4.
φησιν καὶ βοᾶτε πρὸς τοὺς θεοὺς, οὓς ἐξελέξα-
σθε ἑαυτοῖς, καὶ αὐτοὶ σωσάτωσαν ὑμᾶς.) Πολ-
λάκις δὲ, καὶ εἰς μόνην δήλωσιν τοῦ προκει-
μένου, εἴωθε καλεῖν. Οὐκ ἔσονταί σοι γάρ,
φησιν, θεοὶ ἕτεροι πλὴν ἐμοῦ· καὶ, Οὐκ ἐποιή-
σατε ὑμῖν θεοὺς ἀργυροῦς καὶ χρυσοῦς· καὶ μυρία
ἡ χρῆσις. Ἐπεὶ δὲ * τέσσαρα τῆς, Θεὸς, * ἴσ. εἰς.
φωνῆς διεκρίθη τὰ δηλούμενα· εἰδέναι δεῖ ὡς
ἐν τῷ προκειμένῳ σοι πρὸς μάθησιν ῥητῷ,
Ἄνθρωπος, ἄνθρωπος ὃς καταράσηται θεὸν, Lev. 24.15.
ἁμαρτίαν λήψεται· καὶ ἑξῆς, Οἱ μὲν θεὸν ἐν-
ταῦθα, τὸν ἀληθῶς καὶ κυρίως θεὸν ἐξακούουσιν·
οἱ δὲ, τὸν ψευδωνύμως ἐπονομασθέντα λαμ-
βάνουσιν· ἀρχὴν δὲ διάφορον ἑαυτοῖς ὑποθέμενοι, καὶ τὰ ἑξῆς διαφόρως περαίνουσιν. Οἱ γὰρ ὑπειληφότες θεὸν εἰρῆσθαι νῦν, ὃν ἕκαστος τῶν δυσσεβούντων ἄγει σέβασμα, οὕτω τὸν νοῦν ἀναπτύσσουσιν. Οὐ δεῖ, φησιν, οὐδὲ τὸν Ἑλληνικαῖς θρησκείαις προσανακείμενον

 ἐξυ-

ἐξυβρίζειν ὅπερ σέβεται. Εἰ γὰρ κἀκεῖνο δυσφημίας ἐστὶν ἁπάσης ἄξιον· καὶ τῶν εὐσεβούντων ἑκάστῳ βδέλυγμα καὶ νομίζεσθαι καὶ ὀνομάζεσθαι δίκαιον· ἀλλ' οὖν ὅγε θεὸν νομίζων, εἶτα δὲ δυσφημῶν, ἁμαρτίας ἐστὶν ἔνοχος. Τῇ γὰρ ἑαυτοῦ γνώμῃ καὶ κρίσει, θεὸν ὁ τοιοῦτος ἁλίσκεται βλασφημῶν, καὶ δυσσεβείας ὑπεύθυνον ἑαυτὸν καθιστάς. Τί γάρ, ἔδει ἢ μὴ σέβειν, ἢ μὴ δυσφημεῖν; σὺ δὲ μιγνὺς τὰ ἀσύμβατα, ὅπερ σέβεις τοῦτο δυσφημεῖν· κατέγνως, ἀπόστηθι. Ἀλλ' ἔτι προσέρχῃ ὡς θεῷ· πῶς οὐ πέφρικας δυσφημεῖν, καὶ ἀραῖς ὑπάγειν τὸν ἔτι σοι λατρευόμενον; Ἄνθρωπος τοιγαροῦν, ἄνθρωπος, ὃς καταράσηται θεὸν αὐτοῦ, διὰ τοῦτο ἁμαρτίαν λήψεται· οὐχ ὅτι θεὸν ἐπηράσατο· ἀλλ' ὅτι ὅνπερ ὡς θεὸν αὐτοῦ σέβεται, κατ' αὐτοῦ καὶ γλῶσσαν ἀφῆκε δύσφημον. Εἶτα· Ὀνομάζων δὲ τὸ ὄνομα κυρίου, θανάτῳ θανατούσθω.

Ibid.

Ἂν δέ τις τὸν ἀληθῆ θεόν, καὶ πάντων δεσπότην, ὑπ' ἀρὰν καὶ βλασφημίαν ἀγαγεῖν τολμήσοι, θάνατος αὐτῷ τὸ ἐπιτίμιον. Διττοῖς γὰρ ἐνταῦθα ἀτόποις συνείληπται. Τό, τε γὰρ οἰκεῖον ἐδυσφήμησε σέβασμα, καὶ τὴν ὕβριν κατὰ τοῦ σωτῆρος καὶ δημιουργοῦ τῶν ὅλων, ὃς πάσης ἐστὶν εὐφημίας καὶ δόξης ὑπεράνω, κατεσκέδασεν· ἁμαρτίας μὲν γάρ ἐστιν ἔνοχος· τουτέστιν, παροινίας καὶ ὕβρεως δίκην ὀφείλων. Καὶ ὁ τὸ ἴδιον ἐπαρώμενος θρήσκευμα, εἰ καὶ ψευδωνύμως τὴν κλῆσιν ἐφέλκοιτο τῆς θεότητος, διπλῆς δὲ καὶ πολλαπλῆς τιμωρίας ὑπόχρεως, ὁ τὸν τοῦ παντὸς δημιουργὸν καὶ θεὸν ὕβρεσι πλύνων, καὶ ἀραῖς τετολμηκὼς ὑπάγειν. δι' ὃ λίθοις τὴν ζωὴν ἡ βλάσφημος ἐκείνη κεφαλὴ ἀξία ἐκκόπτεσθαι, τῆς ἀκολάστου γλώσσης τὴν δίκην ὑπέχουσα. Οὕτω μὲν οἱ πρεσβύτεροι τὸ ῥητὸν διασαφοῦσιν· οἱ δὲ μετ' ἐκείνους, ὧδε διηγοῦνται τὸν νοῦν. Ἄνθρωπος ἄνθρωπος, ὃς καταράσηται θεὸν αὐτοῦ, ἁμαρτίαν λήψεται, αὐτόθεν ἐστί, φασι, σαφὴς ἡ διάνοια. Ὁ γὰρ τὸν ἀληθῆ θεὸν ἐπαρώμενος, ἢ ἄλλως ἐμπαροινῶν αὐτῷ, ἔνοχός ἐστιν ἁμαρτίας· ἡ δὲ εἰς τιμωρίαν ἀπαραίτητον τελευτᾷ. Τὸ δέ, Ὀνομάζων τὸ ὄνομα κυρίου τοῦ θεοῦ· τοιοῦτον εἶναι ἀπείρητο τοῖς Ἰουδαίοις τὸ τοῦ θεοῦ ὄνομα· ἀλλ' ὅτι παρὰ τήν, Θεός, φωνὴν νομιζόμενον διὰ

contumeliis id quod colit afficere: nam licèt id mereatur quâvis affici contumeliâ, & à viris religiosis pro abhominando haberi debeat & nominari; is tamen qui id pro Deo habet, & tum blasphemat, reatum incurrit peccati. Nam ex animi sui sententia, Deum manifestè blasphemat, & impietatis se reum præstat. Certè aut non coluisse, aut non blasphemâsse oportuit. Tu commisces incongruentia, dum quod colis, blasphemas illud. Si condemnas, ab ejus cultu recede. Si tamen accedis tanquam ad Deum; quare non formidas malè verbis incessere, & execrationi subjicere, quem colis? Quocirca *homo ille qui execratur deum suum*, ob idipsum *peccatum incurrit:* non quòd Deo maledixerit, sed quòd in eum quem deum suum colebat, linguam immisit maledicam. Addit, *Nominans autem nomen Domini, morte moriatur:* hoc est, Si quis verum Deum, universorum Dominum, sub imprecatione & blasphemia adducere ausus fuerit, mors illi infligitur pœna. Duplici enim absurditate premitur; Numen enim proprium blasphemavit, & contumeliis affecit Deum, qui Salvator omnium & Creator est, qui superat omnem laudationem & gloriam. Peccati reatu tenetur, hoc est, pœnam insolentiæ & convitii subibit. Qui id quod veneratur, ipse execratur, utramq; usurpatam deitatis vocationem sibi assumpserit: duplici pœnâ, imò multiplici subditus meritò erit, qui universi factorem, & Deum maledictis proluit, & execrationibus audet supponere. Quare indignum illud blasphemum caput est, ut lapidibus vitâ privetur, lascivientis linguæ luens supplicium: atque ità hoc dictum interpretantur vetustiores. Posteriores ad hunc modum sententiam explicant; *Homo*, inquam, *qui diis suis maledixerit, peccatum incurret:* est hæc, illi inquiunt, per se plana sententia. Qui nimirum verum Deum execratur, aut alioquin in eum insanit, peccati reus est, quod in ineluctabili supplicio terminatur. Hoc autem dictum, *Nomen Dei Domini nominans*, tale prohibetur esse Judęis nomen Dei, aut per labia proferri, sed

indi-

indictum, & haud cuicunque prolatum custodiri, nisi solis Pontificibus, in cultum Dei & reverentiam. Quocirca nec literis apud illos usitatis scribitur, sed peregrinis & exoticis characteribus literas figurant, quasi symbolis quibusdam mysticis; sunt autem literæ quatuor, unde & Tetragrammaton apud eos usurpatur. Idem ergò, inquiunt, apud Judæos erat, *execrari*, & *nominare* Deum, hoc est, nomen ejus ineffabile per labia ad profanas aures transmittere: quocirca morte utrunque luebatur. Atque hactenus isti. Porrò autem nomen istud aureo folliculo inscriptum, & vinculis quibusdam ad filamen annexum Pontificale, summi sacerdotis frontem ornabat, & custodiebat: nam tremendum & venerandum intuentibus videbatur: simul intimabat, oportere Pontificem, mente perpetuò copulari Deo, nec ab illa beata connexione divulsum ad terrestria & evanida deferri. Atque ità quid intendat hoc nomen, Deus ipse docet: cùm interrogaret Moyses, *Quod est nomen tuum*, respondit, *Ego sum, qui sum*: tum quasi asseveraret hoc ejus esse nomen quod protulerat, *Ego*, inquit, *Dominus visus sum Abrahæ, Isaaco, Jacobo:* tum, *nomen meum non revelavi illis*; ut tu dicas me te majori honore prosecutum, quàm Majores tuos Patriarchas, nomen enim meum quod iis non indicavi; ne quidem Jacobo, cùm instantiùs rogaret; hoc tibi innotui, per *Ego sum, qui sum*; & hoc nomen Hebræis Aia dicitur. Samaritanis Jabe scribitur. Porrò hisce literis Ἰώθ. Ἄλφ. οὐαὺθ. ἤθ. quibus indicatur, sine fine, sine principio esse Deum. Et hoc significat, *Qui est*: hæc enim vox neque ante Eum, nec post Eum aliquid omnino existere, propriè notat; idque semper existere & æternaliter subsistere intimat. Utrivis istarum expositionum si te accomodes, haud opinor aliam indagabis, cùm nec obscuritas ulla adsit, & utrunque dictam sententiam exhibeat in procinctu. Vale.

χειλέων ὅλως προφέρεσθαι· ἄφραστον δὲ καὶ ἀνέκφορον παντελῶς, πλὴν ὅσα γε τοῖς ἀρχιερεῦσι μόνοις, ἐπὶ τιμῇ καὶ σεβασμιότητι τοῦ θείου, διετετήρητο. Διὸ οὐδὲ γράμμασι τοῖς παρ' αὐτοῖς διεγράφετο, ξένοις δέ τισι καὶ παρηλλαγμένοις γραμμάτων τύποις χαρακτηρίζοντες, οἷα δὴ μυστικωτέροις συμβόλοις, οὐδὲ παρυπέφαινον· τέσσαρα δὲ τὰ γράμματα ἦν, ἐξ οὗ καὶ τετράγραμμον αὐτοῖς ἐπωνομάζετο. Ἐν ἴσῳ τοίνυν, φασίν, ὑπῆρχε παρ' Ἰουδαίοις ἀράσασθαί τε τὸν θεόν, καὶ ὀνομάσαι· τουτέστιν, τὸ ἄφραστον ὄνομα αὐτοῦ διὰ χειλέων, καὶ μάλιστα κοιναῖς προσενεγκεῖν ἀκοαῖς. διὸ καὶ ἑκατέρῳ θάνατος ἐπέκειτο ἡ ζημία. Ἀλλὰ ταύτῃ μὲν καὶ οὗτοι. Τοῦτο δὲ τὸ ὄνομα, καὶ χρυσοῦ πετάλῳ ἐγχαραττόμενον, καὶ τῇ ἀρχιερατικῇ ταινίᾳ δεσμοῖς ἁρμοζόμενον, τὸ τοῦ ἀρχιερέως ἐφρούρει τε καὶ ἐκόσμει μέτωπον· ἅμα μὲν φοβερὸν καὶ σεβάσμιον τοῖς ὁρῶσι δεικνύς· ἅμα δὲ καὶ παρεγγυώμενον ἀεὶ δεῖν τὸν * ἀρχιερατὸν νοῦν συνηνῶσθαι τῷ θεῷ, καὶ μηδέποτε τῆς ἐκεῖθεν συναφείας καὶ μακαριότητος διασπώμενον, ἐπὶ τὰ γήινα, καὶ ἅπερ ἐστὶ τῆς ματαιότητος, καταφέρεσθαι. Τί δή ποτ' οὖν ἐστὶ τοῦτο τὸ ὄνομα, αὐτὸς ὁ τῶν ὅλων θεὸς διδάσκει. Ἐπερωτήσαντι γὰρ τῷ Μωσεῖ, τί τὸ ὄνομα αὐτοῦ, ἔφη, Ἐγώ εἰμι ὁ ὤν· καὶ πάλιν, ἐπιβεβαιῶν ὡς τοῦτο αὐτοῦ εἴη ὄνομα, ὃ προεξεφώνει, Ἐγώ φησι, κύριος ὤφθην πρὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ. Εἶτα, καὶ τὸ ὄνομά μου, οὐκ ἐδήλωσα αὐτοῖς· * ἵνα εἴπῃς, μείζονός σε φιλοτιμίας, ἢ τοὺς πατριάρχας, τοὺς σοὺς προγόνους, ἠξίωσα· τὸ γὰρ ὄνομά μου, ὑπὲρ ἐκείνοις οὐκ ἐδήλωσα, καί τοι τῷ Ἰακὼβ, καὶ προσλιπαρήσαντι· τοῦτό σοι διεσάφησα ἀποφηνάμενος, Ἐγώ εἰμι ὁ ὤν. Τοῦτο δὲ, παρὰ μὲν Ἑβραίοις λέγεται, Αἰά· παρὰ δὲ Σαμαρείταις, Ἰαβέ. Γράφεται δὲ καὶ γράμμασι τούτοις. ἰώθ. ἄλφ. οὐαύθ. ἤθ. δι' ὧν δηλοῦται τὸ ἄναρχόν τε καὶ ἀτελεύτητον τοῦ θεοῦ. Τοῦτο γὰρ παρίστησιν, καὶ τό, ὁ ὤν. Αὕτη γὰρ ἡ φωνὴ, μήτε πρὸ αὐτοῦ, μήτε μετ' αὐτόν εἶναί τι κυρίως, καὶ ὑπάρχειν ὅλως, ἐνδείκνυται· ὅπερ τὸ ἀεὶ εἶναι, καὶ ἀϊδίως εἶναι, συνίστησιν. Ἑκατέρᾳ τοίνυν προσομιλῶν ἑρμηνείᾳ, οὐδ' ἑτέραν οἶμαι διώξεις, οὔτε ἀσαφείας, οὔτε τοῦ μὴ παρὰ πόδα εἶναι τὴν ἑκατέρωθε διάνοιαν τῶν ῥητῶν. Ἔρρωσο.

* leg ἀρχιερέα τόν.

Exod. 2.

* εἴπῃ.

Ἐπις. ρξγ΄.

Τῷ αὐτῷ.

Ὡς καλή σου ἡ ἀπορία· γράφεις γάρ, ὡς εἰ μὲν ἄῤῥητον ὄνομα τὸ θεῖον, καὶ γνώσεως μεῖζον, πῶς ἐπέκειτο θάνατος τῷ φθεγξαμένῳ ἡ ζημία; οὐδὲ γὰρ ἦν, οὐδὲ πολλὰ θελήσαντι, φθέγξασθαι· εἰ δ' ἦν διὰ χειλέων προενεγκεῖν, πῶς ἄῤῥητον καὶ ἀνέκφραστον; Ἀλλ' ἔχεις οἶμαι προγεγραμμένην σοι καὶ λαμπρὰν τὴν λύσιν. Τῷ γὰρ εἰπεῖν τὸν ὑπερουσίως ὄντα θεόν, Ἐγώ εἰμι ὁ ὤν· ὄνομά τι αὐτοῦ εἶναι τοῦτο ἂν εἰπεῖν, καὶ τῷ ταύτης τῆς φωνῆς Μωσέα διακοῦσαι· οὐκ ἀκοῦσαι δὲ μόνον, ἀλλὰ καὶ τοῖς ἀρχιερεῦσιν ἀπαγγεῖλαι· οὐκ ἀπαγγεῖλαι δὲ μόνον, ἀλλὰ καὶ χρυσῷ πετάλῳ γραφὴν παραδοῦναι· ὅτι μὲν τῇ ἑαυτοῦ φύσει καὶ γνωστὸν ἦν, καὶ ῥητὸν· καὶ ὅτι τισὶ μὲν ἐπεγνώσθη, καὶ οὐκ ἄφραστον πρὸς ἀλλήλους ἦν, διὰ πάντων ὑπάρχει σαφέστατον. Ὅτι δὲ δι' ὧν τοῖς πολλοῖς οὔτε εἰς ἀκοάς, οὔτε εἰς γνῶσιν ἀφίκετο, ἀλλὰ καὶ οἷς ἐγινώσκετο φυλακὴ περιῆν εἰς ἄλλους μὴ ἐξάγειν· καὶ τοῦτο δῆλον ὡς ἄῤῥητον αὐτὸ καὶ ἀνέκφραστον ἐδίδου καλεῖσθαι· ἄφραστος οὖν καὶ ἀνέκφορος ἡ θεία κλῆσις, οὐχ ὅτι φύσει οὐκ εἶχε ῥήμασι καὶ γλώσσῃ ῥηθῆναι (δῆλον γάρ, κἂν ἐξ ὧν νῦν * παντὶ τῷ βουλομένῳ ῥητός ἐστι) ἀλλ' ὅτι οὔτε πᾶσι ῥητὸν ἢ γνωστόν, οὐδ' ὅτι οἷς ἐπεπίστευτο εἰδέναι, οὐδὲ ἐκείνοις ἦν δυνατόν, φόβῳ τοῦ θανάτου, πρὸς ἄλλους λέγειν, ἢ τρόπον ἕτερον εἰς γνῶσιν ἄγειν. Ἔχεις τοιγαροῦν, ὦ βέλτιστε, ὅπως παρ' Ἰουδαίοις ἄγνωστόν τε καὶ ἀνέκφραστον τὸ τοῦ θεοῦ ὄνομα ὑπῆρχε· καὶ ὅπως ἦν βουλομένοις ἐνίοις αὐτῶν, καὶ αὐτοὺς εἰπεῖν καὶ ἑτέρους εἰδέναι τι καὶ ἀναφθέγγεσθαι παραπλησίως αὐτοῖς, ἐκδιδάσκειν· εἰ μὴ τῆς τιμωρίας ἐπικείμενος ὁ φόβος, μείζων ἐγίνετο τῆς ἐπιθυμίας τῶν τὰ τοιαῦτα ζητούντων μυεῖσθαι. καὶ οὐδέν, ὡς ὁρᾷς, καθορᾶται οὔτε δύσκολον οὔτ' εἰς ἀπορίαν τινὰ περιστῆναι βιαζόμενον.

* ἴσ. εἶπον, ὅτι.

Epiſt. 163.

Eidem.

QUàm erudita eſt tua quæſtio? Ità enim ſcribis, ſi ineffabile nomen Dei ſit, & cogitationem excedit, cur morte luebant, qui efferebant? neque enim poterat quis licèt valdè cuperet, illud proferre; quòd ſi labiis proferri potuit, quomodo erat ineffabile, aut inexplicabile. Sed habes jam præſcriptam, ni fallor, luculentam ſolutionem. Cùm enim dixerit, qui Deus eſt ſupraſubſtantialis, *Ego ſum, qui ſum*, dicendum quoque eſt hoc eſſe nomen ejus, eò quòd hanc vocem fando accipiebat Moyſes; ſed nec ipſe ſolus audiit, verùm & Pontificibus annunciavit; nec annunciavit tantùm, ſed inſcriptum aureæ Laminæ dedit: atque ideò inſinuat & intelligi & nominari Deum poſſe; & certè quòd non nemini cognoſcebatur, & quòd non planè inter illos indicibilis, è multis patet vel clariſſimé. Quòd autem, & per quæ quamplurimis, nec ad aures, nec ad intelligentiam aſcendit, ſed & inſuper in eos, quibus innotuerat, cuſtodia apponebatur, ne ad extraneos effarentur; liquet inde, quòd innominabile & indicibile voluit appellari. Et ergò nomen Dei ineffabile & inefferibile; non quòd naturâ præditus eſt Deus, quæ verbis & linguâ dici nequeat: patet enim quòd etiamnum, illud quiſquis voluerit, proferre queat: ſed quòd omnibus paſſim nec intelligi, vel edici queat, ſed nec iis, quibus cognitio ejus concredebatur, licitum erat ſub pœna capitali, aliis enarrare, aut aliis quovis modo cognifacere. Habes ità, ô bone, quomodo Dei nomen apud Judæos ignotum & ineffabile fuit, & quòd licebat nonnullis inter eos, cùm enunciare ipſis, tum apud alios proferre, & eos docere, quæ cognoſcebant ipſi: niſi mortis metus major deſiderium eorum ſuperâſſet, qui volebant hæc myſteria addiſcere. Atque ità vides nihil videre licèt, vel difficile, aut quod impingat in aliquam inextricandam dubitationem.

Epist. 164.

Georgio Nicomediæ Metropolitæ.

Nolo vos ignorare, fratres, quòd cùm sæpiùs vos adire proposuerim, ut aliquem fructum inde percipiam, hactenus fuerim impeditus, &c. Locum hunc, cujus tu sententiam & sensum desideras per hyperbaton exponere possumus, ut consequentia talis est, Nolo vos ignorare quod sæpenumerò in animo habui ad vos accedere, ut fructum aliquem etiam à vobis percipiam, sed ad hunc usque diem impeditus fui. Syntaxis istius dicti plena est hæc, quæ & perspicua est, & periodi sensum explicat. Attamen dicet aliquis, si fides illorum in toto orbe annunciabatur (hoc enim paulò priùs testimonium iis perhibuerat) quem tandem fructum volebat ipse præsens, si adesset perhibere. Multiplicem affirmamus. Si enim illi credebant, & propter Urbis amplitudinem, Fidei ipsorum fama ad omnes propagabatur, nihilominus multis adhuc indigebant. Patet hoc ex eo, quòd paulò priùs dixit, *ut stabiles efficiamini.* Nam stabiliri ad quos spectat, nisi ad eos qui concutiuntur. Iterum præterea cùm in præcedentibus admonet, ut ne se invicem condemnent, ut divisiones declinent, atque scandala. Plurima hujus generis per totam sparsim epistolam cernere licet, unde monstratur eorum imperfectio, & nupera compaginatio. Ità non abludit, ut licèt eorum fides deprædicetur; multiplici tamen opus subsidio habeant à Paulo (verbis ut dicam ipsius) *irrigandi, ut fructum ferant.* Vide sis autem ut dicat, *Ut fructum aliquem percipiam & à vobis:* docet quòd illorum fructus Pauli proprius fructus ei reputabatur, & quòd haud aliter de vicinorum rectefactis gauderet, quàm de propriis lætaretur. Fructum, quem ferrent illi, suum fructum proprium ducit; ídque vult, ut fructum percipiam. Quo dicto, demum & illud insinuat; distulisse se ideo profectionem ad ipsos, ut commodis ipsorum consuleret. Alioquin autem Pauli

Ἐπισ. ρξδʹ.

Γεωργίῳ Μητροπολίτῃ Νικομηδείας.

Οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν ἀδελφοὶ, ὅτι πολλάκις προεθέμην ἐλθεῖν πρὸς ὑμᾶς, καὶ ἐκωλύθην ἄχρι τοῦ δεῦρο· ἵνα τινὰ καρπὸν σχῶ. καὶ ἑξῆς. Τοῦτο δὴ τὸ χωρίον οὗ τὴν διάνοιαν ἀναμαθεῖν ἐπεζήτησας, ἔστι μὲν καὶ καθ᾽ ὑπερβατὸν ἐκλαβεῖν, ἵν᾽ ᾖ τὸ ἀκόλουθον τοιοῦτον· Οὐ θέλω ὑμᾶς ἀγνοεῖν ὅτι πολλάκις προεθέμην ἐλθεῖν πρὸς ὑμᾶς, ἵνα καρπόν τινα σχῶ καὶ ἐν ὑμῖν, ἀλλ᾽ ἐκωλύθην ἄχρι τοῦ δεῦρο. Καὶ ἡ μὲν ἀπηρτισμένη τοῦ ῥητοῦ σύνταξις τοιαύτη ἂν εἴη σαφὴ καὶ τὸν νοῦν τῆς περιόδου παρέχουσα. Ἀλλ᾽ εἴποι τις ἂν ὅτι εἰ ἡ πίστις αὐτῶν ἐν ὅλῳ τῷ κόσμῳ κατηγγέλετο (τοῦτο γὰρ αὐτοῖς ἐμαρτύρησεν πρὸ μικροῦ.) Τίνα καρπὸν ἤθελε παραγινόμενος αὐτὸς παρασχεῖν; Ἀλλὰ πολὺν μὲν οὖν ἐροῦμεν. Εἰ γὰρ καὶ ἐπεπιστεύκασιν ἐκεῖνοι, καὶ διὰ τὸ λαμπρὸν τῆς πόλεως εἰς πάντας ἐχύθη τῆς αὐτῶν πίστεως ἡ φήμη· παμπόλλων ὅμως ἐδέοντο. Καὶ τοῦτο δῆλον ἔκ τε τοῦ παρ᾽ ὀλίγον εἰπεῖν. Εἰς τὸ στηριχθῆναι ὑμᾶς. Τὸ γὰρ στηριχθῆναι τίνων ἄλλων ἢ τῶν σαλευομένων ἐστίν; Καὶ πάλιν ἐν τοῖς ἔμπροσθεν, ἡνίκα μὴ κρίνειν ἀλλήλους, ἀλλὰ καὶ τὰς διχοστασίας ἐκκλίνειν καὶ τὰ σκάνδαλα παραινεῖ· καὶ μυρία τις τοιαῦτα δι᾽ ὅλης ἴδοι τῆς ἐπιστολῆς, δι᾽ ὧν τὸ ἀτελὲς αὐτῶν καὶ νεοπαγὲς ἐπιδείκνυται. Οὐδὲν οὖν ἀπεικὸς καὶ τὴν πίστιν αὐτῶν καταγγέλλεσθαι καὶ αὐτοὺς ἔτι πολλῆς δεῖσθαι τῆς ἐπικουρείας Παύλου καὶ τῆς διὰ τῶν αὐτοῦ ῥημάτων ἀρδείας καὶ καρποφορείας. Ὅρα δὲ πῶς φησιν. Ἵνα τινὰ καρπὸν σχῶ καὶ ἐν ὑμῖν. τοῦτο μὲν δεικνὺς ὡς ἐκείνων καρπὸς, οἰκεῖος ἐλογίζετο τῷ Παύλῳ καρπός· καὶ οὕτως ἔχαιρεν ἐν τοῖς τῶν πλησίον, ὡσεί τις ἄλλος ἐν τοῖς ἰδίοις κατορθώμασιν. Ἵνα τινά, φησιν, καρπὸν σχῶ, τὸν ἐκείνων καρπὸν, καρπὸν οἰκεῖον τιθέμενος. Τοῦτο δὲ πάλιν παριστὰς ὅτι τῆς αὐτῶν ἕνεκεν ὠφελείας τὴν πρὸς αὐτοὺς πορείαν ἐστέλλετο.

Ἄλλως τε δὲ καὶ εἴ τις ἀκριβῶς ἐπισκοποίη, Παύλου καρπὸς ἀληθῶς ἐστὶν ὁ ἐκείνων καρπός. Ἔργον γὰρ ἦν ἐκείνῳ καὶ σπουδὴ καὶ γεώργιον ἡ τῶν ἀνθρώπων σωτηρία, καὶ τὸ καρποφοροῦντας αὐτοὺς παρασχῆσαι τὴν εὐσέβειαν καὶ τὰς ἀρετάς. Καλῶς οὖν φησιν, Ἵνα τινὰ καρπὸν σχῶ· ἑκάτερον συντόμως τελείαν καὶ σὺν τῷ εὐφυεῖ ἐπίδηλον ποιῶν, καὶ τὸ ἐκείνους τὴν ἐν κατορθώμασι πίστιν καρποφορεῖν, καὶ τὸ αὐτὸν αὐτοὺς ἐκείνους. Ἐν γὰρ τῇ ἐκείνων καρποφορίᾳ ἡ τοῦ Παύλου λαμπρῶς ἐδείκνυτο γεωργία. Ἀλλ' εἰ μὲν καθ' ὑπέρβατόν τις εἰρῆσθαι τὸ χωρίον ἐκλάβοι, ἕξει τὴν διάνοιαν οὕτως ἐξηπλωμένην· καὶ γὰρ πολλή τις οὖ τοιούτου σχήματος τῷ μεγάλῳ Παύλῳ ἡ χρῆσις, ὥσπερ καὶ τῆς ἐλλείψεως, καὶ τῶν περιβολῶν, καὶ δὴ καὶ τοῦ ἀπὸ κοινοῦ, καὶ κατὰ πᾶσαν ἰδέαν ἡ μεταχείρησις. Ἀλλ' ὅμως δυνατὸν καὶ μὴ καθ' ὑπέρβατον εἰληφότα, ἀλλ' ὡς ἔχει τάξεως συντηρήσαντα τοιοῦτον ἐν αὐτῷ θηρᾶσαι τὸν νοῦν. Πολλάκις προεθέμην ἐλθεῖν πρὸς ὑμᾶς· διὰ τί οὖν οὐκ ἦλθες; Ἐκωλύθην, φησίν, ἄχρι τοῦ δεῦρο. Τίνος ἕνεκεν; Ἵνα τινὰ καρπὸν σχῶ καὶ ἐν ὑμῖν· τουτέστιν, διὰ τοῦτο ἐκωλύθην, ἵνα μὴ θᾶττον ἐλθὼν ἀκάρπους ὑμᾶς ἔτι καταλάβω. Καταλαβὼν γὰρ ἀώρους ἐμεμψάμην ἂν ἐμαυτῷ μὲν τῆς ἀκαίρου ταχύτητος, καὶ ὑμῖν δὲ τῆς ἐν οἷς οὐκ ἔδει βραδύτητος· διὸ ἀνεβαλόμην τὴν παρουσίαν, ἐλπίζων τὴν γεωργίαν, ἧς οὐχὶ μήπω πρὸς βλάστην ὁρώσης, ἀλλ' ἤδη καὶ τοῖς ἄνθεσιν ἐνυστερούσης, ὄκνος ἔχει παρεῖναι τὸν ταύτης ἐν ἀπολαύσει γενέσθαι ποθοῦντα. Ἐπειδὰν δὲ μετὰ τὴν βλάστην καὶ τὰ ἄνθη, ἐπιφαίνηται καὶ τελεσφορουμένη· τότε χαρᾶς καὶ εὐφροσύνης ὁ πρὸς αὐτὴν πληρούμενος δρόμος. οὐκ οἶδεν λογίζεσθαι πόνους, οὐδὲ πρὸς ἄλλα τὴν σπουδὴν καταμερίζειν. Τί ὅμως ἂν καὶ καρποφορῶσιν; τίς ἡ χρεία τῆς παρουσίας Παύλου; Πολλὴ μὲν οὖν· οὐ γὰρ πάντα ἀνέμενεν τὸν καρπὸν ἀλλά τινα, Ἵνα γάρ τινα καρπὸν σχῶ, φησι, καὶ ἐν ὑμῖν. Ὥσπερ δὲ περιττὸν καὶ μάταιον τὸν τελείως καρποφοροῦντα εἰς καρποφορίαν παρακαλεῖν· οὕτως ἐπίπονον καὶ ὀκνηρὸν, ἂν μηδὲ χρηστὰς ἐλπίδας ὑπάρχῃ λαβεῖν, ἐπὶ τὰ τέλεια παραινεῖν. Εἰ δὲ *καρ-

* γρ.

fructus, ſi quis accuratè conſideraverit, reverâ eſt illorum fructus. Illius enim opus, ſtudium, agricolatio, erat Hominum ſalus, & ut fructum eos ferentes redderet pietatis & virtutum. Optimè ergò inquit, *ut fructum aliquem feram.* Breviter, utrumque perfectum, & nativo colore præſtans manifeſtat: nempe, rectè ut illi factis ſuis fructum ferant, & ipſe illos pro fructu habeat: nam in eo quòd frugiferi eſſent, Pauli cultura illuſtris reddebatur. Quòd ſi per Hyperbaton locum intelligendum quis putet, ſenſum feret iſte ſimplicem: cùm plurimùm hâc figurâ utatur magnus Paulus, uti & Ellipſi, & circumlocutione, & ἀπὸ κοινοῦ, & ferè omnibus aliis figuris. Tamen fieri poteſt ut qui haud ceperit per hyperbaton, ſed eo ordine quo voces diſponuntur, iſtiusmodi inde ſententiam venetur. *Sæpenumerò propoſui ad vos venire.* At quorſum non veniſti? *Impeditus fui* reſpondet *uſque nunc.* Quid impediebat autem? *ut fructum aliquem à vobis percipiam*; id eſt, eam ob cauſam prohibitus ſum, ne ſi citiùs veniſſem, vos infrugiferos reperîſſem: Si enim immaturos inveniſſem, culpâſſem intempeſtivum adventum meum; Me de feſtinatione nimiâ, Vos de tarditate, in iis quæ non decebant. Ideò adventum comperendinavi meum, proventum expectans, qui cùm nondum egerminationem reſpiceret, ſed tardiùs in florem ſolveretur, gravetur ille adeſſe, qui deſiderio ejus fruendæ teneretur. At cùm poſt germinationem & flores ad perfectionem adducta fuerat, tum acceſſus ad eos curſu feſtinatus, gaudio & lætitiâ abundabat; labores haud novit computare, non curam diviſim aliis impendere? Quòd ſi fructificent, cui uſui inſerviet adventus Pauli? Multiplici profectò. Non enim omnimodum expectavit fructum, ſed quendam tantúm. Inquit enim, *ut aliquem in vobis fructum feram.* Quemadmodum autem ſuperfluum, & fruſtraneum eſt, cum ad fructum ferendum citare, qui jam perfectos tulit fructus; Ità & laborioſum, & grave erit, ubi bona ſpes non ſuppetit, ad perfectionem inducere velle: ſin fructus

in

in iis aliquis, & ille quidem perfectus fuit, ne sic quidem suam præsentiam intercidisset alatus ille & sublimivolans Homo; *debitorem* siquidem se & agnovit & professus est, *non Græcis tantùm aut barbaris, sed sapientibus insipientibúsque*; & quod ipsius studium attinebat, non se continuit, ut ne quid ampliùs requireret, quàm quod habebat; adeò ut si operibus florerent, ipse tamen haud absisteret, quod suum erat facere, sed majorem fieri additionem instaret. Atque ità sit hujus dicti expositio. Potest & aliter sensus explicari, simpliciori quâdam fortè interpretatione, at quæ propiùs accedat ad Pauli mentem, & ipsam dictionem. *Sæpiùs*, inquit, *proposui ad vos venire, sed impeditus huc usque fui.* Cur autem? *ut aliquem in vobis fructum percipiam.* Ac si diceres, deficiebat mihi fructus, quem priùs oportuit percipisse, atque ità demum advenisse. Quis autem fructus ille, & in quibus colligebatur? Ipse hoc docebit: nam ad finem Epistolæ, quasi recolligendo, quæ præmiserat, ait; *Quocirca impeditus sum, ne ad vos venirem*, quod idem est cum *prohibitus sum hactenus. At nunc cùm locum in hisce regionibus non habeam*, sed opus nimirùm absolverim, *veniam ad vos.* Vides, ut fructus in illis locis colligendus huc usque adventum retardaverit. Neque enim Pauli vel animum vel studium decebat, semiperfectum in manibus laborem deserere. Et adverte, ut hæc dicti enodatio, nec figurâ Hyperbato indigebat, nec ratiocinia quædam intercidentia habuit; sed plùs quàm aliæ interpretationes cum verbis ipsis, tum Pauli congruat intentioni. Nec illud *in vobis* impedimentum est; initium enim sequentibus dat, nec connectitur cum, *ut fructum aliquem in vobis percipiam*; ut, *vobis debitor sum, quemadmodum ut in cæteris gentibus, Græcis, & Barbaris, sapientibus & insipientibus sum.* Ne objicerent, Quid ergò tanto studio in fructibus colligendis apud cæteras gentes incubuisti, at nostri nullam habuisti rationem? Immò,

πός τις ἦν, καὶ οὗτος τέλειος ἐν αὐτοῖς, οὐδ' οὕτως ἁπλῶς ἐνεκόπτετο τὴν παρουσίαν ὁ πτηνὸς ἐκεῖνος καὶ μετάρσιος ἄνθρωπος· ὀφειλέτην γὰρ ἑαυτὸν καὶ οἶδε καὶ ἀποκαλεῖ οὐχ Ἑλλήνων μόνων καὶ βαρβάρων, ἀλλὰ καὶ σοφῶν καὶ ἀνοήτων· καὶ τῷ καθ' ἑαυτὸν προθύμῳ, οὐχ ἵστατο μὴ πλείω τῶν ὄντων ἐπιζητεῖν, ὥστε * καὶ τοῖς ἔργοις ἐκόμων, αὐτὸς ἂν τὸ αὐτοῦ οὐκ ἀπέστη ποιῶν· ἀλλ' ἐπέκειτο προσθήκην μειζόνων ἐπιζητῶν. Ἀλλ' οὕτω μὲν καὶ ἡ τοιαύτη τοῦ ῥητοῦ διασάφησις. Ἔστι δὲ καὶ ἄλλως τὸ νόημα συνιδεῖν, ἁπλουστέραν μὲν ἴσως τὴν ἐξήγησιν ἐκδεχόμενον, οἰκειοτέραν δ', οἶμαι, καὶ τῆς Παύλου διανοίας καὶ τῆς λέξεως. Πολλάκις, φησι, προεθέμην ἐλθεῖν πρὸς ὑμᾶς· ἀλλ' ἐκωλύθην ἄχρι τοῦ δεῦρο. Διὰ τί; Ἵνα τινὰ καρπὸν σχῶ· ἵνα * εἴπῃς, ἐνελείπετό μοι καρπὸς τις ὃν ἔδει συλλέξαι πρότερον. εἶτα πρὸς ὑμᾶς παραγενέσθαι. Τίς οὖν ἦν ὁ καρπὸς ἐκεῖνος, καὶ ἐν τίσι συνελέγετο; αὐτὸς ἐκεῖνος ἐρεῖ. Ἐπὶ γὰρ τῷ τέλει τῆς ἐπιστολῆς, ὥσπερ ἐπιλογιζόμενος αὐτῷ τὰ προοιμιασθέντα, οὕτω φησίν· Διὸ καὶ ἐνεκοπτόμην ἐλθεῖν πρὸς ὑμᾶς· ὅπερ εἰς ταυτὸν ἥκει * τὸ καὶ ἐκωλύθην ἄχρι τοῦ δεῦρο· Εἶτα, νυνὶ δὲ μηκέτι ἔχων τόπον ἐν τοῖς κλίμασι τούτοις, ἀλλὰ πεπληρωκὼς δηλονότι τὸ ἔργον, ἐλεύσομαι πρὸς ὑμᾶς. Ὁρᾷς ὅτι τὸ, ἕως τοῦ νῦν μὴ ἐλθεῖν, ὁ ἐν τοῖς κλίμασιν ἐκείνοις συλλεγόμενος ἐπεῖχε καρπός· ἀτέλεστον γὰρ τὸν ἐν ἐκείνοις πόνον λιπεῖν οὐκ ἦν τῆς Παύλου ψυχῆς καὶ σπουδῆς. Καὶ ὅρα ὡς ἡ τοιαύτη ἀνάπτυξις τοῦ ῥητοῦ, οὔτε τοῦ κατὰ τὸ ὑπέρβατον ἐδεήθη σχήματος, οὔτε μὴν ἔσχε τινὰς ἀντιπίπτοντας λογισμούς, ἀλλὰ καὶ προσήρμοσται μᾶλλον τῶν ἄλλων ταῖς τε λέξεσι, καὶ τῷ τοῦ θεσπεσίου Παύλου σκοπῷ· καὶ τὸ, ἐν ὑμῖν, δὲ οὐδαμῶς ἐναντιοῦται· ἀρχὴ γὰρ ἐστι τῶν ἐφεξῆς, καὶ οὐ συναπτόμενον πρὸς τὸ, Ἵνα τινὰ καρπὸν σχῶ, οἷον, καὶ ἐν ὑμῖν, ὀφειλέτης εἰμὶ, καθὼς καὶ ἐν τοῖς λοιποῖς ἔθνεσιν, Ἕλλησί τε καὶ Βαρβάροις, σοφοῖς τε καὶ ἀνοήτοις. Ἵνα γὰρ μὴ λέγωσι, Τί οὖν τὸν μὲν ἐν τοῖς ἑτέροις κλίμασι καρπὸν διὰ σπουδῆς εἶχες συλλέγειν, ἡμῶν δὲ οὐδένα λόγον * Ναί, φησι,

* κἄν.
* εἴπῃ.
* τῷ.
* ἴσ. ἐπιστάσας

φησι, καὶ ἐν ὑμῖν ὀφειλέτης εἰμί, καθὼς καὶ ἐν τοῖς λοιποῖς ἔθνεσι. τοῦτο σπεύδω· τοῦτο ἐπιζητῶ· πᾶσι χρεωστῶ· καὶ οὐδείς ἐστιν ὑπὲρ οὗ μὴ πολλῇ συνέχομαι φροντίδι. Ἀλλὰ ταῦτα μὲν τέως ἐπὶ τοσοῦτον. Τῆς γὰρ ἑρμηνείας ὁ τρόπος ἀλλοιότερος * ἢ ὃν ὁ τῆς ἐπιστολῆς ἐπιζητεῖ τύπος. Διόπερ οὐδέτερον καθαρῶς, καὶ ὡς οἱ τῆς τέχνης νόμοι, κατ' ἐπιστολὴν ἑρμηνεύοντα πράττειν. Ἂν δὲ καὶ τοῦ καθαρῶς ἑρμηνεῦσαι ὁ καιρὸς τὴν ἄδειαν δῷ, ἴσως, θεοῦ βουλομένου, καὶ τελειότερον ἐμοὶ μὲν εἰπεῖν, σοὶ δ' ἀκούειν γλυκήσοιτο χάρις.

* ἴσ. ἐστίν.

inquit, *& in vobis debitor ſum*, *quemadmodum in cæteris gentibus*; hoc contendo, hoc inquiro, omnibus debeo, nec aliquis eſt, pro quo non ſummâ conſtringor ſolicitudine. Atque hæc quidem hactenus. Explicationis enim forma alienior eſt ab epiſtolica figura. Quare neutrum licet planè, & ut artis leges requirunt, obſervare illi, qui per epiſtolam interpretatur. Quòd ſi exquiſitè interpretari occaſio facultatem dederit, fortaſſis cum bono Deo abſolutiùs mihi explicanda erunt, & gratioſiùs tibi audienda.

Ἐπιστ. ρξε΄.

Τῷ αὐτῷ.

Θαυμάζεις εἰ τοιαύταις ἰδέαις θείου Παύλου αἱ ἐπιστολαὶ σχηματίζονται· καί μοι, μηδὲν τῆς ἀληθείας ἀχθεσθῇς, ὅτι οὔπω διέκυψας πρὸς τὸ βάθος τῆς ἐνούσης τῷ ἀνδρὶ σοφίας. Εἰ δέ σε φιλοπονωτέρα περὶ τοὺς ἐκείνου λόγους λάβοι μελέτη, τῆς ἄνωθέν σοι δηλονότι ῥοπῆς εἰς εὐμάθειαν ὁρώσης, θαυμάσαις ἂν μᾶλλον, ὅπως σε τοσαύτη σοφίας διελάνθανε χάρις, καὶ κάλλος ἐμφύτου λόγου θερμὸν ἐραστὴν οὐκ εἶχε. Καὶ οὔπω γε τὴν ἐν δόγμασι καὶ πίστει λέγω σοφίαν. Τοῦτο γὰρ οὐδ' αὐτὸς ἡμῖν ἀμφισβητῆσαι ὤφθης· ἀλλ' ὅσῃ κράτος τε λόγων καὶ ἰσχὺν θαυμάζεσθαι παρέχει. Πῶς οὖν ἰδιώτης τῷ λόγῳ; ὥσπερ καὶ τῶν ἁμαρτωλῶν πρῶτος· ὡς ἔσχατος τῶν ἀποστόλων· ἔκτρωμα πάντων· ὡς περικάθαρμα τοῦ κόσμου· ὡς μὴ ὢν ἄξιος καλεῖσθαι ἀπόστολος· ὡς πάντων περίψημα· ὡς θέατρον ἀγγέλοις καὶ ἀνθρώποις. Τίς; Ὁ δυνάμενος ἐν βάρει εἶναι ὡς Χριστοῦ ἀπόστολος· ὁ περισσότερον πάντων κοπιάσας, ὁ καὶ πρὶν ἢ τὰς μητρικὰς ὠδῖνας λῦσαι, τῷ θεῷ ἀφωρισμένος· ὁ τῶν ἀθεάτων θεατής, καὶ τῶν ἀπορρήτων κατήκοος· ἡ τῷ Θεῷ Χριστοῦ εὐωδία· ὁ τὴν νέκρωσιν τοῦ Ἰησοῦ, ἀλλὰ καὶ τὴν ζωὴν, ἐν τῷ σώματι περιφέρων. Ὥσπερ οὖν ἔκτρωμα, καὶ περίψημα, καὶ θέατρον, καὶ περικάθαρμα, ὁ τοσοῦτος καὶ τηλικοῦτος· οὕτω καὶ ἰδιώτης τῷ λόγῳ. Καὶ γὰρ τούτων, τὰ μὲν ἦν τῇ ὑπολήψει τῶν τοῦ κηρύγματος, μὴ συνιέντων τὸ βάθος· τὰ δὲ καὶ

Epiſt. 165.

Eidem.

MIraris Pauli epiſtolas tot ideis variatas. Noli ob veritatem mihi ſuccenſere: Et ego miror nondum te ad profundam illius ſapientiam perveniſſe. Quod ſi majori curâ & induſtriâ illius ſcripta meditaberis, adhibente nimirum cœlitùs auxilio, mirabere magis qui potuit te tantæ ſapientiæ gratia latere, & inde pulchritudo ſermonibus inſita ejus fervidum haud invenit amatorem. Nec inſiſto adhuc in illa, quæ dogmatum & fidei eſt ſapientia; de illo videris quippe haud dubitare: ſed vim, & facultatem dicendi urgeo admirabilem. At tum quomodo ſermone erit idiota? Certè, eo quo *Princeps peccator*, quo *infimus Apoſtolorum*, *rejectamentum*, *purgamentum mundi*; ut, *ſpectaculum angelis & hominibus*. Quis? qui ut Apoſtolus Chriſti gravis eſſe poſſet auditoribus; qui abundantiùs cæteris laboravit; qui priuſquam matris partus ederetur, Deo conſecrabatur; qui non ſpectandorum ſpectator; non audiendorum auditor fuit; Dei in Chriſto odor bonus; qui Jeſu mortificationem, ſed & vitam in corpore circumgeſtabat. Quemadmodum igitur rejectamentum, purgamentum, ſpectaculum talis vir, & tantus fuit; ità planè & ſermone idiota fuit. Certè, aliquid iſtorum reputabatur ab iis, qui præconii altitudinem non capiebant;

aliquid

aliquid esse volebat, & quia fuit moderatione & morum facilitate admittebat. At quid tum? númne in humana sapientia fides nostra? Deus meliora; sed in potentia Dei, per quam idiotę sapientiâ imbuuntur. An ergo Dei sapientia, & hujus mundi, & principum ejus sapientia? Quis hoc dixerit? Talis enim sapientia per crucis stultitiam evacuatur. Impiorum dogmatum terror: erroris auxiliatrix plausabilitas sermonis: implexio artificiosa, maleferiatorum sophismatum, anima mortalis, quæ & dispertitur & compatitur cum corpore. Quòd mundus opificem non habet: quòd non quemadmodum ignis ità & aqua ferri sursum velit. Quòd matrimonium commune sit, eò quòd hoc pacto magìs se mutuò ament cives. Quòd è mortuis vivi, cùm qui consistebamus, sedeamus. Plurimos oportet Deos esse, cùm plura sint quæ prævideantur: & metuendum sit, nè unus, si omnium communi cura invigilet, defatiscat. Aut quòd Princeps necessitate adigitur, cùm non sufficiat ipse, alium superinducere, nè principatu suo privetur, & secundarius iste deficiens alium, atque ità in infinitum: stulta sunt ista & stultitiam omnem excedentia, quæ animam decent reverâ mortalem, & cicutam merentur. Hanc mundi istius sapientiam Paulus, qui verè sapiebat diuina, & humanas istas cogitationes à se alienabat, & mundo ejiciebat, propter sapientiam Dei in mysterio, fidelium cogitationes illi impervias voluit custodire. Talis sapientia Deo stultitia est: sapientûm cogitationes vanæ, propriis apprehensæ machinationibus per simplicem veritatis sermonem decerpantur. Hanc ut olim, ità & nunc quælibet cum pietate conjuncta ratio respuit: Deliria longa: animarum barathra: diaboli venatica: magnam malorum officinam. At quid verborum recta compositio veritatem lædit? quod damnum infert adhibentibus, quem vel magnum vel parvum errorem supplantando inducit? Si naturam qui finxit, ipse linguarum artifex, unde haud consequens erit, ut qui potiores discipuli sermonis sunt, convenienti sermone u-

αὐτὸς ἐδίδου, φέρων τῇ τῶν ἠθῶν μετριότητι καὶ ἐπιεικείᾳ. Τί οὖν; ἐν σοφίᾳ ἀνθρώπων ἡ πίστις ἡμῶν; Μὴ γένοιτο· ἀλλ' ἐν δυνάμει θεοῦ; δι' ἧς καὶ ἰδιῶται σοφίζονται. Σοφία οὖν θεοῦ ἡ τοῦ αἰῶνος τούτου, καὶ τῶν αὐτοῦ ἀρχόντων σοφία. Καὶ τίς ἂν φαίη τοῦτο· ἡ γὰρ τοιαύτη σοφία τῇ τοῦ σταυροῦ μωρίᾳ μᾶλλον κατήργηται· ἡ τῶν δυσσεβῶν δογμάτων πλάνη· ἡ ταύτης ἐπίκουρος πιθανολογία· ἡ πλοκὴ καὶ τέχνη τῶν κακοσχόλων σοφισμάτων· θνητὴ ἡ ψυχή, ὅτι συμμερίζεται καὶ συμπάσχει τῷ σώματι· οὐκ ἔχει δημιουργὸν ὁ κόσμος, ὅτι οὐχ ὥσπερ τὸ πῦρ, ἐθέλει οὐδὲ τὸ ὕδωρ * φέρεσθαι· κοινὸς ὁ γάμος, ὅτι μᾶλλον οὕτως ὁ πόλις φιλάλληλος· ἐκ τῶν νεκρῶν οἱ ζῶντες καὶ γὰρ ἐκ τοῦ ἵστασθαι καθεζόμεθα. πολλοὺς δὲ δεῖ καὶ θεοὺς εἶναι, ὅτι πλείονα τὰ προνοούμενα, καὶ φόβος, καμεῖν τὸν ἕνα, τῇ κοινῇ φροντίδι ἐνασχολούμενον· ἢ ὅτι τὸν πρῶτον ἀνάγκη πείθει προάγειν καταδεέστερον, ἵνα μὴ τῆς ἀρχῆς περιαιρεθῇ τὸ προνόμιον. Καὶ τὸν δεύτερον πάλιν ὑφείμενον ἄλλον, καὶ τοῦτο εἰς ἄπειρον· τὰ μωρὰ ταῦτα καὶ παρανοίας ἐσχάτης ἐπέκεινα, καὶ ψυχῆς ὄντως θνητῆς καὶ τοῦ κωνείου ἄξια. Ταύτην τοῦ αἰῶνος τὴν σοφίαν, Παῦλος ὁ τὰ θεῖα τῷ ὄντι σοφὸς, καὶ τὰ ἀνθρώπινα διὰ τῆς ἐν μυστηρίῳ θεοῦ σοφίας τῆς οἰκουμένης ἀπήλασε, καὶ τὰς τῶν πιστῶν διανοίας ἀβάτους αὐτῇ συνετήρησεν· Ἡ τοιαύτη σοφία, μωρία παρὰ τῷ θεῷ· τῶν ταύτῃ σοφῶν οἱ λογισμοὶ μάταιοι, καὶ ταῖς οἰκείαις πανουργίαις ἁλισκόμενοι, τῷ ἁπλῷ τῆς ἀληθείας λόγῳ περιδράσσονται. Ταύτην, ὥσπερ πάλαι, οὕτω δὲ καὶ νῦν, ἅπας εὐσεβὴς διαπτύει λογισμός· τοὺς μακροὺς λήρους· τὰ ψυχικὰ βάραθρα· τὰ τοῦ πονηροῦ θήρατρα· τὸ μέγα τῆς ἀπωλείας ἐργαστήριον· τῶν δέ γε ῥημάτων καὶ τῆς δι' αὐτῶν συνθήκης ἡ ὀρθότης, τί λυμαίνεται τῇ εὐσεβείᾳ; τίνα βλάβην φέρει τοῖς χρωμένοις; πρὸς ποίαν ὑποσκελίζει μικρὰν ἢ μεγάλην πλάνην; Εἰ δ' ὁ τῆς φύσεως πλάστης, αὐτὸς καὶ τῶν γλωσσῶν ὁ τεχνίτης, πῶς οὐκ ἔστιν ἀκόλουθον, μᾶλλον τοὺς μαθητὰς τοῦ λόγου τῷ καθήκοντι κεχρῆσθαι λόγῳ, οὐκοῦν οὐ πρὸς-

* ἴσ. ἄνω.

ἐλάβετο μαθητὰς ὁ Χριστὸς ἰδιώτας· καὶ μάλιστα φαίην ἂν ἔγωγε· καὶ, εἰ βούλει γε, καὶ τῶν ἰχθύων, οὓς ἐθήρων, ἀφωνοτέρους. Ἀλλ' ὥσπερ ἰδιώτας, οὕτω καὶ τελώνας, καὶ ἁλιεῖς, μήτε τελώνας ἢ ἁλιεύειν ἀπέλιπε, καὶ ποῦ τοῦτο θαύματος ἢ τῆς Χριστοῦ δυνάμεως ἄξιον; πῶς δ' ἄν τις διαδύσῃ τὸν ἐπὶ τῶν ἔργων αὐτῶν ἔλεγχον; Οὕτως οὖν οὐδ' εἰς ἰδιώτας ἀφῆκεν, οὓς ἐκεῖθεν προσείληφεν· ἀλλ' ἀντὶ μὲν ἁλιέων, ἁλιεῖς ἀπετέλεσεν ἀνθρώπων.
Matth. 4. 19. Δεῦτε, γάρ φησιν, ὀπίσω μου καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων· ἀντὶ τελωνῶν δὲ, ψυχῶν χειμαζομένων σωτῆρας· καὶ ἀντὶ ἰδιωτῶν, τῆς οἰκουμένης διδασκάλους, τῆς τε θείας καὶ οὐρανίου σοφίας ἐμπλήσας, καὶ τῆς ἀνθρωπίνης, ὅπου χρεία καλεῖ, οὐδὲν ὑστερουμένους ἀποφήνας. Ἐπεὶ πῶς Στοϊκοῖς, πῶς Ἐπικουρείοις; πῶς μυρίαις ἄλλαις πλάναις, ἐπὶ λόγοις μέγα ὄνομα λιπούσαις, κατὰ λόγους συνεπλέκοντο; πῶς ὁ τοῦ λόγου δρόμος, καὶ τῶν ῥημάτων ἡ εὔροια, συνδεδραμηκότα τῷ θαύματι, Ἑρμῆν νομισθῆναι τὸν Παῦλον τοῖς ἀκροαταῖς παρεσκεύασε· καὶ εἴγε μὴ φθάσας αὐτὸς, τοὺς χιτῶνας διέσχισε, καὶ γέρας ἂν αἱ θεῶν αὐτῷ θυσίαι δημοτελῶς προσεφέροντο. Ἐῶ νῦν τὴν ἄλλην αὐτοσχέδιον ἰσχὺν τοῦ λόγου, τὴν ἐν ἐκκλησίαις, τὴν ἐν δήμοις, τὴν ἐν δικαστηρίῳ, τὴν κατὰ συναγωγὰς Ἰουδαίων, τὴν ἐν ἀγορᾷ, διδάσκοντος, διελέγχοντος, παραινοῦντος, ἀπολογουμένου, διαμαρτυρομένου, ὅσην κατ' ἄνδρα, ὅσην κατὰ πλῆθος, ὅσην πρὸς δικαστὰς, ὅσην πρὸς συκοφάντας· ὡς εἷλε λέγων τὸν βασιλέα τῶν Ἰουδαίων, καὶ μικροῦ ἂν * σαυτὸς εἰς Χριστιανοὺς μετετάξατο, εἰ μὴ τῆς ἀρχῆς καὶ τῆς ἁλουργίδος τὸ φύσημα (ὃ πολλοῖς πολλάκις εἰς τὰ καίρια ἐλυμήνατο) ἐμποδὼν αὐτῷ κατέστη πρὸς τὴν ἀκρίβειαν τοῦ κηρύγματος· ὡς * ἔσχησε δημηγορήσας τοὺς κατ' αὐτοῦ φονῶντας, καὶ τοὺς διψῶντας τοῦ αἵματος, ἀναλαβεῖν τὰς ὑπὲρ τῆς αὐτοῦ σωτηρίας φροντίδας ἀνέπεισεν· ὡς ἐπὶ τὸν Ἄρειον ἀνέβη πάγον, ἀνδρῶν ἐν μέσῳ τοῖς λόγοις φλεγμαινόντων. Ἄρειον πάγον ἐκεῖνον, οὗ καὶ θεοὺς παρ' ἀλλήλων, καὶ πρὸς ἀνθρώπους δίκας καὶ λαβεῖν καὶ δοῦναι μύθοι χαίρουσιν Ἑλληνικοὶ διηγούμενοι· ὅπως ἐκεῖθε καταστὰς, οὐ πρὸς ἕνα λόγον ὑπέχειν, ἀλ-

* ἴσ. αὐτόν.

* ἔχισε.

tantur. Ideò diſcipulos idiotas aſcivit Chriſtus omnino conceſſerim, & ſi velis, magis quàm erant piſces, quos capiebant, mutos: verum ut idiotas, ità publicanos & piſcatores, qui nec publicani eſſent, nec piſcatores deſinebant, quod mirum erat, ſed potentiâ Chriſti dignum. Quomodo quis ab operibus convictionem effugiat? Inter idiotas non dimiſit, quos abindè admiſit, ſed pro piſcatoribus piſcatores fecit hominum: nempe, *Venite*, enim inquit, *poſt me, & faciam vos piſcatores hominum*; pro publicanis, animarum tempeſtatibus jactatarum ſervatores; & pro idiotis, mundi doctores, impletos divinâ & cœleſti ſapientiâ; nec, ubi erat opus, humanâ ſapientiâ deſtitutos. Certè enim cum Stoicis, cum Epicureis, & ſexcentis aliis erroribus congreſſi, cùm celebre nomen ob eruditionem erant conſecuti, verborum curſus, & dictionum fluvius miraculo conjuncto ferebantur; & Paulum pro Mercurio putari apud auditores faciebant, quòd ſi ipſe diloricatis veſtibus eos non præveniſſet, in honorem ejus publica ſacrificia oblata eſſent. Mitto in præſenti vim ſub manu natam ſermonis, quæ in Eccleſiis, apud populum, pro Tribunali, in Judæorum Synagogis, in foro, cùm doceret, corriperet, admoneret, ſe defenderet, teſtificaretur, quæ viritim, catervatim, apud Judices, ſycophantas. Quomodo dicendo regem Judæorum allicuit, ità ut tantùm non inter Chriſtianos cenſeretur, ſi non regni & purpuræ inflatio, quę multis multoties lethale vulnus inflixêre, impedimento fuiſſet ad effectum operationémque verbi. Ut proloquendo compeſcuit clamoſos & in ſe concitatos, qui ſanguinem ipſius ſitiebant, quos ad ſuam protectionem ſuſcipiendum induxit: ut aſcendit in Areopagum, ubi inter eos verſabatur, qui verbis in ipſum exacerbabantur; Areopagum nimirùm, ubi (ut fabulis Græcorum ſolenniter narratur) & dii & homines rei & actores ferebantur: utq; ibi conſtitutus, non uni ſoli oppoſitus, ſed

con-

contra omnes omnino disertissimus fuit; si modò omnium hominum Athenienses, Atheniensium Areopagitæ præstiterunt dicendo, quorum affectus animósque ità dicendo concussit, & transformavit, ut multi inter eos ab ipsius lingua & sermone suspensi abjicerent quæ per totum vitæ cursum amplexati fuerant, & transirent ad pietatem, illum imitari studiosi, qui apud intimas ipsorum animas virtutis & veræ pietatis dogmata exaraverat. Tot & talia sine sermone congruo non assequebatur. Ecquis enim Barbaro attendisset animo, qui nec rectâ in ipsis vocibus incedebat? Quomodo igitur, quæ nè loqui noverat, rectè consentire aliis videbatur: nè dum alios sibi consentientes habere. Verùm gratia de cœlo operabatur, gratia, inquam, & non artificium. Nam quod arte constat, humanum est & vile; quod è gratia, cœleste & Apostolicum. Operata est gratia, at inprimis hæc operatur, ut nihil se dedecens loquantur ipsius ministri. Non est enim hoc leviusculum, inducere eos, qui sunt ex opposito, in sensum ejus irresistibilis potentiæ, quæ in ipsis operatur. Alicubi enim ait Scriptura, *Videntes Judæi Petri & Pauli audentiam:* quamnam? nempe in loquendo per quam impudentem quæstionem retuderunt. Quid tum? *& cognoscentes quòd indocti erant, & idiotæ, mirabantur.* Cernimus piscatores Rhetores, & labiis sapientiam proferentes, qui scientiam haud habebant literarum. Quid hoc? unde illis accidit quòd humanam excedebat conditionem? unum scimus, *quod cum Jesu fuerant.* Vides ut in admirationem non minùs quàm patrata in procinctu miracula, etiam sermonis vis & facultas hostes excitavit; & modò vellent adhibuisse consensum, in veritatis adduxisset cognitionem. Sed & aliunde perspicias licèt in quantum dicendi eorum facultatem metuerint, indictum ipsis erat nè omnino prædicarent. Quid dices hîc? An si indoctus vel labia moverit tibi statim gloria concidit, & dogma adeò antiquum à longè obtenta potestate, per idiotæ sermonem detur-

λὰ πρὸς ἅπαντας τοὺς ἐν ἀνθρώποις λογίους, (εἴπερ Ἀθηναῖοι μὲν τότε τῶν ἄλλων ἀνθρώπων) * Ἀθηναίων δὲ, οἱ ἐν Ἀρειοπάγῳ * λογικώτεροι.
τὸ κράτος εἶχον, οὕτω κατέσεισεν αὐτῶν τοῖς λόγοις τὰς ψυχὰς, καὶ μετεσκεύασεν, ὡς πολλοὺς αὐτῶν τῆς ἐκείνου γλώττης καὶ τῶν ῥημάτων ἐκκρεμασθέντας, ῥίψαντας ἅπαντα, διὰ βίου παντὸς, πρὸς τὴν εὐσέβειαν μεθαρμόσασθαι, καὶ μιμητὰς ὀφθῆναι τοῦ διὰ βάθους αὐτῶν ταῖς ψυχαῖς τὰ τῆς ἀρετῆς, καὶ τῆς ὀρθῆς λατρείας ἐγχαράξαντος δόγματα. Ἆρα ταῦτα καὶ τὰ τοιαῦτα χωρὶς λόγου τοῦ καθήκοντος; καὶ τίς ἂν αὐτῷ τὸν νοῦν βαρβαρίζοντι προσεῖχε, καὶ μηδ᾽ ἐν αὐταῖς ὀρθῶς ταῖς φωναῖς φερομένου; Πῶς δ᾽ οὖν ἃ μηδὲ λέγειν ᾔδει, ταῦτα φρονεῖν ὀρθῶς ἔδοξεν* ἄλλοις, μήτι γε καὶ συμφρονεῖν αὐτῷ * ἄλλους.
πειθομένους * εἶχεν· ἀλλὰ χάρις ἄνωθεν ἐν- * ἔχειν.
ήργει· κἀγώ γε φημὶ, πάντων μάλιστα, χάρις ἄνωθεν, οὐ τέχνη· τὸ μὲν γὰρ ἐκ τέχνης, ἀνθρώπινον καὶ κοινόν· τὸ δὲ ἐκ χάριτος, οὐράνιον καὶ τῶν ἀποστόλων. Χάρις ἐνήργει· ἀλλ᾽ αὐτό γε τοῦτο πρῶτον ἐνεργοῦσα τὸ μηδὲν αὐτῆς ἀνάξιον φθέγγεσθαι τοὺς ὑπηρέτας· οὐδὲ γὰρ τοῦτο μικρότερον ἐνάγειν τοὺς ἀνθεστηκότας εἰς συναίσθησιν τῆς ἐνισχυούσης αὐτοὺς ἀμάχου δυνάμεως. Καὶ γάρ πού φησι, Θεωροῦντες δὲ οἱ Ἰουδαῖοι τὴν τοῦ Πέτρου παῤῥησίαν Act. 3.
καὶ Ἰωάννου· ποίαν; ἢ τὴν ἐν λόγοις δηλονότι· δι᾽ ὧν αὐτοῖς καὶ τὴν ἀναίσχυντον ἐρώτησιν ἐπεστόμισαν. Εἶτα τί; Καὶ καταλαβόμενοι ὅτι ἄνθρωποι ἀγράμματοί εἰσι καὶ ἰδιῶται, ἐθαύμαζον. Ἁλιεῖς ὁρῶμεν ἄφνω ῥήτορας γραμμάτων, τέχνην οὐκ ἔχοντας, καὶ σοφίαν χειλέων προχέοντας. Τί τοῦτο; πόθεν αὐτοῖς τὰ ὑπὲρ ἄνθρωπον παραγέγονεν; Ἓν ἴσμεν ὅτι τῷ Ἰησοῦ συνῆσαν. Ὁρᾷς ὅπως εἰς θαῦμα τοὺς ἐχθροὺς οὐδὲν ἔλαττον τοῦ παρὰ πόδας τερατουργηθέντος, ἡ τῶν λόγων ἰσχὺς ἐξεκαλεῖτο, καὶ πρὸς ἐπίγνωσιν, εἴπερ ἤθελον, τῆς ἀληθείας προεβίβαζεν. Ὅρα καὶ ἑτέρωθεν εἰς ὅσον αὐτῶν ἐδεδίεσαν τὸ ἐν λόγοις κράτος· παρήγγειλαν αὐτοῖς τὸ καθ᾽ ὅλου μὴ φθέγγεσθαι. Τί λέγεις; ἂν μόνον χείλη ὁ ἀγράμματος κινήσῃ, αὐτίκα σοι μεταπίπτει τὰ τῆς δόξης, καὶ παλαιὸν οὕτω δόγμα τῆς μακρᾶς ἐπικρατείας ὑπεξίσταται τῷ ἰδιώτῃ

λόγῳ καὶ μεθίσταται λαὸς πρὸς νέαν γλῶτταν, ὁ Μωσαϊκοῖς θεσμοῖς ἐντεθραμμένος, καὶ ζῆν καὶ θνήσκειν πρὸς τὴν ἐκείνων ἀρχαιότητα κεκροτημένος. Ναί, φησιν, οὐ γὰρ ἰδιωτικὰ ὁ ἰδιώτης, ἀλλὰ σοφίας ῥήματα φθέγγεται· οὐδ' ὡς ἀγράμματος, βάρβαρα· ἀλλ' ὡς διὰ πάσης τέχνης ἐλάσας κεχαριτωμένα καὶ εὔσημα· ἔστι τις αὐτῶν ἐγκαθημένη τοῖς χείλεσιν ἔμφυλος πειθώ, δι' ἧς καὶ ῥητόρων ἔθνη, καὶ ἰδιωτῶν ἀγέλαι, ὥσπερ δεσμοῖς ἀλύτοις δηθέντα, πρὸς τὸ κηρυττόμενον αὐτοῖς ἕλκεται. Διὰ τοῦτο φθέγγεσθαι κωλύω, ὅτι ῥήμασιν ὀλίγοις πολλοὺς ἀφέντας τὰ πάτρια, * ἐκείνοις ὁρῶ προσχωρήσαντας, ὅτι μιᾷ πολλάκις ὁμιλίᾳ, καὶ τοὺς σὺν ἡμῖν ἑκάστοτε κατ' αὐτῶν ἱσταμένους καὶ πολεμιωτάτους ὄντας, νῦν ὑπηκόων ἔχει καὶ μαθητῶν εὐγνωμόνων τάξις· τοῦτό με σιγᾶν αὐτοὺς ἐπιτάττειν περιΐστησιν εἰς ἀνάγκην. Διὰ τοῦτο μηδὲ στόμα αἴρειν οὐκ ἐπιτρέπω, διὰ τὴν ἐν λόγοις παῤῥησίαν, τὴν ἰσχύν, τὴν χάριν, τὴν ἔμφυλον πιθανότητα. Ἴδες τοὺς Ἰουδαίους ὅσον ὁ διδάσκαλος τῶν ἀποστόλων λόγος ἐκπλήσσειν καὶ καταπεπλῆχθαι παρεσκεύαζε· καί τοι Παύλῳ περισσότερον ἡ τοιαύτη περιήστραπτε χάρις. Βούλει δέ σοι τὸν κορυφαῖον καλῶ μὲν μάρτυρα τῆς ἐνούσης τῷ ἀνδρὶ σοφίας; καθώς, φησιν, ὁ ἀδελφὸς ἡμῶν Παῦλος κατὰ τὴν δοθεῖσαν αὐτῷ σοφίαν ἔγραψε· δῶρον θεῖον τὴν Παύλου σοφίαν καὶ εἰδὼς καὶ διαμαρτυρόμενος. Εἶτα, καὶ τὸ βαθὺ καὶ πυκνὸν τῶν γεγραμμένων οἷον ἀποθειάζων καὶ ἐξυμνούμενος, Ἐν οἷς ἐστί, φησι, δυσνόητά τινα· ὡσανεὶ φρενὸς ὀξείας δεῖται, ῥοπῆς θείας, σοφῶν μαθητῶν, συνέσεως σταθερᾶς, ὁ τῶν γραμμάτων Παύλου θεωρός. Διὰ τοῦτο οἱ ἀμαθεῖς καὶ ἀστήρικτοι, πρὸς τὸ μηδὲν κερδαίνειν καὶ σφᾶς αὐτοὺς διασφάλλοντες, προσαπόλλυνται. Εἰ δὲ καὶ γλωσσῶν, ὁ Παῦλος, αἷς μηδ' ἐνείθιστο, μηδ' εἰς ἀκοῆς ἄφικτο πεῖραν, τὴν χάριν ἐπλούτει· κἂν ταύταις, οὐδενὶ τῶν πρωτείων ἐξίστατο· Εὐχαριστῶ γὰρ τῷ θεῷ μου, φησί, πάντων μᾶλλον γλώσσαις λαλῶν. Εἰ τοίνυν κἂν τοῖς ἐκφύλοις γλώσσαις ἄμαχον εἶχε τὸ κράτος, τῆς τοῦ πνεύματος αὐτὸν σοφιζούσης * ἐπινοίας, πῶς ἂν αὐτὸν δια-

* ἐκείνῳ

* ἐπιπνοίας.

batur: & populus Mosaicis institutis innutritus, quíque vivere & mori secundùm eorum antiquitatem gloriabatur, ad novam linguam transfugit. Omnino: Non enim Idiotæ ideoticè loquitur, sed sapientiæ verba; nec ut illiteratus barbarè loquitur, sed ut qui per omnes artes meavit, gratioso & facili intellectu: quorum labris insidet naturalis quædam Peitho (*aut suada medulla*) & Rhetorum gentes, ac idiotarum greges, vinculis velut insolubilibus constricti, ad illud, quod ipsis annunciatur, trahuntur. Ob hoc igitur dicere eum prohibeo, quòd paucissimis verbis, relictis patriis moribus multos video ad eos se conferre, ità ut unico interdum congressu, subditorum locum & discipulorum optimorum impleant, qui infestissimi priùs ipsos circumstabant. Hæc me necessitate eò adigunt, ut silentium ipsis imponam: eapropter non permitto, vel os aperire, quia vim dicendi liberam, & gratiam persuadendi inhærentem habeant. Vides quantum didascalicus Apostolorum sermo Judæos terrore & metu repleverit, qui tamen Paulum abundantiùs circumfulgebat. Unum huc testem citatum sistam Coryphæum, sapientiæ quæ Paulo inerat. *Quemadmodum*, inquit Petrus, *frater noster Paulus, juxta ipsi concessam sapientiam, scripsit.* Et scivit, & agnovit sapientiam Pauli, Dei fuisse donum. Tum veluti canonizans, & omni præconio efferens, profunditatem & densitatem ipsius sermonum, addit, *In quibus sunt quædam haud facilè intelligenda.* Quasi diceret, animo opus est celeri inclinatione divinâ, discipulis intelligentibus, prudentiâ stabili, si quis rimari ea velit, quæ scripsit Paulus. Quocirca indoctos & instabiles, cùm nihil ejusmodi acquirant, seipsos decipiunt, & per ruinam pereunt. Si linguarum requiris scientiam, Paulus illâ gratiâ ornabatur: etiam in iis quibus nec assuefecerat, nec quæ fando acceperat, *Gratias*, inquit, *Deo meo ago, linguis magis omnibus loquor.* Si igitur tantam habebat facultatem in linguis peregrinis, dum Spiritus afflatu instrueretur, quomodo vel ratio-

nabili-

nabiliter cogitari poterit, eum linguam vernaculam, quæ Grǫca fuerat, corrupiſſe: ut in quibus haud ſanè multos inducere poterat ad pietatem, ibi principatum obtineret: ubi verò omnes ferè homines convertere, ibi riſus & irriſionis materiem exhiberet. Omnino, nè quidem ab inimicis ſuis haud ità ſermone contemptibilis habebatur. Quæ autem quiſpiam intuebitur in laudem martyrii tendere,non eſt cur aliquis declinet, licèt magnos ſibi aſſumat ſpiritus, & per omnia velit eſſe contentioſus: & hìc meum vide teſtimonium: Sitiebat Pauli ſanguinem Judæorum natio: Ille lumine cœleſti colluſtratus totus transfertur ad eum quem perſequebantur. Tunc autem imprimis & ſitiebant, & in voluntarium homicidium incendebantur, cùm ipſorum Synagoga vacuas illius reddiderat prædicationes. Omne movebant ſycophantiarum artificium, omnes machinas admoverant. Non *lanceis* tantùm *argenteis*, quod dicitur, res gerǫbatur, ſed mendaciorum, inſidiarum, iræ, audaciǫ copiis in cædem illius, contribules armabantur, adeò ut manus haberent rorantes ab ipſo flagrante maleficio. Cùm verò fruſtrà ipſos exultantes & gaudentes, ſpes deſereret. Nimirum ille athleta per ſuas apologias, omnes omnium machinationes diſcutiebat, & ad extremum per ſermonis facultatem irreſiſtibilem dejiciebat. Cùm hǫrerent, Oratorem quendam mercenarium, qui calumnias conſilio ſuo foveret, conducebant. Opinabantur enim reum & accuſatum, utcunque omni omnino culpâ careret, illius artes & Orationis verſutias non evaſurum. Idque indubitato futurum. Verùm ſapiens ille Paulus, utpote qui divina callebat & humana, qui contra mercede conductum artificioſè accuſabat per divinitus ſuppeditatam prudentiam & gratiam, ità oratione contendebat, ut illum repelleret, & rubore ſuffunderet, cum ſua arte qui prætio accepto, perſequebatur; Pontifices, Sacerdotes, alios qui in cædem ejus conſpiraverant, attonitos redderet, & intricaret; ità ut non ſolùm ipſos hujus ſuæ molitionis pœniteret, ſed

φθείρειν λόγος καὶ τότε οὖσαν ἐθάδα δέξαιτο τὴν Ἑλλάδα· καὶ δι' ὧν μὲν οὐ πολλοὺς ἔμελλεν εἰς εὐσέβειαν αἱρήσειν, ἐν ταύταις τὸ ἀριστεῖον ἔχειν· δι' ἧς δὲ σχεδὸν ἅπαντας ἀνθρώπους, ἐν ταύτῃ γέλωτος αἰτίαν καὶ χλεύης παρέχειν· καὶ μὴν οὐχ οὕτως εὐχερὴς εἰς λόγους, οὐδὲ τοῖς ἐχθροῖς ἐνομίζετο, ἃ δὲ τοῖς ἐχθροῖς εἰς ἔπαινον ὁρᾷ, μαρτυρίας οὐκ ἔστιν ὅστις οὐκ ἂν ἐκδυσωπηθείη, κἂν μέγα θέλοι φρονεῖν, ἐπὶ τῷ πάντα φιλόνεικος εἶναι· καί μοι πρόσεχε τῇ μαρτυρίᾳ. Ἐδίψα τὸ Ἰουδαίων ἔθνος τοῦ αἵματος Παύλου, ἐπεὶ τῷ οὐρανίῳ φωτὶ περιαστραφθεὶς ἐκεῖνος, ὅλος μετέστη πρὸς ὃν * ἐδίωξεν· ἐδίψα δὲ τότε μᾶλλον, * ἐδίωξαν.
καὶ πρὸς τὴν μιαιφονίαν ἀνεφλέγετο, ὅτε τὰς συναγωγὰς αὐτῶν τὸ ἐκείνου κήρυγμα κεκενωμένας αὐτοῖς ἀπελίμπανε· καὶ δὴ πᾶσα μὲν αὐτοῖς συκοφαντίας τέχνη, πᾶσα δὲ μηχανὴ ἐκεκίνητο· οὐκ ἀργυραῖ δὲ ἄρα λόγχαι μόνον, ὃ λέγεται, ἀλλὰ καὶ ψεύδους, καὶ ἀπάτης, καὶ ὀργῆς, καὶ θράσους πρὸς τὴν τοῦ ἀνδρὸς σφαγὴν, τοὺς ὁμοφύλους ἐξώπλιζον, καὶ τὰς χεῖρας ἤδη ταῖς ἐλπίσι σταζούσας εἶχον θερμοῦ τοῦ μιάσματος. Ἐπεὶ δὲ μάτην αὐτοὺς ἀνασκιρτῶντας καὶ χαίροντας αἱ ἐλπίδες ἀπέλιπον· κρείττω τοῦ ἀριστέως ἁπάντων μηχανημάτων ταῖς ἀπολογίαις καθισταμένου, τελευταῖον πρὸς τοῖς λόγοις κράτος, καὶ τὸ ἀνεπηρέαστον ἀπορούμενοι, ῥήτορά τινα μισθοῦ ποιοῦνται, τῶν συκοφαντηθέντων συνήγορον· οὐκ ἂν ἔτι διαδῦσαι τὰς ἐκείνου τέχνας καὶ πλοκὰς τῶν λόγων τὸν γραφόμενον, κἂν μυριάκις εἴη ἀναίτιος, οὐδ' ὅπως οὖν ἐν ἀμφιβόλῳ τιθέμενοι. Ἀλλ' ὅγε σοφὸς τῷ ὄντι Παῦλος, ὅσα τε θεῖα καὶ ὅσα ἀνθρώπινα, καὶ πρὸς τὸν οὕτω τῇ τέχνῃ καὶ τῷ μισθῷ παρεσκευασμένον, διὰ τῆς ἄνωθεν δηλονότι χορηγουμένης αὐτῷ σοφίας καὶ χάριτος, οὕτως ἀντικατέστη τοῖς λόγοις καὶ διηγωνίσατο, αὐτὸν μὲν τρεψάμενος καὶ καταισχύνας αὐτῇ τέχνῃ καὶ μισθαρνίᾳ· τοὺς δὲ ἀρχιερεῖς καὶ ἱερεῖς, καὶ ὅσοις ὁ κατ' αὐτοῦ συνεκεκρότητο φόνος, ἐκπλήξεως καὶ ἀμηχανίας ἐμπλήσας, ὥστε μὴ μόνον αὐτοῖς τῆς τοιαύτης ἐπιχειρήσεως μεταμελεῖν

ἀλλὰ καὶ σιωπῆς, καί τοι πλέον τῷ θυμῷ ἠγριωμένοις, ὅλα δύο ἔτη καταδίκην σφισὶν ἐπιθεῖναι. Ὁρᾷς ὅπως τοὺς ἐχθίστους καὶ ἄκοντας, ἡ τῶν τοῦ ἀριστέως λόγων δύναμις εἰς μαρτυρίαν ἐξεβιάσατο. Ὅτε δὲ καὶ τοῖς ἐχθροῖς, ἡ Παύλου σοφία ἔργῳ καὶ λόγῳ διαβεβόηται. * τοῖς ἐκεῖθεν τὰ τῆς εὐσεβείας μεμυημένοις, οὐ διαφερόντως καὶ ἀξίως τιμηθήσεται. Καὶ μή με νομίσῃς σοφίαν λόγων καὶ κράτος λέγειν καὶ δύναμιν, τὴν περίεργον ταύτην καὶ σοβοῦσαν, καὶ κομμωτικοῖς φαρμάκοις καὶ ἄνθεσι τὸ ἔμφυτον κάλλος τοῦ λόγου νοθεύουσαν, καὶ τοῖς ἐπιπλάστοις χρώμασι τὸ μειρακιῶδες καὶ ἔκλυτον πρὸς ἑαυτὴν ἐπιστρέφουσαν· μηγ᾽ ἂν ἐκείνην, ὅση τὸ σκυθρωπὸν καὶ ἀμειδὲς, ἐπ᾽ οὐδενὶ χρηστῷ, ὑποδύεται, βαθεῖ τε τῆς ἀσαφείας ὑποκαθημένη σκότῳ, καὶ τοὺς ἀμαθεῖς καὶ ἀγελαίους τῷ περὶ αὐτὴν ζόφῳ συγχέουσά τε καὶ καταπλήττουσα, τυφλοὺς ἐραστὰς ἐπισυρομένη καλλωπίζεται· οὐδ᾽ ὅση πρὸς τὸ ποιητῶν αὐτόνομον ἐκτραχηλίζεται τὰς νεωτερικὰς ὁρμὰς ἐταιριζομένη καὶ διαπαίζουσα. Ἀλλ᾽ ἐκείνην ἔγωγέ φημι, ὅση σώφρων μὲν ἀπαγγέλλειν, κοινὴ δὲ διδάσκειν, πρώτη δὲ παιδεύειν, μόνη δὲ συμπείθειν, εὔσημος δὲ διὰ τῶν συγγενῶν νοημάτων τὴν τῶν πραγμάτων φύσιν ἀναπτύσσειν, καὶ εἴ που χρεία ἐμφάσεως, μυστικῶς εὖ μάλα καὶ τελεστικῶς ἀνακαλύπτειν τὴν τῶν κεκρυμμένων ἀλήθειαν. Ταῦτα μὲν γὰρ τῆς ἐμφύτου, καὶ κοσμίας, καὶ βιωφελοῦς τοῦ λόγου σοφίας· ἐκεῖνα δὲ τῆς τερπούσης τὴν ἄλογον αἴσθησιν, καὶ ταῖς παρατροπαῖς μᾶλλον καὶ τῷ νεωτερίζοντι χαιρούσης ἤθει, καὶ πρὸς μὲν ὠφέλειαν οὐδὲν ὁρώσης, εἰς κρότους δὲ, καὶ κολακείας, καὶ πολὺν λῆρον, διαλυομένης. Οὐκ ἦν ἄρα διὰ ταῦτα τῆς μεγαλονοίας Παύλου οὐδ᾽ ἐγγὺς ἀπομιμεῖσθαι, † ὃν σὺ τῆς ἐν λόγῳ δυνάμεως, ἐπ᾽ αὐτῆς φέρων κεφαλῆς, μονονουχὶ προσκυνεῖς, τὸν, ἦ δ᾽ ὅς· τὸν, ἦν δ᾽ ἐγώ. ὥς πού τις καὶ τὴν εἰς δόξαν οἰκείαν αὐτὸν ἀποσεμνύνει· προσθείην δ᾽ ἂν ἔγωγε, καὶ μάλα εἰκότως, καὶ τὸν ἐπεπόνθειν ἐγώ· καὶ ἤδειν ἐγώ· καὶ ἠκηκόειν ἐγώ· καὶ τὸν οὐκ οἶδ᾽ ὅπως ἄν τις οὐκ εἰς μακρὰν ἀηδίαν αὐτὸς ἐμπέσοι τὰ ἐκείνου διεξιών· ὃς ἐπὶ τοσοῦτον ταῖς τῶν ῥημάτων καινοτομίαις διαθρυπτόμενος ἐθη-

Nam per biennium carcere inclusus liberè tenebatur.

* ἴσ. πῶς, ἐπ.

* *Platonem intelligit.*

& silentium, vel efferatissimis, quasi pœnam quandam per biennium imponerent. Vides ut infensissimos etiam contra voluntatem istius athletæ in dicendo facultas ad dicendum impulit testimonium, quòd nimirum sapientia Pauli, apud hostes maximè capitales, re & verbo prædicatur: unde ab initiatis religioni, sine contradictione ulla, meritissimè honoratur. Noli autem putare me sermonis sapientiam intelligere, dicendi illam facultatem, quæ superfluâ quâdam curiositate, supercilio pomposo, calamistris, medicamentis & floribus, insitam dicendi pulchritudinem adulterat, & coloribus quibusdam superinductis, puerile quod est & elumbe, ad se trahit. Nec illam è contrario, quæ caperatâ fronte sine risu ullo nihil utilitatis subit, sed in profundo considens obscuritatis, illiteratos, & de fœce convenas suis tenebris circumvolutos terrificat: cœcos ad se attractos amatores, speciosiùs prostituit: sed nec quæ effrænis & cervicosa, ad licentiam exorbitat poetarum incitamentis quibusdam novitatis meretricie lasciviat & illudat: sed illam ego velim quæ modestè insinuat, publicè instruit, princeps docet, sola inducit, & per congeneres intellectus clare naturam rerum explicat, quod emphasi alicubi opus sit, mystico more, & sacramentali revelat veritatem absconditorum. Hæc enim dicendi prudentia, exornat naturalem ornatum & vitæ utilem. Illa, eum qui oblectat irrationalem sensum, quæ ipsa potiùs aversionibus & novitatibus afficitur; dum nullum commodi respectum habet, sed in applausum adulationem & ineptias meras resolvitur. Quocirca non decuit Paulinam illam sublimem prudentiam, nè à propinquo imitari, illam dicendi facultatem quam tu tantùm non adoras. Nempe, Inquam ego, Inquiebat ille, ut alicubi ille qui gloriolam aucupabatur, seipsum laudat. Cui cur non ego meritò adjiciam, & Quem desideravi ego, &, Agnovi ego, & Audivi ego. Nec ego illum novi, qui longo fastidio laboraret, in illis percensendis, qui in tantum à verborum novitatibus corrumpitur, & emollitur, ut nec

vul-

vultus repræsentationem aliquam velit remanere; sed in figuram nobis conjunctam, sine ullâ significatione characterem eorum compingere. Mitto in præsenti oblinimenta oculorum, quę animum potiùs afficiunt, quàm loquuntur: carnis speratam constitutionem ad amantes, vel in ea potiùs delirantes, ac multis istiusmodi negotiis impiis & damnandis lascivientes, quorum in dicendo imitationem mirabilem illum Paulum, nedum veneratorem dixerim, & agendi participem. Quin nec Gorgię ludicra oratio, ferè cum scenica adæquanda, propter saltationes in choris salientium; & molles inflexiones, meretur cum gravitate & incessu Paulini sensus componi, sed linguam ille suam regulam habebat quasi, sermonum illorum qui efferre poterant pro dignitate tantarum rerum sensum & sententiam, sine ulla sui contumelia. *O altitudo divitiarum sapientiæ & cognitionis Divinæ! quam inscrutabilia judicia ejus, & imperuestigabiles viæ ejus?* &, *Quis novit mentem Domini? vel quis illi fuit à consiliis?* &, *Quis prius dedit ipsi ut retribuatur ei? Christus nos redemit à maledictione legis, factus ipse pro nobis maledictio.* Ob hanc ipsius sapientiam, mundi Doctorem admiror ego, neque est cum audacia conjuncta hæc admiratio mea: qui cùm istud pronunciabat intelligibili & constanti sermone, intelligendum exhibens, quo, id quod omnibus conducit, docetur? Quid dicturus est dictionis puritatem intuens, nec illam quæ spectat rectitudinem vocis, & congruenter consentit cum periodi harmonia, sed ulteriùs ad rerum cognitionem dirigitur explicandam, nec quicquam necessarium de foris accersit. Sed quod vocum inversionem spectat, & durum quid præ se fert distinctum scitè ablegat: sublimi generi perspicuitatem, si quis alius, revera plus quam alius, ubique intermiscens. Nec hîc commemoro, quod conciliatorio, & dictatorio dicendi genere variatur. Nec quod de Divinis rebus instituitur sermo; & quæ maximo ho-

λύετο, ὡς μηδὲ προσώπων αὐτοῖς ἐμφάσεις ἔτι βούλεσθαι καταλιπεῖν, εἰς τὸ διάσημον δὲ τύπον ἀπαρεμφάτων τὸν χαρακτῆρα τούτοις μεταβιάζεσθαι. Ἐῶ δὲ νῦν τὸν τὰ λιπάσματα τῶν ὀφθαλμῶν, κατὰ ψυχὴν μᾶλλον πεπυθότα, ἢ φθεγξάμενον· καὶ τὰ τῆς σαρκὸς πιστὰ ἐλπίσαντα, καὶ εὐσταθῆ καταστήματα ἀθλιώτερον στέρξαντα ἢ ἐκληρήσαντα καὶ πολλαῖς τοιαύταις λέχαις καὶ κακαῖς ἄλλαις ἐνασελγαίνοντα· ὧν οὐδ' ἑτέρου μιμητὴν εἰς λόγους, οὐδ' εἴ τις τοιοῦτος ἕτερος, τὸν θαυμάσιον Παῦλον, οὐδὲ πολλοῦ δεῖ, ὥσπερ οὐδ' εἰς πράξεις· οὐδ' εἰς σέβας, θείην ἂν ἔγωγε. Οὐ μὴν ἀλλ' οὐδ' ἡ Γοργίου παιδιά, καὶ μικροῦ παρισουμένη τοῖς ἐπὶ σκηνῆς τῶν χορευτῶν σκιρτήμασι καὶ λυγίσμασιν ἀπαγγέλλειν, ἀξία τὸ βαθὺ καὶ *βεβηκὸς τῶν ὑψηλῶν Παύλου νοημάτων. Ἀλλ' ἐκείνων γε τῶν λόγων τὴν γλῶτταν εἶχε κανόνα οἱ τηλικούτων πραγμάτων τὸν νοῦν ἐκφέρειν ἐδύναντο κατ' ἀξίαν, μηδὲν μήτε δολοῦντες μήτε ἐξυβρίζοντες· Ὦ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως θεοῦ· ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ· Καὶ τίς ἔγνω νοῦν κυρίου; ἢ τίς σύμβουλος αὐτοῦ ἐγένετο; ἢ τίς προέδωκεν αὐτῷ καὶ ἀνταποδοθήσεται αὐτῷ; Χριστὸς ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νόμου, γενόμενος ὑπὲρ ἡμῶν κατάρα. Ἐπὶ ταύτῃ τῇ σοφίᾳ τὸν διδάσκαλον ἐγὼ τῆς οἰκουμένης θαυμάζω, καὶ θαυμάζειν ἂν ἀξίως μὴ τολμηρὸν εὐξαίμην, δι' ἧς τοιαῦτα ἐφθέγγετο, εὐσήμῳ μὲν καὶ σταθερᾷ λέξει τὸ νόημα παριστῶν, κοινὸν δὲ πᾶσι τὸ ὄφελος προστιθείς· τί δ' ἂν εἴποις ἐνθεωρήσας αὐτοῦ τὸ καθαρὸν τῶν ῥημάτων, οὐ μόνον ὅσον εἰς ὀρθότητα φωνῆς καὶ συμμετρίαν ἤκει περιόδων ἐναρμονίως συστελλόμενον, ἀλλά, καὶ εἴ τι πρὸς τὴν τῶν πραγμάτων ἀφήγησιν ἀπευθύνεται, μηδὲν τῶν ἀναγκαίων ἔξωθεν ἐπισυρόμενον, ἐφ' ὅσον τε τὸ τετραμμένον τῶν ὀνομάτων, καὶ ὅσον ἐπὶ τὸ σκληρὸν ἀπονεύει διακρίνον καλῶς ἀποπέμπεται, καί τοι μεγέθει τὸ σαφὲς, ὡς εἴ τις ἄλλος, μᾶλλον δ' ὡς οὐδεὶς ἕτερος, δι' ὅλων ἐγκερασάμενος. Καὶ οὔπω τοῦτο φημὶ ὅπερ τῷ συμβουλευτικῷ καὶ νομοθετικῷ διαποικίλλεται· οὐδ' ὅτι περὶ θείων ὁ λόγος αὐτῷ πραγμάτων, καὶ τῶν ἐν

* ἴσ. ἀπεβηκός.

Rom. 11. 33.

Gal. 3. 13.

ἐν ἀνθρώποις μάλιστα τιμίων· ἀλλ' οὐδ' ὅτι λαμπρύνασθαι καὶ φαιδρῶς εἰπεῖν μιμητὴν οὐκ
2.Tim. 5.24. ἔχων. Τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισμαι· τὸν δρόμον τετέλεκα· τὴν πίστιν τετήρηκα· λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος. Οὕτω τρέχω, ὡς οὐκ ἀδήλως. οὕτω πυκτεύω, ὡς οὐκ ἀέρα
1.Cor.9.26. δέρων. Καί, Ὃς ἐν μορφῇ θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῷ· ἀλλ' ἑαυ-
Phil.3.20. τὸν ἐκένωσε, μορφὴν δούλου λαβών· διὸ καὶ ὁ θεὸς αὐτὸν ὑπερύψωσε, καὶ ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ, πᾶν γόνυ κάμψῃ ἐπουρανίων, καὶ ἐπιγείων, καὶ καταχθονίων, καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται ὅτι Κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν θεοῦ πατρός· καὶ, Ἡμῶν γὰρ τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει, ἐξ οὗ καὶ σωτῆρα ἀπεκδεχόμεθα κύριον Ἰησοῦν Χριστόν, ὃς μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν, εἰς τὸ γενέσθαι αὐτὸ σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ. Θαυμαστὰ μὲν γὰρ ἄγαν καὶ ταῦτα. Πῶς γὰρ οὔ; ἔν τε τοῖς ἄλλοις καὶ τῆς ἐπ' ἄκρον συνδρομῆς φαιδρότητός τε καὶ καθαρότητος. ἀλλ' οἷος ἐν τῷ
* ἐν τῷ κρίνειν. γνωμολογεῖν * καὶ εὐσταθῶς ἀποφαίνεσθαι ἐλέγχειν ἔνθα δεῖ καὶ ὡς δεῖ ἐπιτιμᾶν διαμαρτύρεσθαι; Ὧ γάρ τις ἥττηται, τούτῳ καὶ δεδούλωται. Φθείρουσιν ἤθη χρηστὰ ὁμιλίαι κακαί· καὶ, Τοῦτο δέ φημι, ὅτι σὰρξ καὶ αἷμα βασιλείαν θεοῦ κληρονομῆσαι οὐ δύναται οὐδὲ ἡ φθορὰ τὴν ἀφθαρσίαν κληρονομεῖ. Ἐτρέχετε καλῶς· τίς ὑμᾶς ἐβάσκανε τῇ ἀληθείᾳ μὴ πείθεσθαι. καὶ, Μὴ πλανᾶσθε, θεὸς οὐ μυκτηρίζεται· καὶ, Ἴδε ἐγὼ Παῦλος λέγω ὑμῖν ὅτι ἐὰν περιτέμνησθε, Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει. καὶ, Μαρτύρομαι παντὶ ἀνθρώπῳ περιτεμνομένῳ ὀφειλέτης ἐστὶν ὅλον τὸν νόμον ποιῆσαι· καὶ, Τολμᾷ τις πρᾶγμα ἔχων πρὸς τὸν ἕτερον, κρίνεσθαι ἐπὶ τῶν ἀδίκων, καὶ οὐχὶ ἐπὶ τῶν ἁγίων. Καὶ ἴσον ἐστὶ τὰ τοῦ μεγέθους συλλέγειν καὶ τὰς ἐκείνου συντάξεις εἰς ὁλόκληρον ἀναγινώσκειν, οὕτως αὐτὸ τὸ ἀξίωμα δι' ὅλων κέκραται τῶν λόγων. Ἀλλὰ τὸ ἦθος ὁποῖον; Χριστὸς ἦλθεν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτος εἰμὶ ἐγώ. καὶ, Ἐγὼ γάρ εἰμι ὁ ἐλάχιστος τῶν ἀποστόλων, καὶ ὃς

nore apud homines habentur: nec quod neminem habet qui possit ipsum imitari in illuminandâ & illustrandâ oratione. *Certamen bonum certavi: cursum confeci: fidem servavi; de cætero, reposita est mihi justitiæ corona.* &, *Ità curro, ut non in vanum: ità certo, ut non aerem flagellans. Qui in forma servi existens non reputavit rapinam esse æqualem Deo, sed exinanivit semetipsum, servi formam assumens. Quapropter Deus ipsum superexaltavit, & dedit illi nomen super omne nomen, ut in nomine Jesu omne genu flectatur, cœlestium, terrestrium, & infernorum: & omnis lingua confiteatur, quod Dominus* Jesus *Christus est in gloria Dei patris.* &, *Conversatio nostra in cœlis est, unde & expectamus servatorem Dominum* Jesum *Christum, qui transformabit corpus humilitatis nostræ, ut assimiletur corpori gloriæ ipsius.* Valdè sunt hæc admiranda. (Quidni enim) cùm ob alia, tùm propter perspicuitatem & puritatem summam concurrentem. Sed qualis fuit in sententiis, talis videtur in sententia ferenda, in convincendo, in reprehendendo, cùm oportet, & quomodo oportet, per declarationem & testificationem non fluctuantem. *In quo quis vincitur, ei servus subjicitur. Corrumpunt bonos mores colloquia prava.* &, *Hoc affirmo, quod caro & sanguis, regnum Dei non possidebunt. neque enim corruptio hæreditabit incorruptionem. Currebatis benè, quis vos fascinavit ut ne veritati obtemperaretis.* &, *Nolite errare, Deus non illuditur.* &, *En ego Paulus vobis denuncio quod si circumcidemini, Christus vobis nihil proderit.* &, *Testificor omni homini circumciso, quod debitor est toti legi servandæ.* &, *Audétne quis qui negotium cum alio habet de injuriis apud exteros judicium subire? & non coram sanctis.* Certè idem est magnitudines omnes in unum colligere, & ejus sermonum compositiones per omnia relegere: adeo ubique dignitas & majestas per singulas dictiones permiscetur. At mores ejus quales? *Christus in mundum venit, Peccatores salvos facere, quorum Ego primus sum.* & *Ego minimus sum Apostolorum, qui nec dignus*

sum

ſum vocari Apoſtolus. &, *Deſidero te videre, memor tuarum lachrymarum, ut gaudium percipiam; recordationem habens fidei quæ in te eſt, ſine hypocriſi, quæ primum habitavit in avia tua Loide, & matre tua Eunice. Utinam exſcinderentur, qui vos conturbant. Sine nobis regnaſtis, & utinam regnetis,* & ſexcenta talia. Nunquid ergò in aliquo inferior eſt iis qui totam ſuam vitam in iſtis impenderunt: qui, nec nominum tenus, quod ego reor, aliquid in iis curæ poſuit, ſed cum volubilem è re nata linguam haberet, Rhetoricam, Ethicam, & perſpicuam ſpeciem ità cum grandiloquentia exercuit conjunctam. At celeritate deſtituitur: Imò quis cum illo comparandus in miſcenda granditate. *Deus eſt qui juſtificat, quis ille qui condemnat? Chriſtus qui mortuus eſt, potiùs qui ſurrexit. Omnia mihi licent, non conducunt omnia. Omnia mihi licent, at non omnia ædificant. Quæ eſt ergò Judæi ſuperioritas? aut quæ utilitas circumciſionis? multa, per omnem modum. Inprimis, quòd concredebantur ipſis Oracula Dei. Quid autem ſi increduli fuerint, num eorum incredulitas Dei fidelitatem evacuabit. Abſit. Convitiati autem benedicimus; perſecuti, ſuſtinemus; blaſphemati, admonemus.* Quid autem mare magnum guttis metiri velit quis. Idem eſt enim mare guttulis ſubjicere, & velle verbis exprimere ſapientiam Pauli, qui nec, ornatum licet penitus non haberet inſuper, in totum non omiſit, ſed fucis delibutum, in quibus non nemo gloriabitur, naturali verò decore imbutum, quod vix quiſpiam ſperaret, ità provexit in admirationem, ut canonem & formam veræ pulchritudinis intuentibus exhibeat, longè ſemotum à ſophiſtica a & ſtudiosè quæſita floriditate. Sed nihil hoc tam probat quam ipſummet audire. *Quomodo invocabunt, in quem non crediderunt? quomodo credent in eum, de quo non audierunt? quomodo audient ſine præcone? quomodo prædicabunt, niſi mittantur? ut ſcriptum eſt, Quàm pulchri pedes evangelizantium pacem? evangelizantium*

οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι ἀπόστολος. Ἐπιποθῶ σε ἰδεῖν μεμνημένος σου τῶν δακρύων· ἵνα χαρᾶς πληρωθῶ, ὑπόμνησιν λαμβάνων τῆς ἐν σοὶ ἀνυποκρίτου πίστεως, ἥτις ἐνῴκησε πρῶτον ἐν τῇ μάμμῃ σου Λωΐδι, καὶ τῇ μητρί σου Εὐνίκῃ. Ὄφελον καὶ ἀποκόψονται οἱ ἀναστατοῦντες ὑμᾶς. καὶ, Χωρὶς ἡμῶν ἐβασιλεύσατε, καὶ ὄφελόν γε ἐβασιλεύσατε· καὶ μυρία ἄλλα. Ἆρ' οὖν ἐνδεῖ τινὸς τῶν περὶ ταῦτα τὸν βίον ὅλον κατατριψάντων· ὁ μηδὲ μέχρι τῶν ὀνομάτων, οἶμαι, τῆς ἐπιμελείας αὐτῶν ἀνασχόμενος, ἀλλ' αὐτοσχέδιον ἔχων τὴν γλῶτταν, ῥητορικὴν, ἀλλ' ἄρα τὸ μὲν ἦθος αὐτῷ, καὶ τὸ σαφὲς διὰ τοῦ μεγέθους οὕτω διαπρεπῶς κεραννύμενον, τοῦ τάχους δ' ἐνδεῖ, καὶ τίς οὕτω πέφυκε συγκεράτῳ κεχρῆσθαι γοργότητι. Θεὸς ὁ δικαιῶν, τίς ὁ κατακρίνων; Χριστὸς ὁ ἀποθανὼν μᾶλλον δὲ καὶ ἐγερθείς. Πάντα μοι ἔξεστιν, ἀλλ' οὐ πάντα συμφέρει· πάντα μοι ἔξεστιν, ἀλλ' οὐ πάντα οἰκοδομεῖ. Τί οὖν τὸ περισσὸν τοῦ Ἰουδαίου, ἢ τίς ἡ ὠφέλεια τῆς περιτομῆς; πολὺ κατὰ πάντα τρόπον. Πρῶτον μὲν γὰρ ὅτι ἐπιστεύθησαν τὰ λόγια τοῦ θεοῦ. Τί γὰρ εἰ ἠπίστησαν; μὴ ἡ ἀπιστία αὐτῶν τὴν πίστιν τοῦ θεοῦ καταργήσει; Μὴ γένοιτο. Καὶ, τί οὖν προεχόμεθα· οὐ πάντως καὶ πάλιν· Λοιδορούμενοι εὐλογοῦμεν· διωκόμενοι ἀνεχόμεθα· βλασφημούμενοι παρακαλοῦμεν· καὶ. Τί ἂν τις πελάγη θαλάσσης σταλαγμοῖς μετρεῖν ἐπιχειροίη· ἴσον γὰρ ἐκεῖνά τε σταλαγμῶν λογισμοῖς ὑποβάλλειν, καὶ τὴν Παύλου σοφίαν πειρᾶσθαι λόγῳ διεξελθεῖν· Οὐδὲ γὰρ οὐδὲ τὸ καλλωπίζον, καίτοιγε περιορῶν αὐτὸ εἰς τέλος παρέδραμεν, ἀλλὰ τοῦ ἐπιβουλῆς μὲν γυμνώσας, ἐν ᾗ ἄν τις καὶ ἐκαλλωπίσατο, τῷ ἐμφύτῳ δὲ περιβαλὼν, ὅπερ ἄν τις μόλις ἐλπίσειεν, οὕτω καὶ θαυμάσαι προήνεγκεν, ὡς αὐτὸ τοῦτο κανόνα καὶ τύπον κάλλους ἀληθινοῦ τοῖς συνορῶσι προκεῖσθαι, πολλῷ τοῦ σεσοφισμένου καὶ κατ' ἐπιτήδευσιν εἰς ὡραιότητα διαφέροντος. Ἀλλ' οὐδὲν οἷον αὐτοῦ ἀκούειν. Πῶς οὖν ἐπικαλέσονται εἰς ὃν οὐκ ἐπίστευσαν; πῶς δὲ πιστεύσουσιν, οὗ οὐκ ἤκουσαν; πῶς δὲ ἀκούσουσιν χωρὶς κηρύσσοντος; πῶς δὲ κηρύξουσιν, ἐὰν μὴ ἀποσταλῶσιν· καθὼς γέγραπται, Ὡς ὡραῖοι οἱ πόδες τῶν εὐαγγελιζομένων εἰρήνην,

τῶν εὐαγγελιζομένων τὰ ἀγαθά· πάλιν, Εἴ τις οὖν παράκλησις ἐν Χριστῷ· εἴ τι παραμύθιον ἀγάπης· εἴ τινα σπλάγχνα καὶ οἰκτιρμοί, πληρώσατέ μου τὴν χαράν· Εἶτα, Ἡ θλῖψις ὑπομονὴν κατεργάζεται· ἡ δὲ ὑπομονὴ δοκιμήν· ἡ δὲ δοκιμὴ ἐλπίδα· ἡ δὲ ἐλπὶς οὐ καταισχύνει. Οὕτως ὁ τῶν ἐπιστολῶν τοῦ μεγάλου Παύλου χαρακτὴρ ἀρετῆς ἁπάσης τῆς ἐν λόγῳ τὰς ἰδέας ἐμμορφούμενος, καὶ τοῖς κατ' ἀλλήλοις καὶ οἰκείοις ἐμποικιλλόμενος σχήμασιν, ἀρχετύπου καὶ παραδείγματος λόγον ἐπέχειν καὶ ζηλοῦσθαι ἄξιος, ἀλλὰ μὴ πρὸς ἑτέρων μίμησιν ἀναγεγράφθαι τοῖς γε σωφρονοῦσιν ἐστὶ δίκαιος. Οὐδὲ γὰρ οὐδὲ ῥάδιον εὑρεῖν, ὃν εἰκονίσεται· ἐπεὶ μηδὲ μελέτης καρπός, ἀλλ', ἐπινοίας ὑπερφυοῦς τὰ Παύλου ῥήματα ὁ τῆς σοφίας πλοῦτος, ἡ τῆς ἀληθείας καθαρὰ καὶ διαυγής, καὶ ἡδονῆς σωτηρίου βρύουσα πηγή· τοῦτο τῆς ἄνωθεν φοβερᾶς ἀστραπῆς, βραχεία τις λαμπηδών, τῶν ἀποστολικῶν χειλέων ἀποπάλλουσα. τοῦτο τῆς ἐν ἀσθενείᾳ τελειουμένης θείας δυνάμεως ἀπορροή τις μετρία, κόσμον ὅλον ἀρδεύουσα· τοῦτο τῆς ἐν ὀστρακίνοις σκεύεσιν ἐνεργουμένης χάριτος· ὢ φρικτῶν καὶ παραδόξων μυστηρίων μαρτύριον ἀπαράγραπτον, ἐξ ἰδιωτικῆς γλώττης στάζουσα σοφία, ἐξ ἀμελετήτου στόματος κανὼν εὐγλωττίας, ἐξ ἀμαθῶν χειλέων τέχνη ῥητορείας· Σὺ δὲ τί λέγεις; ἔτι σε λογισμὸς διστάζων τῆς ἐν λόγῳ Παύλου σοφίας, ἢ διαπόρησις ἐνοχλεῖ; μᾶλλον δὲ ἄρ' ἔτι σοι μικρολογηθήσεται εἰς σχήματα τὰς ἐπιστολὰς αὐτοῦ σχηματίσεσθαι, ἢ μακρὰ ἂν σαυτοῦ τῶν προτέρων καταγνοίης, ὅτι σε τοσούτων χαρίτων δωρεὰ διελάνθανε· Τί δ' ἂν εἴποις ἐμβαθυνόμενος τῷ ἑτέρῳ μέρει τῆς ἐκείνου περὶ τοὺς λόγους δυνάμεως, οἷος ἐν τοῖς κεφαλαίοις τὴν τάξιν, τὴν σύνεσιν εἰσάγων οἰκονομούμενος, ὑποφέρων ἀνθυποφέρων, ὅσος τὴν ἐπιχειρημάτων τὴν εὕρεσιν· τὸ ἐν ταῖς ἐργασίαις γόνιμον· ὅπως συμπεῖσαι ἕτοιμος καὶ πολὺς παραβολαῖς, παραδείγμασιν· ἡλίκος τοῖς ἐνθυμήμασι· καὶ τὴν ἄλλην τούτοις ἅπασαν συγγενῆ δύναμιν, ἃ σοι παρέχοι περιελθεῖν, κἂν μηδενὶ θελήσῃς ἑτέρῳ κατὰ μελέτην προσχεῖν, εἰς, ὡς ἀληθῶς, ὀξὺν ἔρωτα

bonum. Iterum, *Si qua ergò in Christo consolatio: si amoris solamen: si viscera & miserationes, adimplete meum gaudium*, &, *Afflictio patientiam operatur, patientia probationem, probatio spem: spes autem non pudefacit.* Atque ità character Epistolarum Pauli illius magni omnimodâ dictionis virtute confirmatus, congruis atque propriis figuris variegatus, archetypi & exemplaris rationem subire, atque imitatione exprimi dignus est, non autem refigi aut rescribi ad aliorũ imitationem à prudentibus debet. Neq; enim erit in promptu invenire ad quem alium sit effigiandus. Sunt enim Pauli verba, non meditationis fructus, sed inspirationes, & excellentiores cogitationes: divitię sapientię, fons virtutem salutiferã ebulliens, brevis quædã coruscatio, è labiis Apostolicis exiliens, terribilis è cœlo fulgurationis, effluxus quidam commensuratus Divinæ illius potentiæ per infirmitatem perfectæ quâ totus mundus irrigatur. Gratia est hæc operans in testaceis vasis, venerandorum & paradoxorum mysteriorum testimonium indelebile. Sapientia distillans è lingua idiotica, regula dirigens eloquentiam ex ore immeditato: ex illiteratis labiis Ars Rhetorica. Quid tu ad ista? An te adhuc ratiocinatio dubia, & ambigua opinio, de Pauli sapientia turbat? Potiùs tibi imputabitur parsimonia in figuras ejus epistolas si confinxeris, vel plurimùm tu teipsum accusabis, quòd antehac te tantarum gratiarum munera latuerunt. Quid porrò diceres si profundiùs descendas in alteram partem facultatis ejus in dicendo: Qualis cernitur in plerisque capitibus summis disponendis, quoad ordinem, prudentiam: dum inducit, disponit per hypopheras anthypopheras: quibus in inveniendo Epichremasi: quàm copiosus in operando: quàm promptus ad persuadendum, quàm frequens in parabolis & similitudinibus: quantus in Enthymemasin, & istis virtutibus congeneribus quas studiosè complecti poteris, licet nulli aliàs meditanda velis præstare, ad amorem verè celerem,

&

& oblectamentum delectabile conciliandum: Accedat ad ista hujus hominis de Idolothytis commentatio: & ubi id agit ut deprimat fastum illorum & inflationem, qui de loquela linguarum ingentes sumpserant spiritus: & quòd lex debitor erat quæ concedere & locum dare gratiæ deberet. Sed abundè de istis dictum est: eóque magis quòd literarum commercio insinuantur: si aliquando in simul convenerimus, conveniemus autem, id Domino mihi suggerente tum diffusiùs, quàm in præsenti de istis apud te disseram.

Epist. 166.

Eidem.

QUandoquidem agnoscis te non modò victum, libenter, sed insuper sic vinci, inter festivitatis commoda reputes, quid est quod ulteriùs adhuc desideres exempla scripturarum, in prioribus literis meis allatarum figurarum, cui tuo desiderio, celeriter cupis satisfieri: quod & æquum esse sentio, sapit enim invidiam illi veritatem non repræsentare, quia veritate victus, quod verum est, quærit. Quocirca, quatuor illorum modorum exempla adhuc adjungo, ità ut haud difficulter distingui & discerni possint ex istis, illa quæ reliqua sunt, tum ut nè tuam prudentiam contumeliâ afficere videam, nec pro epistola integrum tibi librum exarem. Veluti enim ineptèquæque levia prosequi, adhæret ferè ille quod obscuritate involvitur, ità quod in aperto positum est, si non cum brevitate exhibeatur in opprobrium tendit, vel doctoris, vel discentis. Ut instemus; *Abraham Patrem nostrum, quid dicemus, inventum fuisse juxta carnem.* Patet quod figuratè per Hyperbaton dicitur. Illud enim κατὰ σάρκα, *secundùm carnem*, præcedere debuit πατέρα ἡμῶν, *patrem nostrum*; suum ergò locum supergressa dictio, conjungitur cum *invenisse*. Tale & illud, *Videte Israel secundùm carnem*, pro *Videte Israel qui est secundùm carnem*: &, *Servi, obedite Dominis secundùm carnem*, pro, *secundùm carnem Dominis*. Accedat ad ista & illud, *Potestis cùm legeritis, cognoscere prudentiam meam in mysterio*

καὶ θαῦμα γλυκὺ, ἥτε περὶ τῶν εἰδωλοθύτων τοῦ ἀνδρὸς εἰς ταῦτα μεταχείρησις, καὶ ἐν ᾧ καθαίρειν ἐπιχειρεῖ τῶν μεγαλοφρονούντων, ἐφ᾽ ᾧ γλώσσαις ἐλάλουν τὸ φύσημα, καὶ δὴ καὶ ὡς ὁ νόμος ὀφειλέτης ἦν παραχωρῆσαι τῇ χάριτι. Ἀλλὰ περὶ μὲν τούτων ἱκανά· καὶ ταῦτα κατὰ γράμματος ὁμιλίαν. Εἰ δέ ποτε συνεσόμεθα· συνεσόμεθα δὲ θεῖόν μοι τοῦτο μήνυμα παραγορεύει· τότε πλατύτερον ἢ νῦν περὶ τούτων σοι διαλεξόμεθα.

Ἐπις. ρξϛ΄.

Τῷ αὐτῷ.

ΕΠειδήπερ οὐ μόνον χαίρων ἀνθομολογεῖς τὴν ἧτταν ἀλλὰ καὶ εἰς ἑορτὴν αὐτὴν ὠφελείας ἀναφέρεις· ὅμως δ᾽ ἐπιζητεῖς ἔτι παραδείγματα τῶν ἐν τῷ πρώτῳ γράμματι εἰρημένων τρόπων, καὶ ταύτην σοι τὴν ἐξαίτησιν πέρας λαβεῖν οὐ βραδύνων, δίκαιον νομίζω· ἀνδρὶ γὰρ ἀληθείας ἡττωμένῳ, φθονερὸν μὴ παρέχειν μαθεῖν τὴν ἀλήθειαν ἐπιζητοῦντι. Καθ᾽ ἕκαστον τοιγαροῦν ἐκείνων σοι τῶν τεσσάρων τρόπων ὀλίγα τινὰ παραθέντες τῶν παραδειγμάτων, ἅτε ῥᾳδίαν οὖσαν τῶν λοιπῶν ἐκ τούτων τὴν θεωρίαν καὶ διάκρισιν, ἵνα μὴ καὶ τὴν σὴν ἐξυβρίζειν δόξωμεν σύνεσιν, καὶ βίβλον ὅλην ἀντ᾽ ἐπιστολῆς γράφειν, παραλείψωμεν. Ὥσπερ γὰρ τὸ λεπτολογεῖν τῷ δυσθεωρήτῳ προσαρμόζεται, οὕτω τὸ σαφὲς ἂν μὴ διὰ τοῦ συντόμου πρόεισι, τοῦ μανθάνοντος ἢ τοῦ διδάσκοντός γε πάντως εἰς κατηγορίαν περιΐσταται. Αὐτίκα τοίνυν τό. Τί οὖν ἐροῦμεν, Ἀβραὰμ τὸν πατέρα ἡμῶν εὑρηκέναι κατὰ σάρκα· φανερὸν ὡς καθ᾽ ὑπερβατὸν ἐσχημάτισται· τὸ γὰρ κατὰ σάρκα, δέον πρὸ τοῦ πατέρα κεῖσθαι, ὑπερβεβηκὸς τὴν οἰκείαν χώραν, μετὰ τὸ εὑρηκέναι, συντέτακται. Τοιοῦτον καὶ τὸ Βλέπετε τὸν Ἰσραὴλ κατὰ σάρκα. ἀντὶ γὰρ τοῦ, Βλέπετε τὸν κατὰ σάρκα Ἰσραὴλ εἴρηται. Καὶ τοῦτο, οἱ δοῦλοι δὲ ὑπακούετε τοῖς κυρίοις κατὰ σάρκα, ἀντὶ τοῦ, τοῖς κατὰ σάρκα κυρίοις. Ἀποδέδοται τούτοις καὶ τό. Πρὸς ὃ δύνασθε ἀναγινώσκοντες νοῆσαι τὴν σύν-

συνεσίν μου ἐν τῷ μυστηρίῳ τοῦ Χριστοῦ, συνδιαποικίλλεται. Τὸ γὰρ ἁπλοῦν, πρὸς ὃ δύνασθε ἀναγινώσκοντες νοῆσαι τὴν ἐν τῷ μυστηρίῳ τοῦ Χριστοῦ σύνεσίν μου. ἢ εἰ βούλει. Πρὸς ὃ δύνασθε νοῆσαι τὴν σύνεσιν μου τὴν ἐν τῷ μυστηρίῳ τοῦ Χριστοῦ. Δύναται γὰρ τοῦτό τε καὶ ἔνια τῶν προειρημένων δι' ἑκατέρου τρόπου εἰς τὸ ὀρθόν τε καὶ συνειθισμένον τῆς φράσεως ἐπανάγεσθαι. Λέγω γε ἤτοι διὰ τοῦ καθ' ὑπέρβατον, ἢ διά γε τοῦ κοινοποιοῦντος ἐλλειπτικοῦ τὸ προειρημένον τοῖς ἔπειτα, ὥσπερ καὶ νῦν, τὸ κατ' αἰτιατικὴν ἐκπεφωνημένον ἑνικὸν ἄρθρον ἀπὸ κοινοῦ παραληφθὲν ὁλόκληρον τὸ ῥητὸν ἀπειργάσατο. Τοιοῦτον καὶ τό. Δι' ὃ αἰτοῦμαι μὴ ἐκκακεῖν ἐν ταῖς θλίψεσί μου ὑπὲρ ὑμῶν ἢ γὰρ ταῖς ὑπὲρ ὑμῶν ὀφείλει προσειρῆσθαι, δι' οὗ γνώριμον τὸ ἀπὸ κοινοῦ, ἢ ἐν ταῖς ὑπὲρ ὑμῶν θλίψεσί μου ὅπερ ἐνδείκνυσι τὸ ὑπέρβατον· καθ' ὁπότερον γὰρ τῶν δύο τούτων διαληφθὲν, ἀπηρτισμένην τὸ ῥητὸν ἀναδέχεται τὴν ἑρμηνείαν. Πάλιν, διὰ τοῦτο ἀκούσας τὴν καθ' ὑμᾶς πίστιν ἐν τῷ Κυρίῳ Ἰησοῦ, οὐ παύομαι εὐχαριστῶν· ὅμοιον γὰρ καὶ τοῦτο τοῖς εἰρημένοις· ἢ γὰρ τὴν ἐν τῷ κυρίῳ Ἰησοῦ καθ' ὑμᾶς πίστιν· ἢ τὴν καθ' ὑμᾶς πίστιν τὴν ἐν Κυρίῳ Ἰησοῦ ἀναγινώσκοντες κεκοινοποιημένην· καὶ οὐδὲν ἔχουσαν παραπεποιημένον τὴν φράσιν εὑρίσκομεν·

* παραπλήσιον.

* καὶ τό, Εἰ δέ τις οὐχ ὑπακούει τῷ λόγῳ ἡμῶν, διὰ τῆς ἐπιστολῆς τοῦτον σημειοῦσθε· τὸ γὰρ ἐντελὲς, εἰ δέ τις οὐχ ὑπακούει τῷ διὰ τῆς ἐπιστολῆς ἡμῶν λόγῳ τοῦτον σημειοῦσθε· ἢ καὶ οὕτως. Εἰ δέ τις οὐχ ὑπακούει τῷ λόγῳ ἡμῶν τῷ διὰ τῆς ἐπιστολῆς, τοῦτον σημειοῦσθε. Καὶ δῆλον, ὅτι τὸ μὲν πρότερον ἀπὸ τοῦ καθ' ὑπέρβατον ἐπανάγεται· τὸ δὲ ὕστερον ῥηθὲν, ἀπὸ τοῦ κατ' ἔλλειψιν κοινοποιοῦντος τοῖς ἐφεξῆς τὰ προειρημένα ἀπαρτίζεται. Καὶ, Τοῖς πλουσίοις ἐν τῷ νῦν αἰῶνι παράγγελλε μὴ ὑψηλοφρονεῖν· ἀντὶ τοῦ. Τοῖς ἐν τῷ νῦν αἰῶνι πλουσίοις· ἢ, τοῖς πλουσίοις τοῖς ἐν τῷ νῦν αἰῶνι. καὶ, Νῦν χαίρω ἐν τοῖς παθήμασιν ὑπὲρ ὑμῶν· ἀντὶ τοῦ, ἐν τοῖς ὑπὲρ ὑμῶν παθήμασιν· ἢ ἐν τοῖς παθήμασι τοῖς ὑπὲρ ὑμῶν. Ἔτι δὲ· Τὴν δέησιν ποιούμενος ἐπὶ τῇ κοινωνίᾳ ὑμῶν εἰς τὸ

ſecundùm Chriſtum: ubi elegantia variatur: ſimpliciter enim ſic eſt, *Ad quod poteſtis legentes intelligere in myſterio Chriſti prudentiam meam:* aut ſi vultis, Πρὸς ὃ δύνασθε νοῆσαι τὴν σύνεσίν μου, τὴν ἐν τῷ μυστηρίῳ Χριστοῦ. Poteſt hoc effatum, ut & alia etiam jam dicta per utrumque modum ad recti intelligentiam, & phraſis uſum reduci. Intelligo autem per hyperbaton, aut per elleipſin quandam novam, præcedentia ſequentibus copulantē, uti nunc articulus ſingularis numeri, qui in accuſativo effertur, ἀπὸ τοῦ κοινοῦ conſummatam periodum reddat. Tale & illud, Δι' ὃ αἰτοῦμαι μὴ ἐκκακεῖν ἐν ταῖς θλίψεσι μου· quod hyperbaton habet: vel enim conjungi debet cum ταῖς ὑπὲρ ὑμῶν, per quod cognoſcitur quòd eſt ἀπὸ κοινοῦ, aut, ἐν ταῖς ὑπὲρ ὑμῶν θλίψεσι μου. Quovis modo accipitur, ſententia peferſectam admittit interpretationē. Iterum, διὰ τοῦτο ἀκούσας τὴν καθ' ὑμᾶς πίστιν ἐν τῷ Κυρίῳ Ἰησοῦ, οὐ παύομαι εὐχαριστῶν. Similis hic locus antè allatis, vel enim poteſt eſſe, τὴν ἐν τῷ Κυρίῳ Ἰησοῦ καθ' ὑμᾶς πίστιν, aut, τὴν καθ' ὑμᾶς πίστιν τὴν ἐν Κυρίῳ Ἰησοῦ. Ità legentes nihil innovatum, nihil perverſum in loquendi modo inveniemus. Simile eſt & hoc, Εἰ δέ τις οὐκ ὑπακούει τῷ λόγῳ ἡμῶν, διὰ τῆς ἐπιστολῆς τοῦτον σημειοῦσθε. Abſoluta oratio, ità ſe habet; Εἰ δέ τις οὐχ ὑπακούει τῷ διὰ τῆς ἐπιστολῆς ἡμῶν λόγῳ τοῦτον σημειοῦσθε· aut hoc modo, Εἰ δέ τις οὐχ ὑπακούει τῷ λόγῳ ἡμῶν, διὰ τῆς ἐπιστολῆς τοῦτον σημειοῦσθε. Patet, quod iſtorum modorum prior, per hyperbaton reducitur: poſterius dictum liquet per ellipſin à ſuperioribus intelligendam abſolvi: &, Τοῖς πλουσίοις ἐν τῷ νῦν αἰῶνι παράγγελλε μὴ ὑψηλοφρονεῖν, pro τοῖς ἐν τῷ νῦν αἰῶνι πλουσίοις· &, Νῦν χαίρω ἐν τοῖς παθήμασιν ὑπὲρ ὑμῶν· pro, ἐν τοῖς ὑπὲρ ὑμῶν παθήμασιν· aut, ἐν τοῖς παθήμασι τοῖς ὑπὲρ ὑμῶν. Adhuc, Τὴν δέησιν ποιούμενοι, ἐπὶ τῇ κοινωνίᾳ ὑμῶν τῇ εἰς τὸ εὐαγγέλιον.

Singula enim antedicta, per utrumque modum dicendi, regreſſum in id quod eſt τὸ κοινὸν recipiant: per hyperbaton autem ſimpliciter, id quod per hypertheſin dictum eſt, contexitur. Illud, Ἀσπάζομαι ὑμᾶς ἐγὼ Τέρτιος ὁ γράψας τὴν ἐπιστολὴν ἐν κυρίῳ· ubi illud, ἐν κυρίῳ, annexum eſt illi, ἀσπάζομαι ὑμᾶς, juxta uſum ſequentem dicendi ad finem repetitur. & illud, Ὅπως ἐξέληται ἡμᾶς ἐκ τοῦ ἐνεστῶτος αἰῶνος πονηροῦ· ſimili figurâ effertur. Nam vox πονηροῦ locum ſupplere debet ejus quod ſequitur ἐνεστῶτος, & poſtremum locum abſolvit. Iterum, Τούτου χάριν, ὁ δέσμιος ἐγὼ τοῦ Χριστοῦ Ἰησοῦ ὑπὲρ ὑμῶν τῶν ἐθνῶν· quaſi diceret, Τούτου χάριν, ὁ ὑπὲρ ὑμῶν τῶν ἐθνῶν δέσμιος Χριστοῦ. Captivi enim Jeſu Chriſti plures fuerant martyres, ſed non pro Gentibus in carcerem conjecti. Non enim ideò vinciebantur & occidebantur, quòd Gentes adducerent ad Chriſtum, ſed quòd ipſi fidem in Chriſtum nolebant abnegare. Paulus vinctus Jeſu Chriſti, haud aliter fuit, quàm propter Gentes; nempe quòd illis Jeſum Chriſtum, & non hunc aut illum annunciabat, nullum particularem hominem, ſed integras nationes ad Chriſtum converteret. Eapropter captivus tenebatur. Sed de ſenſu loci interiori, & verborum ſignificatione, alibi ſum dicturus. Ad eundem tropologiæ modum ſpectat, Οἱ δὲ πιστοὺς ἔχοντες δεσπότας μὴ καταφρονήτωσαν, ὅτι ἀδελφοί εἰσιν, ἀλλὰ μᾶλλον δουλευέτωσαν ὅτι πιστοὶ εἰσὶ καὶ ἀγαπητοι, οἱ τῆς εὐεργασίας ἀντιλαμβανόμενοι ἢ μετέχοντες. Patet autem quòd εὐεργασίας ἀντιλαμβανόμενοι per hyperbaton dicitur; proprium verò locum ſi diſponatur rectè ſic ſupplebit, ἀλλὰ μᾶλλον οἱ τῆς εὐεργεσίας ἀντιλαμβανόμενοι, δουλευέτωσαν, ὅτι πιστοὶ εἰσὶ καὶ ἀγαπητοι· nempe quòd ipſorum heri tales ſint. Ad eundē modum & hoc refertur, ὑμεῖς δὲ οὐχ οὕτως ἐμάθετε τὸν Χριστὸν, εἴγε αὐτὸν ἠκούσατε καὶ ἐν αὐτῷ ἐδιδάχθητε καθὼς ἐστὶν ἡ ἀλήθεια ἐν τῷ Ἰησοῦ, ἀποθέ-

Χριστὸν εἴγε αὐτὸν ἠκούσατε καὶ ἐν αὐτῷ ἐδιδάχθητε

εὐαγγέλιον· τουτέστιν ἐπὶ τῇ εἰς τὸ εὐαγγέλιον κοινωνίᾳ ὑμῶν· ἢ καὶ οὕτως· ἐπὶ τῇ κοινωνίᾳ ὑμῶν τῇ εἰς τὸ εὐαγγέλιον· ἕκαστον γὰρ τῶν εἰρημένων ἀφ' ἑκατέρου τρόπου τὴν εἰς τὸ κοινὸν ἐπάνοδον ἀπολαμβάνει· καθ' ὑπέρβατον δὲ καθαρῶς, ὃ καθ' ὑπέρθεσιν λέγεται, διαπλέκεται. τὸ, Ἀσπάζομαι ὑμᾶς ἐγὼ Τέρτιος ὁ γράψας τὴν ἐπιστολὴν ἐν κυρίῳ· τὸ γὰρ, ἐν κυρίῳ, συναπτόμενον * τὸ, ἀσπάζομαι ὑμᾶς, κατὰ τὴν ἀκόλουθον τοῦ λόγου χρῆσιν πρὸς τῷ τέλει νῦν ἀποδέδοται. καὶ τό, Ὅπως ἐξέληται ἡμᾶς ἐκ τοῦ ἐνεστῶτος αἰῶνος πονηροῦ, παραπλήσιον ἔχει τὸν σχηματισμόν· τὸ γὰρ, πονηροῦ, τὴν ἐφεξῆς τοῦ ἐνεστῶτος χώραν ἐπέχειν ὀφεῖλον, τὴν ἐσχάτην ἀνεπλήρωσεν. Καὶ πάλιν, Τούτου χάριν ὁ δέσμιος τοῦ Χριστοῦ Ἰησοῦ ὑπὲρ ὑμῶν τῶν ἐθνῶν, οἷον, τούτου χάριν ὁ ὑπὲρ ὑμῶν τῶν ἐθνῶν δέσμιος τοῦ Χριστοῦ Ἰησοῦ. Δέσμιοι μὲν γὰρ γεγόνασι τοῦ Χριστοῦ Ἰησοῦ καὶ πολλοὶ τῶν μαρτύρων· ἀλλ' οὐχ ὑπὲρ τῶν ἐθνῶν. Οὐ γὰρ ὅτι τὰ ἔθνη προσῆγον τῷ Χριστῷ διὰ τοῦτο ἐδέδεντο καὶ ἐσφάττοντο, ἀλλ' ὅτι αὐτοὶ καθ' ἑαυτοὺς τὴν εἰς Χριστὸν οὐκ ἠθέτουν πίστιν. Οὐδὲ Παῦλος δέσμιος μὲν ἦν τοῦ Χριστοῦ Ἰησοῦ ἀλλὰ καὶ ὑπὲρ τῶν ἐθνῶν· Ὅτι γὰρ ἐκήρυττεν αὐτοῖς τὸν Χριστὸν καὶ ὅτι οὐχὶ τὸν δὲ ἢ τὸν δέ· ἀλλὰ καὶ δήμους ὅλους μετετίθει πρὸς Χριστόν· διὰ τοῦτο τὸ πλέον ἐδέδετο. Ἀλλὰ περὶ μὲν τῆς ἐν τῇ διανοίᾳ θεωρίας καὶ τῆς τῶν λέξεων ἀναπτύξεως ἐν ἄλλοις· τῆς αὐτῆς μέντοι τροπολογίας ἔχεται καὶ τό. Οἱ δὲ πιστοὺς ἔχοντες δεσπότας μὴ καταφρονήτωσαν ὅτι ἀδελφοί εἰσιν· ἀλλὰ μᾶλλον δουλευέτωσαν ὅτι πιστοί εἰσι καὶ ἀγαπητοὶ οἱ τῆς εὐεργασίας ἀντιλαμβανόμενοι ἤτοι μετέχοντες· τὸ γάρ, οἱ τῆς εὐεργεσίας ἀντιλαμβανόμενοι; φανερὸν ὡς ὑπερτέθειται· ἀναπληρώσει δὲ τὴν οἰκείαν χώραν οὕτω πως διαταχθέν· ἀλλὰ μᾶλλον οἱ τῆς εὐεργεσίας ἀντιλαμβανόμενοι δουλευέτωσαν, ὅτι πιστοί εἰσι καὶ ἀγαπητοί οἱ δεσπόται δηλονότι. Εἰς τὸν αὐτὸν δὲ τρόπον ἀναφέρεται καὶ τό, Ὑμεῖς δὲ οὐχ οὕτως ἐμάθετε τὸν καθώς ἐστιν ἡ ἀλήθεια ἐν τῷ Ἰησοῦ

* ἴσ. πρὸ.

ἀποθέσθαι ὑμᾶς κατὰ τὴν προτέραν ἀναστροφὴν τὸν παλαιὸν ἄνθρωπον. Εἰ μὴ γὰρ ὑπερθέντες εἴπομεν, ἀποθέσθαι ὑμᾶς τὸν κατὰ τὴν προτέραν ἀναστροφὴν παλαιὸν ἄνθρωπον· ἢ εἰ βούλει, ἀποθέσθαι ὑμᾶς τὸν παλαιὸν ἄνθρωπον τὸν κατὰ τὴν προτέραν ἀναστροφὴν εἰς ἀδιανόητον ἂν περιενεχθέντες εἴημεν. Καὶ δὴ καὶ ἐν τῷ, Ἵνα δῷ κατὰ τὸν πλοῦτον τῆς δόξης αὐτοῦ δυνάμει κραταιωθῆναι διὰ τοῦ πνεύματος αὐτοῦ εἰς τὸν ἔσω ἄνθρωπον, κατοικῆσαι τὸν Χριστὸν διὰ τῆς πίστεως ἐν ταῖς καρδίαις ὑμῶν, ἐν ἀγάπῃ ἐρριζωμένοι καὶ τεθεμελιωμένοι· ἵνα ἐξισχύσητε καταλαβέσθαι σὺν πᾶσι τοῖς ἁγίοις τί τὸ πλάτος καὶ μῆκος, καὶ βάθος, καὶ ὕψος. Ἐν τούτῳ τοιγαροῦν τῷ χωρίῳ, εἴ τις τό, ἐν ἀγάπῃ ἐρριζωμένοι καὶ τεθεμελιωμένοι τῇ ὑπερτεθείσῃ λέξει μὴ ὑποτάξας οὕτω τὴν σύμφρασιν εἰς τὸ κατὰ φύσιν ἔχειν ἐπαναστρέψει, βαρβαρίζουσαν οὗτος ὑπόληψιν τῷ θείῳ Παύλῳ περιάψει· τὸ μέν τοι* διηρθωμένον εἴη ἂν τοιοῦτον. Ἵνα ἐν ἀγάπῃ ἐρριζωμένοι καὶ τεθεμελιωμένοι ἐξισχύσητε καταλαβέσθαι· καὶ ἑξῆς. Καὶ ὅρα ὅπως ἔμπροσθεν μὲν τοῖς μὴ προορῶσι τὸ ἀνακεχαρημένον καὶ σοφὸν τῶν ῥημάτων ἐδόκει τὸ ῥητὸν βάρβαρον· ἀναφανείσης δὲ τῆς τροπῆς, συναναφάνη καὶ τὸ ἐμμέθοδον. Τὸ αὐτὸ δὲ εἶδος καθορᾶται καὶ ἔνθα φησί, Τοῖς μὲν καθ᾽ ὑπομονὴν ἔργου ἀγαθοῦ δόξαν καὶ τιμὴν καὶ ἀφθαρσίαν ζητοῦσιν ζωὴν αἰώνιον· ὑπερβέβηκε γὰρ καὶ ταῦτα τό, ζητοῦσι ζωὴν αἰώνιον· καὶ ἔστι τὸ κατὰ πόδα τῆς ἑρμηνείας· τοῖς καθ᾽ ὑπομονὴν ἔργου ἀγαθοῦ ζητοῦσι ζωὴν αἰώνιον, δόξαν καὶ τιμὴν καὶ ἀφθαρσίαν ἀποδώσει. Καὶ σκόπει μοι πάλιν ὅπως συναναφάνη τῷ ὑπερβάτῳ ἡ τοῦ ἀπὸ κοινοῦ μεταχείρησις, τὸ γὰρ ἀποδώσει, ὄπισθεν ῥηθὲν καὶ ἐνταῦθα συνεφέλκεται. Τὰ μέν τοι γε τοῦ προκειμένου ῥητοῦ ἐφεξῆς ἔχουσι, μὲν καὶ αὐτὰ τὸ ἀπὸ κοινοῦ· ἔχουσι δ᾽ εἰς τὸ καλούμενον ζεῦγμα ἀπομεριζόμενόν τε καὶ εἰδοποιούμενον. Τὸ γάρ, Πειθομένοις δὲ τῇ ἀδικίᾳ, θυμὸς καὶ ὀργὴ καὶ θλῖψις καὶ στενοχωρία ἐπὶ πᾶσαν ψυχὴν ἀνθρώπου τοῦ κατεργαζομένου τὸ κακόν, Ἰουδαίου τε πρῶτον καὶ Ἕλληνος, οὐκ ἂν ἀπηρτισμένον εἴη εἰ μὴ ἑλκυσθείη πάλιν τό, ἀποδώσει, σχηματισθὲν εἰς τὸ ἀποδοθήσεται. Ὅπερ ἐξακούειν δεήσει καὶ ἐπὶ τοῦ. Δόξα δὲ καὶ τιμὴ

* ἴσ. διηρθρωμένον.

αθαι ὑμᾶς κατὰ τὴν προτέραν ἀναστροφὴν, τὸν παλαιὸν ἄνθρωπον· aut ſi velis, ἀποθέσθαι ὑμᾶς τὸν παλαιὸν ἄνθρωπον, τὸν κατὰ τὴν προτέραν ἀναστροφήν. In illo, de quo non cogitabamus circumagimur: ità & in iſtis, Ἵνα δῷ, κατὰ τὸν πλοῦτον τῆς δόξης αὐτοῦ δυνάμει κραταιωθῆναι διὰ τοῦ πνεύματος αὐτοῦ εἰς τὸν ἔσω ἄνθρωπον, κατοικῆσαι τὸν Χριστὸν διὰ τῆς πίστεως ἐν ταῖς καρδίαις ὑμῶν, ἐν ἀγάπῃ ἐρριζωμένοι καὶ τεθεμελιωμένοι, ἵνα ἐξισχύσητε καταλαβέσθαι σὺν πᾶσι τοῖς ἁγίοις τί τὸ πλάτος, καὶ μῆκος, καὶ βάθος, καὶ ὕψος. Ubi, ſi quis illud, Ἐν ἀγάπῃ ἐρριζωμένοι καὶ τεθεμελιωμένοι, dictioni tranſpoſitæ non ſubjiciat, is connexionem loci in id quod naturæ poſtulat, convertens, barbarum ſenſum divino Paulo affinget: ſententia ritè & articulatè prolata, hæc eſt, Ἵνα ἐν ἀγάπῃ ἐρριζωμένοι καὶ τεθεμελιωμένοι ἐξισχύσητε καταλαβέσθαι, &c. Videſis autem qualiter iis qui ab arte non prævident id quod reſultabit, & quàm prudenter verba ſint diſpoſita, barbarè ſonare videbitur dictum, ut figura ubi comparuit, unà patebit & illuſtris ordo. Eadem forma cernitur & ubi iſta ait, Τοῖς μὲν καθ᾽ ὑπομονὴν ἔργου ἀγαθοῦ δόξαν καὶ τιμὴν, καὶ ἀφθαρσίαν ἀποδώσει. Attende autem quemadmodum unà cum hyperbato ἀπὸ τοῦ κοινοῦ, repetitio eſt: Nam ἀποδώσει in fine adjectum & hic aſſumitur. Quæ ergò in præſenti ſententia ſequuntur, habentur; & illa quæ ἀπὸ κοινοῦ intelliguntur: habent autem & in eo quòd Zeugma appellatur abſtractum & ſpecificatum. Illud enim Πειθομένοις δὲ τῇ ἀδικίᾳ, θυμὸς καὶ ὀργὴ, καὶ θλῖψις, καὶ στενοχωρία ἐπὶ πᾶσαν ψυχὴν ἀνθρώπου, τοῦ κατεργαζομένου τὸ κακὸν, Ἰουδαίου τε πρῶτον καὶ Ἕλληνος· non eſſet perfecta ſententia, niſi iterum attrahatur, ἀποδώσει formata per ἀποδοθήσεται, quod omnino ſubintelligi debet in iis, δόξα δὲ, καὶ τι-

μὴ

μῇ, καὶ εἰρήνη παντὶ τῷ ἐργαζομένῳ ἀγαθόν, Ἰουδαίῳ τε πρῶτον καὶ Ἕλληνι. Etiam & per conversionem ἀπὸ τοῦ κοινοῦ formatur: & istud, Εἴτε θλιβόμεθα ὑπὲρ τῆς ὑμῶν παρακλήσεως· nam denuò subintelligendum est θλιβόμεθα. ut & in istis; Εἴτε παρακαλούμεθα ὑπὲρ τῆς ὑμῶν παρακλήσεως καὶ σωτηρίας· nempe annectendum est παρακαλούμεθα. Item & illud, Εἴτε γὰρ ἐξέστημεν θεῷ, εἴτε σωφρονοῦμεν ὑμῖν· per eandem figuram formatur: nam absolutè ità est, Εἴτε γὰρ ἐξέστημεν, θεῷ ἐξέστημεν· εἴτε σωφρονοῦμεν, ὑμῖν σωφρονοῦμεν. Ità redundant omnino in hoc loco; Δοξάζοντες θεὸν ἐπὶ τῇ ὑποταγῇ τῆς ὁμολογίας ὑμῶν, εἰς τὸ εὐαγγέλιον τοῦ θεοῦ, καὶ ἁπλότητι τῆς κοινωνίας εἰς αὐτοὺς καὶ εἰς πάντας, καὶ αὐτῶν δεήσει ὑπὲρ ὑμῶν ἐπιποθούντων ὑμᾶς διὰ τὴν ὑπερβάλλουσαν χάριν τοῦ Θεοῦ ἐφ' ὑμῖν. Quæ nisi quis indultæ sententiæ seriatim deductâ prolatione in ordinem redigat, interpretatio loci omnino sine sensu destituetur. Cujus causa non est Scripturæ attribuenda, sed ignorantibus figuras, quibus scriptor utitur. Verborum consummatus ordo hic est: Δοξάζοντες εἰσὶν οἱ ἅγιοι τὸν θεὸν ἐπὶ τῇ ὑποταγῇ τῆς ὁμολογίας ὑμῶν, τῇ εἰς τὸ εὐαγγέλιον τοῦ Θεοῦ, καὶ ἐπὶ τῇ ὑποταγῇ τῇ ἁπλότητι τῆς εἰς αὐτοὺς κοινωνίας, καὶ τῇ εἰς πάντας. Iterum, Δοξάζοντες εἰσὶ Θεὸν, καὶ ἐπὶ τῇ ὑπὲρ ὑμῶν δεήσει αὐτῶν, ἐπιποθούντων ὑμᾶς διὰ τὴν ὑπερβάλλουσαν εἰς ὑμᾶς χάριν τοῦ Θεοῦ. Vide qualiter hic locus συνέσταλται & ἐλλέλειπται, ac si placet παραβέβληται· à foris haud multa deerant, sed paucis vocibus per Elleipsin, & ἀπὸ κοινοῦ assumptis, & hyperbato juxta seriem in locum communem recepto, apertissima erit & perspicua interpretatio. Per Elleipsin & hoc etiam enunciatur, Εἴτε ἐλθὼν καὶ ἰδὼν ὑμᾶς, εἴτε καὶ ἀπὼν ἀκούσω· deest enim manifestè hoc εὐφρανθῶ,

τιμὴ καὶ εἰρήνη παντὶ τῷ ἐργαζομένῳ τὸ ἀγαθὸν Ἰουδαίῳ τε πρῶτον καὶ Ἕλληνι. Ναὶ δὴ τῇ ἀπὸ κοινοῦ ῥοπῇ διαμεμόρφωται, καὶ τό, Εἴτε θλιβόμεθα, ὑπὲρ τῆς ὑμῶν παρακλήσεως· δεῖ γὰρ πάλιν προσυπακουσθῆναι τὸ θλιβόμεθα· ὥσπερ καὶ ἐν τῷ εἴτε παρακαλούμεθα ὑπὲρ τῆς ὑμῶν παρακλήσεως καὶ σωτηρίας· ὀφείλει προσεπισυνῆφθαι τὸ παρακαλούμεθα. Καὶ τό, Εἴτε γὰρ ἐξέστημεν θεῷ, εἴτε σωφρονοῦμεν ὑμῖν· εἰς τὸν αὐτὸν τύπον ἐσχημάτισται· τὸ γὰρ ἐντελές, Εἴτε γὰρ ἐξέστημεν, θεῷ ἐξέστημεν· εἴτε σωφρονοῦμεν, ὑμῖν σωφρονοῦμεν. Μάλιστα δὲ πλεονάζει τὰ εἰρημένα ἐν τῷ χωρίῳ τούτῳ· Δοξάζοντες τὸν θεὸν ἐπὶ τῇ ὑποταγῇ τῆς ὁμολογίας ὑμῶν εἰς τὸ εὐαγγέλιον τοῦ Χριστοῦ, καὶ ἁπλότητι τῆς κοινωνίας εἰς αὐτοὺς καὶ εἰς πάντας, καὶ αὐτῶν δεήσει ὑπὲρ ὑμῶν ἐπιποθούντων ὑμᾶς διὰ τὴν ὑπερβάλλουσαν χάριν τοῦ θεοῦ ἐφ' ὑμῖν. Ἅπερ εἴ τις μὴ προσαποδιδοὺς τῷ ῥητῷ εἰς τὴν καθ' εἱρμὸν ἀπαγγελίαν καταρρυθμίζει τὸν λόγον, εἰς ἀδιανόητον ἂν περιστῇ παντελῶς ἡ ὑφήγησις τοῦ προειρημένου. Καὶ τό γε αἴτιον οὐ τοῦ γράμματος, τῶν δὲ μὴ συνιέντων τῶν ἐν τῷ γράμματι σχημάτων. Εἴη δ' ἂν ἡ τῶν ῥημάτων αὐτοτέλεια τοιαύτη. Δοξάζοντές εἰσιν οἱ ἅγιοι τὸν θεὸν ἐπὶ τῇ ὑποταγῇ τῆς ὁμολογίας ὑμῶν τῇ εἰς τὸ εὐαγγέλιον τοῦ Χριστοῦ, καὶ ἐπὶ τῇ ἁπλότητι τῆς εἰς αὐτοὺς κοινωνίας, καὶ τῇ εἰς πάντας· πάλιν, δοξάζοντές εἰσι τὸν θεὸν καὶ ἐπὶ τῇ ὑπὲρ ὑμῶν δεήσει αὐτῶν, τῶν ἐπιποθούντων ὑμᾶς διὰ τὴν ὑπερβάλλουσαν ἐφ' ὑμῖν χάριν τοῦ Θεοῦ. Καὶ ὅρα ὅπως συνέσταλται μὲν τὸ χωρίον καὶ ἐλλέλειπται, εἰ βούλει δὲ καὶ παραβέβληται· οὐ μὴν ἔξωθέν γε πολλῶν ἐδεήθη· ἀλλὰ ῥήμασι βραχέσιν κατά τε ἔλλειψιν καὶ ἀπὸ κοινοῦ παραλαμβανομένοις καὶ τοῦ ὑπερβάτου τὸν κατ' εἱρμὸν ἀπολαμβάνοντος τόπον εἰς τὸ κοινὸν καὶ σαφέστατον τῆς ἑρμηνείας διαμορφωθεὶς ἐπανέδραμεν ὁ λόγος. κατ' ἔλλειψιν δὲ διαπέφρασται καὶ τό, Εἴτε ἐλθὼν καὶ ἰδὼν ὑμᾶς εἴτε καὶ ἀπὼν ἀκούσω. Ἐλλείπει γὰρ ἐπιφανῶς τό, εὐφρανθῶ, ἢ ἕτερόν τι τοιοῦτον

τὸν

τον. Οὐ μὴν οὐδὲ τό, Ὥσπερ ἡ ἐκκλησία ὑποτάσσεται τῷ κυρίῳ, οὕτως αἱ γυναῖκες τοῖς ἰδίοις ἀνδράσιν ἐν παντί· ἀσχηματίστως προενήνεκται· ἀλλὰ τοῦτο μὲν ἐνδεῖ, τοῦτο δὲ τῷ κατ' ἐπίζευξιν ἀπὸ κοινοῦ λεγομένῳ ὑποβέβληται· ἀπαγγελθείη δ' ἂν οὕτω γε χωρὶς τροπικῆς ἐπιτεχνήσεως. Ὥσπερ ἡ ἐκκλησία ὑποτάσσεται τῷ Κυρίῳ, οὕτως αἱ γυναῖκες τοῖς ἰδίοις ἀνδράσιν ἐν παντὶ πράγματι ὑποτασσέσθωσαν, ἢ ὀφείλουσιν ὑποτάσσεσθαι. Οὐκ ἀπέοικε δὲ τοῖς εἰρημένοις οὐδὲ τό, Ἀδελφοὶ ἐγὼ ἐμαυτὸν οὐ λογίζομαι κατειληφέναι, ἓν δέ, τὰ μὲν ὀπίσω ἐπιλανθανόμενος, τοῖς δὲ ἔμπροσθεν ἐπεκτεινόμενος, κατὰ σκοπὸν διώκω ἐπὶ τὸ βραβεῖον τῆς ἄνω κλήσεως.

aut quid simile. Sed & istud, Ὥσπερ ἡ ἐκκλησία ὑποτάσσεται τῷ κυρίῳ, οὕτω καὶ αἱ γυναῖκες τοῖς ἰδίοις ἀνδράσιν ἐν παντί· effertur ἀσχηματίστως. Sed est quod deficit, est quod per ἐπίζευξιν ἀπὸ κοινοῦ subjicitur prolato, sine omni tropo & figura ad hunc modum proferendũ est: Ὥσπερ ἡ ἐκκλησία ὑποτάσσεται τῷ κυρίῳ, οὕτως αἱ γυναῖκες τοῖς ἰδίοις ἀνδράσιν ἐν παντὶ πράγματι ὑποτασσέσθωσαν, aut ὀφείλουσιν ὑποτάσσεσθαι· à dictis non abhorret & istud, Ἀδελφοί, ἐγὼ ἐμαυτὸν οὐ λογίζομαι κατειληφέναι, ἓν δέ, τὰ ὀπίσω ἐπιλανθανόμενος, τοῖς δὲ ἔμπροσθεν ἐπεκτεινόμενος, κατὰ σκοπὸν διώκω ἐπὶ τὸ βραβεῖον τῆς ἄνω κλήσεως.

Ποῖον γὰρ ἂν παραστήσαι νόημα διὰ τοῦ, Ἓν δέ· εἰ μήτε ἀπὸ κοινοῦ παραληφθείη τὸ λογίζομαι κατειληφέναι· μήτε* εἴ τι ἄλλως παρείθη συνδιαληφθείη ἡ ἀναπλήρωσις· ἐκείνων δὲ κατὰ νόμους τῆς τροπικῆς τεχνολογίας συμπαραληφθέντων, τοιοῦτος ἂν εἴη καὶ ὁ νοῦς καὶ τὸ ἀκόλουθον τῆς συντάξεως· Ἀδελφοί, ἐγὼ ἐμαυτὸν οὐ λογίζομαι κατειληφέναι· ἓν δὲ λογίζομαι κατειληφέναι ὅτι τὰ μὲν ὀπίσω ἐπιλανθανόμενος, τοῖς δὲ ἔμπροσθεν ἐπεκτεινόμενος, κατὰ σκοπὸν διώκω ἐπὶ τὸ βραβεῖον τῆς ἄνω κλήσεως· ὡσεὶ ἔλεγεν· τοῦτό ἐστι, ὃ λογίζομαι κατειληφέναι τὸ μήπω μέν τι κατειληφέναι δεῖν δὲ ζητεῖν, ἀεὶ καταλαβεῖν, καὶ μὴ ἐρραθυμεῖν τοῖς κατορθωθεῖσιν, ὁ γὰρ τοῦτο κατειληφὼς οὗτός ἐστιν ἀληθῶς ὁ κατὰ σκοπὸν διώκων ἐπὶ τὸ βραβεῖον τῆς ἄνω κλήσεως. Ἀλλ' ἡ μὲν τῶν νοημάτων παράστασις εἰ καὶ συγχεῦς ὅμως οὖν ἰδιαζούσης δεῖται ὑποθέσεως· νῦν δὲ πρὸς ἔνδειξιν εἴρηται μόνον τῆς τροπικῆς ἀναπτύξεως. Σαφεστάτην δ' ἂν ἐμφανιεῖ τὴν ἔλλειψιν καὶ μικροῦ δεῖν εἰς περίοδον ἀποτεινομένην· ὅπερ ἐμοὶ μᾶλλον ἔδοξεν αὐτοτελῶς εἰπόντα πρότερον· οὕτω τὸ κατεσχηματισμένον παραθεῖναι· οἷον, Εἴτε ὑπὲρ Τίτου χρὴ λέγειν, κοινωνός ἐστιν ἐμός, καὶ εἰς ὑμᾶς συνεργός· εἴτε ὑπὲρ τῶν συναποσταλέντων αὐτῷ λοιπῶν δύο ἀδελφοὶ ἡμῶν εἰσὶ κἀκεῖνοι ἀπόστολοι ἐκκλησιῶν δόξα Χριστοῦ. Τοῦτο μὲν ἀπὸ τοῦ τροπικοῦ λόγου εἰς τὸ κατὰ φύσιν ἐπανήνεκται· τὸ δὲ τροπικὸν δῆλον ὡς ταύτην ἔχει τὴν γραφήν. Εἴτε ὑπὲρ Τίτου, κοινωνὸς ἐμὸς καὶ εἰς ὑμᾶς συνεργός, εἴτε ἀδελφοὶ ἡμῶν ἀπόστολοι ἐκκλησιῶν δόξα Χριστοῦ. Καὶ οἶδα ὅτι οὐκ ἄν σοι δόξῃ παράδοξον εἶναι τὸ τοιοῦτον τῆς ἐλλείψεως εἶδος· καὶ ἃ γὰρ τοιαῦτα καὶ παρ' Ὁμήρῳ, καὶ Ἀντιμάχῳ, καὶ Ἀριστοφάνει, Θουκυδίδῃ τε καὶ Πλάτωνι, καὶ Δημοσθένει, καὶ σχεδόν τι τοῖς ἄλλοις ποιηταῖς τε καὶ λογογράφοις· εἰ καί τινες, ὧν καὶ Καλλίμαχος, ὁ Λίβυς, τά τε ἄλλα πολλῶν ἡττώμενοι, καὶ οὐκ εἰς κόρον μόνον, ἀλλὰ καὶ εἰς ἐκτοπωτάτην τομὴν τοῦ συνήθους καὶ παρατροπὴν καὶ ἀφαίρεσιν τὸ τὸ τοιοῦτον εἶδος βιασάμενοι, οὐκ ἀναιτίως ὑπὸ τῶν ἐπιστήμην ἐχόντων κρίνειν τὰ τοιαῦτα (κριτικοὶ δὲ οὗτοι) ὑπὸ ἐπιτίμησιν ἔπεσον. Ἀλλὰ ταῦτα μὲν περὶ τούτων· τὸ μέντοι, Ἔχοντες δὲ χαρίσματα κατὰ τὴν χάριν τὴν δοθεῖσαν ὑμῖν διάφορα, εἴτε προφητείαν κατὰ τὴν ἀναλογίαν τῆς πίστεως, εἴτε διακονίαν ἐν τῇ διακονίᾳ, εἴτε ὁ διδάσκων ἐν τῇ διδασκαλίᾳ, εἴτε ὁ παρακαλῶν ἐν τῇ παρακλήσει, ὁ μεταδιδοὺς ἐν ἁπλότητι, ὁ προϊστάμενος ἐν σπουδῇ, ὁ ἐλεῶν ἐν ἱλαρότητι. Τοῦτο δὴ τοῦτο, τὸ ῥητὸν λαμπρὸν ἂν εἴη περιβεβλημένου λόγου παράδειγμα· ἔχει μὲν γὰρ εὐθὺς τῷ καθολικῷ ἐπιφερόμενα τὰ μερικά·

* τῶν.

τοῦτο

τοῦτο μέν, τῷ χαρίσματι τὴν προφητείαν καὶ τὴν διακονίαν· τοῦτο δ' αὖ πάλιν τῇ διακονίᾳ τὰ μερικώτερα ταύτης τὴν διδασκαλίαν τὴν παράκλησιν, καὶ εἴγε βούλει τῇ παρακλήσει τὴν μετάδοσιν τὴν προστασίαν τὴν ἐλεημοσύνην. Ὅτε γὰρ μεταδιδοὺς καὶ ὁ προϊστάμενος καὶ ὁ ἐλεῶν εἰς παραψυχήν τινα καὶ παράκλησιν καθίστανται· τοῖς δ' αὐτῶν εὐεργετουμένοις οὐ μὴν ἀλλὰ καὶ καθ' ἕτερον τρόπον περιβέβληται· τὴν αἰτίαν γάρ ἐστιν οἷς προστάττει τῶν κεχαρισμένων· οὐ περιβέβληται δὲ μόνον· ἀλλὰ καὶ τῷ τρόπῳ ποικίλλεται τῷ ἀπὸ κοινοῦ· καὶ δὴ περιβάλλεται καὶ τὴν εἰδικῶς καλουμένην ἔλλειψιν· τὸ γὰρ ἔχοντες ἀπὸ κοινοῦ μὲν φέρεται κατὰ τοῦ· Εἴτε προφητείαν εἴτε διακονίαν εἰς τὸ καλούμενον δὲ ζεῦγμα διαχίζεται ἐπὶ τοῦ εἴτε ὁ διδάσκων, εἴτε ὁ παρακαλῶν· καὶ ἐν τοῖς ἐφεξῆς δὲ μέρεσι τοῦ λόγου. Καὶ γὰρ ἐν ἀρχῇ πληθυντικῶς ἐκπεφωνημένου τοῦ, ἔχοντες, ἑνικῶς ἐξακούομεν ἐπί τε τοῦ. Ὁ διδάσκων καὶ ὁ παρακαλῶν καὶ τῶν ἄλλων· πάλιν δὲ τὸ αὐτὸ χωρίον κρέμαται ὅλον, ἀνάπαυσιν οὐκ ἔχον οὐδεμίαν, ἂν μή τι ῥῆμα προσεπινοηθῇ. Ἂν γὰρ μὴ ἐπινοήσωμεν τό, μενέτωμεν ἔν τε τῇ διακονίᾳ καὶ τῇ διδασκαλίᾳ καὶ τῇ παραβλήσει. Καὶ περί γε τούτων ἐν τῷ, εἴτε προφητείαν κατὰ τὴν ἀναλογίαν τῆς πίστεως μετὰ καὶ προσθήκης τοῦ, ἐν τῇ προφητείᾳ· μὴ συνάψωμεν δὲ πάλιν τῷ μεταδιδότω καὶ προϊστάσθω, καὶ ἐλεείτω τοῖς ἐφεξῆς, ἀτελὲς ὅλον καὶ παράσημον πεποιηκότες ἂν εἴημεν τὸ χωρίον, ἀλλὰ τὸ μὲν ῥητὸν τοῦτο τρισὶν ἅμα διεσχηματίζετο τρόποις. Ἐφεξῆς δὲ πάλιν ὁ ἐλλειπτικὸς προκύπτει. Λείπει γὰρ ἐν τῷ, Ἡ ἀγάπη ἀνυπόκριτος, τό, ἔστω, καὶ λοιπὸν ἐφεξῆς. Ἀρχὴν ἄλλη περίοδος δέχεται, ἤ, Ἀποστυγοῦντες τὸ πονηρόν· ἥτις διὰ μακροτάτου ποιουμένη τὴν ἀπόδοσιν, εἰς πνεῦμα μὲν ἀποτείνεται· οὐκ ἀπήλλακται δὲ οὐδὲ τοῦ περιβεβλῆσθαι. Τὸ γάρ, ἀποστυγοῦντες τὸ πονηρόν, εἰς τό· Εὐλογεῖτε τοὺς διώκοντας ὑμᾶς, εὐλογεῖτε καὶ μὴ καταρᾶσθε, τὸν ἀπαρτισμὸν λαμβάνει. Ἐπεὶ καὶ τῶν ἄλλων πασῶν ἀρετῶν· τέλος ἐστὶ καὶ οἱονεὶ συγκεφαλαίωσις τὸ μέχρι τῶν ἐχθρῶν καὶ μεμισηκότων τὴν ἀγαθότητα καὶ ἀγάπην παρατείνειν. Κατὰ γὰρ ταύτην τὴν πρᾶξιν καὶ ὁ σωτήριος καὶ ἀψευδὴς λόγος ἀφομοιοῦσθαι τοὺς ἐπὶ γῆς ἀνθρώπους πρὸς τὸν ἐν οὐρανοῖς ἐπιστώσατο πατέρα. Ἀλλὰ γὰρ πολὺ πλῆθος ἐν τοῖς γράμμασι τοῦ θείου Παύλου τῶν τοιούτων ἔνεστι παραδειγμάτων· ἐξ ὧν ὀλίγα παρεθέμην· δι' ἃς καὶ κατ' ἀρχὰς ὑπολήψεις ἔφην αἷς τὰς αἰτίας ἀνατίθημι. Καὶ διότι μηδὲ περὶ τῶν λοιπῶν οἷς συνεχρήσατο διεξῆλθον τρόπων ὅλως τε περὶ τρόπου γενέσεως καὶ διαφορᾶς ποσότητός τε καὶ χρήσεως· ὅθεν τε ἡ τροπολογία ἔφυ, καὶ δι' ἥν ποτε αἰτίαν ἡ Ἑλληνὶς ταύτην ᾠκειώσατο γλῶσσα· οὐδὲ γὰρ οὐδ' ἀξιώσαιμι· οὔτε σε δεῖσθαι μαθήσεως ὅλως τῆς περὶ ταῦτα τηλικοῦτον ὄντα οὔθ' ἡμᾶς ἐν τῇ περὶ τούτων διδασκαλίᾳ φιλοτιμεῖσθαι.

Quæ enim sunt quædam elementaria primitus initiatis: alia redduntur clara & manifesta satis, ità ut facilè apprehendi possint per illa quæ protulimus exempla. Atque ità scriptorum Apostolicorum character per ante recitatas & multas alias figuras ad hunc modum confirmari potest. Nec quòd jam aliquoties negavi, dixerim eum affectâsse hunc scribendi modum. Non ità vili pendo cœlestem illum virum, qui totum orbem tanquam unicam aliquã urbeculam prædicando circumiit: sed ab insita animi facultate, & actuoso per omnia habitu, imò potiùs à cœlesti gratia inspiratus, quę divitias ipsi illas, in-

Τὰ μὲν γὰρ στοιχειώδη τε καὶ οἰκεῖα τοῖς εἰσαγομένοις· τὰ δέ, δι' ὧν ἐφήμεν ὑποδειγμάτων σαφῆ καὶ ῥᾳδίαν εἴληφε τὴν γνῶσιν. Τῶν μὲν οὖν ἀποστολικῶν γραμμάτων καὶ τοῖς εἰρημένοις καὶ πολλοῖς ἑτέροις σχήμασιν ὁ χαρακτὴρ οὕτω πέφυκε διαμορφοῦσθαι· οὐχὶ δ' ὅπερ καὶ πολλαχοῦ ἀπειπάμην τέχνῃ καὶ μελέτῃ ταῦτα γράφειν αὐτὸν ἡδέως εἴποιμι ἄν· οὐχ οὕτως μικρολόγῳ τὸν οὐράνιον ἄνθρωπον ἐκεῖνον, τὸν ὡς οἰκίαν ἢ πόλιν μίαν τὴν οἰκουμένην ὅλην πολίσαντα τῷ κηρύγματι· ἀλλ' ἐμφύτῳ κράτει διανοίας καὶ τῷ περὶ πάντα δραστηρίῳ μᾶλλον δὲ τῇ ἄνωθεν χάριτι ἣ καὶ τὸν

πλοῦτον αὐτῷ τῆς ἐμφύτου γνώσεως καὶ τῆς ὑπὲρ τὸ ἀνθρώπινον ἀγχινοίας καὶ φρονήσεως χορηγοῦσα διὰ πάντων οὐ διέλιπεν, δι' ἧς καὶ τῶν ἄλλοις ὅσα πόνοι καὶ μελέται μόλις κατορθοῦσιν αὐτὸς ἀταλαίπωρον εἶχε τὴν χρῆσιν καὶ μεταχείρησιν. Σὺ δέ μοι ταῖς ἐκεῖθεν καθαραῖς ἐλλαμπόμενος τῆς ἀληθείας ἀκτῖσιν, εἴης ὥσπερ τὸ θεωρητικὸν ὁμαλούμενος, οὕτω καὶ τὸ πρακτικὸν ταῖς αὐτόθεν ἐντολαῖς διὰ βίου ῥυθμιζόμενος.

Ἐπισ. ρξζ.

Παύλῳ, Μητροπολίτῃ Λαοδικείας.

Τῆς μακρᾶς σου καὶ μεμηχανημένης ἀπορίας ἁπλῆν καὶ σύντομόν σοι παρεχόμεθα τὴν λύσιν. Τὸ μέν, Οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ὑμῶν ἔργα καὶ δοξάζουσι τὸν πατέρα ὑμῶν τὸν ἐν οὐρανοῖς· εἰς ἀρετήν ἐστι δηλονότι τὴν τελειοτάτην παράκλησις. Τὸ δέ, Μὴ ποιεῖτε τὴν ἐλεημοσύνην ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων· φιλοδοξίας ἐστίν, ὅπερ καί ἐστι κακίας, ἀναίρεσις. Πῶς οὖν ἡ τῆς κακίας ἀναίρεσις τῇ παρακλήσει τῆς ἀρετῆς δύναιτ' ἂν ὑπάρχειν μαχόμενον; τοὐναντίον γὰρ καὶ συνίστησι μᾶλλον ἡ θατέρας ἀποτροπὴ τῆς ἑτέρας τὴν ὕπαρξιν. Ὁ γάρ τοι τῆς ἀνθρωπίνης δόξης διὰ τοὺς θείους νόμους ὑπερορῶν, οὗτός ἐστιν ὁ τῆς ἀρετῆς θερμὸς ἐραστής, καὶ ὁ μὲν σπουδαῖος τὸ θεῖον ἔχει δημοσιεῦον καὶ λάμπειν αὐτοῦ παρασκευάζον τὰ ἔργα δίκην φωτός. Ὁ δὲ πρὸς ἀνθρώπων δόξαν τὸν ἔλεον μετιών, αὐτός ἐστιν ὃς ἀποφέρεται δηλονότι καὶ τὴν τῆς ἐπιδείξεως αἰτίαν. Ὅσῳ γοῦν ἀνθρωπίνης σπουδῆς ψῆφος θεία διαφέρει, τοσούτῳ διενήνοχεν ἄνθρωπος πρὸς τὴν ἀρετὴν καὶ θεῷ ἀρέσκων, ἀνδρὸς θήραν ἐπαίνων ἀνθρωπίνων τὴν πρᾶξιν προβαλλομένου· Οὐ τὴν μίμησιν φεύγειν ὁ σωτήριος παρακελεύεται λόγος, πᾶσιν οἷς ἐστι σπουδὴ τὸν θεὸν ἔχειν μάρτυρα καὶ κήρυκα τῶν ἔργων· ἀλλὰ μὴ τὰς οἰκείας τέχνας τῆς ἄνωθεν μαρτυρίας ἔμπροσθεν ποιεῖσθαι.

Matt. 5. 16.

ſitæ cognitionis & prudentiæ ultra humanam & intelligentiæ copiam per omnia & in omnibus continuò ſuggeſta ſuppeditavit, unde ſine labore & difficultate uſum earum rerum & executionem nanciſcebatur, quas alii per labores & ſerias meditationes vix aſſequuntur. Tu autem veritatis radiis hinc coruſcantibus illuminatus, ut quod theoriam attinet illuſtraris, ità quoad praxin præceptis Paulinis per totum vitæ tuæ curſum confirmeris.

Epiſt. 167.

Paulo Metropolitæ Laodiceæ.

Prolixioris tuæ ac deditâ operâ prolatæ tuæ quæſtionis ſimplicem & brevem ſolutionem fero. Primò, *Sic luceat lux veſtra coram hominibus ut videant opera veſtra bona, & glorificent patrem veſtrum qui eſt in cælis:* eſt ad perfectiſſimam virtutem exhortatio. *Nolite facere Eleemoſynam veſtram coram hominibus*, ad tollendam gloriæ ambitionem, quæ eſt improbitas, uſurpatur. Quomodo nequitiæ deſtructio igitur contravenire poteſt exhortationi quæ eſt ad virtutem: Imò potiùs, averſio quæ abs una fuerit, alterius firmat ſubſtitutionem. Nam qui gloriolam humanam pro Dei legibus rejicit, ille virtutis amore incenditur, & vir cum ſit probus Deum habet propalatorem & publicum præconem operum ipſius inſtar lucis: at qui miſericordiæ ſtudet faciendæ propter hominum famam & opinionem, is eſt, qui ob oſtendendam vanitatem cauſam quærit & occaſionem. Quantùm ergò Dei ſuffragium humanam induſtriam ſuperat, tantùm differt vir faciens voluntatem Dei, & virtutem amplexus, ab eo qui curam ſolam illam adhibet ut laudes venetur humanas. Ab iſtorum imitatione abhorrere ſervatoris præceptum eos vetat, qui in id incumbunt ut Deum habeant teſtem & præconem ſuorum operum: non autem id intendunt ut proprias ipſorum artes præferant cœleſti teſtimonio.

Epiſt.

Epiſt. 168.

Pantoleonti Aſpathario.

ÆGyptiaca mulier fuit, quæ ab efflorescente Joſephi pulchritudine flammâ conceptâ incendebatur. Sed erat ille licet puer, Iſraelita, qui laſcivientis amoris omnes aditus & acceſſus declinabat. Nec Cupidinem, * jaculis ſuis tantùm, faculis & igne, ac aliis quibus illum fabulæ exornant, ſpoliavit: ſed manifeſtiùs declaravit nullam omnino illa exiſtentiam poſſidere: ſi non ab affectibus malis ineſcati homines amplecterentur & foverent. Vereor autem ne te, qui es Iſraelita ſecundùm gratiam, & ad vitæ tuæ terminum provectum, barbara cupiditas, & non illa amoris, acerbum verò & turbulentum amatorem poſſidens, clanculum & paulatim in extremam proruat pernitiem, & exinde ne contra quam Joſephi, vitæ tuæ exitus enarretur. Senex amat meretricem barbaram, illa decipitur aut excutitur. ſed ille amorem ſuum in eo conſiſtere fecit, uſque dum illa effœtum amatorem, ſatietate, & importunitate averſior, profundo perditionis barathro, unà cum ipſo præcipitata, alliſit.

* Otia ſi tollas, periere Cupidinis arcus, Contemptaq; jacent, & ſine luce faces

Ἐπιϛ. ρξη΄.

Παντολέοντι Ἀσπαθαρίῳ.

Αἰγύπτιον ἦν τὸ ἀναφλεγόμενον γύναιον εἰς τὴν ἄνθουσαν ὥραν τοῦ Ἰωσήφ. ἀλλ' Ἰσραηλίτης ἦν ἐκεῖνος, εἰ καὶ παῖς, ὁ πάσας τοῦ ἀκολάστου ἔρωτος στρεψάμενος τὰς προσβολάς. Καὶ οὐ μόνον τῶν βελῶν, οἷς αὐτὸν ὁπλίζουσιν οἱ μῦθοι, γυμνώσας, καὶ τῶν πτερῶν, καὶ τοῦ πυρός· ἀλλὰ μηδ' ἂν ὑπάρξαι διελέγξας ὅλως, εἰ μὴ συνεῖχον αὐτὸν καὶ περιέθαλπον αἱ τῶν τοῖς αἰσχροῖς ἡδομένων ὁρμαί. Σὲ δὲ καί τοι τῆς χάριτος Ἰσραηλίτην ὄντα, καὶ πρὸς βίου βαθύνοντα πέρας, δέδοικα μὴ ἡ βάρβαρος πλεονεξία, οὐκ ἐρῶσα, πικρὸν δὲ καὶ ὀχληρὸν ἐραστὴν κτησαμένη, λάθῃ κατὰ μικρὸν εἰς ἔσχατον ἀπωλείας συνεφέλκουσα, καὶ καταλήψῃ τοῦ σώφρονος Ἰωσὴφ ἀντίστροφον τῷ βίῳ διήγημα. Γέρων ἤρας βαρβάρου μαχλάδος· ἡ δὲ διεκρούετο· ἀλλ' ἐκεῖνος μέχρις ἐκείνου τὸν ἔρωτα ἔστησε μέχρις ἐκείνη τὸν ἔξωρον ἐραστὴν τοῦ κόρου καὶ τῆς ὀχλήσεως μυσαχθεῖσα, βάθει τοῦ ὀλέθρου βαράθρῳ κατέρραξε συνωθήσασα.

Epiſt. 169.

Georgio Metropolitæ Nicomedienſi.

UTinam ex æquo verbis tuis opera mea reſponderent, non ut Aceſtoridum gloria, Galenus & Hippocrates, ut tute me encomiis ornans ſcribis, mihi cedentes primas darent nec ut ingens illud Aſclepiadarum nomen noſtro nomine obrueretur, ſed ut præſtetur, licèt non ad aliud quidpiam, ſaltem hac in parte exiguum quid quoad corporis paſſiones amicis & ſynathletis auxilium.

Ἐπιϛ. ρξθ΄.

Γεωργίῳ Μητροπολίτῃ Νικομηδείας.

Εἴθε μοι τῶν σῶν ἦν ἐνάμιλλα λόγων τὰ ἔργα· οὐχ ἵνα κλέος ὄντες ἀκεστορειδῶν Γαληνὸς καὶ Ἱπποκράτης, ὡς αὐτὸς ἡμᾶς θειάζων γράφεις, ὑπεξίσταιντό μοι τῶν πρωτείων· οὐδ' ἵνα τῶν Ἀσκληπιαδῶν τὸ μέγα ὄνομα τῷ ἡμετέρῳ καταχωσθείη· ἀλλ' ὡς ἂν εἴην, εἰ καὶ μὴ πρὸς ἕτερόν τινα, ἀλλ' οὖν ἐν τούτῳ γε τῷ μέρει μικρά τις κατὰ τῶν σωματικῶν παθῶν τοῖς φίλοις καὶ συνάθλοις ἐπικουρία.

NOTÆ.

ERat Photius, ut in omni ſcientia, ſic in medicina peritiſſimus. Georgium hunc morbo laborantem curaverat, unde ille ἰατρεύσαντα ingrati animi teſtimoniam dilaudans cum medicorum Coryphæis comparat; vocat ſynathletam, quia fortiter à partibus Photii ſtetit.

Ἐπισ. ρο΄.

Ἀναστασίῳ πρεσβυτέρῳ καὶ βιβλιοθηκαρίῳ Ῥώμης.

Ἀφ᾽ ἱερᾶς μὲν σοι, τὸ παροιμιῶδες, ὁ ἀγών· ὀψὲ δὲ τῆς χρείας, καὶ τῆς γνώμης οὐ μέμφομαι, τὸν καιρὸν δ᾽ ὁρῶ παρελάσαντα. καί μοι δοκεῖ τοῦτον οὐκ ἀκόμψως ὁ αἰνιγματιστὴς ἀπεικάζων λόγος, ἔμπροσθεν μὲν ἀκερσεκόμην, ὄπισθεν δὲ κουρίαν ἐν χρῷ, διαχαράψασθαι. Ἐπειδὰν γὰρ τις ὀπίσω τοῦ χρόνου γένηται, κἂν μυρίαις αὐτὸν ἐπιδιώκῃ τέχναις, οὐκ ἔστιν αὐτοῦ περιδράξασθαι. Ἀλλ᾽ εὖγε σοι καὶ τῆς διὰ βραδέως ἐλθούσης συμπαθοῦς προαιρέσεως. Φίλων γὰρ, οὐχὶ τῇ χρείᾳ τὴν χάριν μετρεῖν, τῇ προθέσει δὲ κρίνειν τὴν εὔνοιαν.

Epiſt. 170.

Anaſtaſio presbytero & bibliothecario Romano.

A Sacra linea, ut proverbium habet, tibi certamen ſumitur. Nec reprehendo, quòd poſt uſum & cognitionem opportunitatem elapſam video. Nec inſcitè mihi videtur ænigmatica oratio hoc inſinuare, quæ, fronte capillatam occaſionem, à poſtico calvam pingit. Nam cum præter lapſo tempore advenit licèt omnibus machinis perſequatur, haud comprehendet tamen. Sed bene ſit compatienti propoſito tuo, utcunque tardè advenerit. Amici enim debent gratiam non uſu & neceſſitate metiri ſed affectu & voluntate.

Ἐπισ. ροα΄.

Θεοδώρῳ Μητροπολίτῃ Λαοδικείας.

Ἀρότρῳ μὲν, ὡς ἡ παροιμία φησὶν, ἀκοντίζεις, ἀντὶ τοῦ μετανοεῖν θρασυνόμενος. οὐ γὰρ μετανοίας ἀλλ᾽ ἀπονοίας, ἑαυτῷ τῶν ἐσφαλμένων ἐπιτρέπειν τὴν συγγνώμην. Εἰ δέ σοι καὶ ληρεῖν δόξαιμι, ἔσται σοι οὐκ εἰς μακρὰν τὸ παροιμιῶδες, συνεχῶς ἐπ᾽ ἔργοις ᾀδόμενον, Ἄρτι μῦς πίττης γεύεται.

Epiſt. 171.

Theodoro Metropolitæ Laodiceno.

ARato, quod proverbiis uſurpatur, jacularis, qui cùm debeas pœnitere, audaciam urges. Nec enim pœnitentis ſed inſanientis eſt ſibimet permittere errorum condonationem. Quod ſi tibi videro delirare, in te proverbium quod non ità dudum ſæpè jactatum quadrabit. Mus ſcilicet picem guſtavit.

NOTÆ. 170, 171.

AMici nomen minimè meritus eſt ille fungus Bibliothecarius Photio hoſtis infeſtus: is eſt autem cujus opus cacatâ chartâ bardum ridiculum extat de vilis Pontificum Romanorum. Proverbium cujus meminit extat apud Diogenianum. Cent. β. 36. vide And. Schottum. ubi & illud Ἀρότρῳ ἀκοντίζεις· ἐπὶ τῶν ἀπειρικῶς τι ποιούντων καὶ κατόπιν μὴ περὶ ὁρωμένων, ἀλλὰ καθ᾽ ἑαυτῶν ἐπιτελούντων· apud eundem extat & alterum, ἄρτι μῦς πίττης γεύεται, vel μῦς ἐν πίττῃ. Suidas exponit, ἐπὶ τῶν νεωστὶ ἀπαλλαττόντων μετὰ κόπου· de iis qui nuperrimè cum difficultate & labore extricantur, ut mus è pice. Errat Interpres qui vertit de iis qui mox à labore recedunt.

Ἐπισ. ροβ΄.

Κωνσταντίνῳ νοταρίῳ.

Ὁ Μῶμος, (πρέπον γὰρ νῦν ὁρῶ τοὺς διὰ τῶν θείων λογίων, οἴμοι, παραινέσεις,) διπλῆν πως ἔχει καὶ ἀντικειμένην τὴν φύσιν. Ἂν μὲν γὰρ ὁ φέρων αὐτὸν, ἀληθεύοι καθ᾽ οὗ τίθησιν, ἐλέγχει καὶ

Epiſt. 172.

Conſtantino Notario.

MOmus certè (Nam ut video, quod dolendum eſt, fruſtrà in præſenti de Divinis Oraculis adhibentur admonitiones) duplicem eámque diſcrepantem ſortitur naturam. Nam ſi is qui calumniam impingit, cum veritate conjunctam

junctam infert, adversarium suum convictum mœrore afficit. Sin mendaciter vicinum impetit, ab illo oppugnato calumnia resiliit & in illo consedet, qui imputavit: in ipsummet ea omnia convertit quæ nequiter in illum contexuerat, qui reprehensioni justæ non dedit aditum. Tu igitur, qui calumnias illi incessas, quem, qui pro pietate certamen ineunt, germanum virtutis amatorem agnoscunt, vide & considera sis, quid attentas. Cùm enim Momus justissimus in hoc arbiter, non invenerit in eo, qui frustrà accusatur, ubi resideat (neque enim calumniarum umbræ, sed realiter actitata momi sedes sunt) in eum qui injustè hominem accusavit magna cum confidentia & violentia resultans immortale ei dedecus justum comparat, nec injuria.

Epist. 173.

Euschiemoni Cæsareæ Archiepiscopo.

MIrum non est, si justis hominibus plerique omnes haud planè delectantur. Illud autem mirandum magìs, si tanquam in conspectu justitiæ, omnes & singuli vitę cursum instituant. Mihi sufficit si plusculi sint; ut certè pauci sunt tales, qui justitiam consectantur. partem sane non magnam ad justitiam colendam propensos video, multitudinem ad se rapit injustitia. Hæc ità se habere, quid tute hæsitas, qui cum justè justitiam cui debetur, administras, ab illis quibus justum quod est, odiosum est, pariter reportas contumeliam. Omnino te decuit contrario modo affectum esse, torvo vultu eos intueri, & id agere sedulò ut solamen invenias illius quod te contristatum reddet, si modo hostes qui se justos profitentur, linguam tibi amicam largiri vellent.

Epist. 174.

Ad Episcopos, ab exilio suo.

MIrum unde fiat, ut is quicunque tandem ille sit, quem intelligo, tam citò naturæ meæ & dispositionis

λυπεῖ τὸν ὑπαίτιον· ἂν δὲ ψευδόμενος αὐτὸν κατὰ τὸν πλησίον ἀποτίθοιτο, ἐκείνου μὲν ἀποπηδᾷ, ἐπιχέεται δὲ τῷ κομίσαντι, ἐπ' αὐτὸν ἅπαντα στρέφων, ὅσαπερ αὐτὸς κατὰ τοῦ μὴ δεδωκότος τῇ αἰτίᾳ τὴν πάροδον, ἐπονηρεύσατο. Ὅρα οὖν καὶ σὺ εἰς ἀνδρὸς ἐμβαίνων μῶμους, ὃν οἱ τῆς εὐσεβείας ἀγωνισταί, γνήσιον τῆς ἀρετῆς ἐραστὴν ὁρῶσιν, τί μέλλεις πράττειν· ἐπειδὴ ἂν ὁ κατ' αὐτόγε τοῦτο δικαιότατος μῶμος, οὐκ ἔχων ὅπως ἐναπερείδοιτο τῷ μάτην αἰτιαθέντι (οὐ γὰρ αἱ σκιαί, τῶν κατηγοριῶν, ἀλλ' αἱ πράξεις ἵδρυμα τῷ μώμῳ,) εἰς τὸν ἀδίκως αἰτιασάμενον, μετὰ πολλῆς τῆς πεποιθήσεως καὶ ἰσχύος ἐπαναστρέψας, ἀθάνατον αὐτῷ διαφυλάττοι τὸ δίκαιον ὄνειδος.

Ἐπιστ. ρογ'.

Εὐσχήμονι Ἀρχιεπισκόπῳ Καισαρείας.

ΟΥδὲν θαυμαστόν, εἰ μὴ τοῖς δικαίοις ἅπαντες χαίρουσιν· ἀλλ' ἐκεῖνο θαυμαστὸν ἂν ἦν καὶ λίαν ἐνδίκως, εἰ πάντες ὑπ' ὀφθαλμοῖς τῆς δίκης ἐπολιτεύοντο. Ἀγαπητὸν δ' ἐμοί, κἂν οἱ πλείους εἴησαν, (ὅπερ οὐκ ἔστι) φίλοι τοῦ δικαίου. Μερίδα μὲν γὰρ ὀλίγην ὁρῶ ῥέπουσαν εἰς δικαιοσύνην, τὸ δὲ πλῆθος ἐπισύρεται ἡ ἀδικία. Ὅτε τοίνυν οὕτως ἔχει ταῦτα, τί δήποτε ἀλύεις σὺ καὶ ἀχάλλεις, ὅτι τὸ δίκαιον, οἷς ἐστὶν οἰκεῖον, ἀπονέμων, ὑπὸ τῶν τὰ δίκαια μισούντων τὴν ἴσην ὕβριν ὑπομένεις. τοὐναντίον γὰρ ἐχρῆν σε σκυθρωπάζειν καὶ ζητεῖν λύσιν εὑρεῖν τοῦ λυποῦντος εἰ οἱ τῆς δίκης ἐχθροί σοι φίλην ἐχαρίζοντο γλῶσσαν.

Ἐπιστ. ροδ'.

Ἀπὸ τῆς ὑπερορίας, πρὸς τοὺς ἐπισκόπους.

ΕΓὼ θαυμάζω πῶς οὕτω ταχέως, ὅστις ποτὲ ἐστὶν ἐκεῖνος, τῆς ἡμῶν ἐπελάθετο φύσεως

φύσεως· οὐδὲ γὰρ οὐδ' ὀνόματι τὸν ἔλεγχον βουλοίμην ἂν προσενεγκεῖν, οὐδ' ἂν * ἔτι προσραγείη αὐθαδέστερον· ἐπεὶ καὶ ῥᾷον ὁρῶ τοὺς πολλοὺς τῷ τῶν ἐλέγχων ἀπροσώπῳ νουθετουμένους, ἢ τὴν ἐν προσηγορίᾳ παραίνεσιν φέροντας. Ἀλλὰ πῶς οὕτω θᾶττον ἡμᾶς ὀπίσω μνήμης ἀφῆκεν, ὥστε καὶ τοσαύτην ἡμῶν ἄνοιαν, καὶ θείων νόμων ὀλιγωρίαν * ἐπιβαλεῖν; πόθεν δὲ ἐπὶ τοσοῦτον τῆς ἡμῶν κατεξανίσταται μετριότητος; μᾶλλον δέ τις αὐτὸν εἰς τηλικαύτην ἀθρόον ἀνάβασιν ὕψωσεν, ὥστε καὶ μηδὲν ἡμῶν φθεγγομένων, αὐτὸν ὅμως ἀκούειν, καὶ μηδ' ἐπὶ λογισμὸν * τοιοῦτον ἡκόντων, ἐκεῖνον, ὥσπερ ἀπό τινος σκοπιᾶς, τῆς οἴκοθεν φαντασίας ἐφορῶντα τὰς καρδίας, καὶ ἐμβατεύοντα αὐτοὺς ἐκεῖνα συνιέναι καὶ κατανοεῖν, ἃ μηδ' ἑαυτοῖς τινες συνεγνώκεισαν. καὶ πλέον ἔδοξε τὰ τῶν ἀνθρώπων εἰδέναι, ἢ τὸ πνεῦμα τὸ ἐνοικοῦν ἐν αὐτοῖς. κἂν Παῦλος, οὐδ' ἐλπίσας ἀνδρῶν τηλικούτων ἔσεσθαι φοράν, οὐδὲ τὴν ἴσην γνῶσιν ἑτέροις κατέλιπεν· Ἄλλα γὰρ πόθεν ἡμῶν ἡ πολλὴ κατασκεδάζεται ἄνοια, καὶ τῆς ἐκκλησίας ὅλης ἡ προδοσία; καὶ τῶν κειμένων νόμων ἡ ὑπεροψία; τί πραξάντων; τί δὲ διανοηθέντων; πρός τινα δέ τι ἀπαγγειλάντων; μηδὲ γάρ, ὅτι τοῖς * αὐτοῖς ῥήμασι τὴν ὕβριν οὐκ ἔθετο, ἄμεινόν τι καθ' ἡμῶν εἰπεῖν, τῶν, εἴ τις ἡμῖν τὰ τοιαῦτα λοιδορεῖται, νομιζέτω καὶ λογίζοιτο, οὐ γὰρ αἱ λέξεις βαρύνουσι τὰς ἐννοίας· τὰς δὲ λέξεις τραχεῖς καὶ δυσφόρους τὸ πικρὸν τῆς διανοίας μᾶλλον ἐργάζεται. ὅτε δὲ καὶ λέξεις ταῖς διανοίαις ὁμολογοῖ, καὶ τὸ βαρὺ τῆς ἐννοίας, τῷ τραχεῖ συντρέχει τῆς λέξεως, τί διαφέρει τὰ αὐτὰ τῶν ῥημάτων εἰπεῖν, ἢ διὰ τῶν ἴσων τὴν αὐτὴν παραστῆσαι διάνοιαν. Ἀλλ' εἰ μὲν πρὸς τὸν ἐπιχυθέντα ἡμῖν τῶν κακῶν ἀφορῶν χειμῶνα, καὶ τὴν πανταχόθεν ἡμᾶς * περιέχουσαν καὶ συμπιέζουσαν τῶν δυσχερῶν φοράν, εἰς παραφορὰν πεσεῖν ἐδικαίωσεν, ἀνθρώπινον μέν τι διενοήθη καὶ ἐμελέτησε. τί γὰρ ἂν τις ἄλλο, ὑπὲρ

* εἴπης. * ἐπικαλεῖν. * τοιούτων. * αὐτοῦ. * συμπεριέχουσαν.

ſit oblitus: neque enim libet illum de nomine compellare, ne tum quidem ſi proterviùs in me feratur. Intelligo enim plurimos cùm ſub larva & in tegumento taxentur, faciliùs redire ad cor inſtructos quàm qui de nomine citati nequaquam ferre velint increpationem. Sed ille tamen quiſquis eſt, inde factum, ut tam citò noſtræ naturæ fuerit oblitus? ut amentiæ me incuſet, & Divinarum Legum contemptus: unde motus aut incitatus tantopere invectus eſt in meam mediocritatem: imò, quis eum potiùs, adeo ſublimen extulit, ut cùm omnino taceremus ille tamen nos exaudiret. Imò cùm ne cogitatione quidem aliquid ejuſmodi comprehenderemus, ille tamen è propria ſua imaginatione, tanquam ab alta quadam ſpecula cor hominis intuitu ſuo permeans, ea deprehendit & intellexit, quorum nemo ſibi ipſi conſcius fuit. Et de rebus aliorum majorem habere voluit cognitionem arrogatam, quàm ſpiritus homines inhabitans habet: & tamen Paulus, qui proventum iſtorum hominum non expectabat, parem cum ſpiritu hominis cognitionem omnino abnegavit alicui futuram aliquando. Verum enimverò quid tandem in cauſſa reperietur eſſe tanti, ut de multiplici amentia incuſemur, de Eccleſia Catholica prodita, de legum contemptu latarum? quid omnino geſſimus? quid agitavimus? cui tandem aliquid enunciavimus? Nam utcunque non iiſdem per omnia verbis convitium nobis fecit, ne tamen apud animum ſuum recolat & ominetur, meliori ſe eſſe conditione quàm erit ille qui taliter fuerit convitiatus. Nam non gravant ſenſum & ſententiam voces, ſed animi quæ eſt amaritudo dictiones acerbas magìs & intolerabiles reddunt. Cùm verò verba conſentiant animis, & ſententiæ acerbitas cum ſermonis virulentia correſpondeat, nihil intereſt, an eadem iiſdem verbis proferantur, an idem ſenſus per æquipollentia verba proferatur. Quòd ſi autem tempeſtatem & malorum ſalum in quo demerſi collidimur reſpiciebat: ſi inſultum illarum calamitatum quibus circumſepti conſtringimur, ad amentiam referre juſtum arbitrabatur, humanas ille fovebat cogitationes, & piè meditabatur: quod

ſolum

ſolum in ejus gratiam dici poteſt. Malorum enim moles & exceſſus mentis emotionem & alienationem in graviter oppreſſis operantur. Quòd ſi de ſententia ſua aliquid ei deceſſit, plus in nobis Diabolo poteſtatis tributum dabit, quàm olim ei tribuebatur in Divinum virum Job. Nam in illius animam aut vitam non accepit poteſtatem: at contra nos etiam in animam ipſam permiſſam habeat facultatem. In eo enim quòd poſtquam alias in leges à nobis commiſſum etiam meram nec ad mixtam mihi inſaniam affricat, manifeſtè ſe patefacit hoc apud animum agitâſſe & certiſſimò id conſtituiſſe. Quòd ſi ſubito abreptus ad hanc de nobis cogitationem fuit, hanc ille viam facilem adinvenit ad alia convitia pertexenda. Ut omittam in præſenti apologiæ artificium & fucatam ſpeciem, non debuit certè tanquam de loco ſuperiori ex inſidiis me aggredi, nec per aggeſtas è ſuo penu contumelias flebiliorem mihi ſtatum procurare: Sed conſolatione potiùs nonnullâ, & verborum delinimentis dolorem incumbentem alleviare, & modum ſi quæ facultas fuerit ſolatii excogitare: ſed exaſperare, inſultare, exprobrare calamitates, laſcivientis eſt in rebus proximi ſui afflictis, non quod oportuit, condolentis, vel compatientis, non ejus qui amici partes agat, ſed qui hoſtilem in modum malis afficit. Ego certè profiteor, eos, quicquid erat improbitatis in torculari, id in me totum effudiſſe, dum amicos alienores reddunt, affines ſejungunt, à vobis me diviſum abſcindunt, quod ad cumulum malorum triſtiſſimum accedit, dum famulis & miniſtris me privant, poſtquam in ergaſtulum concluſerunt, appoſitis cuſtodibus, qui circumſtent undique: ideo ſcilicet nè mihi liceat, ſi maximè cupiam, miſeram meam ſortem deplorare: nè per rimulam aliquam vel tantillum me adreperet miſericordiæ ab alicujus ſermone vel actione. Quin dum multiplices mortis ſpecies excogitant, fame me (me miſerum) divinorum oraculorum, & cujuſcunque alterius affatus peremerunt. Nec ceſſant adhuc multiplicatis malis circumſepire: ſenſum mihi omnem divulſum expectorarunt, & adverſus eorum ſingulos nova machinamentorum genera,

αὐτοῦ, καὶ εἰπεῖν δυνηθείη. Αἱ γὰρ ὑπερβολαὶ τῶν κακώσεων παρατροπὴν καὶ ἀλλοίωσιν ὡς τὰ πολλὰ τοῖς κακουμένοις ἐνεργάζονται. εἰ καὶ μείζονα τὸν πονηρὸν τὴν ἐξουσίαν λαβεῖν καθ' ἡμῶν, ἢ * κατὰ τοῦ θεσπεσίου Ἰὼβ, οἷς νομίζει ἐψηφίσατο· ἐκεῖ γὰρ τοῦ μὲν τῆς ψυχῆς τὴν τὴν ἐξουσίαν οὐκ εἴληφεν, ὁ δὲ καθ' ἡμῶν, καὶ ταύτης αὐτῷ τὴν κυριότητα ἐνεχείρησεν· ἐξ ὧν γὰρ ἡμῶν ἄκρατον μετὰ τοῦ παρανομεῖν καταχέει τὴν ἄνοιαν, σαφῶς ἑαυτὸν δείκνυσι τοῦτο τε λογισάμενον καὶ κυριώσαντα. πλὴν εἰ τε πρὸς ταύτην περὶ ἡμῶν ὑπεσύρη τὴν ἐπίνοιαν, καὶ τοῦτο πρὸς εὐλογίαν τῆς ἄλλης εὑρίσκει λοιδορίας. Ἵνα νῦν ἐάσω τὸ σοφὸν τῆς ἀπολογίας καὶ εὔσχημον, ἐχρῆν οὐκ ἐπιτίθεσθαι, οὐδὲ βαρύτερον ποιεῖν τὸ πάθος οἰκείων ὕβρεων προσθήκῃ· ἀλλὰ παρακλήσει τινὶ μᾶλλον καὶ λόγοις * ψυχαγωγίας διαπραΰνειν τὸ ἄλγος, τε πειρᾶσθαι τὸν δυνατὸν τρόπον ἐπινοεῖν παραμύθιον. Τὸ δὲ ἐκτραχύνειν καὶ ἐπεμβαίνειν, καὶ κατονειδίζειν τὰς συμφοράς, ἐντρυφῶντός ἐστι τοῖς τοῦ πλησίου κακοῖς, ἀλλ' οὐ συναλγοῦντος, οὐδὲ συμπάσχοντος, καὶ οὐ τὰ τῶν φίλων διαπραττομένου, ἀλλ' ἅπερ ἂν οἱ ἐχθροὶ κακουργήσειαν· ἐγὼ δέ, ὅτι μὲν τὸν τρυγίαν πάσης αὐτῶν τῆς κακίας καθ' ἡμῶν ἐκένωσαν, φίλων ξενώσαντες, συγγενῶν διακόψαντες, ὑμῶν αὐτῶν (τῶν ἐμῶν παθῶν τὸ πικρότατον) προδιατέμνοντες καὶ * ἀπομερίσαντες, θεραπόντων καὶ ὑπηρετῶν ἐξερημώσαντες, αἰχμαλωτίσαντες, φρουροὺς καὶ φρουράρχους περιστήσαντες· ἵνα μηδὲ τὰ οἰκεῖα βουλομένοις κακὰ κλαίειν ἐξῇ καὶ ἀποδύρεσθαι· μηδέ τις ἔλεος πόθεν ἡμῖν παρεισδύῃ μὴ λόγῳ μὴ πράγματι· μυρίους θανάτων ἐπικρεμάσαντες, λογίων θεοῦ καὶ παντὸς ἄλλου, οἴμοι, καθ' ἡμῶν λιμὸν ἐπιστήσαντες. Καὶ ὅτι ὅλον μὲν ἅμα πολλοῖς κακοῖς οὐ διαλιμπάνουσι περιβάλλοντες, καὶ πάσας δὲ ἡμῶν ἀπομερισάμενοι τὰς αἰσθήσεις, τε πρὸς πάσας παραταξάμενοι καινὰς

* καί.

* ψυχαγωγεῖς

* ἀποιμερή-σαντες.

μαχανὰς

μηχανὰς πρὸς ἑκάστην ἐπενόησαν· (ὀξὺ γὰρ εἰς κακίαν, θεοῦ καὶ φιλανθρωπίας ἀλλοτρίωσις·) καὶ ὀφθαλμοὺς μὲν ἐνέφραξαν· τί γὰρ ἄν τις καὶ εἴποι; ἐπειδὴ ἂν ὅλως μήτε τινὰς ἀνθρώπων ὁρᾶν, μηδὲ βιβλίοις ἐνομιλεῖν ἔχοι· καὶ μάλιστα οἷς μέγα καὶ πρῶτον παραμύθιον ἡ ἀνάγνωσις. Καὶ γὰρ καὶ ταύτην καθ' ἡμῶν ἁπάσαις ψήφοις ἐξήνεγκαν τὴν ἀπόφασιν· ἀκοὴν δὲ συναπέκλεισαν· οὔτε γὰρ φωνῆς φιλούντων, ἀλλ' οὐδὲ ἐχθρῶν. (Τί γὰρ δεῖ λέγειν;) ἀναγινωσκόντων συγχωροῦσιν ἐνωτίζεσθαι. ἀλλ' ὅσον γε εἰς αὐτὴν ἧκε σπουδήν, οὐδὲ ᾀδόντων θεῷ, οὐδ' ὕμνοις εὐχαριστούντων ἀκούομεν· Οὐδὲ γὰρ οὐδέ τινα οὐδ' ἐπὶ βραχὺ, οὐδὲ τὴν μετρίως πρὸς ᾠδὰς ἐχόντων. (ὢ καὶ βαρβάρων γνώμας νικώσης ὠμότητος·) συνεῖναι κατέλιπον· ἀλλ' ἀντὶ κληρικῶν, ἀντὶ μοναζόντων, ἀντὶ ψαλλόντων, ἀντὶ ἀναγινωσκόντων καὶ ὑπογραφόντων, ἀντὶ φίλων καὶ συνήθων· (οἷς ὡς τὰ πολλὰ φιλεῖ ἡ τῶν θλιβερῶν βαρύτης ἐπικουφίζεσθαι·) ἀντὶ πάντων ἁπλῶς, στρατιωτῶν κουστωδίαις, καὶ στρατιωτικοῖς λόχοις ἐκδεδόμεθα. Καὶ τί δεῖ καθ' ἕκαστον λέγειν, καὶ ἐπιξαίνειν τῇ μνήμῃ τοὺς μώλωπας· ἀλλ' ὅτι μὲν πάσας ἡμῶν τὰς αἰσθήσεις μυρίων κακῶν ἐπινοίαις ἐπετείχισαν· μηδὲ αὐτὴν ἡμῶν τὴν ψυχὴν (ὅσα γε εἰς αὐτὴν ἔργα κεχώρηκεν) ἀκάκωτον συγχωρήσαντες. (ἔργον ἁπάντων ὅσα θεὸς ἐβδελύξατο μιαρώτερόν τε καὶ ὠμότερον) οἴκους θεοῦ καταλύοντες, πτωχοὺς ἀναπήρους καὶ λελωβημένους, οὓς ἡμεῖς ἱλαστήριον τῶν ἡμετέρων ἁμαρτημάτων προεστησάμεθα, τῆς οἰκείας ἑστίας καὶ ἀναπαύσεως ἐξορίζοντες, καὶ τὰς αὐτῶν ὑπάρξεις, ὡς πολεμίων, διαμειριζόμενοι λάφυρα· καὶ θεραπόντων σάρκας νεύροις κατέκοψαν· ὡς δι' ὅλου τοῦ σώματος, τῇ πολλῇ τῶν μαστίγων ῥύμῃ χαράδρας ἐναπεργάσασθαι· ἵνα χρυσὸν καὶ ἄργυρον ὃν ἐθησαυρίσαμεν, ὃν οὐδ' ὄναρ ἴδον οἱ ἄθλιοι, ἐκμηνύσωσι. Καίτοι σαφέστερον αὐτοὶ τῶν ἄλλων οἱ κολάζοντες εἰδότες, ὡς ἡμεῖς ἀεὶ πρὸς

ex adverso constituti, adinvenerunt. (Nam ad malefaciendum celeres sunt, qui sunt à Deo, & humanitate alieni) & ad utrunque sibi oculos occluserunt. Quid enim aliud dicendum restat? cùm nec hominum aliquem liberè liceat intueri, nec cum libris commercium habere, præsertim iis qui maximum solamen & principale, legentibus possunt suppeditare. Hanc illi in me sententiam de generali ipsorum assensu & consensu tulerunt. Aures autem obturarunt meas: Non enim admittunt ut sermones amicorum, nè inimicorum quidem voces auribus nostris insonare possint. Quid aliud afferam? quàm quòd quantum in ipsis est, nec Deo hymnos concinentes nec laudantes aut gratias agentes audimus. Non enim mihi permittunt cum aliquo conversari, nè quidem ad brevissimum tempus qui vel modicam canendi peritiam habent (adeò in sua crudelitate omnem barbariem exuperant;) sed clericorum loco, Monachorum, psallentium & legentium, subscribentium dictata; pro amicis & consuetis(per quos plerunque calamitosorum tribulatio solet allevíari pro omnibus,) ut uno verbo dicam, militum custodiis & turmis vincti tradimur. Quid opus sigillatim percensere, aut vibices memorando refricare? Profectò, omnes nostros sensus innumerorum malorum inventis circumvallarunt: nec animam quidem ipsam, quantum per ipsorum opera stetit, immunem ab istis malis esse patiuntur. Ecquid est inter omnia quæ abominatur Deus, detestandum magìs, & truculentius: divinas ædes demoliuntur: mendicos, mutilos, membris decurtatos, quos ad propitianda nostra peccata constitueramus; de propriis ipsorum sedibus & quietè exturbarunt, & eorum utensilia atque supellectilem tanquam spolia de hostibus capta distribuerunt: nervis servorum carnes conciderunt; ità ut per totum corpus propter flagrorum incussiones, charadræ velut quædam ducerentur: in eum finem ut indicium facerent, auri scilicet & argenti, quæ me reposuisse affirmabant: quod factum nunquam probare possunt, & tamen cæsos certò certiùs id resciscere pronunciabant: ità semper de

de pecunia reposita me accusant. Nec sunt ipsi pecuniarum ità avidi, cùm nos contemptores, qui nunquam hactenus induci potuimus, ut aliquid contra rectam rationem pecuniarum causâ faceremus, nedum ut illas thesaurizaremus. Sed quod sol exoriens intuebatur, (nam malevolorum infesta nequitia, necessitatem vel beato Paulo virtutis doctori interdum imposuit ad verba ejusmodi proferenda) hoc ipsum diurni, saltem nocturni temporis opportunitas ebajulavit, & ut onus impositum exportavit. Istud autem cùm non minùs illi quàm alii rescivefant, tamen carnes conciderunt, flagris intentis lancinabant: non ut aliquid eorum quæ se quærere fingebant, invenirent, (nisi forsitan & eo proruperint insaniæ ut illa se conquærere fingerent, quæ non ignorabant extare nusquam) sed ut ab hac etiam parte nobis inurerent dolorem: nec aliquam nequitiæ rationem omitterent, quam in nos inferre possint. Verum quòd ista dum & alia innumera contra nos machinatus sit Sathan, non planè intelligo : sed profectò, quod ab istis exhaurimur, haud negaverim. Sed quòd hæc improbitas de mentis meæ statu me dimoverit: aut redegerit ad oraculorum Divinorum contemptum, & eorum proditione me infamaverit, concedere non possum: ut ea propter hostium meorum infensissimi me afflarent, & in os apertè ogganirent. Sin quispiam verò, his talibus auditis, pudore suffunditur, erigat se aliquantulum, & emergat inde, nec tale quicquam se contra nos perpetrâsse dicat, sed nec cogitatione agitâsse olim; sic enim naturâ comparatur peccatum, ut cum per justam reprehensionem denudetur, magis majori immodestiâ quàm priùs se venditet ; nec quidem à parente suo pro partu genuino agnoscatur, sed ut spurius & execrandus fœtus oculis repræsentetur : præcipuè, si per conscientiæ stimulos, quam sapienter omnino rerum conditor naturæ nostræ inseruit, ad rerum contuitum agendarum excitetur. Quòd si autem ea propter nihil tale se in animum admisisse contendant, sed quod videtur, eos qui ejusmodi attentent in partes amandent remotissimas cum diris dimissos execrationibus. Per ipsammet amicitiâ interrogate il-

χρήματα διεβεβλήμεθα. Καὶ οὐχ οὕτως ἐκεῖνοι φιλάργυροι, ὡς ἡμᾶς ἡ τούτων ὑποψία, οὐδὲν ἄλογον αὐτῆς ἕνεκα οὐδέποτε ποιεῖσθαι (μή τι γε θησαυρίζειν) παρεσκεύαζεν· ἀλλ' ὅπερ ἥλιος ἀνίσχων ἑώρα (ἡ τῶν ἐπηρεαζόντων δὲ πολλάκις ἀνάγκη καὶ τὸν τῆς ἀρετῆς διδάσκαλον Παῦλον εἰς τοιαῦτα ἐξεβιβάζετο ῥήματα.) τοῦτο τῆς ἡμέρας, καὶ μάλιστα τῆς νυκτὸς ὁ καιρὸς ἐξεφόρει τε, καὶ ἀπεφορτίζετο. ἀλλ' ὅμως ταῦτα τῶν πάντων οὐδενὸς ἔλαττον εἰδότες, ἐκρεούργουν, ἐμάστιζον· οὐχ ἵνα τι ὧν ἐπλάττοντο ζητεῖν εὕρωσιν, εἰ μὴ καὶ τοῦτο προσεκμεμήνασι, ζητεῖν εὑρεῖν ἅπερ ἴσασιν οὐχ ὑπάρχοντα· ἀλλ' ἵνα κἀκεῖθεν ἡμᾶς ἀνιάσωσι, καὶ μηδένα τρόπον κακουργίας, ὃν ἡμῖν οὐ προσάξωσι, παραλείψωσιν. Ἀλλ' ὅτι μὲν ταῦτα καὶ τῶν εἰρημένων πολὺ πλείονα, καθ' ἡμῶν ὁ Σατανᾶς, ἢ οὐκ οἶδα ὅ, τι καὶ εἴπω, ἐξητήσατο, καὶ τούτοις ἡμεῖς περιηντλούμεθα οὐκ ἂν ἀρνηθείην· ὅτι δὲ τῶν φρενῶν ἡμᾶς ἡ τοσαύτη κακία ἐξέστησε, καὶ θείων ἐντολῶν ὑπερόπτας ἀπετέλεσε, καὶ κοινοὺς προδότας εἰργάσατο, οὐκ οἶδα ἀνθ' ὅτου τις ἡμᾶς αἰτιώμενος ταῦτα, οὐ σφοδρότερον καθ' ἡμῶν πνεῖν, ἢ οἱ περιφανεῖς ἐχθροὶ οὐκ ἂν συνανομολογήσειεν. Εἰ δέ τις ταῦτα ἀκούων ἐρυθριᾷ καὶ ἀνανεύει, καὶ ἀναδύεται, καὶ μήποτε ἂν τοιοῦτον εἰπεῖν καθ' ἡμῶν, μηδ' ἐπὶ νοῦν λαβεῖν· πέφυκε γὰρ ἁμάρτημα, δικαίων λόγων ἐλέγχοις ἀπογυμνούμενον, ἀσχημονέστερον μᾶλλον ἢ πρότερον καταφαίνεσθαι, ὥστε μηδ' αὐτῷ τῷ τεκόντι δοκεῖν γνήσιον, ἀλλ' ὡς νόθον * καὶ ἀποτρόπαιον· μάλιστα, τοὺς συνει- * ὁρᾶσθαι.
δότας τῷ κέντρῳ, ὃ τῇ φύσει πανσόφως ὁ πλάστης ἐνέθηκεν εἰς τὴν τῶν πρακτέων διεγειρομένους διάβλεψιν) Ἂν οὖν διὰ ταῦτα οὐδὲν ἐκείνων, οὐδ' εἰς νοῦν ἐλθεῖν διατείνοιτο, ἀλλ', ὡς εἰκός, καὶ τοὺς πώποτε τοιαῦτα τετολμηκότας, εἰς ἐκτόπους μοίρας, καὶ εἰς ἀρὰς ἀπάγει φρικώδεις· πρὸς τῆς φιλίας αὐτῆς ἐρωτήσατε αὐτὸν, Τί

διαφέρει περὶ ἡμῶν εἰπεῖν τὰ εἰρημένα, καὶ τὸ λέγειν, ὅτι μετὰ τῶν πολεμίων γινόμεθα, καὶ φίλων μεταξὺ καὶ ἐχθρῶν οὐ διαστέλλομεν, καὶ τότε τινός; (ὢ τῆς καθ' ἡμῶν ἐπηρείας) φίλων Χριστοῦ καὶ ἐχθρῶν Χριστοῦ· εἰς ταῦτα γὰρ ἀποτελευτᾷ τό, βούλεσθαι καταλέγειν ἡμᾶς τῷ κλήρῳ τῶν ὑπὲρ Χριστοῦ παχόντων, καὶ τοὺς ἅμα Χριστῷ πολεμοῦντας ἡμᾶς· οἱ τὸ αἷμα τῆς διαθήκης αὐτοῦ κοινὸν ἡγησάμενοι (ἵνα νῦν τὰ ἄλλα ἐάσω) τὰ θυσιαστήρια κυρίου ἐβεβήλωσαν, καὶ τὸ ἅγιον χρίσμα, μᾶλλον δὲ τὸ πανάγιον πνεῦμα, δι' οὗ τὸ χρίσμα, ἐξεμυκτήρισαν. Ἐρωτήσατε οὖν πάλιν ἀξιῶ· Τί διαφέρει ταῦτα ἐκείνων, πλὴν εἰς κακίας ὑπερβολήν; κἂν μὲν ἐκείνων δείξῃ ταῦτα κουφότερα, ἐμὲ μὲν ληρεῖν ὡς ἀληθῶς νομίσατε, ἐκεῖνον δὲ μυρίων ἐγκωμίων ἀξιώσατε· καί τοι γε, οὐχ ὅτι κουφότερον ἄλλων ὕβρισεν, ἠγωνίζετο, οὐδ' ὅτι καὶ ἑτέροις ὑπερβολὴν ὕβρεων καταλέλοιπεν· ἀλλ' ὅτι οὐδὲν εἰς μωμὸν ἡμῶν διαβαῖνον ἐπαρρησιάσατο, ἀλλ' ὅμως ἂν ἐλάττω δείξῃ τὰ αὐτοῦ τῶν ἐγκωμίων, μὴ ἐκκηρύξητε. Εἰ δὲ μηδὲν δείξῃ ὥσπερ οὐδὲ δείξει γε, ἐκεῖνον μὲν σιγᾶν σωφρονήσατε· τὰ ἐμὰ δὲ δυστυχήματα κἀντεῦθεν ἀναλογίζεσθε, ὅτι, καὶ ἐχθρῶν ἐπιβουλὰς, φίλων ἐπαναστάσεις, καὶ βλασφημίαι διαδέχονται. Πῶς γὰρ ὁ τοιαῦτα λέγων ἢ ἐννοῶν, οἷα λέγειν ἡμᾶς καὶ φρονεῖν ὁ καλὸς ἐκεῖνος φίλος ἀνεπλάσατο, οὐκ εἰς ἔσχατον μὲν ἀνοίας ἐλαύνει, κοινὸς δὲ προδότης πάσης ἐστὶ τῆς ἐκκλησίας, ὑπερόπτης δὲ καὶ ὑβριστὴς καὶ τῶν πατρικῶν παραδόσεων, καὶ μυρία ἄλλα ἐκείνοις ἐμπεριείληπται· ψευδολογία, ἀπάτη, δυσσεβεῖς καὶ ἄπιστοι λογισμοί, μάχαι πρὸς ἑαυτοὺς, καὶ ἄλλο πλῆθος κακίας ἄπειρον. Ἆρ' οὐκ ἐκ καλῶν χρωμάτων ὁ καλὸς ζωγράφος τὴν ἡμῶν διεμόρφωσεν εἰκόνα, ὁ μηδὲν τῶν φαύλων περὶ ἡμῶν εἰπεῖν διισχυριζόμενος; ἀλλ' εἰ μὴ ἁπλότητος ταῦτα, τῷ, γίνεσθε φρόνιμοι ὡς οἱ ὄφεις, καὶ ἀκέραιοι

lum, in quo differt talia de nobis prædicare, ab illa accusatione? quòd cum hostibus in acie constiterimus, nullam planè differentiam statuamus inter amicum & inimicum, cujus autem? scilicet Christi, (O injuriam intolerabilem) amicos & inimicos Christi. Huc enim tendunt, quòd in album eorum nos referre satagimus, qui pro Christo patiuntur persecutionem, cum illis qui contra Christum bellum gerunt; qui sanguinem Testamenti ipsius communem reddunt, (& ut cætera omittam in præsenti,) Domini altaria profanarunt: & sanctum simul chrisma, vel (ut veriùs dicam) Spiritum Sanctum per quem conficitur chrisma ludibrio habuerunt. Interrogate illos denuò obtestor, quantum inter hæc & illa sit discriminis nisi quod extremum hæc contingunt improbitatis? Quòd si quis contenderit leviora ista esse, vos tum me desipere & delirare dicatis, illum multiplici præconio licèt efferatis. Cùm tamen non eam ob causam ille angebatur, quòd leviore nos quàm alios contumeliâ impetiverat, aut eo quòd cæcæteris ansam dederit, ut in contumeliis ingerendis ad excessum progressi fuerint: verùm quod liberè proloqui nihil potuit, unde justè reprehendi debeam, imò nisi parum distare ab encomiis criminationes suas docuerit, nolite eum exibilare; si nec id demonstret, silentio indicto modestiam imperate: miseram interim meam sortem deplorate, & hinc recolite, quod sufferre cogar inimicorum insidias, amicorum conjurationes & convitia. Fieri enim quî poterit, ut is qui taliusmodi statuat aut dicat, quæ dicere nos & sentire bonus ille amicus confinxit, non extremâ laboret insaniâ, & communis quidem Ecclesiæ proditor, contemnens & conculcans traditiones avitas habeatur, nec non sexcentis similibus aliis criminibus involvatur. Mendaciis nempe fallaciis, impietate, rationibus parùm fidis, concertationibus mutuis, ac innumero aliarum impietatum cœtu. Verùm si non optimis coloribus pictor egregius nostram nobis imaginem delineavit, qui tantâ vehementiâ asseverat, nihil se mali in nos aliquando protulisse; sed omnino, si amorum simplicitate proficiscuntur ista, dicto illi

Matt. 10. servatoris obtemperemus, *Prudentes estote sicut serpentes, innocentes autem ut colum-*

columbæ, credamus ità esse: Quòd si malitiem indicare videantur, mutemus sententiam, & cum eodem Christo dicamus, *Nisi conversi fueritis, & fiatis sicut parvuli, non intrabitis in regnum cælorum*. Imprimis si recoluerimus supplicium illud repositum contra eum qui scandalizaverit vel unum è pusillis fratribus. Si autem in eum, qui vel unum ex illis scandalizet, pœna inexorabilis irrogetur, is, qui concussam evertit universam Ecclesiam, reputet apud se quot se malis reum involvit: quibus faxit Deus, ut nemo nostrum sit obnoxius Christo manum adjutricem & protectricem porrigente. Illud autem nequaquam sine lachrymis vel sine dolore sufferam, si illos admittat & ad se recipiat, quos Christus edicit non recipiendos, in quorum numero quidni & nos ipsos habet? Quod si tales ille propter metum futuri judicii non recipiat, nos vel reluctantes & inviti pietatem in Deum, quam præsentem fovemus, exculturi sumus: verùm enimverò, de Deo (vir optime) de Fide, futuro judicio, de conscientia, veritate, sententia constanti neque fluxâ, & similibus nihil habeat: dicendum est letheo voragine Charybden omnia absorbuisse. Ego autem optarim, ut contrarium cùm sentiat, tum etiam loquatur: ità ut, si quos non debuit, ad se recipiat, elatâ voce & clarâ tunc omnes acclamemus, nec quisquã indè excipiatur, ne quidem obstet paternum desiderium quod magni solemus æstimare: non illa reverentia, quam docemur in parentes semper adhibere: non alius quilibet pudor, quem versùs illum observamus; sed hæc omnia longissimè à nobis revolventes, quod dicebam, extentâ voce inclamemus. Mi homo, quorsum ista ità patras? quò delatus abis? cur per ignorantiam te in hostium manus conjicis? quid nostra certamina inter nugamenta numeras? quorsum piorum consensum fœdas? quorsum attollis sic hostiles spiritus? Talia ego illi fore inter curas primas existimabam, si in aliquo me exorbitantem deprehendisset, potiùs quàm ut illudentium gestus imitaretur. Sperâssem ulteriùs, quòd si de meis inimicis aliquis illas ipsas voces protulisset coram ipso, quæ

ὡς αἱ περιστεραί, τοῦ κυρίου βοῶντος πειθώμεθα. Εἰ δὲ κακουργίας, αὐτοῦ πάλιν διακεκραγότος μεταβαλλώμεθα, ἐὰν μὴ στραφῆτε καὶ γένησθε ὡς τὰ παιδία, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· μάλιστα συνεπιστάμενοι ὅτι τῷ σκανδαλίζοντι ἕνα τῶν ἐλαχίστων ἀδελφῶν ἡ τιμωρία ἀπόκειται. Εἰ δὲ ὁ σκανδαλίζων ἕνα, τὴν δίκην ἀπαραιτήτως εἰσπράττεται, ὁ σείων ὅλην καὶ ἀνασκευάζων ἐκκλησίαν, αὐτὸν ἐκεῖνον ἐννοεῖν καταλιμπάνω, ἡλίκων ἑαυτὸν ὑπεύθυνον ἀποφαίνει κακῶν· ὧν εἴη Χριστοῦ πάντων ἡμῶν χεῖρα ὑπερέχοντος, μηδεὶς ἔνοχος. Ἀλλ' ἐκεῖνο πῶς ἀναλγήτως καὶ χωρὶς δακρύων οἴσω, εἰ μὲν, οὓς φησιν, οὐ δεῖ δέχεσθαι, δέχοιτο, τί μὴ μετ' ἐκείνων γινώμεθα; Εἰ δὲ μὴ δέχοιτο φόβῳ τῆς μελλούσης τιμωρίας, καὶ ἄκοντες τὴν παροῦσαν εὐσέβειαν φυλαξόμεθα· περὶ δὲ θεοῦ, ὦ βέλτιστε, περὶ δὲ πίστεως, περὶ δὲ τῶν ἐκεῖ δικαστηρίων, περὶ συνειδήσεως, δὲ * ἀλλὰ περὶ ἀληθείας, περὶ δὲ γνώμης εὐσταθοῦς, περὶ δὲ τούτων οὐδέν, λήθη πάντα ἡ χάρυβδις λαβοῦσα κατέπιεν. Ἐγὼ δὲ τοὐναντίον ἂν αὐτὸν καὶ φρονεῖν καὶ λέγειν ἠξίουν· ὡς εἴπερ οὓς οὐ δεῖ δέχεσθαι δέχοιτο, πάντες ἅμα τορόν τι καὶ διαπρύσιον ἐμβοήσωμεν, μηδέ τις εἴη μηδενὸς φειδώ, μὴ πατρικοῦ πόθου ἐν ᾧ σεμνυνόμεθα, μὴ τῆς προσηκούσης εὐλαβείας ἣν πατράσιν νέμειν ἀεὶ δεδιδάγμεθα, μηδὲ τινος ἄλλης αἰδοῦς ἣν περὶ αὐτὸν συνετηρήσαμεν, ἀλλὰ ταῦτα πάντα πόῤῥωθεν ἡμῶν ἀπελάσαντες, ὅπερ ἔφην, διωλύγιον ἐμβοησόμεθα. Τί ταῦτα ποιεῖς ἄνθρωπε; ποῖ φέρῃ; τί δὲ σεαυτὸν ἐχθροῖς ἀγνοεῖς ἐγχειρίζων; τί τοὺς ἡμῶν ἄθλους εἰς ὕθλους ἐξενήνοχας; τί τῶν εὐσεβούντων αἰσχύνεις τὸ σύνταγμα; τί δὲ τῶν ἐχθρῶν ἐπαίρεις τὸ φρόνημα· τοιαῦτα αὐτὸν ἔγωγε σπουδάζειν μᾶλλον ἂν ἤλπιζον, εἴ τι με παρολισθαίνειν * ἠσθάετο, ἀλλ' οὐχ οἷα νῦν, παιζόντων γνώμας μιμούμενος, διαπράττεται. ἤλπιζον δὲ κἀκεῖνο, ὡς εἴ τίς ποτε τῶν ἐχθρῶν ταύτας αὐτοῦ τὰς φωνὰς πρὸς αὐτὸν ἐτόλμησεν ἀφεῖναι, μυ-

Matth. 18.

* καὶ ἢ καὶ περί.

* ἴσ. ἠσθάνετο.

εἴποις ἂν αὐτὸν βάλλων ἐξεδίωξε τοῖς λίθοις, ἀπατεῶνα καὶ ψεύστην [καὶ] τοιούτοις λόγοις διαπλύνων· ἀνέχεσθαι γὰρ τῶν ἄλλως ἡμᾶς ἐξουθενούντων προστεταγμένον*, ὅτι τοῦ πρᾴου καὶ εἰρηνικοῦ μαθηταί*, εἰς πίστιν δὲ ἐξυβριζόντων οὐδεὶς ἂν ἀνάσχοιτο· ἐπεὶ καὶ αὐτὸς τἄλλα πρᾴως φέρων καὶ μὴ ἀμυνόμενος, τούς τε τὸν πατρικὸν οἶκον, οἶκον ἐμπορείας ποιεῖν ἀπονοηθέντας, μετὰ σφοδρᾶς τῆς ἐπιτιμήσεως ἐκεῖθεν ἀπήλασε· καὶ τοὺς εἰς τὸ ἅγιον πνεῦμα τὴν γλῶσσαν ὀξύνοντας, διπλῆν τὴν τιμωρίαν ἀπειλησάμενος, πυρὸς μὲν ἐνταῦθα καὶ μαχαίρας ἔργον καὶ λιμοῦ τὴν πόλιν αὐτάνδρον ἐποιήσατο, καὶ τὴν μέλλουσαν δὲ οὐ διεκφυγεῖν, δι' ὧν τὴν παροῦσαν μετὰ πολλῆς τῆς ὀργῆς ἐξήνεγκεν, ἐπιστώσατο. Ἀλλ' ἐγὼ μὲν τοιαύταις ἐλπίσιν ἐμαυτόν, ὡς ἔοικεν, εἰς λιμὸν ἔτρεφον· τίς ποτε δὲ ἄρα τῶν θρόνων ἐπιβάντας ἡμᾶς τῶν ἀρχιερατικῶν, καὶ τὸ κῦρος ἁπάσης πράξεως καὶ βουλήσεως ἐγχειρισθέντας, αὐτῷ κατεμήνυσεν; αἱ γὰρ τοιαῦται φωναὶ καὶ ζητήσεις ἀνίαραι,* καὶ δεῖ τισὶν αὐτὰς ὅλως προτείνεσθαι, τοῖς τὰς ἡνίας λαμπρῶς ἤδη καὶ περιφανῶς τῆς ἀρχῆς ἐπανειληφόσι, καὶ ἐπὶ κοινοῦ προκαθεζομένοις τοῦ βήματος· καὶ τῶν μὲν ἡμαρτηκότων ἐπὶ γόνυ κειμένων, καὶ πολλοῖς μὲν τὴν γῆν δάκρυσι βρεχόντων, πολλὰ δὲ ἐπὶ ἐλέῳ λεγόντων· τῶν δέ μέχρι τέλους τῆς ἀρετῆς καὶ τῆς ἀληθείας ὑπερηθληκότων μετὰ λαμπρῶν τῶν στεφάνων συγκαθεζομένων, καὶ τῶν δικαστῶν τὴν τάξιν διακληρουμένων, καὶ τῶν μὲν ἐπὶ συγγνώμην τοῦ ὁμοφυοῦς ὑποφερομένων, τῶν δὲ τοῦ ἴσου καὶ τῆς κανονικῆς αὐθεντείας μηδὲν ἐπίπροσθεν ποιουμένων, ἀλλ' οἷα δίκης ὀφθαλμοὺς εἰς τὴν τοῦ δικαίου φύσιν πάντα καταρρυθμιζόντων· τότε δὲ τότε, εἰ θέμις ποτέ, χώραν ἔχει τὰ τοιαῦτα προτείνεσθαι, καὶ τοῖς ἐκείνην τὴν λῆξιν καταλαβοῦσιν· ἀλλ' οὐχὶ νῦν οὐδὲ τοῖς λιμῷ, καὶ δίψει, καὶ φυλακαῖς, καὶ μυρίαις ἐναθλοῦσι ταλαιπωρίαις, καὶ τὸν περὶ ψυχῆς ἀγῶνα ἔχουσιν· ἐκείνοις γὰρ ὁ περὶ κρί-

* ἴσ. ἐστι.
* ἴσ. ἐσμέν.
* ἴσ. εἰ καὶ.

ſunt ab illo uſurpatæ, lapidum illos imbre obruiſſet tanquam deceptorem, mendacem, & ſimilem convitiis prolutum. Nam cùm habeamus in mandatis illos tolerare qui nos aliàs vili faciunt, propterea quòd illius diſcipuli ſimus, qui mitis & pacificus commemoratur, attamen ille tolerandus non eſt, qui fidem transgreditur Chriſtianam: Chriſtus certè ipſemet qui omnia in ſe delicta ęquanimicè ferebat nec ulciſcebatur; illos tamen, qui *Domum ſui Patris, domum reddiderant cauponantium*, non ſine dura & vehementi objurgatione ejectos indè deturbat; & eos qui in Spiritum Sanctum ſuas linguas exacuebant, duplici condicit condemnationi, *ignis* nimirum in futuro, & *eſuriei* in in præſenti ſeculo, cùm Judæorum civitas funditùs exſcinderetur: & alibi vehementiùs excandeſcens pronunciat futuram eos pœnam non evaſuros, licèt etiam ulteriùs præſentem tulerant. Sed ego, quod apparet, qui ſperabam aliter, me ad enectionem per famem refovebam. Quis ergò me thronum conſcendentem Archiepiſcopalem, & principatum, in manus traditum totius & conſilii & actionis recipientem intuitus, illi inſuſurravit? ejuſmodi enim cùm voces tum diſquiſitiones impiæ ſunt, & erga illos adhibendæ ſunt, qui moderamen & habenas gubernandas ſplendidè & illuſtri modo acceperunt: & qui in bonum publicum throno præſident: & ubi ad genua provoluti abjiciebantur pœnitentes, qui tellurem lacrymarum rivis irrigabant, ac ad movendam miſericordiam multa loquebantur: ac qui ad finem uſque pro veritate & virtute certamen initum ſuſtinebant ſplendentibus coronis lemniſcati ſedent cum Chriſto judicantium ſortiti locum, quorum nonnemo ad commiſerandum congeneres ſibi feruntur: quidam alii æquitatis nullam vel canonicę poteſtatis rationem habentes, ſed tanquam qui juſtitię oculos, ad faciendam juſtitiam provocare vellent: Certè opus eſt ut hîc, hîc inquam, ſi alicubi, talia obtenndi debeant, apud illos præſertim, qui in illo ordine conſtituuntur: non in vita præſenti, non apud eos qui fame, nunc ſiti, cuſtodiis & miſerum quidem in modum intercipiuntur, de vita ſua periclitantes. Ad illos enim ſpectat deputatus juſtitiæ locus, judicii, condemnati-

nationis, remiſſionis tempus nempe futurum illud, & non hoc præſens. Aſt, ô tu bone vir & belliſſime, ſi recipiendi non ſunt, quid ni te pudeat cum illis connumerari? & cùm poſſis coronatus comparere, cum captivis malis aggregari: per ſomnium aliorum humanitatem laudare, cùm ſis longè ab illa cœleſti nobilitate, & liberâ conditione ſemotus, etiam & proditionis illius reus. Veruntamen ſi cum illis cenſeri non ferebatur turpe, cognoſcat quòd verſatur apud illos animo, à quorum vita abhorret & actionibus; & illum honorat gregem, cui, pro paſtoribus lupos præeſſe præ ſe palàm fert. Quos multò magìs fovere comperitur, quàm eorum quiſpiam, qui in illo cœtu annumeratur. Sunt enim inter eos, qui utcunque corporibus ſuis adſiſtant, tamen ab illorum ſocietate practica, ab intùs diſſidente conſcientia vacillantes recedunt. Tu autem, nondum conjunctus corpore, judicio & affectu copulari deſideras: Quòd non adhuc plenè fueris adunitus, id à timiditate non pietate; à pudore proficiſcitur & non voluntate. Quis autem ea admitteret, quæ nè ſomnians approbavit aliquando? is ſcilicet, qui cauſam in timorem rejicit, cur nondum illorum conſortio aggregetur, cum inimicis pudefieri antiquius habuit, quàm cum familiaribus ſuis & cognatis admirationi eſſe; modò ſit ei in poſterum impunè. Si recipere vel admittere non licebat, ecquis poſt receptionem illam, ut poſſit quos non licuit, ſuſceptos admittere, velit ſe in manifeſtum diſcrimen præcipitare? Verba ſanè non meliorant actiones, ſed per actiones verba licèt interpretari. Nam ſi quis contuitus latrones, aut civitatum expilatores, deteſtatione ubique habitos, execrationibus undiquaque proſciſſos: immunis adhuc ipſe & purus ab illorum conſortio tandem phantaſmate abreptus, dicat legum arbitris & diſpenſatoribus, ſi hoſce homines, rogo, ſine pœna dimittas, quos par & æquum fuerat de vita tolli, cur non ego ſtatim latro fiam ac proditor, ut ſic veniam poſſim ſceleribus promovere: quòd ſi pœnam irroges, metu pœnæ nolim ego illos imitari. Si quis, inquam obiter iſta dicat, quis non illum furere & inſanire? quis non mente in rebus aliis labo-

σεως καὶ κατακρίσεως καὶ ἀφέσεως λόγος, καὶ ὁ καιρὸς ἐκεῖνος, ἀλλ᾽ οὐχ ὁ παρὼν, ἀφορίζεται. Ἀλλ᾽ ὦ καλὲ καὶ ἀγαθὲ, εἰ μὴ δεῖ δέχεσθαι, πῶς οὐκ αἰσχύνη μετ᾽ ἐκείνων συντάττεσθαι; καὶ δέον στεφανηφόρον ὀφθῆναι, τοῖς αἰχμαλώτοις ἐγκαταλέγεσθαι; καὶ τὴν ἑτέρων ὀνειροπολεῖν φιλανθρωπίαν, τῆς ἄνωθεν εὐγενείας καὶ ἐλευθερίας γυμνὸν καὶ προδότην ἑαυτὸν καταστήσαντα; εἰ δ᾽ οὐκ αἰσχρὸν ἡγεῖτο συντάττεσθαι, ἴσθι, σὺν ἐκείνοις ὢν τῇ γνώμῃ, ὧν ἔξαρνος ὑπάρχεις τῆς πράξεως· καὶ ἐκείνην τιμῶν τὴν ἀγέλην, ἧς ἀντὶ ποιμένων * λύκους * τοὺ. λέγεις προΐστασθαι· εἰ βούλει δὲ καὶ τῶν ἐν αὐτῇ ἐνίων πλέον ταύτην περιέπεις. Εἴ γέ τινες μὲν αὐτῶν, καίτοι σώματι συνόντες, τοῦ συνειδότος αὐτοὺς στασιάζοντος ταῖς γνώμαις, ὅμως ὀκλάζουσι· σὺ δὲ καὶ πρὸ τοῦ συναφθῆναι τῷ σώματι, λογισμοῖς καὶ γνώμῃ σπουδάζεις συνάπτεσθαι· τὸ γοῦν τῆς συναφῆς ἔλλειπον, δειλία οὐκ εὐσέβεια, αἰσχύνη οὐ προαίρεσις. Τίς οὖν ὁ δεχόμενος; ὁ μηδ᾽ ὄναρ τοῦτο παραδεξάμενος· ἢ ὃς, ὅτι μὴ μέχρι νῦν πρὸς ἐκείνους ἀπέκλινε, τῷ φόβῳ τὴν αἰτίαν ἀνέθηκε; καὶ τὸ σὺν τοῖς ἐχθροῖς καταισχύνεσθαι, ἂν μὴ δῷ τὴν δίκην ὕστερον, κρεῖσσον ἡγεῖται τοῦ μετὰ τῶν οἰκείων δι᾽ ὅλου θαυμάζεσθαι· εἰ μὴ δεῖ δέχεσθαι, τίς ἂν δεξάμενος, ἀντὶ τοῦ δοκεῖν ἑτέρους, οὓς οὐκ ἔξεστι δέχεσθαι, μᾶλλον ἑαυτὸν ἐκείνοις οὐ συναπολέσειεν; οὐ γὰρ τὰ ῥήματα βελτιοῖ τὰς πράξεις, διὰ δὲ τῶν ἔργων συνίσταται καὶ τὰ ῥήματα. Εἶτα ἄν τις ἰδὼν λῃστὰς, ἢ πολέων προδότας, ὑπὸ πάντων μὲν βδελυσσομένους, πᾶσι δὲ μυσαττομένους· ἔπειτα αὐτὸς τούτων τέως καθαρὸς ὑπάρχων, φαντασιοκοπῇ καὶ λέγοι πρὸς τὸν κρατοῦντα τοὺς νόμους, εἰ μὲν οὓς ἀναιρεθῆναι δέον, τούτους ἀτιμωρήτους ἐᾷς, τί μὴ θᾶττον λῃστεύω καὶ προδότης γίνομαι, ἵνα συγγνώμης τύχω· ἂν δὲ δίκην ἀπαιτῇς, φόβῳ ταύτης, ἐκείνους οὐ μιμήσομαι· ἂν οὖν τις παρελθὼν τοιαῦτα λέγοι, ἆρ᾽ ἐστὶν ὅστις οὐκ ἂν αὐτοῦ παραφορὰν καὶ ἀρρωστίαν γνώμης, καὶ μυρία ἄλλα καταγνοίη; τί δὲ ἐκείνου μὲν ἑκα-

τος τῶν νῦν ἐχόντων καταγνώσεται; ἂν δέ τις, ἀντὶ μὲν προδοτῶν πόλεως, προδότας πίστεως, ἀντὶ δὲ λῃστῶν σωμάτων λῃστὰς θείων νόμων εἰς μέσον παράγοι· ἔπειτα τὰς αὐτὰς φωνὰς ἀνακράζῃ, οὐχὶ τὴν ἴσην αὐτὸν ἢ καὶ μείζονα ψῆφον παρὰ τῶν σωφρονούντων ἀπενεγκεῖν οἰησόμεθα; χωρὶς δὲ τῶν εἰρημένων, εἰ μὲν τοῖς ἐκκλησιαστικοῖς θεσμοῖς τὰς πράξεις ἰθύνουσι, τίς δεῖ τῶν ἀκαίρων ζητήσεων, καὶ λογισμοῖς παλαίειν καὶ ἀποπνίγεσθαι; ἀλλὰ μὴ θᾶττον αὐτῶν τῆς μοίρας γινόμενος πολλὴν τὴν συγγνώμην ἐξαιτεῖς τῆς βραδύτητος; εἰ δ' ἐκ θεσμῶν ἔργων ὑπηρέτας ἐπίστασαι, τί πολυπραγμονεῖς, ἄντε δῶσιν ἐνταῦθα δίκην, ἄν τε μή; ἂν μὲν γὰρ δῶσιν, ἄμεινον ἕξουσι, τῇ τιμωρίᾳ τὴν ἁμαρτίαν ἐκκαθαιρόμενοι· ἂν δὲ μὴ δῶσι, τοῦτο αὐτοὺς ἀθλιωτέρους ἐργάζεται, ὅτι πικρότερον αὐτοῖς τὸ ἐκεῖθεν ἀπαντήσει δικαστήριον· ὥστε εἴ τινι τῶν δύο τούτων αἵρεσις προὔκειτο, ἐκεῖνος ἂν τὸ ἔλαττον κακὸν ἐφάνη αἱρούμενος, καὶ τὸ αὐτοῦ συμφέρον ἐπισκεπτόμενος, οὐχ ὃς τὴν ἐνταῦθα φεύγει δοῦναι δίκην· ἀλλ' ὃς ἐν τῷ νῦν καὶ ἐντεῦθεν διδόναι τὴν ἐκεῖθεν ἐπραΰνεν· ἐπεὶ καὶ τὸν νοσοῦντα, οὐχ ὃν ἰατρῶν χεῖρες, καὶ τομαί, καὶ καύσεις, τοῦ πάθους ἀπάγουσιν, ἀλλ' ὃν τὰ τῆς τέχνης ὁρῶμεν μὴ προσιέμενον, ἐκεῖνον ἤδη τελείως *ἀναγινώσκομεν, καὶ ἐν ἐσχάτοις κακοῖς ἰσμὲν ἐξεταζόμενον. Καὶ τί ἄν τις τὰ ἑπόμενα τοῖς αὐτοῦ λογισμοῖς ἀπαριθμοίη; ταῦτα ἡμᾶς ἀκοπώτερον *παρασκευάσει τὰ συμβαίνοντα· ταῦτα εἰς παραψυχὴν ἕξομεν· τούτοις ἡμᾶς ἀνακτᾶσθαι, (ὦ φίλε καὶ ἀδελφέ,) διεσπούδασας, οὐ γὰρ τῶν σεμνοτέρων ῥημάτων ἐξίσταμαι, οὐδὲ τῷ μελετηθέντι πάντα δίδωμι, ἀλλ' ὅτι τέως μὴ διαπέπρακται, καὶ πρὸς τὴν ἐλπίδα τῆς διορθώσεως τὰς κλήσεις μερίζομαι· Ἐὰν τὸ ἅλας μωρανθῇ, ὁ κύριος φησιν, ἐν τίνι ἁλισθήσεται; ἐὰν τὰ τῶν φίλων, τὰ τῶν ἀδελφῶν, τὰ τῶν τέκνων, τὰ τῶν ἐμῶν μελῶν, τὰ τῶν ἐμῶν σπλάγχνων (τὰ τῶν πάντων ἐμοὶ τιμιωτάτων) δι'

* ἴσ. ἀπογινώσκομεν.

* φέρειν.

rare similiter, haud pronunciabit? Quòd si quis non urbium sed fidei proditores, prædones non corporalium sed Divinæ legis in medium productos sistat, & apud illos voces eas ipsas edat, an non eandem in ipsam sententiam vel etiam duriorem per prudentes rerum æstimatores ferendam putamus? Verùm sepositis quæ jam dicta sunt, si secundùm Canones, hoc est, Leges Ecclesiasticas actiones regulent, quid opus est hisce intempestivè motis quæstionibus? quid ratiocinando vel contendere, vel alios suffocare? quidni potiùs actutùm ad partes accedit, & veniam deprecetur suæ tarditatis? sin verò actionum lege prohibitarum actores agnoscas, quid ità tandem curiosè satagis, utrum hic supplicium luant aut non luant? Si dederint isthic pœnas, meliori tum erunt conditione, nimirum per pœnas irrogatas expiato peccati reatu: quòd si non dent hoc eò sunt miseriores, eò quòd judicium aliquando cœleste cum majori subibunt acerbitate. Itaq; si modò inter hæc duo electio consistat, is minus malum videtur eligisse, & suo commodo meliùs prospexisse, non qui id agit nè hîc puniatur; sed qui per supplicium isthic obitum tolerabilius reddet judicium illud. Nam & ægrotantem, nequaquam illum quem medicorum manus, sectiones, ustulationes morbo liberant; sed quem videmus artis medicæ praxin non ferentem, illum inquam statu positum desperato, & conclamatum, morbis extremis cruciatum, & doloribus confectum reputamus. Quorsum verò quispiam ea quæ sequuntur rationibus putet apprehendenda? sanè enim illa ut leviùs feramus quæ contingunt facient; atque ità nobis parient consolationem; Per ista nosmet iterum possidere sategisti (amice & frater); nam vocibus te affari honoratioribus non desistam, non omnia & singula consiliis & propositis adscribam; sed quòd in actum hactenus producta non fuerint, illa ideò cum spe emendationis tuæ compellationes meas instituo: *Si sal infatuatus fuerit*, inquit Dominus, *in quo demum salietur?* Si res meorum amicorum, fratrum, liberorum, membrorum, viscerum: si res eorum singulorum, (qui mihi ante omnes sunt honorandi;) propter

pter quos in carne adhuc potiùs subsistere, quàm dissolvi & cum Christo esse mallem: quorum causâ concidor, distrahor, & lachrymæ meę mihi panes fiunt: si eorum omnium hic sit status, quid debeam ab aliis expectare? Nec injuriâ. Scio etenim, Beatum Paulum solus cùm esset in vinculis destitutus, dixisse, *In prima mea defensione nemo mihi adfuit*: & iterum, *solus Lucas mecum est.* Nam non possunt omnes se obdurare, & patientiâ niti: quapropter cùm Dominus prædiceret afflictiones venturas, & tentationes, cum quibus illi qui in ipsum credituri erant, confligere debebant, subnectit, *Ast qui in finem perseveraverit, is salvus erit.* Scio, & anteriorem adhuc Davidem Prophetam multorum solitudinem luxisse, & illam ab amicis desertionem Domino deprecationis loco repræsentâsse: *Salvum me fac Deus, quoniam defecit justus, & veritas paucitate laborat inter filios hominum.* Quorsum verò hunc vel illum citem? Scio Dominum & Deum meum tum cùm apprehensus, vinculis constrictus abduceretur, solitarium fuisse derelictum: scriptum est enim, *Ipso deserto fugerant.* Quid ergò mirum? nos homunciones miseros & miserandos, quibus nec aerem spirare liberum licèt, carceribus & vinculis mancipatos, mille moriendi modos quotidie expectantes, omni destitutos meliori spe, ab omnibus ità desertos & derelictos: Atque, ô si tantùm derelictos! ferre hoc possemus, sed neutiquam nos nudi deserimur, sub nominis nostri prætextu, veritatem abnuunt, ecclesiasticam omnem & rectam sententiam deserunt: cujus observandi gratiâ, nil non hactenus elegerunt pati, ab illa se nunc abscindunt, & illam longè seponunt. Hoc est illud quod imprimis percellit mentem mihi, quod mè absumit, cùm videam membra, quibuscum nos incorporamur, & participes exstamus, ex æquo Christi à capite illo divelli & in perniciem redigi. Et tamen istud malum in se non sufferendum, fit certè tolerabile per priùs exempla recitata. Attamen derelicti illius causam in nos artificiosè transferre velle, cujus nondum potuit exemplum aliquod reperiri, quomodo quis, utcunque omnia

οὓς ἔτι τὸ σαρκὶ παρεῖναι, τοῦ ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι προκρίνεται· δι' οὓς κόπτομαι καὶ σπαράττομαι, καὶ τὰ δάκρυά μου ἄρτος ἐμοὶ γίνεται· Ἐὰν οὖν τὰ αὐτῶν τοιαῦτα, ποταπὰ χρὴ προσδοκᾶν τὰ τῶν ἄλλων; ἀλλ' οὐδὲν θαυμαστόν· οἶδα γὰρ καὶ τὸν θεσπέσιον Παῦλον μόνον ἐν δεσμοῖς καταλειφθέντα· ἐν τῇ πρώτῃ μου φησὶν ἀπολογίᾳ οὐδείς μοι συμπαρεγένετο, καὶ Λουκᾶς ἐστι μόνος μετ' ἐμοῦ· οὐ γὰρ πάντων ἡ καρτερία καὶ ὑπομονή· διὰ τοῦτο καὶ ὁ κύριος εἰπὼν τὰς θλίψεις καὶ τοὺς πειρασμοὺς οἷς ἔμελλον οἱ εἰς αὐτὸν πεπιστευκότες ἐναθλεῖν, ἐπήγαγεν, Ὁ δὲ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται· οἶδα καὶ πρὸ τούτου τὸν προφήτην Δαβὶδ τὴν πολλῶν τὴν ἐρημίαν ἀποδυρόμενον, καὶ ταύτην ὡς ἱκετηρίαν τῷ θεῷ προτείνοντα, Σῶσόν με κύριε ὅτι ἐκλέλοιπεν ὅσιος· ὅτι ὠλιγώθησαν αἱ ἀλήθειαι ἀπὸ τῶν υἱῶν τῶν ἀνθρώπων· καὶ τί λέγω τοῦτον ἢ ἐκεῖνον; οἶδα τὸν ἐμὸν δεσπότην καὶ θεόν, ἐπεὶ συνελήφθη καὶ πρὸς δεσμωτήριον ἤγετο, μόνον καταλειφθέντα· καὶ ἀφέντες γὰρ αὐτόν, φησι, πάντες ἔφυγον· Τί οὖν θαυμαστόν; εἰ καὶ νῦν ἡμᾶς, ἀνθρώπους οἰκτροὺς καὶ ἐλεεινούς, ἀνθρώπους μηδὲ τὸν ἀέρα σπᾶν ἐλεύθερον παρακεχωρημένους, ἀνθρώπους δεσμωτήριον οἰκοῦντας, μυρίους θανάτους καθ' ἑκάστην προσδοκῶντας, καὶ πάσης ἐλπίδος χρηστῆς περιῃρημένους, εἰ καὶ καταλιπεῖν τις ἐμελέτησεν· ἀλλ' εἴθε μόνον καταλιπεῖν (ἀνύποιστον γὰρ ὄν) οὐ γὰρ ἡμᾶς οἱ τοιοῦτοι καταλιμπάνουσιν, ἀλλ' ἐν ἡμετέρᾳ προσηγορίᾳ, τῆς ἀληθείας καὶ τοῦ ἐκκλησιαστικοῦ καὶ ὀρθοῦ φρονήματος, ὑπὲρ οὗ, μέχρι νῦν, μυρία παθεῖν εἵλοντο, ἑαυτοὺς ἐκτέμνουσί τε καὶ ἀποκηρύττουσιν· ὃ παρὰ παντὸς μάλιστα ψυχὴν πλήττει καὶ ἐκδαπανᾷ, μέλη ὁρᾶν, ὧν ἐσμὲν σύσσωμοι καὶ συμμέτοχοι, Χριστοῦ τῆς κεφαλῆς διασπώμενά τε καὶ ἀποφθειρόμενα· ἀλλ' ὅμως ἀφόρητον ὂν τὸ κακόν, φορητὸν ἂν ἐγεγόνει τοῖς ῥηθεῖσι παραδείγμασιν· τὸ δὲ καὶ τὴν αἰτίαν τοῦ καταλιπεῖν, ἡμῖν τεχνάζεσθαι ἐπιγράφειν, οὗ μὴ μέχρι νῦν οὐδ' ἔστιν εὑρεῖν ὑπάρξαι παράδειγμα· πῶς ἄν τις εἰ καὶ πάν-

τα

τὰ φέρειν ἔχει γυμνασίαν, ὑπενεγκεῖν δυνηθείη; καλάγε, (οὐ γὰρ ἀπέχω) τὰς ἀμοιβὰς τοῦ περί σε θείου καὶ πατρικοῦ φίλτρου, καὶ τῶν πνευματικῶν ἐκείνων καὶ ὑπερφυῶν καὶ φρικτῶν ἐκείνων, ἐν αἷς σὺ φωστὴρ ἐν κόσμῳ λόγον ζωῆς ἐπέχειν, τῇ μυστικῇ παστάδι τῆς ἐκκλησίας ἀναπετέθης· ταῦτα διὰ τῆς ὑμῶν ἀξιαγάστου καὶ θείας συνέσεως, πρὸς τὸν χθὲς καὶ πρώην δοχὰς ἡμῖν καὶ ὑποδοχὰς προτιθέμενον, ὑποφέρομαι, καὶ τῆς ἰδίας ὁρμῆς τὴν ἡμῶν ἐπιτροπὴν πειραθέντα λαβεῖν, αἰσχύνης καὶ ἁμαρτημάτων, ὡς δῆθεν, ἀποστροφὴν καὶ ἀναχώρησιν, εἰ καὶ τοὐναντίον ἤπερ ἐμπαράττειν αὐτῷ περιεγένετο· ἡ γὰρ εἰς ἕτερον ἀναφορὰ τοῦ ἐγκλήματος, ἂν μὴ δὲ χώραν εὕρῃ, μάλιστα τὸ τέχνασμα παρεισδύσεως, εἰς σφοδροτέραν περιτρέπει τοῦ συνειδότος κατάγνωσιν, οἴκοθεν τὸ σαφῆ καὶ ἄφυκτον τὸν ἔλεγχον φέρουσα· τί γὰρ ἑτέρωθεν ἐζήτεις συμμαχίαν, τὸ σχῆμα σεαυτῷ ἐτεχνάζου δικαιολογίας, εἰ μὴ τὸ συνειδὸς ἔνδον εἶχες πικρὸν κατήγορον τῆς βουλήσεως; τί δὲ καθ' αὐτὸν οὐ πράττεις, ἃ σπουδάζεις * ἄλλοθεν· καὶ εἰ μὴ τῶν ἐπιστολῶν ὁ νόμος ἐπεῖχε, καὶ τοῦ ὑπογραφόντος ἡ χεὶρ καὶ τότε κλαπεῖσα ἐμποδὼν ἵστατο, ἔδειξα ἂν ἀκριβέστερον καὶ διὰ πλειόνων τό τε ἡμέτερον ἄλγος, καὶ οἷς ἐκεῖνος ἡμᾶς ἐλυμήνατο· ἀλλὰ πῶς τὰς ἑαυτοῦ λαμπρὰς ὁμολογίας, ἃς ἐνώπιον θεοῦ καὶ ἀγγέλων, ἐνώπιον πάντων ἀνθρώπων, βασιλέων, ἀρχόντων, ἀρχομένων ἐπαῤῥησιάσατο, οὐκ εἰς μεγάλην ἄγει αἰδῶ; πῶς τὸ τῆς ἐκκλησίας οὐκ ἐδυσωπήθη καύχημα, ὃ κατὰ παντὸς φέρειν ἔχει καὶ χρόνου καὶ διηγήματος; καὶ εἴη γε τῆς ἄνωθεν ἐνισχυούσης παλάμης διηνεκῶς μεγαλαυχοῦσα καὶ φέρουσα· πῶς δὲ δι' αὐτοῦ καὶ μόνου ψυχαγωγεῖν ἔγνω τὸ ἀντίπαλον, καὶ ἰδίᾳ πτώσει τὴν κοινὴν καὶ παράδοξον τῆς ἐκκλησίας στάσιν χωλεύειν προείλετο; καινὸν μὲν γὰρ καὶ παράλογον ὁ πολυμήχανος ὄφις κόσμῳ παραδεῖξαι ἐνεανιεύσατο· ἀλλὰ καινότερον καὶ παραδοξότερον καὶ θεῖον ἔργον, ὡς ἀληθῶς, ὁ τῆς φύσεως ἡμῶν πλάστης καὶ δημιουργὸς κατέστησεν. ὁ μὲν γὰρ ἀνθρώπους τρισ-

* ἴσ. φαίνει.

ferendo sufficientissimus æquanimiter poterit tolerare: Omnino percipio præclaram ego remunerationem amoris in te mei paterni, cum Deo conjuncti, & spiritualis illius mirifici & tremendi illius partûs, quo tu nobis enixus, lumen terrarum orbis in mystico ecclesiæ thalamo per vitæ sermonem prodiisti. Et ista ego tolero per & propter admirabilem & divinam planè illius hominis prudentiam, qui nos herì ac nudiustertius epulo apposito recipiebat: Quíque ex animi sui impetu nostri in se patrocinium suscipere & tuitionem volebat: dedecoris, & admissorum criminum aversionem, depulsionémque scilicet, licèt secùs quàm speraverat, id contingebat. Transmissio siquidem criminis in alium quempiam, si non admittatur artificiosè excogitata machinatio, in graviorem concedere solet conscientiæ condemnationem, dum ab intus inevitabilem redargutionem manifestam patitur. Cur verò aliundè satagebas auxilium? cur formulam tibi defensionis & prętextum artificiosum procurabas? si conscientiâ internâ destitutus eras tuæ voluntatis accusatrice. Quod per te non agis ipse, quod per alios consequi moliris. Certè si pateretur Lex Epistolaris, si mei Amanuensis manus lassata se non subduxisset, pluribus adhuc persequerer justum meum dolorem, & in quibus ab illo læsus sum. Atenim verò præclara illius professio, coram Deo & Angelis, coram omnibus hominibus, regibus, principibus, subditis enunciata, non pudore suffundit vehementiùs? Unde factum ut ecclesiæ gloriatio non vereatur, quam semper & ubique propalare poterat, & præ se ferre supernâ præsertim manu corroborante, in qua perpetuò triumpharet: suis autem viribus & quidem solitariis posse se putat adversarium delinire: casúque suo voluit, ut ecclesiæ ille status communis, præter omnem expectationem claudicaret, volebat nimirum versutissimus ille serpens, audaciæ suæ novum & inusitatum quid mundo palàm facere: sed opus magìs novum, inauditum & paradoxum magìs, divinus naturæ nostræ opifex & conditor ex adverso edidit. Ille homines nefarios & impobos in nullo nu-

numero habendos, sacerdotali pridem dignitate spoliatos, cœtibus ecclesiasticis, sed quas ob causas, haud libet dicere amotos, abactos, bis mortuos, eradicatos, juxta Apostolicum de talibus pronunciatum, *maculas, momos, audaces arrogantes*: in istos ubi se insinuaverat diabolus, & ad propriæ nequitiæ officinam applicuerat, per illos universam occupare ecclesiam, per summam impudentiam nitebatur. Sed Deus qui miracula operatur solus; & dilatat invocantes se in afflictionibus; qui suæ providentiæ sapientiam inexplicabilem ostendit, cùm undique inextricabilibus circundamur fluctibus oppressi, adeò comparatam & consummatam, verè in ipso fundatam, ut non solùm parem & adæquatam malitiæ suæ plagam malus accipiat, sed multò vehementiorem & cum majori conjunctam tormento procuret. Quomodo enim non infligitur diabolo maxima & insanabilis plaga, cùm in tanta procella, tali rerum confusione, tanta rerum mutatione, nemo parvus, magnus, obscuræ urbeculæ Episcopus, nedum cui præest aliquis eximius: nemo rudis in sermone, nemo utrinque comparatus, qui linguæ volubilitatem cum acumine mentis conjunctam habet: nemo propter vitam illustris, propter dogmatum sublimitatem conspicuus, nullus planè homo cum tempore immutatus comprehenditur: nec cessit loco torrenti omnia abripienti: inter omnes omnino qui de choro fuerant religiosorum (Quis eorum per auditionem antiquam, nedum per præsentem spem, priusquam res constaret, hoc credet) Omnes diaboli laqueos, insidias omnes, omnia artificia, vim omnem intentatam infra se positam demonstrarunt. Jucundum mihi est, ista apud vos imprimis prosequi, qui magna pars eorum estis, de quibus hæc mirifica recensentur: Neq; enim quicquam commilitonibus accidere potest gratius dolore alioqui confectis, quàm ut rem pugnando bene gerant: sed malitiosus, quem dixi, dæmon omnes confertim deglutire, & per suas nequitias fraudulentas impedire fremendo gloriatur: sanctæ tamen ecclesiæ multi-

ἀλιτηρίους ἀνθρώπους οὐδ' εἰς ἀριθμὸν τινα συντελοῦντας, πάλαι τῆς ἱερατικῆς ἀξίας ἀπογυμνωθέντας, καὶ τῶν ἐκκλησιαστικῶν συλλόγων, δι' ἃς αἰτίας οὐδὲ θέμις λέγειν ἡμῖν, ἐξοστρακισθέντας, δὶς ἀποθανόντας, ἐκριζωθέντας, κατὰ τὴν ἀποστολικὴν περὶ αὐτῶν προαναφώνησιν, σπίλους καὶ μώμους τολμητὰς αὐθάδεις· τούτους ὑπεισδὺς καὶ τῆς οἰκείας πονηρίας ἐργαστήριον προστησάμενος, δι' αὐτῶν πᾶσαν καταστρέψαι καὶ καταλαβεῖν τὴν ἐκκλησίαν ἐφρυάξατο· ὁ δὲ, οἷα δὴ θαυμάσια μόνος ποιῶν, καὶ ἐν ταῖς θλίψεσι πλατύνων τοὺς ἐπικαλουμένους αὐτὸν, καὶ τότε μάλιστα δεικνύων τὸ τῆς προνοίας ἄφατον καὶ σοφὸν, ὅτε πανταχόθεν τὸ ἄπορον περιέστηκε καὶ δεινὸν, ἐπὶ τοσοῦτον αὐτὴν συγκεκροτημένην καὶ κατηρτισμένην, καὶ ὡς ἀληθῶς ἐν ἑαυτῷ τεθεμελιωμένην, ἀνέδειξεν, ὡς οὐ μόνον ἀντίρροπον τῆς κακουργίας τὸν πονηρὸν τὴν πληγὴν δέξασθαι, ἀλλὰ πολὺ χαλεπωτέραν καὶ ἀλγεινοτέραν εἰσπράττεσθαι· πῶς γὰρ οὐχὶ μεγίστη καὶ ἀνίατος τῷ διαβόλῳ ἡ πληγὴ, ὅπερ ἐν τοσαύτῃ ζάλῃ καὶ τηλικαύτῃ συγχύσει καὶ μεταβολῇ, οὐ μικρὸς οὐ μέγας, οὐκ ἀσήμου πόλεως ἀρχιερεὺς, οὐ τὸ ἐπίσημον ἐχούσης, οὐκ ἐν λόγῳ ἰδιώτης, οὐκ ἀμφοτέρωθεν ὡπλισμένος, καὶ συνδρομὴν ἔχων τῇ πυκνότητι τῆς διανοίας τὸ ῥεῦμα τῆς γλώττης, οὐκ ἐν βίῳ λαμπρὸς, οὐκ ἐν ἀκριβείᾳ δογμάτων περίβλεπτος, ἀλλ' ὅλως οὐδεὶς οὐδαμοῦ τῷ καιρῷ συναλλοιωθεὶς ἠλέγχθη, οὐδὲν ἔδωκεν τῇ ῥύμῃ τοῦ φέροντος· ἅπαντες δ' ἁπλῶς ὅσοι τοῦ χοροῦ τῆς εὐσεβείας γεγόνασι· (τίς ἀκοὴ παλαιὰ μήπω γε ἐλπίδι νέᾳ, πρὶν πραχθῆναι τοῦτο παρεδέξατο) πάσης * πάγης τοῦ πονηροῦ, καὶ πάσης ἐπιβουλῆς, καὶ παντὸς τεχνάσματος καὶ βίας κρείττονες ὤφθησαν. Ἡδὺ δέ μοι ταῦτα, καὶ μάλιστα πρὸς ὑμᾶς διεξιέναι, τοὺς μέγα μέρος τοῦ τηλικούτου χρηματίσαντας θαύματος· ἐπεὶ καὶ συστρατιώταις οὐδὲν ἡδύτερον, κἂν ἄλλως ἐν λύπαις ὦσιν, ἢ τὰ ἐν πολέμοις αὐτοῖς προσομιλεῖν κατορθώματα· ἀλλ' ὅπερ ἔλεγον, ὁ μὲν πονηρὸς ἀθρόως ἅπαντας καταπιεῖν, καὶ τῆς αὐτοῦ πανουργίας ἔργον δεῖξαι, ἐφύσατο καὶ ἐφρυάττετο· τὸ δὲ τῆς ἐκκλησίας ἅγιον πλήρωμα,

* ἴσ. πληγῆς.

μα, τοσοῦτον αὐτοῦ τὰς μηχανὰς καὶ τὰς ἐπινοίας ἐξεμυκτήρισάν τε καὶ κατεγέλασαν, Χριστῷ τῇ κεφαλῇ στρατηγούμενοί τε καὶ καθοδηγούμενοι, ὡς ἐκεῖθεν μᾶλλον αἰχμαλωτίσαι τινὰς, καὶ τῇ ἀληθείᾳ προσαγαγεῖν, ἢ λιποτάκτην ἕνα τινὰ τῆς καλῆς αὐτῶν παραχωρῆσαι γενέσθαι τάξεως. Ὥστε εἴ τις αἵρεσιν ἐδίδου τῷ διαβόλῳ, πότερον ἐβούλετο τοιαῦτα σκεύη εὑρεῖν, οἵοις νῦν περιέτυχεν, ὅλην αὐτοῦ τὴν * ἐνέργειαν χωρῆσαι δυνάμενα· ἔπειτα τὴν ἐκκλησίαν οὕτως αὐτῷ ἀνδρείως καὶ στεῤῥῶς ἀγωνιζομένην ἀντικαταστῆναι, ὡς σκεύη κεραμέως σὺν αὐτῷ τεχνίτῃ ταῦτα συντρίβουσαν, ἢ μηδ' ἑτέρου τούτων εἰς πεῖραν ἐλθεῖν πολλοῦ ἂν ἐτιμήσατο; μήτε τοιούτων σκευῶν ἐντυχῆσαι, * καὶ τὴν ἐπ' αὐτοῖς εὐθυμίαν ὀνειροπολῆσαι, μήτε τὴν ἐκκλησίαν οὕτως ἰδεῖν κραταιουμένην καὶ ἀκμάζουσαν, καὶ διὰ μέσων αὐτοῦ σπλάγχνων καιρίαν οὕτω καὶ πικρὰν τὴν πληγὴν φέρουσαν, καὶ λαμπρὸν ἱστῶσαν κατὰ πάσης αὐτοῦ τῆς δυναστείας τὸ τρόπαιον· ὅπερ εἰ μή τι ἄλλῳ ἐχρῆν, καὶ τὸν νῦν (οὐ γὰρ οἶδα πῶς ἀλυπότερον εἴπω) περισσαλευθέντα ἐνδυσωπηθῆναι, καὶ μὴ τοὺς τῆς νίκης στεφάνους μονονουχὶ τοῦ ἰδίου ἐπιχειρεῖν ἀναρπᾶν μετώπου· τί γὰρ εἰ καὶ μὴ ἔπραξεν ἃ ἐμελέτησεν, ἀλλὰ τὴν ἀνθοῦσαν χάριν ἐμάρανεν οἷς ἐδίστασε· καὶ ἡ μὲν μελέτη τὴν γνώμην ἤλεγξεν· ἡ δὲ θεία χάρις, ἣν ἔχει περὶ ἡμᾶς πρόνοιαν, καὶ νῦν ἔδειξεν, εἰς ἔργον τὴν βουλὴν ἐλθεῖν οὐκ ἐάσασα· ἀλλὰ μηδέν σοι τὸ λοιπὸν μηδὲ τοιοῦτον, ὦ τέκνον, διαμελετάσθω· ἤδη γὰρ ἤδη τοὺς ἐλέγχους ἀφεὶς, ἐφ' οἷς μέχρι νῦν, * ἅδη ἴδια σπλάγχνα πλήττων καὶ τιτρώσκων ἀνιώμενος ἔφερον) κἂν γὰρ ἀναγκαῖα τὰ φάρμακα καὶ αἱ τομαὶ, ἀλλ' ἡ τῶν πόνων καὶ ἀλγηδόνων συμπάθεια, νικᾷ τοὺς νόμους τῆς ἰατρείας καὶ παιδεύσεως· δι' ὃ μηκέτι τοῦ συμπαθεῖν τὴν τυραννίδα φέρων, ἐκεῖνα πάντα λιπὼν, καὶ ὡς παρόντι περιχυθεὶς, τέκνον ἐμὸν, ὠδίνων ἁγνῶν μέλος ἐμὸν, τί τοῦτο, ἀνακαλοῦμαι; ποῦ μοι τὸ περὶ σὲ καύχημα; ποῦ δὲ αἱ ἐλπίδες μᾶλλον δὲ μετὰ τῶν ἐλπίδων τὰ ἔργα; Ὁρᾷς τὸ σκυθρωπὸν, τὴν κατήφειαν [illegible] καὶ τὰ δάκρυα. ἡ περὶ σοῦ

* ἴσ. πανουργίαν.

* μήτε τήν.

* ἴσ. ἅτε.

tudo ipsius machinationes & consilia deridet, & ludibrio habet, dum sub Christo capite militant, & ejus ductum observant: ut captivos potiùs quosdam abducunt veritati, quàm ut aliquis ex ipsis fugitivus existat & desertor ordinum. Quapropter si diabolo daretur optio, utrùm talia adhibere vasa voluerit, qualia sunt, in quæ nunc incidit, capacia totius operationis ipsius: tum ecclesiam ità viriliter & animosè concertantem ex adverso consistere; vasa illa ut figulina cum ipsomet artificè confringentem, annon istorum experimentum facere potiùs recusaret? nec talia vasa reperire, vel ab iis gaudium proventurum somniare, quàm ecclesiam intueri ità roboratam ac vigentem, & in media ipsius viscera vulnus tam mortiferum inferentem, & gloriosum de tota ipsius potentia trophæum statuentem. Quod profectò, si non aliud, oportebat eum, qui nunc nimiùm commotus est (neque enim intelligo, quid, aut quomodo; cum majori modestia dicam) revereri, nec victoriarum adoreas non conari, à sua propria sede dimovere. Quidni enim? licèt non effectum dedit, quod conceperat animo, gratiam tamen efflorescentem marcessere fecit, eò quòd cogitavit, quæ cogitatio redarguit opinionem. Divina autem gratia providentiam, quâ nos semper tutatus est, nunc ostendit, cùm in effectum prodire non sit passa, quod apud animum ille constituerat. Cæterùm, mi fili, nulla talis deinceps mentem irrepiat cogitatio. In præsenti enim omissâ increpatione omni quâ hactenus mea ipsius viscera feriendo vulneravi, quod ipsum dolenter fecisse me profiteor. Licèt enim medicina, etiam concisiones, necessaria sint, tamen erga laborantes & cruciatos compassio superat leges doctrinæ cujusq; & medicinæ: Et ego ideò compassionis tyrannidē haud sustinendo cùm sim, prætermissis omnibus, tanquam præsentis in complexum ruor. Filium meum compello, partum meum immaculatum, membrum mei corporis. Quonam ego abripior? ubinā de te mea gloriatio? ubi spes? potiùs, post spem ubi comparent opera? Videsis tristem vultu dejectum lacrymantem, de te solli-

solicitudo talia causat. Labor meus circa te, de vita dolor viscera mea penetrat interiora. Quare, si meæ vitæ tibi cura est ulla (& certè non probatur non esse tibi curæ) noli deinceps ejusmodi aliquid in deliberationem admittere. Beatus ille vir, non qui nequaquam cucurrit ad illicita malorum opera, sed qui ne quidem incessit in consilio malignantium. Nec quòd sint, quam nos sumus, deteriores alii, gloriemur, sed si aliquibus impares inveniamur, pudore suffundimur. Nam & optimus miles haud desertor convictus, nec quòd cum fugitivis censeatur, clarus obinde & illustris fit, sed si bello præstantior quàm commilitones: si victoriam de hostibus deportavit, tum dignus judicatur qui coronetur. Hortor autem atque obsecro, ostende finem principio dignum, dignum certaminibus. Oh quantum adest gemitus & lacrymarum, si in marinis fluctibus, inter ventos, in procellosis tempestatibus rectum tenere cursum possimus, & in portu patiamur naufragium, prælio si vincamus hostes & depellamur à trophæo: in stadio cum laude certamen subire, & emollescere ad bravium. Vos ergò, ô virtutis amatores, veritatis qui præcones estis, & in Deum pietatis defensores; utì contra cætera prævaluistis, ità date operam, & sedulò incumbite, ut quod exopto doloris habeatis levamentum. Non ob eam tantùm causam, quia quod dolet, amicis si exponatur, diffindi quodam modo per sermones poterit, aut ut sic dicam evaporari; sed multò magis quòd spem egregiam concipio, futurum ut vestris prudentibus illis & præclaris admonitionibus & insusurrationibus corroborandũ hominem, serpentis illius difflato sibilo quasi consiliis ulteriùs non pariturum eorum qui fecerunt secessionem; qui consilia recta & optima ad dubitationem inflectunt ruinæ daturam occasionem, sed ad priorem integritatem reversum, ità ut immotus & inflexus, in Christianæ confessionis petra solida & infracta conservetur, in omni vitæ cursu, & sermonum varietate conservatus. Atque hæc quidem hactenus. *Quòd si autem aliqua sit consolatio in Christo*, ità enim vocibus

φροντὶς τούτων αἰτία· ὁ ἐπί σοι πόνος αὐτῶν ἅπτεται σπλάγχνων τὸ ἄλγος αὐτῆς τῆς ζωῆς· ἀλλ' εἴ τί σοι τῆς ἐμῆς μέλει ζωῆς (οὔπω δέ με τις ἀναπείθει λόγος ὡς οὐ μέλει) μηκέτι μηδὲν τοιοῦτον μηδὲ παραπλήσιον, μήτε εἰς βουλήν, μήτε εἰς μελέτην διαβαινέτω· μακάριος γὰρ ἀνὴρ οὐχ ὃς ἐπὶ παρανόμων οὐκ ἔδραμεν ἔργα, ἀλλ' ὃς οὐδὲ ἐν τῇ βουλῇ αὐτῶν ἐπορεύθη· μηδ' ὅτι χείρους ἔχομεν σεμνυνώμεθα, ἀλλ' εἴ τινων ἐλάττους ἐλεγχθῶμεν, αἰσχυνώμεθα· ἐπεὶ καὶ ἀριστεύς, οὐχ ὅταν λειποταξίας οὐχ ἁλῷ, οὐδ' ὅταν τῶν φυγάδων οὐχ ἥττων ὀφθῇ, σεμνὸς καὶ περίβλεπτος· ἀλλ' ἐπειδὰν τῶν συστρατιωτῶν κρείττων ἐν πολέμοις ἀναφανῇ καὶ τῶν ἐχθρῶν κρατήσῃ, τότε καὶ τοὺς στεφάνους ἐστὶν ἀναδέχεσθαι δίκαιος· ναὶ δέομαι καὶ παρακαλῶ δεῖξον τὸ τέλος ἄξιον τῆς ἀρχῆς, ἄξιον τῶν ἀγώνων· ὢ πόσων στεναγμῶν, πόσων δακρύων ἐν πελάγει μὲν * μέσον πνευμάτων καὶ ζάλης οὐριοδρομεῖν, πρὸς αὐτῷ δὲ τῷ λιμένι καταποντίζεσθαι· καὶ πόλεμον μὲν κρατεῖν τῶν ἐχθρῶν, τῶν δὲ τροπαίων αὐτοῖς ὑπεξίστασθαι· καὶ τὸν ἀγῶνα μὲν ἐν τῷ σταδίῳ λαμπρῶς ἐνεγκεῖν, πρὸς δὲ τοὺς στεφάνους μαλακίζεσθαι· ὑμᾶς δὲ ἄρα ὦ τῆς ἀρετῆς ἐρασταί, καὶ τῆς εὐσεβείας κήρυκες, καὶ τῆς ἀληθείας ὑπερασπισταί, ὥσπερ ἐν τοῖς ἄλλοις ἅπασιν, οὕτω καὶ τοῦ παρόντος ἄλγους εὑρήσειν ἔμελλον παραψυχήν· οὐ μόνον ὅτι πέφυκε τὸ λυποῦν τοῖς φίλοις ἐκκαλυπτόμενον * διαχεῖσθαι πως τοῖς λόγοις, καὶ οἷον συνεξατμίζεσθαι· ἀλλ' ὃ καὶ μᾶλλον, διότι μεγάλας ἐλπίδας ἔχω διὰ τῶν ὑμετέρων σοφῶν καὶ καλῶν ἐπῳδῶν τε καὶ παραινέσεων, θᾶττον ἀναῤῥωσθῆναι τὸν ἄνδρα, καὶ τὸν τοῦ ὄφεως ψιθυρισμὸν τέλεον ἀποστραφέντα, μηκέτι συμβουλῆς ἀνέχεσθαι στασιαζούσης, τοὺς ὀρθοὺς λογισμοὺς καὶ εἰς δισταγμὸν μετακλινούσης, πτώματος αἴτιον, ἀλλ' εἰς τὴν προτέραν ἐπαναδραμόντα τελειότητα, ἄσειστον καὶ ἀκλόνητον ἐν τῇ στεῤῥᾷ καὶ ἀῤῥαγεῖ τῆς ὁμολογίας Χριστοῦ διατηρηθῆναι πέτρᾳ, διὰ βίου παντὸς καὶ λόγων ποικιλώμασιν· ἀλλ' ἐπὶ τοσοῦτον μὲν ταῦτα. Εἰ τις δὲ παράκλησις ἐν Χριστῷ, (μετὰ τοῦ

*ἴσ. ἀνάμεσον

*ἴσ. συνδιαχεῖσθαι.

θεσπεσίου Παύλου ὑμῖν, καὶ δι' ὑμῶν πᾶσιν ἐπιβοώμεθα) εἴ τι παραμύθιον ἀγάπης, εἴ τις κοινωνία πνεύματος, εἴ τινα σπλάγχνα καὶ οἰκτιρμοί, πληρώσατέ μου τὴν χαράν· ἵνα ὥσπερ μέχρι νῦν, οὕτω καὶ διαπαντός, τὸ αὐτὸ φρονῆτε, ἐν ἑνὶ πνεύματι καὶ μιᾷ ψυχῇ συναθλοῦντες τῆς ἀληθείας τῷ κηρύγματι, καὶ μὴ * πτυρόμενοι ἐν μηδενὶ ὑπὸ τῶν ἀντικειμένων· ἥτις αὐτοῖς μέν ἐστιν ἔνδειξις ἀπωλείας, ὑμῖν δὲ σωτηρίας, καὶ τοῦτο ἀπὸ θεοῦ· ὅτι ὑμῖν ἐχαρίσθη [τὸ] ὑπὸ Χριστοῦ, οὐ μόνον τὸ εἰς αὐτὸν πιστεύειν, ἀλλὰ καὶ τὸ ὑπὲρ αὐτοῦ πάσχειν. Καὶ ταῦτα οὐχ ὡς τῶν ἐμῶν δεομένοις λόγων γράφω, ἀλλ' ὡς χρεωστῶν, ἄλλως τε καὶ ἐφιέμενος ὑμῖν κοινωνεῖν, ἔνθα μὲν καλεῖ καιρός, αὐτοῖς ἔργοις τε καὶ ἄθλοις, * ἀλλ' ὅτε δὲ καὶ τοῖς ῥήμασι· καὶ γὰρ ὑμεῖς (μετὰ τοῦ θεολόγου φάναι Ἰωάννου) χρίσμα ἔχετε ἀπὸ τοῦ ἁγίου πνεύματος καὶ τὸ χρίσμα ὃ ἐλάβετε ἀπ' αὐτοῦ ἐν ὑμῖν μένει, καὶ οἴδατε πάντα, καὶ οὐ χρείαν ἔχετε, ἵνα τις διδάσκῃ ὑμᾶς, ἀλλ' ὡς τὸ αὐτὸ χρίσμα διδάσκει ὑμᾶς περὶ πάντων· καὶ καθὼς ἐδίδαξεν ὑμᾶς, μένετε ἐν αὐτῷ· ἵνα ὅταν φανερωθῇ ὁ υἱὸς τοῦ θεοῦ ἔχωμεν παῤῥησίαν, καὶ μὴ αἰσχυνθῶμεν ἀπ' αὐτοῦ ἐν τῇ παρουσίᾳ αὐτοῦ· ὁ δὲ τῆς εἰρήνης ταμίας καὶ βασιλεὺς· ὁ τῆς ζωῆς ἡμῶν αἴτιος καὶ συνοχεύς, ἐν ᾧ ζῶμεν καὶ κινούμεθα καὶ ἐσμέν· οὗ τοῖς ἀλύτοις δεσμοῖς τῆς ἀγαπήσεως συνδεδέμεθα· ὁ πρῶτος καὶ μέγας ἀρχιερεύς, Χριστὸς ὁ ἀληθινὸς θεὸς ἡμῶν· ὁ ἐξ οὐ λαοῦ λαὸν οἰκεῖον ἡμᾶς ἰδίῳ αἵματι ποιησάμενος· καὶ οὐχ ἁπλῶς λαόν, ἀλλὰ καὶ ἠγαπημένους, καὶ ἔθνος ἅγιον, καὶ βασίλειον ἱεράτευμα (ὢ τῆς ἀφάτου φιλανθρωπίας) καὶ υἱούς, καὶ κληρονόμους, καὶ συγκληρονόμους θέμενος· παρ' ᾧ οὐκ ἔστι παραλλαγὴ ἢ τροπῆς ἀποσκίασμα· αὐτὸς ἕως τέλους ἀνεγκλήτους συντηρήσει, συσφίγγων ἡμᾶς ἐν τῷ συνδέσμῳ τῆς εἰρήνης καὶ ἀγάπης, στηρίζων ἐν αὐτῷ καὶ ἐν ἀλλήλοις ἐν ἀκλονήτῳ καὶ ἀσαλεύτῳ τῆς εὐσεβείας φρονήματι, μίαν καὶ τὴν αὐτὴν μελέτην ἔχοντας, ἓν λέγοντας, πρὸς ἓν ἀφορῶντας ἅπαντας, πρὸς τὸ βραβεῖον ἐπειγομένους τῆς ἄνω κλήσεως· ἔνθα τῶν πρωτοτόκων ἡ ἐκκλησία· ἔνθα χοροὶ μαρτύρων· ἔνθα πατριαρχῶν αἱ σκηναί· ἐν οἷς οὐκ ἔτι ψεῦδος

* συρόμενοι, vel πτοούμενοι.

* ἀλλότε.

Divini Pauli vobis sigillatim inclamabo, *si quod solatium charitatis, si qua spiritûs societas, si quæ miserationis viscera, vos adimplete gaudium meum:* ut quemadmodum hucusque, *sic semper idem sapiatis, in uno spiritu unanimiter collaborantes præconio veritatis, ut nunquam ab adversariis tereamini: Quod illis concedet in damnationem, vobis in salutem imputabitur, idque Deo operante; quia vobis donatum est à Christo, non solùm ut in illum credatis, sed ut pro illo patiamini. Ista autem scripsi, non quòd sermonibus meis indigeatis, sed propterea quòd desiderem, quippe debitor quadam vobiscum communicare, ubi fuerit occasio, opere ipso & concertatione: nec factis tantùm sed interdum & verbis. Vos enim,* ut cum Joanne Theologo dicam, *habetis à sancto Spiritu unctionem:* porrò, *quam accepistis, unctio in vobis manet, nec opus est ut quisquam vos erudiat, sed sicut eadem unctio docet vos, & sicut vos docuit, manete in eo, ut cum apparuerit Filius Dei habeamus fiduciam, nec confundamur in adventu ejus.* Pacis autem custos atque Rex, qui vitam nobis dedit, & eandem conservat: *in quo vivimus, movemur, sumus:* cujus amoris vinculis, nec dissolubilibus constricti tenemur: ille Princeps sacerdos, idémque magnus, Christus nempe verus noster Deus: *Qui nos de non populo, populum constituit acquisitionis, per sanguinem proprium:* nec populum simpliciter, sed *dilectam*, sed *gentem sanctam*, sed *regale sacerdotium:* quæ ineffabilis illius bonitas est, *Filios nos constituens, hæredes, & secum cohæredes: apud quem non est conversio vel inversionis umbra:* quos inculpatos ad finem usque est custoditurus, constringens nos vinculo pacis & amoris, formans nos in ipso, & inter nosmet mutuò immotâ & inconcussâ pietatis sententiâ constitutos, unam & eandem omnes cogitationem habentes; unum dicentes, ad unum prospectantes, ad bravium supernæ vocationis properantes: ubi *Primogenitorum ecclesia est:* ubi martyrum chorus, Patriarcharum tabernacula; ubi mendacium

non

non antefertur veritati, non eſt contentio, tyrannis, inſanus furor: ſed alta quies, veritatis irreſiſtibilis pulchritudo nullo artificio inobſcuranda: ubi quies, pax, concordia, beatarum viſionum & inenarrabilium ſpectaculorum intuitus, participatio, & fruitio, adoptionis finis non ulteriùs ſperatæ ſed perfectæ, cujus tamen etiamnum illuſtri quodam modo participes ſimus, propter quam in præſenti perſecutiones patimur, & captivi abducimur; propter quam ſexcentas calamitates, mortes perpetimur quotidianas, quas læti ferimus agentes præterea gratias. *Pro regibus orandum eſſe*, divinus Paulus ante nos jam olim docuit: & diſcipulorum ſummus Petrus, *Subjecti eſtote*, inquit, *omni humanæ creaturæ propter Dominum ſive Rex ſit vel ſuperior.* Iterúmq;, *Regem honorate:* utroque prior, communis ille noſter & illorum Dominus, Doctor, Creator, è theſauro inæſtimali ſuo cenſum Cæſari ſolvens, opere & verbo docuit, prærogativas Regibus datas dare. Quocirca inter myſticas & venerandas noſtras hierurgias orationes pro regibus offerimus. Quæ per leges debita, conſervare illæſa & communiter cuſtodire, ergà noſtros à Chriſto dilectos Reges juſtum eſt, Deo gratum, & nobis congruentiſſimum.

περὶ τῆς ἀληθείας τιμώμενον, οὐκ ἔρις, οὐ τυραννὶς, οὐκ ἀπόνοια· ἐν οἷς βαθεῖα γαλήνη, καὶ κάλλος ἀληθείας ἀμήχανον ὑπὸ μηδεμίας τέχνης καλυπτόμενον· ἐν οἷς εἰρήνη πᾶσα καὶ ὁμόνοια, καὶ ἡ τῶν μακαρίων ἐκείνων καὶ ἀδιηγήτων θεαμάτων θέα καὶ μετοχὴ καὶ ἀπόλαυσις, καὶ τέλος τῆς υἱοθεσίας οὐκέτι ἐλπιζομένη, ἀλλ' ἤδη λαμπρῶς μετεχομένη· ἡ τελείωσις, ὑπὲρ ἧς οἱ παρόντες διωγμοὶ καὶ αἰχμαλωσίαι· καὶ δι' ἣν τὰ μυρία δεινὰ, καὶ τοὺς καθημερινοὺς θανάτους εὐχαρίστως καὶ χαίροντες φέρομεν. Ὑπὲρ δὲ βασιλέων εὔχεσθαι Παῦλος μὲν ὁ θεσπέσιος περὶ ἡμῶν παραινεῖ· καὶ Πέτρος δὲ τῶν μαθητῶν ἡ ἀκρότης, Ὑποτάγητε πάσῃ ἀνθρωπίνῃ κτίσει διὰ τὸν κύριον λέγων, εἴτε βασιλεῖ ὡς ὑπερέχοντι. Καὶ πάλιν, τὸν βασιλέα τιμᾶτε· ἀλλά γε περὶ τούτων αὐτὸς ὁ κοινὸς δεσπότης καὶ διδάσκαλος καὶ δημιουργὸς, ἐκ παραδόξου θησαυροῦ κῆνσον τελέσας τῷ Καίσαρι ἔργῳ καὶ νόμῳ τὰ προνόμια νέμειν ἅπερ ἀφώρισται τοῖς βασιλεῦσιν ἐξεπαίδευσε· διὸ καὶ ταῖς μυστικαῖς ἡμῶν καὶ φρικταῖς ἱερουργίαις, εὐχὰς ὑπὲρ βασιλέων ἀναφέρομεν· ἃ δὴ προνόμια συντηρεῖν καὶ συνδιασώζειν καὶ τοῖς φιλοχρίστοις ἡμῶν βασιλεῦσι δίκαιόν τε καὶ φίλον θεῷ, καὶ ἡμῖν ἁρμοδιώτατον.

NOTÆ.

Libellus eſt non epiſtola. Extat apud Baronium ad annum Chriſti DCCCLXX Latinè verſa, de qua ſic Cardinalis maledicentiſſimus Photii calumniator. Invenies iſta artificio miro contexta, ſi cuncta exactè perlegeris, miraberíſque hominem ad fallendum aptiſſimè, præ cæteris comparatum. Dictio duriuſcula (ità cœcus judicat de coloribus, Baronius ſcilicet de Græca elegantia, cujus planè erat ignarus) quæ videatur interdum eſſe confuſa, non vitio codicis, ſed animi depravati affectantis eam orationem, quæ ſolet progredi ab homine ingenti cordis dolore mirum in modum exulcerato. Et quis (mi homo) aliam orationem ab illo expectet? qui tam indignis modis ab impiis tractabatur. Eſt porrò epiſtola generalis, ſed argumenti ratio ſpecialis, ab eo deducta, quem de nomine prudenter & Chriſtianè non nominat. Μηδὲν ἡμῶν φθεγγομένων] Nam non ἀπολύτως loquitur ſed de re ſua. Baronii interpres, omiſſo ἡμῶν, ſenſum pervertit. Poſt αὐτὴν deeſt ὅμως. Ille tamen audiat: & pro τοιοῦτον τοιούτων, reponendum, cúmque in cogitationem nihil tale veniret, noſtram ſcilicet. Πόθεν ἡμῶν ἡ πολλή. &c. Tria ſunt omnia: nam ad hæc tria capita adverſariorum olim accuſationes, & Baronii calumniæ referuntur. ἄνοιαν προδοσίαν ὑπεροψίαν] niſi quòd iſte contemptum dilatet de quo non cogitârant adverſarii Pontificis Romani deſpicientiam, quæ eſt illa Helena quæ bellum hoc Photio concitavit. Τοῖς αὐτοῖς ῥήμασι] Iiſdem nempe quibus ego nunc utor; non αὐτοῦ, ſuis ipſius verbis, ut legiſſe videtur Interpres Baronii: noſtram verſionem confirmant ſequentia. Ἐγὼ δὲ ὅτι τὴν τρυγίαν] hiat oratio & incerta pendet: Quid enim *Ego?* certè οἶδα, vel tale quid deeſt ad implendam ſententiam: ſed conciſa oratio narrandis calamitatibus apta eſt; recitat autem κατὰ σύνοψιν, breviter, calamitates varias, & tormenta quæ ab adverſariis ingeſta patienter pertulit. Καὶ φίλων μεταξὺ.] Baronii Interpres vertit, ſtare ab hoſtibus & inter medios, inter amicos & inimicos, quaſi ad reconciliationem inter eos faciendam: ſed οὐ διαστέλλομεν, non admittit hanc partem pietatis. Εἰ δὲ κακουργίας, &c.] Baronii Interpres omiſit iſta omnia, vitio opinor codicis; εἰ δὲ κακουργίας αὐτοῦ πάλιν διακεκραγότος μεταβαλλώμεθα, quæ omnino ſunt neceſſaria: illa ſine ſenſu & ſententia: neque enim *non intrabitis in regna cœlorum*, ſcandalizanti pœna apponitur, ſed *ſaxum collo appenditur.* Σκανδαλίζων ἕνα] ſic legit Interpres: ſed repetendum ἀπὸ τοῦ κοινοῦ τῶν ἐλαχίστων. Εἰ μὲν οὐς φησὶν δεῖ δέχεσθαι, &c.] Rectè noſter codex: Baronianus, ut videtur ex Interprete, mutilus erat: vertit enim, *Siquidem in quid quos non decuit excipere excipiat, metu futuri ſupplicii, vel inviti, præſentem pietatem tuebimur:* contra mentem Photii. Vide noſtram interpretationem. Ἃ σπουδάζεις] Vocis aperta defectio; in margine noſtri codicis ſcriptum erat φαίνειν, fortè volebat ἐκφαίνειν. Quod ſequitur de ſubſcribente Amanuenſem ſuum intelligit, cui Epiſtolam dictabat, cujus manum in tam longis literis diriguiſſe non eſt mirum, & tamen ſtatim videtur reſoluta, nam in longiorem longitudinem excreſcit Epiſtola adhuc.

Ἐπιστ. ροε΄.

Παύλῳ γεγονότι ἀρχιεπισκόπῳ Καισαρείας καὶ ἀποστήσαντι.

Ἀρκαδίαν με αἰτεῖς, εἴποι ἄν τις, καὶ μάλα εἰκότως, παροιμιαστὴς ἀνήρ· ἐγὼ δέ σοι δώσω, οὐ τὰ ἐξ ἁμάξης, οὐδὲ τὴν ἀπὸ Σκυθῶν ῥῆσιν, ἀλλ᾽ ἅπερ ἂν φιλεῖ ἡ ἀλήθεια· κακὸς ἐγένου φίλοις, καὶ θείου προδότης δόγματος, καὶ τῆς σῆς ὁμολογίας πολέμιος· Εἶτα διερωτᾷς; τί δέποτέ σε οἱ εὐσεβεῖς ὡς ἐναγῆ ἀποστρέφονται, μηδὲ τῆς κοινῆς ἀξιοῦντες προσρήσεως; (ὦ, τί σε δικαίως προσείπω;) φοβερὸν ἡγοῦνται καὶ τὸ διὰ τοῦ χαίρειν κοινωνῆσαι τοῖς ἔργοις σου τοῖς πονηροῖς.

Epist. 175.

Paulo Cæsareæ Archiepiscopo lapso.

Arcadiam me flagitas, quispiam diceret, nec injuriâ, proverbialiter. Ego autem exhibeo, sed non è plaustro, nec à Scythis mutuatum verbum, sed quale amet charitas. Improbus extitisti erga amicos, Divinæ legis proditor, hostis propriæ confessionis: & tamen rogitas? cur te ut improbum diffugiunt homines, nec congressu suo communi dignantur? Nimirum ideo (O quo te titulo jure designem) quod terribile arbitrantur, vel per *salve* communionem habere cum operibus tuis impiis.

NOTÆ.

AD istum aliquoties scripsit & ante & post lapsum. Proverbii origo ab oraculo fuit apud Herodotum.I. Ἀρκαδίην μ᾽ αἰτεῖς, μέγα μ᾽ αἰτεῖς, οὐ ποτε δώσω. Ἀφ᾽ ἁμάξης· id est convitia, unde olim larvati conviciabuntur vel ore fœcibus obducta: unde de plaustro conviciari, & convitiorum plaustra fundere: ὅλας ἁμάξας βλασφημιῶν κατεσκεδάσαν ἀλλήλων. Lucianus: huic affine est Scytharum ῥῆσις, cujus meminit idem Lucianus: hoc est convitium ferè barbarum ab omni humanitate remotum.

Ἐπιστ. ρος΄.

Σάβᾳ πρεσβυτέρῳ καὶ ἡσυχαστῇ.

Τήν, ὁ πατήρ μου, μείζων μού ἐστιν, τοῦ εὐαγγελίου φωνήν, διαφόρως οἱ πατέρες ἡμῶν ἐξειλήφασι· μηδεμιᾶς λυμαινομένης τῇ ἀληθείᾳ ὑπολήψεως. Οἱ μὲν γάρ φασι τῷ αἰτίῳ μείζονα εἰρῆσθαι· ὅπερ οὐκ οὐσίας παραλλαγήν, ταυτότητα δὲ μᾶλλον καὶ συμφυΐαν, παρίστησιν. Ἅπας γὰρ πατὴρ τοῦ υἱοῦ τῷ αἰτίῳ καθηγούμενος, συσφίγγει μᾶλλον δι᾽ αὐτοῦ καὶ συνδιακρατεῖ τὴν τῆς οὐσίας ἑνότητα, κἂν ὁ σκεδασμὸς τῶν ὑποστάσεων τοσοῦτος, μάλιστα τοῖς γεννητοῖς ἐκ μυρίων ῥέων καὶ πληθυόμενος περιστάσεων, εἰς ἑτερότητα ἐκβιάζηται· ὁμοουσιότητος ἄρα καὶ συμφυΐας τὸ μείζω εἶναι τῷ αἰτίῳ τὸν πατέρα τοῦ υἱοῦ, ἀλλ᾽ οὐδαμῶς γε τῆς κατ᾽ οὐσίαν ἑτερότητος. Ἄλλοι δὲ τὸ μείζων, κατὰ τὸ ἀνθρώπινον εἰλήφασι· φασὶ γάρ, ὥσπερ τὸ πορεύεσθαι πρὸς τὸν πατέρα, καὶ τό, μηκέτι πολλὰ μετὰ τῶν μαθητῶν λαλεῖν· καὶ τό, ἔρχεσθαι τὸν τοῦ κόσμου ἄρχοντα, καὶ ἐρευνῶντα μηδὲν εὑρίσκειν ὅλως· ὥσπερ δὴ ταῦτα τοῦ

Epist. 176.

Sabæ presbytero & Anachoretæ.

DIctum illud Evangelicum, *Pater meus me major est,* non uno modo Patres nostri interpretantur, nullâ interim expositione veritatem debilitante. Sunt qui exponunt causalitate majorem, quod non substantiæ alterationem identitatem potiùs & connaturalitatem notat. Omnis enim pater, dum filium causalitate præcedit, per illud ipsum constringit potiùs & in unum compingit, utcunque sint hypostases tam divulsæ: quæ dispersio indè contingit, quòd è sexcentis in rebus genitis accidentibus fluens & multiplicata, in aliam speciem vi impellitur. Filio igitur majorem esse patrem spectat ad paritatem substantiæ & subsistentiæ, nullo autem modo ad substantiæ diversitatem. Alii, major me, ad humanam naturam retulerunt. Aiunt enim, quòd quemadmodum *proficisci ad patrem.* &, *Non adhuc multa cum discipulis loqui.* &, *Venit Princeps mundi,* nec in me factâ disquisitione, quicquam invenit, veluti, inquam hæc ad assumptam carnem referuntur, non autem ad προσλήμματος ἦν, οὐ τοῦ λόγου· οὕτω verbum,

verbum, sic & illud, *Pater meus me major est*, Inter enim superiùs recitata simili modo prolatum & hoc dicitur. Quidam etiam de verbo concedunt illud, major non autem simpliciter, vel secundum substantiam: sed si incarnatio fuerit summa exinanitio & humiliatio, secundùm quam evacuavit se verbum & humiliavit, *Formam servi induens*, patet quòd illius rei, quæ nullo modo substernebatur, evacuatio & humiliatio consequenter dicatur minoritatem retulisse: in majoribus enim excellentiis, qui vacuabilis non est, major est quàm is qui evacuatur, & qui nihil de sua sublimitate remittit, major est eo qui vel ad usque despectabilia descendit sufferenda, crucem, dico & mortem, quæ natura subivit humana: sed & opinari quis poterit nec improbabiliter, dictum fuisse de mente discipulorum: Erant etenim adhuc illi imperfecti, nec de magistro suo, ut de Deo cogitabant, multò autem majorem Deum patrem cogitabant, præcipuè cùm Mosaica lex multò explicatiùs Patrem quàm Filium ipsis insinuet: & ipsemet servator patrem apud eos multifariam prædicaret. Quocirca apud ipsos cùm hæc opinio obtineret, à qua profecti dicebant, *Ostende nobis patrem & sufficit nobis*. Hanc illorum opinionem respiciens sistit se nec progreditur: Sed tantùm non dixit, parum consentanea vobis ipsis agitis & vestræ opinioni, dum tristitiæ vos traditis, *eò quòd dixerim, vado ad patrem*, si me diligeretis, & si reverâ majorem me patrem arbitramini, gaudere potiùs deberetis, quia vado ad patrem meum me majorem: Hunc si ego vobis ostendere tantùm velim, omnino suffecturum vobis ad omnia diceretis. Quòd si verò juxta sensum istum putaverit quisquam, *patrem* dictum *majorem filio*, à bona convenientia non deviabit. Nihil porrò impedit hanc vocem per condescentiam adhiberi, & ad humilitatem conformatam propter auditorum infirmitatem: Multiplex enim dispositio istiusmodi orationum adhiberi solet, ad commodum & salutem eorum procurandam, qui nondum ferre possunt consummatiora: uti illud, *Rogabo*

καὶ τὸ, ὁ πατήρ μου μείζων μου ἐστὶ, μεταξὺ γὰρ ἐκείνων τοῦτο, καὶ παραπλησίως αὐτοῖς εἴρηται· τινὲς δὲ περὶ μὲν τοῦ λόγου τὸ μεῖζον συνεχώρησαν· οὐχ ἁπλῶς δὲ τοῦτο καὶ κατ' οὐσίαν, ἀλλ' εἴπερ ἐστὶν ἡ ἐνανθρώπησις ἄκρα κένωσις καὶ ταπείνωσις, καθ' ὃ κεκένωκεν ἑαυτὸν ὁ λόγος καὶ ἐταπείνωσε μορφὴν δούλου ὑπελθὼν, δῆλον ὅτι τοῦ μηδαμῶς ὑποστάντος τὴν κένωσιν καὶ ταπείνωσιν, ἀκολούθως λέγοιτ' ἂν τὸ ἔλαττον ἀπενέγκασθαι· ἐν μείζοσι γὰρ ὑπεροχαῖς, κατ' αὐτό γε τοῦτο, ὁ ἀκένωτος τοῦ κεκενωμένου μείζων ἐστὶ, καὶ ὁ τῆς ἰδίας ὑπεροχῆς μηδὲν καθαφεὶς, τοῦ μέχρι καὶ τῶν ἐπονειδίστων παθῶν, σταυροῦ, φημὶ, καὶ θανάτου διεληλυθότος τῆς ἀνθρωπίνης φύσεως· ἐκδέξαιτο δ' ἄν τις οὐκ ἀπεικότως καὶ πρὸς τὴν τῶν μαθητῶν διάνοιαν εἰρῆσθαι τὸν λόγον· ἐπεὶ γὰρ ἔτι ἀτελῶς οὗτοι διέκειντο περὶ τὸν θεὸν καὶ διδάσκαλον, μείζονά τε πολλῷ τὸν πατέρα ἐνόμιζον· τοῦτο μὲν τῶν μωσαϊκῶν νόμων ἐμφανέστερον, αὐτοῖς τὸν πατέρα ἢ τὸν υἱὸν καταγγελλόντων· τοῦτο δὲ * τοῦ σωτῆρος ἄνω καὶ κάτω περιστρέφοντος * κεῖ. αὐτοῖς τὸν πατέρα· ἐπεὶ οὖν τοιαύτη τις αὐτοῖς ἐνεστήρικτο ἡ δόξα, διὰ γὰρ τοῦτο καὶ ἔλεγον, δεῖξον ἡμῖν τὸν πατέρα, καὶ ἀρκεῖ ἡμῖν· πρὸς τὴν ἐκείνων ὑπόληψιν ἀποτεινόμενος ἵσταται, τοιοῦτόν τι λέγων αὐτοὺς ἀσύμφωνα ταῖς σφῶν ὁμολογίαις διαπράττεσθαι, λύπῃ διδόντες ἑαυτοὺς, ὅτιπερ ἔφην πορεύομαι πρὸς τὸν πατέρα. εἰ γὰρ ἠγαπᾶτέ με, δοκεῖ δὲ ὑμῖν καὶ μείζων εἶναι ὁ πατὴρ χαίρειν ὑμᾶς ἔδει, διότι πρὸς τὸν μείζονα πορεύομαι· τοῦτον γὰρ καὶ ὑμῖν εἴγε μόνον ὑποδείξαιμι, ἀντὶ πάντων ἐξαρκέσειν διετείνεσθε. Ἀλλὰ γὰρ καὶ κατὰ ταύτην τὴν διάνοιαν, μείζονα λελέχθαι τὸν πατέρα παρὰ τοῦ υἱοῦ, εἴ τις ἐκδέχοιτο, οὐκ ἂν ἀπενεχθείη τοῦ πρέποντος. Οὐδὲν δὲ ἴσως κωλύει καὶ ῥῆμα τοῦτο ὑπολαβεῖν συγκαταβάσεως διὰ τὴν τῶν ἀκροατῶν ἀσθένειαν ἐσχηματισμένον πρὸς τὸ ταπεινότερον· ἐστὶ γὰρ πολλὴ καὶ τῶν τοιούτων λόγων ἡ οἰκονομία ἐπὶ κέρδει καὶ σωτηρίᾳ τῶν τὰ τελειότερα μήπω φέρειν δυναμένων· ὥσπερ καὶ τὸ, ἐρωτήσω τὸν

πατέρα

πατέρα καὶ ἄλλον παράκλητον πέμψει· καὶ εὐχαριστῶ σοι, ὅτι πάντοτέ μου ἀκούεις, καὶ μυρία ἄλλα· πόθεν οὖν δῆλον, ὅτι ταῦτα πρὸς τὴν ἀσθενοῦσαν ἀκοὴν ἐσχημάτισται; αὐτὸς ὁ σωτὴρ, ἡ πηγὴ τῆς σοφίας, καὶ συνέσεως ἄβυσσος, ἑαυτὸν ἑρμηνεύων ἐδίδαξεν εἰπών· ἐγὼ δὲ ἤδειν ὅτι πάντοτέ μου ἀκούεις, ἀλλὰ διὰ τὸν ὄχλον τὸν περιεστῶτα εἶπον, ἵνα πιστεύσωσιν ὅτι σύ με ἀπέστειλας. Ἀλλὰ γὰρ κατ' ἐπιστολὴν ἀποχρώντως, οἶμαι, σοι ἔχειν τοῦ ζητηθέντος τὴν μάθησιν.

Ἐπιστ. ροζʹ.

Τῷ αὐτῷ.

ΟΥ μάχεται κατὰ διάνοιαν τὸ, ἐν τῇ οἰκίᾳ τοῦ πατρός μου μοναὶ πολλαί εἰσιν· Εἰ δὲ μὴ, εἶπον ἂν ὑμῖν· πορεύομαι ἑτοιμάσαι τόπον ὑμῖν· καὶ τὸ ἐφεξῆς εἰρημένον· ἐὰν πορευθῶ, ἑτοιμάσω ὑμῖν τόπον. τῇ μὲν γὰρ προνοίᾳ καὶ προγνώσει, ἢ εἰ βούλει, τῇ οὐσιώσει καὶ τῇ ὑπάρξει, πάντως ἅπασιν ὅσοι τῆς οὐρανίου δόξης ἀξίως ἐπολιτεύσαντο, τῷ θεῷ τῶν ὅλων οἱ τόποι προητοιμάσθησαν. Ἐγκαινίζει δὲ αὐτοὺς, καὶ μονὰς δείκνυσ, ὡς ἀληθῶς εἴπερ κυρίως μονὰς, αἷς οἱ μένοντες ἐναυλίζονται· οὐδεὶς οὐδαμοῦ, μέχρι τοῦ σωτηρίου σταυροῦ, καὶ τῆς εἰς ᾅδου καθόδου, καὶ τῆς εἰς οὐρανοὺς ἀνόδου τοῦ δεσπότου, ἐπιδέδεικται· αὐτὸς δὲ μετὰ τοῦ προσλήμματος εἰς οὐρανοὺς ἀναβὰς, καὶ πρόσφατον ἡμῖν ὁδὸν, καὶ ζῶσαν, κατὰ τὸν μακάριον Παῦλον, ἐγκαινισάμενος, ἑτοιμοτέρας τῷ ὄντι, καὶ μονονουχὶ βλεπομένας τοῖς ἀξίοις τὰς ἐκεῖσε μονὰς ἀπειργάσατο. Ὥστε καὶ παρὰ τῷ πατρὶ αἱ μοναὶ, καὶ ὁ υἱὸς ταύτας πορευθεὶς ἡτοιμάσατο.

patrem & alium Paraclitum dabit vobis, & *Gratias tibi Pater ago, quòd semper me & ubique audias:* & similia plura. Sed unde constabit, quòd ad auditorum imbecillitatem ista confirmantur? Certè quidem servator, fons jugi sapientiæ, & intelligentię abyssus, ipsum se explanans, id per ista docet: *Ego autem scio, quòd me semper audis, sed propter turbam circumstantem dixi, Ut credant quia misisti me.* Atque ità sufficienter habes, ut per epistolam, quæstionis à te positæ solutionem.

Epist. 177.

Eidem.

QUoad sensum, non repugnat illud effatum, *in domo Patris mei multa & multiplices sunt mansiones: Sin minùs, edixissem* utique *vobis, vado autem ut locum vobis apparem*, cum illo quod dictum sequitur, *Si proficiscar apparabo vobis locum,* siquidem per providentiam & præcognitionem, aut si magis placet, per & quoad substantificationem & existentiam omnibus omnino, qui dignum cœlesti gloria vitæ suæ cursum instituerunt, à Deo loci sunt præparati. Consecrat autem & mansiones reverâ statuit, si modo mansiones propriè sunt, in quibus recumbunt, qui manent ibi: nullus enim omnino usque ad Christum in cruce passum, & descensum in infernum, ac in cœlos reditum ibidem susceptus requiescebat: sed postquam in carne assumebatur, ascendens in cœlos, quò *viam nobis novam, & vivam,* juxta quod habet beatus Paulus, consecrarat, apparatiores deinceps, & tantùm non sub oculis expositas illorum qui digni erant, reverà perfecit mansiones. Itaque apud Patrem mansiones illæ erant, & Filius eas perfectas eò profectus apparavit.

NOTÆ.

LOcus Evangelistæ extat Joan. 14. 2. dubium puerile: an quia dixit πολλαὶ μοναὶ sunt, non contrarietur illud vado parare. Quid enim opus est apparare, quæ jam sunt? Quasi apparatura non esset opus in iis, quæ jam existunt: cùm nisi in præexistentibus apparatum impendere non possimus. Rectè autem, & secundum communem Patrum sententiam exponit, mansiones illas nulli potuisse ante Servatoris ascensum. Cœlum enim summum & gloriosum omnibus erat ἄβατον durante & stante primo tabernaculo. Christus autem, ὁδὸν πρόσφατον ἐγκαινίσας μετὰ τοῦ προσλήμματος, hoc est, cum assumpto corpore: loci defectum è conjectura supplevi ut in margine.

Epiſt. 178.

Amphilochio, Cyziæ Metropolitę

QUod volebas ſciſcitando diſcere, potes illud, in quantum patitur diſciplina epiſtolaris, auribus accipere: Quandoquidem Petrus univerſalem totius mundi curam erat ſuſcepturus commiſſi ipſius fidelitati, idcirco permittebatur lapſu circumagi; quo ſuo commonefactus ipſius exemplo humanum ſe & facilem erga lapſos ſed pœnitentes ferret. Si enim talem in lapſu illo gravi veniam conſecutus eſt & indulgentiam, non debuit tam inexorabili, & præproperâ ſententiâ vitam Ananiæ quaſi falce demetere: Et quis totus mundus ejus zelum contineret? ſi amorem erga Dominum & affectum illibatum, nec intercisum retinuiſſet: Quamobrem, communis omnium, qui eſt & Dominus & Servator permittit illum ſolum cadere, ut ſic per illum pluribus compaſſionis fontes & miſericordiæ emittens doceret, tanquam de immenſo Oceano inexhauſtam haurirent bonitatem: deinde, ut diſcipulus ille, qui vires humanas operibus ſuis tranſcenderet, in divinam de ſupernis potiùs gratiam reſpiceret, quàm ut gratiam collatam ſibi ideo reputaret, quòd vitâ eſſet inculpabilis. Patratio enim miraculorum ad tumorem ociùs & elationem inducit, ſi non per conſcientiæ dejectionem ad moderationem deducatur. Quocirca dicebat Salvator, *Nolite ob id gaudere, quòd vobis Dæmonia ſubjiciantur, ſed quoniam nomina veſtra ſcripta ſint in cœlis. Multi mihi dicturi ſunt in illa die, Nonne in tuo nomine virtutes multas operati ſumus? ad quos dicturus ſum, apagite, non novi vos.* Atque hanc ob cauſam permiſſum fuit, ut Paulus cum quibuſdam tentationibus colluctaretur, *Ne*, quod affirmat ipſe, *nimis elatus ferretur, propter multitudinem revelationum:* Quare, Paſſio ejus pro Pædagogo contraxit & abſcidit exultus omnes, à quibus natura hominis inflata effertur. Accedat huc, ut deinceps terribiles illas minas, mille mortes, acres perſecutiones, Coryphæus ille inconcuſſo, & immoto ferens animo, ad mirandum magiſtri auxilium, carnifices ipſos induceret, cùm vi-

Ἐπισ. ροή.

Ἀμφιλοχίῳ μητροπολίτῃ Κυζίκου.

Ὅπερ μαθεῖν ἐπηρώτησας, ἔξεστί σοι, κατά γε διδασκαλίαν ἐπιστολῆς, ἐνωτίζεσθαι· ἐπειδήπερ ἔμελλεν ὁ Πέτρος τῆς οἰκουμένης τὴν προστασίαν καταπιστεύεσθαι, συγχωρεῖται περιενεχθῆναι τῷ πτώματι· ἵνα τῷ καθ' ἑαυτὸν ὑποδείγματι φιλάνθρωπος εἴη καὶ ἐπιεικὴς τοῖς μετανοοῦσιν ἐφ' οἷς ἥμαρτον. Εἰ γὰρ καὶ τοσαύτης ἀπολαύσας συγγνώμης, ἐπὶ τηλικούτῳ πταίσματι, ὅμως τοὺς περὶ Ἀνανίαν ἀδυσωπήτῳ καὶ ὀξείᾳ δίκῃ τοῦ βίου ἐθέρισε· τίς ἂν αὐτοῦ κόσμος τὸν ζῆλον ἐχώρησεν, εἰ τοῦ δεσποτικοῦ πόθου τὸ φίλτρον ἀλώβητον ὅλως διὰ βίου καὶ καθαρὸν διεσώσατο; οὐκοῦν ὁ κοινὸς σωτὴρ καὶ θεὸς, ἀφίησι τὸν ἕνα πεσεῖν, ἵνα πολλοῖς δι' αὐτοῦ τὰς τῆς συμπαθείας πηγὰς, καὶ τοῦ ἐλέους ἀναβλύζων, ἀπαρύεσθαι τῆς φιλανθρωπίας τὸ πέλαγος ἐπιδείξῃ ἀνεξάντλητον· ἔτι δὲ, καὶ ἵνα ὁ μαθητὴς τὰ ὑπὲρ ἄνθρωπον τελεσιουργῶν, εἰς τὴν ἄνωθεν ἔχοι χάριν ἀναφέρειν μᾶλλον, ἢ τῷ ἀνευθύνῳ τοῦ οἰκείου βίου ἐπιγράφειν τῶν κατορθωμάτων τὸ αἴτιον. Ὀξὺ γὰρ θαυματουργία εἰς ὄγκον καὶ φύσημα, τῷ τοῦ συνειδότος ταπεινῷ μὴ καθελκομένη πρὸς τὸ μέτριον. Διὸ καὶ ὁ σωτὴρ φησὶ, μὴ χαίρετε ὅτι τὰ δαιμόνια ὑποτάσσεται ὑμῖν, ἀλλ' ὅτι τὰ ὀνόματα ὑμῶν ἐγράφη ἐν τοῖς οὐρανοῖς. Καὶ, πολλοὶ ἐροῦσί μοι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, οὐ τῷ σῷ ὀνόματι δυνάμεις πολλὰς ἐποιήσαμεν; καὶ ἐρῶ αὐτοῖς, οὐκ οἶδα ὑμᾶς. Διὰ τοῦτο καὶ Παῦλος πειρασμοῖς τισι παλαίειν ἀφίεται, ἵνα μὴ, ὡς αὐτὸς φησὶν, ὑπεραίρηται καὶ τῶν ἀποκαλύψεων ἡ ὑπερβολὴ, τὰ πάθη παιδαγωγὸν ἐπιφέρουσα, περιστέλλοιτό τε καὶ διακόπτοιτο τὰ σκιρτήματα, οἷς ἡ ἀνθρωπίνη φύσις ἐκφέρεται πρὸς φυσίωσιν. Εἰ βούλει δὲ, καὶ ἵνα μετὰ ταῦτα τὰς φοβερὰς ἐκείνας ἀπειλὰς, καὶ τοὺς πικροὺς διωγμοὺς, καὶ τὰς μυρίας σφαγὰς ἐν ἀκλονήτῳ φέρων ὁ κορυφαῖος καὶ ἀσαλεύτῳ τῷ φρονήματι, εἰς θαῦμα τῆς δεσποτικῆς συμμαχίας προσκαλεῖται τοὺς κολάζοντας κα-

θορῶντας, τὸν ὑπὸ φωνῆς παιδίσκης καταπέσοντα, οὕτως ἀκίνητον πρὸς τοσαῦτα πάθη καθιστάμενον· μεθέλκοι τε καὶ διὰ τούτου πρὸς τὸ μέγα τῆς εὐσεβείας μυστήριον ἰουδαϊκῆς

* ἴσ. σκληρότητος.

* ταπεινότητος. Καὶ τέταρτον, ἐμοίγε δοκεῖ λαμπρὸν καὶ μέγα ψυχαγωγίας παράδειγμα· τί τοῦ κορυφαίου λαμπρότερον ταῖς ἔπειτα γενεαῖς; ἐπειδὰν ἄν τις ἐξασθενήσας ἀλλά, πρὸς τὰ τέλεια ἀναστηλῶσαι βουλόμενος. Εἰ γὰρ τῶν μαθητῶν ὁ κορυφαῖος μετὰ τηλικαύτας δυνάμεις, ὧν τὰς μὲν ἴδεν, τὰς δὲ καὶ ἐτέλεσε· μετὰ τοσαύτην διδασκαλίαν· μεθ' οὕτω πολλὴν καὶ ποικίλην τοῦ διδασκάλου πεῖραν, τρὶς ἀρνησάμενος, διὰ μετανοίας ὅμως καὶ θερμῶν δακρύων, οὐ τὸ ἁμάρτημα μόνον ἐκάθηρεν, ἀλλὰ πρὸς τὸ αὐτὸ τῆς ἀποστολῆς ἀξίωμα ἐπανέστρεψεν· οὐ δεῖ ῥαθυμεῖν ἐμὲ καὶ καταπίπτειν, ἐξ ἀσθενείας ὀλισθαίνοντα· ἀλλὰ θᾶττον ἀνίστασθαι πρὸς μετάνοιαν, καὶ τὸν πλοῦτον τῆς δεσποτικῆς

* ἴσ. ἐμαυτόν.

χρηστότητος ἐννοοῦντα, ὅλον * ἑαυτὸν ἐν συντρίμματι καρδίας ἀνατιθέναι τῷ τὰς νόσους ἡμῶν καὶ τὰς ἀσθενείας βαστάσαντι. Διὰ ταῦτα οὖν οἶμαι καὶ τὰ τοιαῦτα, Πέτρος ἀλῶναι συνεχωρήθη τῷ ἁμαρτήματι· ἀλλ' οὐχ ὅτι προανεῖπεν τὴν ἄρνησιν ὁ διδάσκαλος, ἀνάγκῃ τινὶ τῆς προγνώσεως ἐξεβιάσθη πρὸς τὸ ἀθέλητον· ἐπεὶ οὕτω γε φθάνοις ἂν τῶν φαύλων πράξεων ἁπασῶν τὴν αἰτίαν, εἰς τὴν τῶν ἀγαθῶν πηγὴν ἀναφέρων· προεῖπε γὰρ καὶ Ἰούδα τὴν προδοσίαν· Ἰουδαίων τὴν μιαιφονίαν· ναὶ δὴ κἂν μὴ προεῖπεν, ἀλλά γε προῄδει πάντως, ὅτιπερ τῆς δοθείσης ἐντολῆς ὁ πρῶτος ἄνθρωπος, ἀντὶ τῆς φυλακῆς προέλοιτ' ἂν τὴν ὑπεροψίαν· καὶ τοῦ Κάϊν τὴν ἀδελφοκτονίαν· Φαραὼ τὴν σκληροκαρδίαν, καὶ Σαοὺλ τὴν παρανομίαν· καὶ τί καθ' ἕκαστον λέγω, οὐχ ὅτι καὶ κατὰ πόλεις ὅλας, καὶ ἔθνη ὁλόκληρα, αἱ πράξεις αὐτῶν τῇ προγνώσει προέχονται· Σοδόμων καὶ Γομόρρας αἱ ἀρρητουργίαι Ἑλλήνων, Αἰγυπτίων, μικροῦ συμπάντων βαρβάρων ἐν πολλοῖς χρόνοις αἱ εἰδωλομανίαι· ἀλλά τι ταῦτα; αὐτοῦ τοῦ σπορέως τῶν κακῶν καὶ ἀρχιτέκτονος, καὶ ὅσαι αὐτῷ δυνάμεις τῆς ἄνω συναπερράγησαν λήξεως·

derent eum, qui ad vocem ancillæ dejectus fuerat, adeò immotum contra tot pressuras consistere: exindéque ad magnum pietatis mysterium in Judæos pervicaces impelleret. Est & quartum quid, quod mihi videtur illustre, & pro ingenti consolatione exemplum: quid enim præstantius Coryphæo apud succedentes generationes? cum autem quis infirmitate laboret ad perfectam sanitatem reverti volens est. Si princeps ille discipulorum, post tot virtutes, quas partim vidit, patravit partim, post talem disciplinam, tantam tam multiplicem de magistro experientiam, ter illo abnegato, per pœnitentiam tamen & lachrymas, non modò purgavit peccatum, sed ad eundem evectus est Apostolatus apicem: profectò me ignavum esse & abjectum non decet, qui lapsus sum ab infirmitate, sed cùm ociùs resurgere per pœnitentiam & recolentem divitias bonitatis Divinæ, totum me cum cordis contritione illi dare qui *morbos & infirmitates nostras portavit.* Propter istas opinor, & consimiles causas permissum fuit Petro à peccato apprehendi: non quòd prædixerit magister abnegationem, ad actum involuntarium per necessitatem præscientiæ impellebatur: Ità enim præveniendo referes malorum omnium acceptam causam in fontem bonorum omnium Deum: prædixit & Judæ traditionem, & Judæorum animos sanguinarios: Quin si non prædixerat, at prævidit tamen; quòd primus homo pro observatione mandati à Deo dati, illius eligeret negligentiam, præscivit Cainis fratricidium, Pharaonis obdurationem, Saulis transgressionem: Et quid singula persequar? per totas civitates, gentes integras, quicquid agitur, cadit sub præscientia: Sodomitarum, & Gomorrhæorum infanda flagitia, Græcorum Ægyptiorum, omnium ferè barbararum nationum per multa secula Idolomaniæ: sed unde hæc proficiscebantur? nimirum, ab illo seminatore malorum, & architecto: à potestatibus illis, qui à sedibus cœlestibus exciderunt:

runt: Ignorabátne insolentiam damnosam, & supremam malitiam hominum? Si nihil talium sapientia bonorum operatrix ignorabat, num ideò hominum spontaneo motu peccantium, & bona pro malis eligentium reatum abolentes, in eum qui præscivit ea, tantùm quòd præscivit, culpam omnem conjiciemus? Ast ubinam huic sententię locus? Siquidem intuear ego aliquem in præcipitium apertè delatum, & ex eo mortuum intuear: Si alium evaginato gladio in proximum aliquem furentem videam, occisum videbo, sed non ut actor pœnas dabo: Quòd si hoc ridiculum sit, & amentiæ plenum, quomodo non audax furor censebitur, cùm culpari debeant, qui id patrarunt, mali alicujus causâ ad divinam attrahere præscientiam? sin præscientia vacet culpâ, an prædictio reatu teneri poterit? Non ideò fit aliquid quòd præscitur & prævidetur, sed quia spontaneo motu facturi fuerant, quæ facere non deberent homines; ea minimè latere possunt omnia permeantem & retegentem Dei oculum. Quocirca & beatus Petrus, non quia prædixit Dominus, abnegavit eum, sed quoniam exorbitare per abnegationem volebat, ideò magister ejus id præscivit & prædixit palam.

ἆρ' ἠγνόει τὴν ἀλαζονείαν καὶ τὴν ἐπιβλαβῆ, τῶν ἀνθρώπων ἀνυπέρβλητον αὐτῶν μοχθηρίαν; τί οὖν, ἐπεὶ μηδὲν μηδὲ τῶν τοιούτων ἡ ἀγαθουργὸς ἠγνόει σοφία, ἆρα διὰ τοῦτο, τῶν ἐθελοκάκῳ γνώμῃ τὰ χείρω τῶν κρειττόνων ἀλλαξαμένων ἀφελόντες τὸ ὑπεύθυνον, τοῦ προεγνωκότος καταγνωσόμεθα; καὶ ποῦ τοῦτο χώραν ἔχει; εἰ γὰρ ἐγώ τινα φερόμενον ἐπὶ κρημνὸν ἰδὼν, ἔπειτα τὸν ὄλεθρον διαγνοίην· ἢ ξίφος ἐσπασμένον κατὰ τοῦ πλησίον, οὐκ ἀγνοήσω τὸν φόνον· ἆρ' ἀντὶ τοῦ δεδρακότος ἐγὼ τὴν δίκην ὑπέχειν δίκαιός εἰμι· εἰ δὲ γέλως τοῦτο καὶ παράνοια, πῶς οὐ μανία καὶ τόλμα ἀντὶ τοῦ δίκας ἀπαιτεῖν, τοὺς αἰτίους τῶν φαύλων πράξεων, τὴν δυσφημίαν μεθέλκειν κατὰ τῆς θείας προγνώσεως; Εἰ δὲ ἡ πρόγνωσις τῶν ὑπαιτίων ἀνεύθυνος, ἆρα πρόρρησις ἔνοχος; οὐ γὰρ διότι προέγνωσται ἢ προείρηται, διὰ τοῦτο διαπέπρακται, ἀλλ' ἐπεὶ αὐθαιρέτῳ κρίσει πράξειν ἔμελλον ἃ μὴ ὤφειλον, τὸ ἀλάθητον καὶ πανεπίσκοπον ὄμμα τοῦ θεοῦ *λαβεῖν οὐκ ἔχον τὸ δρᾶμα. Διὰ τοῦτο τοιγαροῦν καὶ ὁ μακάριος Πέτρος, οὐχ ὅτι προεῖπεν ὁ δεσπότης, ἠρνήσατο, ἀλλ' ὅτι προσολισθαίνειν τῇ ἀρνήσει ἔμελλε, καὶ προεγνώστευται τῷ διδασκάλῳ καὶ προανακηρύττεται.

* ἴσ. λαθεῖν.

Epist. 179.

Zachariæ Metropol. Chalcedonis

MIsi tibi amaram potionem, præparatione confectionéque novam, stomacho inservientem roborando; ab eadem arte quâ prius profectam, sed tempore antiquiorem. Horum medicamentorum prius manè recipies cum tertia parte ejus quod unà mittitur, sumatur in aqua tepida aut melicrato, prout alterutrum magìs ferre possis: & post amari illius medicamenti potionem, sumas alterum licet per mensem integram continuatam, usq; ad nucis Ponticæ quantitatem, ternis porrò bolis distributum sumito. Illam ante solis exortum, alteram ad occasum solis post cœnam, stomachi cacexiam ità in melius reformabis, & aurium dolorem sedabis. Non possum tibi pro-

Ἐπιστ. ροθ'.

Ζαχαρίᾳ μητροπολίτῃ Χαλκηδόνος.

ΕΠεμψά σοι πικρὰν, τῇ τε κατασκευῇ, καὶ τῇ ἐπινοίᾳ νέαν· καὶ βοήθημα στομαχικὸν, τέχνης μὲν τῆς αὐτῆς, ἡλικίας δὲ πρεσβυτέρας. τούτων τὴν μὲν, ὑπὲρ ἡμέραν ὄρθρου προσφερόμενος κατὰ τριτημόριον τοῦ σταλέντος, ὕδατι χλιαρῷ, ἢ καὶ μελικράτῳ, ὡς ἂν ᾖ σοι ἀλυπότερον· τὸ δὲ, μετὰ τὴν τῆς πικρᾶς πόσιν, καθ' ὅλον ἡμερῶν μῆνα, ποντικοῦ καρύου κατὰ μέγεθος, ἐς τρία τῷ πλήθει λαμβάνων· τὰ μὲν, ἡλιακῶν αὐγῶν πρωϊαίτερον· τὸ δὲ λοιπὸν, δυομένου καὶ ἐπιδείπνιον· τήν τε στομαχικὴν καχεξίαν ἐπὶ τὸ ἄμεινον ἕξεις μεθισταμένην σοι, καὶ τὴν τοῦ ὠτὸς περιωδυνίαν· οὐκ ἂν δὲ φαίην εἰς ἀπαλλαγὴν παντελῆ

βεβ-

βραχεῖά τι γὰρ θεραπεία χρονιωτέρων ἡττᾶται νοσημάτων, καὶ ὥσπερ πανταχοῦ, οὕτω μάλιστα ταῖς ἰατρικαῖς ὑποσχέσεσι νεμεσητὸν τὸ ὑπέρογκον. Ἀλλ' οὖν τῆς ἄνω ῥοπῆς, εἰς εὐμένειαν ὁρώσης, εἰς πολὺ ῥᾴονα συγκαθισταμένην σοι διάθεσιν.

Ἐπιστ. ρπ'.

Κωνσταντίνῳ Σπαθαρίῳ.

Joh. 5. 31. Σύντομόν σοι τῆς ἀπορίας τὴν λύσιν
ἐρῶ· τὸ μὲν ἐὰν ἐγὼ μαρτυρῶ περὶ ἐ-
μαυτοῦ, ἡ μαρτυρία μου οὐκ ἔστιν ἀλη-
θής· ἀνάγνωσον κατ' ἐρώτησιν, δι' ἧς, περὶ
ἁπάντων, ὁ σωτὴρ τὴν τῶν Ἰουδαίων ὑπό-
Joh. 8. 14. ληψιν ἐλέγχει καὶ διακρούεται· τὸ δὲ, κἂν
ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἡ μαρτυρία μου
ἀληθής ἐστι· τὴν ἰδίαν τιθέντα ψῆφον, καὶ ἀπο-
φαινόμενον εἰπεῖν τὸν δεσπότην νόμιζε, καὶ
παρείσδυσιν οὐχ ἕξει τῆς ἀπορίας ἡ πρό-
φασις· ἢ εἰ βούλει, (οὐκ ἄπορον γὰρ εἰς ἐπι-
λύσεις τῆς ἀληθείας ἡ δύναμις) ἐπειδὴ διπλοῦς
ἦν ὁ κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς ἐκ θεό-
τητος καὶ ἀνθρωπότητος, τὸ μὲν, ἐὰν ἐγὼ μαρ-
τυρῶ περὶ ἐμαυτοῦ, ἡ μαρτυρία μου οὐκ ἔστιν
ἀληθής· νόμῳ φύσεως τῆς ἀνθρωπίνης, ὥσπερ
* ἴσ. εἰρῆσθαι. καὶ πολλὰ ἕτερα, * διαληψόμεθα· οὐδεὶς γὰρ
ἀνθρώπων εἰς τὴν αὐτὸς αὐτοῦ μαρτυρίαν
ἀξιόπιστος· τὸ δὲ, ἐὰν ἐγὼ μαρτυρῶ περὶ ἐ-
μαυτοῦ, ἡ μαρτυρία μου ἀληθής ἐστιν, ἀξιώ-
ματι καὶ ἐξουσίᾳ τῆς θεότητος· ἀπροσδεὴς γὰρ
ἡ πασῶν ἀνωτάτω φύσις, καὶ πάντων δεσπότης,
τῆς ἑτέρωθεν μαρτυρίας καὶ βεβαιώσεως, οὐκ
οἴκοθεν μόνον περιβαλλομένη τὸ αὐτόπιστον,
ἀλλὰ γὰρ καὶ τοῖς ἄλλοις ἅπασιν, οἷς τὸ πιστὸν
περιγίνεται, ὥσπερ πηγὴ οὐσιώσεως καὶ ὑπάρ-
ξεως, οὕτω δὲ καὶ ἀξιοπιστίας ὑπάρχουσα.
Ἀλλὰ ταῦτα μὲν, ὡς κατ' ἐπιτομὴν ἱκανῶς
ἔχειν οἶμαι. Εἰσὶ δὲ καὶ τῶν εἰρημένων εἰς
πλάτος μᾶλλον ἀποτεινόμεναι τῶν προκει-
μένων λύσεις οὐκ ὀλίγαι· αἷς ὅτι ταῖς πατρι-
καῖς ὁμιλοῦντι βίβλοις ῥᾷον ἐστὶν ἐντυ-
Joh. 8. 54. χεῖν, καὶ οὐδεμίαν ἀνάγκην ὁρῶ τοῖς ἑτέρων
φροντίσιν ἐμαυτῷ συναπαρτίζειν τὸ ῥᾷ-
στον· ἑκὼν νῦν ἀφίημι. Εἰδέναι μέντοι χρὴ, ὅτι καὶ τὸ, ἐὰν ἐγὼ δοξάζω ἐμαυτὸν,

mittere totalem sanationem: nam morbi inveterati vix ad tempus breve sanantur. Atque ut alibi, ità imprimis in promissionibus medicamentalibus id quod turgescit reprobandum: sed Divino facilè adspirante auxilio mitigatum magìs statum consequeris & habitudinem.

Epist. 180.

Constantino Spathario.

Expeditam quæstionis tuæ solutionem dabo. *Si ego testimonium mihi de me perhibeo, testimonium meum verum non est:* Lege per interrogationem: per istud Servator Judæorum suspicionem redarguit & refellit. Est autem, *Etiamsi de meipso testimonium fero, testimonium meum verum est.* Cogita Dominum hoc in loco propriam suam sententiam ponere ac pronunciare: & prætextus ille dubitationis accessum non admittit: aut si tu mavis (difficulter enim suppetit facultas ad omnium dubitationum solutiones) dupliciter constitutus erat Dominus noster Jesus Christus, è Deitate nimirum, & humanitate. Illud dictum, *Si testimonium ego perhibeo,* &c. secundùm leges humanæ naturæ intelligendum, quomodo & multa insuper alia suscipiemus. Nemo enim hominum de seipso ferens testimonium testis fide dignus est: at *si ego testimonium de me perhibeo,* &c. secundùm dignitatem & potentiam Deitatis. Nullius enim indiget suprema omnium Natura & Dominus vel testimonii vel confirmationis aliunde; utpote quę ab intus & è domo fidem sibi adhibendam procurat; sed ulteriùs aliis omnibus quibus fides adhibetur, tanquam fons existendæ & subsistendæ fidei est ac origo. Et hęc sufficere tanquam per epitomen sublecta crediderim. Sunt præterea non paucę solutiones antedictorum, quæ magìs dilatantur, in quas facilè tu, qui Patrum lectioni assuefis, incidere possis; nec ullam perspicio necessitatem, cur ego ab aliorum inventis astruam mihimet facilitatem, libens ergò omittam. Sciendum porrò tamen est, quòd effatum illud, *Si glorifico meip-*

sum

sum, gloria mea nihil est: vel per interrogationem legendum, aut secundùm leges quæ congruunt humanæ naturæ intelligendum. Atque ità non erit, cur ab ullis quæstionibus circumagamur.

ἡ δόξα μου οὐδέν ἐστιν· ἢ διὰ τῆς κατ' ἐρώτησιν ἀναγνώσεως, ἢ κατὰ τοὺς προσήκοντας νόμους τῇ ἀνθρωπίνῃ φύσει, τὸ ῥητὸν εἰρῆσθαι ἐξακούοντες εἰς οὐδεμίαν ἂν συζήτησιν περιενεχθείημεν.

NOTÆ.

Quæsitum fuit annon dictum Servatoris, Joan. 5. 31. contrarietur dicto ejusdem, Joan. 8. 14. *Testimonium meum est verum, & non est verum.* Huic variè respondet Photius: illud imprimis ἐπιδιπλοῦς ἦν ὁ κύριος, hoc est, ut ait Cyrillus Hierosolymi: πάντα διπλᾶ περὶ τοῦ κυρίου, ratione Deitatis & Humanitatis.

Epist. 181.

Eulampio Episcopo & Sceuophylaci.

IN Domino illo pronunciato, *Quò ego vado intelligitis, & viam nostis*; nulla inconsequentia reperitur, vel contrarietas in discipuli subloquio, *Domine, non novimus quò vadis, & quomodo viam cognoscere poterimus?* Non enim id simpliciter, non indefinitè dicitur, nec sine præcedente quodam argumento: Habet enim quid præcedens cui subnectitur, nimirum illud, *Rursus reveniam, & assumam vos ad me.* Hoc ubi dixerat, annectit per ἵνα, tanquam caussam assumptionis tripliciter distributam: Primò, ut discipuli, ubi magister, consistant, ut cognoscant quò vadit; & ut intelligant viam: Ait enim, *Rursus veniam, & assumam vos ad me:* Cur ità? nimirum, *ut ubi ego sum, & vos sitis: & quò vadam scitis, & viam scitis.* Ἵνα, ut frequenter fit, tribus illis causis communicato. Igitur, viam scire, & quò vadit, ait, haud dum iis cognitum: ut nec quòd in cœlis cum eo versabuntur: sed hæc seposita esse ipsis præmia ad tempus reversionis. Tria sunt igitur quæ discipulis suis pollicetur in reditu: Thomas magnitudinem promissorum admiratus, & excellentiam, utpote qui nè minima planè comprehendere poterat, probabiliter addubitat quomodo majoribus perfruentur. Nam omnino minus est simpliciter scire ubi aliquid est, quàm viam eò tendentem tenere: & hoc etiam minus quàm illud in quæ-

Ἐπιστ. ρπα'.

Εὐλαμπίῳ Ἀρχιεπισκόπῳ καὶ Σκευοφύλακι.

ΤΗι δεσποτικῇ φωνῇ τῇ λεγούσῃ, Ὅπου ὑπάγω ἐγὼ οἴδατε, καὶ τὴν ὁδὸν οἴδατε· οὐκ ἀνακόλουθος οὐδὲ τἀναντία φθέγγεσθαι ἡ τοῦ μαθητοῦ ὑποφώνησις· Κύριε, οὐκ οἴδαμεν ποῦ ὑπάγεις· καὶ πῶς δυνάμεθα τὴν ὁδὸν γνῶναι; Οὐ γὰρ ἁπλῶς, οὐδ' ἀπολύτως τοῦτο, οὐδὲ χωρίς τινος προηγουμένης ὑποθέσεως, εἴρηται· ἀλλ' ἔχει προηγούμενον, ᾧ καὶ συνάπτεται, τό, Πάλιν ἔρχομαι καὶ παραλήψομαι ὑμᾶς· τοῦτο γὰρ εἰπών, ἐπισυνάπτει διὰ τοῦ, Ἵνα, καὶ τὴν αἰτίαν τῆς παραλήψεως εἰς τρία ταῦτα διελὼν αὐτήν· Εἴς τε τὸ εἶναι τοὺς μαθητάς, ἔνθα καὶ ὁ διδάσκαλος· καὶ εἰς τὸ εἰδέναι ὅπου ὑπάγει· καὶ εἰς τὸ τὴν ὁδὸν εἰδέναι. Φησὶ γάρ, πάλιν ἔρχομαι καὶ παραλήψομαι ὑμᾶς πρὸς ἐμαυτόν. διὰ τί; ἵνα ὅπου εἰμὶ ἐγώ, καὶ ὑμεῖς ἦτε· καὶ ἵνα ὅπου ὑπάγω οἴδατε, καὶ ἵνα τὴν ὁδὸν οἴδατε· τοῦ Ἵνα, δηλονότι ταῖς τρισὶν αἰτίαις, ὡς πολλάκις εἴωθε, κοινοποιουμένου. Οὐκοῦν τὸ, εἰδέναι τὴν ὁδὸν καὶ τὸ ὅπου ὑπάγει, οὔπω ἔλεγεν αὐτοῖς παρεῖναι· ὥσπερ οὐδὲ τό, εἰς οὐρανοὺς αὐτῷ συνεῖναι· ἀλλ' εἰς τὸν τοῦ ἐπανέρχεσθαι καιρόν, καὶ παραλαμβάνειν αὐτούς, τεταμιεῦσθαι αὐτοῖς ταῦτα. Τριῶν οὖν τοῖς μαθηταῖς, κατὰ τὴν ἐπάνοδον, ὑπισχνουμένων ἀποθαυμάζων ὁ Θωμᾶς τὸ μέγεθος τῶν ἐπηγγελμένων, ἅτε δὴ μηδὲ τοῦ ἐλάττονος πω ἐν καταλήψει γεγονώς, εἰκότως διαμφισβητεῖ πῶς ἐν μεθέξει γένοιντο τῶν μειζόνων· ἔλαττον γὰρ τὸ εἰδέναι ἁπλῶς ποῦ τόδε ἐστίν, ἤπερ τὴν ἀπάγουσαν ὁδὸν εἰδέναι· καὶ τοῦτο πάλιν, τοῦ ἐν αὐτῷ ἤδη τῷ ζητουμένῳ

τόπῳ διατρίβειν. Ἀκόλουθος οὖν ἡ τοῦ μαθητοῦ ἀμφισβήτησις, καὶ οὐδὲν τῇ διδασκαλικῇ φωνῇ μάχεται. Οὐ γὰρ ἐκεῖνος τὴν ὁδὸν αὐτοὺς ἤδη ἔφησεν εἰδέναι, ἢ ὅπου ὑπάγει, ἢ τὸ ἐν οὐρανοῖς αὐτῷ συνεῖναι· ἀλλ' ἔσεσθαι αὐτοῖς ταῦτα, ἐπειδὰν αὐτοῦ μὲν ἡ ἐπάνοδος, ἐκείνων δὲ διαχαραχθείη ἡ πρόσληψις. Ἐπάνοδος δ' ἂν εἴη τοῦ δεσπότου, ἡ μετὰ τὸν σταυρὸν καὶ τὴν ἀνάστασιν τελεσθεῖσα τοῖς μαθηταῖς ἐπιφάνεια· καθ' ἣν θεὸν αὐτὸν ἀληθῶς ἀπεγνωκότες, τήν τε ὁδὸν, καὶ οὗ πορεύεται, ἔμαθον, καὶ ὅτι συνέσονται αὐτῷ ἐν ἀδιηγήτοις ἀγαθοῖς, οὐκέτι δισταγμὸν εἶχον, ἀλλ' ὡς συνόντες ἤδη ταῖς ἐλπίσιν ἔχαιρον. Ἢ οὖν τοῦτο δηλοῖ τὸ, πάλιν ἔρχομαι, καὶ ἑξῆς· ἢ κατὰ τὴν δευτέραν αὐτοῦ καὶ φρικτὴν παρουσίαν ἐπάνοδον· ὅτε καὶ τὴν ὁδὸν, καὶ τὸν μακάριον ἐκεῖνον χῶρον, καὶ τὴν ἐν αὐτῷ τὴν ἀπόλαυσιν, διὰ τῆς πείρας αὐτῆς ἀϊδίως εἴσονται.

ſito loco acquieſcere. Conſequenter eapropter diſcipulus dubitat, nec conſiſtit ad oppoſitum vox informantis. Non enim affirmat viam illos adhuc tenere, vel quò vadit; vel converſationem cum eo in cœlis; ſed futurum olim, hæc ipſis innoteſcant, cùm revertetur ipſe, & aſſumptio illorum confirmabitur. Eſt autem regreſſus ille ſacerdotis, poſt crucem & reſurrectionem perfecta apud diſcipulos apparentia: cùm Deum planiſſimè illum agnoſcentes, & viam dedicerint & quò vadit: & quòd cum ipſo manſuri ſint in fruitione bonorum inenarrabilium; nec diſtractionem hîc ullam patiebantur, ſed non aliter quàm ſi jam cum eo ibi verſarentur, ità per ſpem lætificabantur. Omnino certè vel hoc vult illud, *Rurſus venio*, &c. vel regreſſum intelligit in ſecundo ipſius & formidabili adventu, cùm & locum illum beatum & viam, & oblectationem in eodem, per æternum habituri ſint experientiam.

Ἐπιστ. ρπβʹ.

Τῷ αὐτῷ.

Ὅτε εἰς ἀπορίαν λογισμῶν κατέστη ὁ Ἰωσὴφ, τότε ὁ ἄγγελος ἐπέστη λύων τὴν ἔριν τῶν λογισμῶν· ὅτι γὰρ διηπορεῖτο περὶ τῷ τόκῳ, καὶ ἀμηχανίας ὅλος ἐγίνετο, δῆλον ἐξ ὧν διενοεῖτο, καὶ ὅσον οὔπω πράξειν ἔμελλεν· ἐβουλήθη γὰρ, φησὶ, λάθρα αὐτὴν ἀπολῦσαι· οὐκ ἂν οὔτε λάθρα, οὔτε ὅλως ἐκπέμψαι διανοηθεὶς, εἰ νόθου γονῆς τὸν ὄγκον ἐπέπειστο τῆς γαστρός· νόμῳ δὲ καὶ τιμωρίᾳ, δικαιοσύνης ὢν μάλιστα ἐραστὴς θᾶττον ἂν παρεδίδου τὸ τόλμημα· ἀλλὰ τοῦτο μὲν οὐκ ἐπέπειστο· ἥ τε γὰρ ἀνυπέρβλητος ἀρετὴ τῆς μνηστευθείσης, καὶ ἡ πρέπουσα φυλακὴ τοῦ μνηστῆρος πᾶσαν ἀπετείχιζεν ὑποψίαν οὐκ εὐαγῆ· οὐδὲ ἐκείνου δὲ πάλιν σύνεσιν εἶχεν, ὡς ἄρα θείας ἐνεργείας ἡ κύησις ἦν· ὑπὲρ ἔννοιαν γὰρ ἀνθρωπίνην ἐχρημάτιζεν ἡ πρᾶξις· διὸ τοῖς λογισμοῖς ἐκυμαίνετο, καὶ τί ἂν διηπορεῖτο πραξάμενος, τὰ ἀρεστὰ πράττοι τῷ θεῷ· ὅτε γοῦν τούτοις ἐκλονεῖτο τοῖς λογισμοῖς, τότε λίαν ἐπικαίρως ἄγγελον ἀφῆ-

Epiſt. 182.

Eidem.

CUm Joſeph cogitationibus inextricabilibus diſtraheretur, affuit præſtò Angelus illarum diſcordiam ſedaturus. Cùm enim de partu dubitaret, atque totus incertitudine laboraret, è cogitatis ſatis patet, quid acturus parturiret. *Cogitabat autem clanculum dimittere illam:* Quin nec clam nec omnino illam dimiſiſſet, ſi tumorem illum uteri de adulterio procuratum ſuſpicatus fuiſſet. Cùm enim eſſet juſtitiæ cum primis amator ad leges & ſupplicium illum tranſcripſiſſet propter illud flagitium. Nequaquam verò ſibi hoc perſuaſerat, cùm eſſet incredibilis deſponſatæ virtus: & proci congruens cuſtodia, pravam omnem ſuſpicionem excludebat, ſed nec intelligere poterat, quòd conceptio à Divina operatione erat: tranſcendebat humanam omnem cogitationem illa actio: fluctuabat igitur cogitabundus, quid facere deberet, unde placeret Deo; Cùm hujuſmodi volveret turbatus cogitationes, Ange-

lum

lum in rem præſentem amandavit Deus, qui miraculosè tumorem illum in virgineo utero miniſter fecerat, ut in illis Joſephum conſtabiliret, in quibus ſtabilis omnino perſiſtere debuit. Ait ergò, *Ne timeas accipere, &c.* Tu, inquiens, *ſecretò ſtatuiſti apud animum dimittere virginem*, veritus illam detinere, quæ ab ignoto impregnatur: Ego te jubeo, illam ad te aſſumere: *Nam quod in ipſo generatur, de Spiritu Sancto eſt*: nec tantummodo immunem à culpa pregnantem ſtatuit, ſed gloriâ eam & dignitate ultra humanam naturam replet: quia mundi totius ſervatorem & redemptorem gignit: Opportunè quocirca Angelus & non priùs apparuit Joſeph, tum cùm cogitationes ambiguæ diſtractas illi redderent cogitationes, cùm enim vehementiùs attolluntur fluctus, tranquillitas eſt exoptatiſſima. In eo quod dicit, *Uxorem tuam*, intendit illam nulli addictam: nec viſum nec cogitationem aliorſum impendiſſe, ſed uxoris ſtatum integrum & inviolatum cuſtodîſſe docet, ità ut nec animo violaverit leges ſponſalium. Uxores porro dicere ab antiquo uſu eſt, quas vinculum ſponſale ſolum colligavit, licet congreſſus lege non ſervatur.

Epiſt. 182.

Arſenio Monacho, & Anachoretæ.

ERat tempus ſcribendi: at nunc eſt tacendi: cùm pax & tranquillitas per totam rempublicam diffunderetur: virtus, quæ nunc ludibrio habetur, cùm eſſet admirationi: & pietas vim ſuam obtineret: Veritas (oh quò nunc aufugiſti) cùm & oculis & linguis liberrima inſideret: ſtatus civilis oblectationibus modeſtis ſe reficiebat: & vita philoſophica ad imitationem ſanctorum virorum conformata, digna & ipſa reputabatur imitatione: ſacerdotalis ordo & Epiſcopalis, non tam per ſacra ſua inſignia, quàm per virtutis actiones illuſtris eſſet, & ſectatores agnoſcendos exhiberet. At nunc quod ſcribo Threni ſunt, in quibus Jeremias nos præve-

κεν, ὁ τῇ παρθενικῇ γαστρὶ τὸν ὄγκον θαυματουργῶν, στηρίζοντα αὐτὸν ἐφ' οἷς ἔδει μένειν ἀκλόνητον καὶ σταθερόν· διό φησι, μὴ φοβηθῇς παραλαβεῖν, καὶ ἑξῆς· σὺ μὲν, φησι, λαθραίως μελετᾷς ἐκπέμψαι τὴν παρθένον, δεδιὼς κατέχειν, ἧς ὁ τόκος ἄδηλος ἔχει· ἐγὼ δὲ * παραλαβεῖν, καὶ παρὰ σεαυτῷ ἔχειν προστάσσω· τὸ γὰρ ἐν αὐτῇ γεννηθὲν, ἐκ πνεύματός ἐστιν ἁγίου· καὶ οὐ μόνον ἀνεύθυνον τὴν κυοφοροῦσαν τελεῖ, οὐδ' ὑπὲρ ἄνθρωπον δόξης καὶ λαμπρότητος πληροῖ, ἀλλὰ καὶ κόσμῳ παντὶ σωτὴρ τίκτεται καὶ λυτρωτής· εὐκαίρως ἄρα οὐ πρότερον ὁ ἄγγελος ἐπιφαίνεται τῷ Ἰωσήφ, ἀλλ' ὅτε αὐτὸν ἀμφίβολοι διετάραττον λογισμοί, ὅτε γὰρ σφοδρὰ ἡ ζάλη, τότε μάλιστα γλυκεῖα ἡ γαλήνη. Καὶ τὸ, τὴν γυναῖκα σου δὲ ἀντὶ τοῦ *, ὅσα γε ἐκ τοῦ μὴ πρὸς ἕτερον ἄνδρα, μήτε ὄμμα μήτε λογισμὸν ἐπιβεβληκέναι, σῶον σοι, καὶ ἀκαινοτόμητον τὴν τῆς γυναικὸς διατηρήσασαν τάξιν· καὶ μηδ' ἐπινοίᾳ λύσασαν τοὺς θεσμοὺς τῆς μνηστείας. ἄλλως τε δὲ καὶ γυναῖκας ἔθος ἦν καλεῖν παλαιὸν, καὶ ἃς μόνος ὁ τῆς μνηστείας δεσμὸς συνεδέσμει· κἂν ὁ τῆς ὁμιλίας αὐταῖς οὐκ ἐγνώσκετο νόμος.

* Ἴσ. σύ.

* Ἴσ. τὴν.

Ἐπιστ. ρπγ'.

Ἀρσενίῳ μοναχῷ πρεσβυτέρῳ καὶ ἡσυχαστῇ.

ΗΝ καιρὸς τοῦ γράφειν, ὥσπερ νῦν τοῦ σιγᾷν· ὅτε πᾶσα μὲν γαλήνη διὰ πάσης ἐκέχυτο πολιτείας· ἀρετῆς δὲ, τῆς νῦν γελωμένης, ἐθαυμάζετο τὸ σχῆμα· καὶ εὐσέβεια μὲν τὸ κράτος εἶχεν· ἀλήθεια δὲ (ποῦ νῦν ἀπῆρες) καὶ γλώσσῃ καὶ ἀκοαῖς ἐπαρρησιάζετο· ὅτε τὸ πολιτικὸν ἐν εὐθυμίαις ἐπανηγύριζε σωφρονούσαις· καὶ ὁ φιλόσοφος βίος, πρὸς τὴν τῶν ἁγίων ἀνδρῶν ἀναπλαττόμενος μίμησιν, ἀξιοζήλωτος ἐνομίζετο· τὸ ἱερατικὸν καὶ ἀρχιερατικὸν, οὐχ οὕτω διὰ τῶν τελεστικῶν συμβόλων, ὥσπερ ἀπὸ τῶν κατορθωμάτων, οἷς περιέλαμπε τοὺς μυουμένους, ἐγνωρίζοντο· νῦν δὲ τί γράφω; θρήνους; ἀλλ' ὁ συμπαθέστατος Ἱερεμίας προλαβὼν ἡμᾶς,

τοὺς θρήνους ἀπέδωκεν· οὐ γὰρ ἐκείνων τὰ νῦν ἀνεκτότερα· ἀλλὰ στεναγμούς; καὶ τίνες ἢ ποῖοι τηλικαύτῃ φορᾷ δυσχερῶν ἐπαρκέσουσι; τὴν δακρύων ἄλλο ἐπ' ἄλλῳ πάθος προκαλούμενον τὸ ῥεῖθρον, τὰς πηγὰς ἀνεξήρανε, τὰ ἅγια βεβηλοῦται· τὰ ἱερὰ συμπεπάτηται· τὸ πανάγιον πνεῦμα· (ὢ χειλέων δυσσεβῶν, καὶ διανοίας δυσσεβεστέρας!) ὥσπερ τι τῶν ἐκ τριόδου, δυσφημεῖται καὶ διασύρεται· ἐρημία, καὶ ὄρη, καὶ σπήλαια, καὶ τῆς γῆς ἐσχατιαί, τοὺς ἱερεῖς θεοῦ καὶ ἀρχιερεῖς, ὅσους μὴ προκατελάβοντο πικραὶ φυλακαί, καὶ ὑπερόριοι φυγαδεῖαι, μόλις διασώζουσι· καὶ οὔπω λέγω τὰ ἄλλα· οὐδὲ γὰρ οὐδ' ἀποδύρεσθαι τὰ συνέχοντα πάντα (ὃ μόνον ἦν, ὡς ἐν τηλικούτοις κακοῖς, τῶν συμφορῶν παραμύθιον·) ὁ ἐπηρτημένος τῶν ἀπειλῶν φόβος ἐνδίδωσι· ταῦτα γράφω· ἀλλ' ἔχεις τὴν τούτων γνῶσιν, ὥσπερ ὄψει καὶ ἀκοῇ, οὕτω δὲ συμπάσχων Χριστῷ, καὶ αὐτῇ τῇ πείρᾳ, ἔχω τι γράψω· στῆθι πρὸς θεόν, ἐξευμενίζων τὸν πλάστην τῷ πλάσματι· ἔκτεινον ὁσίους σου χεῖρας, τὰς ἐκταθείσας αὐτοῦ παλάμας ἐν τῷ σταυρῷ, ὡς ἱκετηρίαν προτείνων· τοὺς ἥλους, τὴν λόγχην, τὸ αἷμα, τὸν θάνατον, τὸν τάφον, δι' ὧν σεσώσμεθα· ἔχεις δι' ὧν δυσωπήσεις τὸν εὐίλατον, τὴν βαρύτητα τῶν διωγμῶν· τῶν διωκομένων τὸ ὑπὲρ εὐσεβείας ἀνένδοτον· τὰ ποίμνια σπαρασσόμενα· τοὺς ποιμένας, ἐστὶν οὓς, οὐδ' ὅποι γῆς εἰσὶ γινωσκομένους· τὴν ἐκκλησίαν θεοῦ κατατεμνομένην, οἴμοι, καὶ μεριζομένην· μερίζεται γὰρ αὐτὴν φόβος θεοῦ, καὶ φόβος ἀνθρώπινος· οὐδὲ γὰρ οὐδ' ἐστὶ τὸ θεῖον διαψεύδεσθαι χρησμόν· τὸ μὲν πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής· ταῦτα προβαλοῦ, μᾶλλον δὲ αὐτός, δι' ὧν δυσωπήσεις, οἶδας· οἷς γὰρ ἡ καρδία καθαρά, ἅτε δὴ θεόν, ὡς ὅ ἐστιν ἀνθρώπῳ δυνατὸν ἰδεῖν, ἐνορῶσιν· οὗτοι μᾶλλον τῶν ἄλλων συνίσασι, καὶ οἷς ἐκμειλίσσεται· κίνησον μεσίτην τῆς πρεσβείας, τὴν τοῦ λόγου μητέρα καὶ παρθένον· βόησον πρὸς αὐτὴν τῆς φύσεως τὴν ἀσθένειαν τὴν μακρὰν ἡμῶν καὶ ἀνιστόρητον πᾶσιν τραγῳδίαν· οἶδεν συμπαθῆσαι τῷ ὁμοφυεῖ· τῶν μαρτύρων τὸν χορὸν συμπαράλαβε· ἔχουσι παρρησίαν, οἷς ἔπαθον ὑπὲρ Χριστοῦ, ἐπαμύ-

nit: ſunt enim noſtra in præſenti, quàm illa erant, haud quaquam tolerabiliora: ſuſpiria ſcribo? ſed quæ illa & qualia tanto malorum torrenti ſunt ſuffectura? lachrymarum rivos, unum poſt aliud malum incumbens, ità exhauſit ut ipſi fontes exaruerint, Sancta profanantur, ſacra conculcantur, Sanctus Spiritus (ô labia impia, & animas magìs improbas) ut quid è trivio, blaſphemiis inceſſitur, & ludibriis: Deſerta, montes, ſpeluncæ, extrema terrarum Dei ſacerdotes & Epiſcopos, qui priùs vinculis acerbioribus, & exiliis tenebantur, vix ſalvos præſtant: nec ulteriùs iſta perſequor. Nam profectò impendens comminationum metus haud patietur illa omnia deplorare quibus conſtricti tenemur (& tamen ut in ejuſmodi malis ſolatium quærebatur) hæc ego ſcribo, quæ tu nôſti optimè, cùm viſu percepta, tum auditu: ſed ego doctus ab experientia & Chriſto compatiens, iſta ſcribo: conſiſte autem per Deum placatum redditum figmento ſuo: attolle ſanctas tuas ad illum manus, qui ſuas aliquando in cruce, tanquam deprecatorias extendebat: clavos, lanceam, ſanguinem, mortem, ſepulturam per quæ ſalvamur: Habes unde impetres à miſericorde perſecutionum allevamentum, vexatorum pro pietate conſtantiam, dilaceratos greges, paſtores partim ubi terrarũ deliteſcant incognitos: eccleſiam Dei in partes ſciſſam & divulſam: dividit enim eam Dei timor, & humanus metus. Divinum oraculum mentiri nequit, ait autem, *Spiritus quidem paratus eſt, infirmatur autem caro.* Hæc præ te ferto, quæ meliùs ipſe nôſti per quæ illa impetrabis. Nam per quæ cor purum, quo Deum (modo qui hominibus poſſibilis eſt) vident illi propiùs intuentes, ità rectiùs intelligunt, quibus placatior ille redditur. Mediatricem compella deprecationis verbi matrem virginem, illam inclama, naturæ illi repreſentes imbecillitatem magnam & inexplicabilem: Tragædiam noſtram intelligit, novit cognatæ naturæ miſereri: aſſumas licèt & martyrum choros, libertatem plenam adeundi habent, ex intuitu illorum quæ pro Chriſto tulerunt, ſubvenire

nire volunt & aliis qui pro illo patiuntur: ſed communio paſſionum cedit per ſe in conſolationem, & eſt invitatio ad illis ſubveniendum, qui paria patiuntur: Omnia expedient interceſſionem: deprecatio conjungitur cum ſpe bona, ſolummodo deeſt conſtans & continuata tua oratio, atque in deprecando fervor.

καὶ τοῖς δι' αὐτὸν πάσχουσι· καὶ τῶν παθῶν ἡ κοινωνία παράκλησις ἐστὶν αὐτὴ καθ' αὑτήν, πρὸς τὴν τῶν παχόντων ἐπικουρίαν· πανταχόθεν ῥᾴδια τὰ τῆς πρεσβείας· εὔελπις ἡ ἱκεσία· ἑνὸς μόνου δεῖται, τῆς σῆς ἐκτενοῦς προσευχῆς, καὶ ἐπιμόνου δεήσεως.

Epiſt. 184.

Eulampio Archiepiſcopo & Sceuophylaci.

ADverſatur virtuti improbitas, nec in amicitiam coaleſcent aliquando: Utráque proprium ſubjectum habet, & amplectitur cui innititur: Fieri non poteſt, ut ſubjectis pugnantibus, ea quæ incubant, inducias agant: Si hoc ità ſe habet mirari noli, ſi is, qui miniſter eſt impietatis, bellum iis denunciat cum magno flatu, qui virtutem ipſi ex adverſo conſtitutam repræſentant.

Ἐπιστ. ρπδ'.

Εὐλαμπίῳ Ἀρχιεπισκόπῳ καὶ Σκευοφύλακι.

Ἔστιν ἐναντίον τῇ ἀρετῇ ἡ κακία, καὶ οὐκ ἂν εἰς φιλίαν συνέλθοιεν· ἑκατέρα δὲ ὑποκείμενον οἰκεῖον, ἐφ' ᾧ ἵδρυται, καταλαμβάνουσα ἔχει· οὐκ ἔστιν οὖν, μαχομένης τῆς ἐφιδρυμένης, σπένδεσθαι τὸν ἑδράζοντα· εἰ δὲ τοῦτο, μηδὲν θαυμάζῃς, εἰ ὁ τῆς κακίας ὑπηρέτης, κατὰ τῶν ἀντιπρόσωπον αὐτῷ τὴν ἀρετὴν προβεβλημένων, μέγα πνεῖ τὸ πολέμιον.

Epiſt. 185.

Johanni Patricio.

AMicus ille, cujus ago cauſam, quòd jamdudum rectè intelligis de vita ſua periclitatur: Tu porrò, quod in illo licet intueri, Lesbiam, utcunque nihil dicat, manum porrigis: ſi ipſe nihil tale aliquando perpeſſus es, magnum eſt quod dicis: Sed tamen in eo quòd perpeſſus nihil tale fueris, debitor miſericordiæ faciendæ multò magìs obligaris: Naturaliter formidoloſum eſt futura mala prævidere, imprimis, ſi quæ hominibus adverſa contingere ſolent, uſque ad hunc diem obſervata notâſti. Non eſt Legatione fungenti congruum conſtipatim proruere in malorum commemorationem, ſed futurum oportet præcavere, per affectum & ſtudium erga eos, qui ſunt ejuſdem naturæ participes. Uſu enim ità comparatur, ut adverſa illos invido magìs animo intueantur, qui proſperâ fortunâ diu uſi ſunt: quàm illos, quos frequentiùs ea incurſavit: Nihil ego intelligo magìs conducere ad avertendas ab hominibus calamitates, quàm

Ἐπιστ. ρπέ.

Ἰωάννῃ Πατρικίῳ.

Τῷ μὲν φίλῳ, ὑπὲρ οὗ πρεσβεύω, ὡς καὶ πρόσθεν ἔγνως, περὶ ψυχῆς ἐστιν ὁ ἀγών· σὺ δὲ, ὡς ἐκεῖνον ὁρᾶν ἐστι, κἂν λέγῃ, λεσβίαν αὐτῷ δεξίαν προτείνεις· Ἂν μὲν οὖν αὐτὸς οὐδέποτε πάθει περιέπεσας τοιούτῳ, μέγα μὲν λέγεις· μᾶλλον δὲ, διότι μὴ πέπονθας, χρεώστην σεαυτὸν τοῦ οἰκτείρειν ἀποφαίνεις· φοβερὸν γάρ πως ἐστὶν ἐν τῇ φύσει ἐν ἄλλοις μάλιστα προορώμενα τὰ ἀλγεινά, ἄλλως τε εἰ κρεῖττον μέχρι νῦν τῶν ἐν ἀνθρώποις ἐτηρήθης δυσχερειῶν· οὐ γὰρ εὐπρόσοδον τῷ πρεσβευτῇ ἀθρόον ἐμβαίνειν εἰς τὴν ἀνάμνησιν τῶν λυπηρῶν, ἀλλ' οὖν ἀσφαλίσαι τὸ μέλλον διὰ τῆς συμπαθοῦς περὶ τὸ ὁμόφυλον σπουδῆς. Εἴωθε γάρ πως τὰ δεινὰ, τοὺς μέχρι πολλοῦ διαφυγόντας αὐτὰ, μᾶλλον τῶν ἄλλων ἐποφθαλμιᾶν καὶ σφοδρότερον, ἢ οὓς πολλάκις κατελάβοντο, διώκειν· καὶ οὐδὲν ὁρῶ τοιοῦτο πρὸς ἀποτροπὴν τῶν ἐν ἀνθρώποις περιστάσεων, ὡς τὸ τοῖς ἐμπεσοῦσιν

ἴσασθαι βοηθόν. Εἰ δ᾽ ἄνθρωπος ὢν καὶ αὐτὸς, ἐκοινώνησας * τοῖς ἀνθρώποις, ἐκεῖνα λογίζου, ἅ σε τότε διεστρόβει, καὶ συνέστρεφε τὰ σπλάγχνα, καὶ ὅλον πικρῶς ἐπεβόσκετο, θανάτου βαρυτέραν ἀποφαίνοντα τὴν ζωήν· μέμνημαι γάρ ποτε καὶ ἐγὼ, εἰ τί μὴ ὑπὸ τῆς συνεχείας τῶν κακῶν εἰς ὀνείρους ἀποφέρομαι, τοιοῦτόν τι, (ὃ μὴ γένοιτο τοῦ λοιποῦ) καὶ περὶ τὴν σὴν εὔκλειαν ἀπαντῆσαι· ὅτε τὸ ὄμμα ξηρὸν πρὸς πάντας ἀνέῳκτο, πάσης συμφυοῦς λιβάδος ἀπαναλωθείσης τοῖς δάκρυσι· καὶ χεῖρες πρὸ τῶν λόγων τὴν ἱκεσίαν προὐβάλλοντο· τὸ πρόσωπον συντηκόμενον εἰς πολλὴν τοὺς ὁρῶντας, καὶ πρὸ τῶν χειρῶν ἐκάλει συμπαθεῖν· καὶ ὅλον εἶχε σύγχυσις καὶ κατήφεια καὶ γνόφος· καὶ κρείττων ἡ σιγὴ τοῦ τότε διηγήματος. Ταῦτα δὴ ταῦτα (ὢ μηκέτι μηδαμοῦ τοιαῦτα παθεῖν σε ἴδοιμι) σωφρόνως ἀναμνησθείς· (πολλαχοῦ γὰρ εὐεργετεῖ ἡ μνήμη τῶν λυπηρῶν) γένου σωτὴρ, οἷον ηὔχου σοι γενέσθαι τότε· (οὐ γὰρ ἐμὸν εἰπεῖν, οἷον εὗρες) τῷ νῦν εἰς τὰς ὁμοίας συμφορὰς καταπεσόντι. Εὖ γὰρ ἴσθι, ὡς ἐμοί τε τὸ χρέος ἀποδεδωκὼς εἴης, καὶ τὸν βοηθούμενον, ἐν οἷς ἂν βούλῃ, χρεώστην ἀπροφάσιστον εὑρήσεις. Καλὸν δὲ ἐν βίῳ πολλοὺς χρεωστὰς, καὶ τότε εὐγνώμονας χαρίτων ἔχειν.

* ἴσ. ἀνθρωπίναις.

fuisse afflictis auxilio. Si homo cùm sis, communicaveris cum hominibus, illa recolito, quæ te & ipsum tunc vexatum habebant, & viscera quæ subverterunt, & vitam ipsam morte graviùs depascebant: Memini aliquando (nisi fortè malorum magnitudo me somniare fecerit) aliquid tale, (utinam non & denuò) tuam quoque felicitatem invasisse: cùm sicci oculi in omnia aperirentur, humore congenito penitus per lachrymas desiccato; cùm manus verba præcederent, & preces manus tenderent, facies & vultus dejectus præ manibus intuentes vocaret multis modis ad misericordiam: cùm te totum possideret confusio, dejectio, tenebræ: præstat cætera tacere, quàm profari, quæ te tunc contingebant. Hæc ipsa quæso (ô utinam nunquam te denuò eadem patientem intuear,) moderatè recordare: (conducit etenim quamplurimùm multoties malorum commeminisci) sis illius exhibitor, in quantum tunc desiderata expetebas, ei qui in similes incidit calamitates. Quid inde lucratus, non dicam scias velim, quod & mihi debitum persolveris, & eum cui auxilium attulisti in quibuscunque volueris, debitorem habebis. Bonum est autem & utile multos per vitam habere debitores præsertim gratiam redhibentes possidere.

Ἐπισ. ρπϛ΄.

Εὐσχήμονι Ἀρχιεπισκόπῳ Καισαρείας.

Ἡ Κακία (καὶ μηδέν σοι δόξῃ παράδοξον, ἡ γὰρ τῶν ἐν βίῳ πεῖρα σαφὴς τῶν τοιούτων διδάσκαλος) ἂν μηδὲ τῆς ἀρετῆς ὑπέλθοι τὸ σχῆμα, τάχιστα διόλλυται· μὴ τοίνυν ἀθύμει ταύτην ὁρῶν, τὸ λεγόμενον, γυμνῇ τῇ κεφαλῇ θρασυνομένην καὶ ἀπηρυθριασμένῳ προσώπῳ κατὰ πάντων ἀσελγαίνουσαν· βραχὺς ὁ χρόνος, καὶ εἰς διαφθορὰν αὐτὴν ὄψει, σὺν μεγάλῳ ἤχῳ καταστρέφουσαν· ἔχεις δὲ καὶ τὸν προφήτην ἐμοὶ συμφθεγγόμενον· εἶδον τὸν ἀσεβῆ ὑπερυψούμενον καὶ ἐπαιρόμενον, ὡς τὰς κέδρους τοῦ Λιβάνου, καὶ * παρῆλθεν καὶ ἰδοὺ οὐκ ἦν· καὶ ἐζήτησα αὐτὸν, καὶ οὐχ εὑρέθη ὁ τόπος αὐτοῦ.

* ἴσ. παρῆλθον.

Epist. 186.

Euschæmoni Archiepisc. Cæsareæ

IMprobitas (neque hoc videatur tibi paradoxum quid, cùm satis testetur verum quotidiana per vitam experientia) si non velo virtutis oppanso veletur, quantociùs dissipatur. Noli quocirca despondere animum, si quod dici solet, apertè & nudato capite, audaciam illam videas insolescentem, & in conspectu contra omnes non erubescente vultu lascivientem. Tempus breve interveniet, cùm illam videbis cum ingenti sonitu in perniciem præcipitatam. Atque hic mihi consentientem Prophetam habes. *Vidi*, aiebat ille, *impium in sublimi exaltatum, & tanquam è Cedris Libani elatum, Præteribam verò, & ecce non erat: quærebam eum, & non est inventus locus ejus.*

Epist.

Epiſt. 187.

Chriſtophoro Aſpathario & à ſecretis.

DUbium à te propoſitum ſcio olim & acerbiùs, & virulentiùs per Julianum Parabatem propoſitum, & meditatum: Quæ in illum aliquando dicebam, & quæ memoriâ retentâ con ſervavi, eadem ad te nunc perſcripta, ſufficientem opinor ſuppeditabunt ſolutionem. Dicebat ergò ille, contumelias conjectans in veritatem, quaſi per panegyrem iſta. *Audite vos præclarum, & cum prudentia politica conjunctum conſilium, Vendite quæ poſſidetis, & date pauperibus. Comparate vobis crumenas non veteraſcentes. Ecquis magis cum politia conjunctum præceptum dederit? Cui ſi omnes obtemperarent, quotus quiſque reſtaret emptor? Ecquis hanc doctrinam laudaverit? quæ ſi obtineat, non Civitas, non Gens, non Domus ſubſiſteret. Quomodo enim divenditis & diſtractis omnibus, domus aliqua fuerit pretio redimenda? Liquet autem, licèt nos taceamus, quòd ſi omnia venderentur, haud futuri ſunt ulteriùs emptores.* Taliter diſcurſum inſtituens Parabata, mandatum Divinum ludibrio exponit, ſeque in eo prudenter & generosè returgeſſiſſe. Verùm veritatis ſententia, quaſi colopho impacto, ad hunc modum rejectam exibilat puerilem & putidam ratiocinationem: Imprimis ſtatuit mirandum non eſſe, ſi præceptum illud, unde quivis modeſtus ac prudens utilitatem percepturus eſt, ille transfuga nequiſſimus, pro ſalute noxam, pro utilitate damnum, pro gratiarum actione blaſphemias eructare ſibi propoſuit: Animadvertere enim licèt bonum quodcunque juxta hominum diverſam erga ipſum diſpoſitionem, duobus hiſce circumſcriptum, electione nimirum & averſione: quarum illa, ſeligentes ad meliora traducit, ſpectatores quoſcunque amatores adhuc magìs majores operata, per adjectionem Theoreticæ apprehenſionis amorem illum accumulando: Hæc autem ſuos affines & familiares quàm longè effugando, per præ-

Ἐπις. ρπζ.

Χριστοφόρῳ Ἀσπαθαρίῳ καὶ Ἀσηκρῆτι.

ΤΗ'ν σὴν ἀπορίαν, ἣ πικρότερον καὶ δριμύτερον οἶδά ποτε Ἰουλιανῷ τῷ παραβάτῃ διεσκευασμένην· ἃ γοῦν ἐν τοῖς πρὸς ἐκεῖνον εἶπον, καὶ ὧν ἡ μνήμη τὴν σωτηρίαν ἔχει, ταῦτα δὴ σοὶ ἄρα γράφων, ἀποχρῶσαν οἶμαι τὴν λύσιν παρεσχηκέναι. Ἔλεγεν οὖν ἐκεῖνος, ὥσπερ ἐμπανηγυρίζων ταῖς κατὰ τῆς ἀληθείας ὕβρεσιν, τοιαῦτα. Ἀκούσατε καλοῦ καὶ πολιτικοῦ παραγγέλματος· πωλήσατε τὰ ὑπάρχοντα, καὶ δότε πτωχοῖς· ποιήσατε ἑαυτοῖς βαλάντια μὴ παλαιούμενα· ταύτης τίς εἰπεῖν ἔχει πολιτικωτέραν τῆς ἐντολῆς; Εἰ γὰρ πάντες σοι πεισθεῖεν, τίς ὁ ὠνησόμενος; ἐπαινεῖ τίς ταύτην τὴν διδασκαλίαν, ἧς κρατυνθείσης, οὐ πόλις, οὐκ ἔθνος, οὐκ οἰκία μία συστήσεται· πῶς γὰρ, πραθέντων ἁπάντων, οἶκος ἔντιμος δύναιταί τε, ἡ οἰκία; τὸ δὲ, ὅτι πάντων ὁμοῦ τῶν ἐν τῇ πόλει πιπρασκομένων, οὐκ ἂν εὑρεθεῖεν οἱ ἀγοράζοντες, φανερόν ἐστι καὶ σιωπώμενον. Διὰ τοιούτων μὲν λογισμῶν, ὁ παραβάτης τῆς θείας ἐντολῆς κατασκεδάζων τὴν χλεύην, ᾤετο τι σοφὸν καὶ γενναῖον ποιεῖν. Ὁ δὲ τῆς ἀληθείας λόγος, ὧδέ πως ἐπιρραπίζων τὸ μειρακιῶδες αὐτοῦ καὶ σαθρὸν τῶν λόγων· πρῶτον μὲν, φησιν, ὡς οὐδὲν θαυμαστὸν, εἰ δι' ἧς ἐντολῆς, τῷ σωφρονοῦντι μέγα ὄφελος περιγίνεται, καὶ θαῦμα γλυκὺ πρὸς ὕμνους διεγεῖρον τοῦ νομοθέτου, διὰ τῆς αὐτῆς ὁ παραβάτης, ἀντὶ μὲν σωτηρίας βλάβην, ἀντὶ δὲ κέρδους ζημίαν, καὶ ἀντὶ τοῦ χάριν εἰδέναι τὰ βλάσφημα λέγειν ἑαυτῷ προσεπείσατο· ἐπεὶ μὲν γάρ ἐστιν ὁρᾶν τὸ ἀγαθὸν, ὑπὸ τῆς περὶ αὐτὸ τῶν ἀνθρώπων διαθέσεως, δυσὶ τούτοις περιστοιχιζόμενον, αἱρέσει λέγω, καὶ φυγῇ· ὧν ἡ μὲν τοὺς αἱρουμένους, ἐπὶ τὴν ἀμείνω τάξιν ἀνάγουσα, θεατὰς τοῦ κάλλους ἔτι μᾶλλον, καὶ γνησίους ἐραστὰς ἀπεργάζεται τῇ προσθήκῃ τῆς ἐν θεωρίᾳ καταλήψεως, προσθήκην ἐνθεῖσα τοῦ ἔρωτος· ἡ δὲ τοὺς οἰκείους, ὡς πορρωτάτω συμφυγαδεύουσα, καὶ κατὰ

κρημνῶν καὶ σκοπέλων καὶ μυρίας πλάνης φέρουσα, ἅτε δὴ ἐφάπαξ τῆς πρὸς τὸ ἀγαθὸν νεύσεως διαστήσασα, καὶ λήθην βαθεῖαν τοῦ καλοῦ θεάματος ἐμπιήσασα, μόνῳ δὴ χαίρειν τῷ τῆς κακίας ἐνεθίζει ζόφῳ, καὶ τυφλοὺς οὐχ ἧττον ἢ πολεμίους τῆς σφῶν σωτηρίας παρίστησι. Ταύτῃ τοι καὶ Ἰουλιανός, τῷ τῆς ἀποστασίας γνόφῳ ὅλην τὴν ψυχὴν τεθολωμένος, καὶ τὰς ὄψεις, δι' ὧν ἡ κατάληψις τοῦ κυρίως ὄντος ἀφῃρημένος, ἐχθρὸς καὶ πολέμιος ταῖς εἰς τὸ ἄριστον ἀναγούσαις ἐντολαῖς ἐπιδείκνυται· ὃς οὐδὲ τηλικαύτης ἐφείσατο καθυλακτεῖν παραινέσεως· ἀλλ' εἰς μώμους ἀπάγειν ἐφιλονείκησε τὴν πάντος ἀξίαν ἐπαίνου καὶ θαύματος. Τὸ γὰρ πωλήσατε τὰ ὑπάρχοντα ὑμῶν, καὶ δότε ἐλεημοσύνην· τίνα συμπαθείας, τίνα δὲ τῆς πρὸς ἀλλήλους ἀληθοῦς εὐνοίας ἀφορμὴν ἐλλείπει· ἀλλ' ἐγκράτειαν, ἀλλὰ σωφροσύνην, τίς δὲ μᾶλλον τῆς ἐντολῆς ταύτης φιλοσοφίας διδάσκαλος; οὐχὶ δὲ πάντων τῶν παθῶν, ὅσα τίκτειν οἶδε τὸ φιλάργυρον, ἐλευθερίαν χαρίζεται; ποῦ γὰρ κλοπὴ φιλαργυρίας ἀνῃρημένης, ποῦ δ' ἁρπαγή; ποῦ δὲ λῃστεία; ἐν οἷς καὶ τῶν ἰδίων ἡ διανομὴ περισπούδαστον ὁρᾶται· ἔρεις δὲ καὶ μάχαι, καὶ φιλονεικίαι, οὐ τῇ τῶν χρημάτων ἀφειδίᾳ αὐτίκα συναφανίζονται· ὁ δ' ἀκόλαστος καὶ ἄσωτος βίος ἄρα παρείσδυσιν ἕξει, τῆς ἐλεημοσύνης ἐπικρατούσης, καὶ τὸ περιττὸν ἅπαν εἰς τὴν τῶν ἐνδεῶν καταναλισκούσης χρείαν, καὶ οὐκ ἐώσης εἰς κόρον τρυφῆς, ἢ τῆς ἄλλης ἡδυπαθείας τὸν ἄνθρωπον ἐξυβρίζειν, δι' ὧν εἴωθε καὶ τὰ περὶ ἀφὴν αἰσχρότερα πάθη παραφύεσθαι. Πῶς οὖν τὸ φιλάνθρωπον καὶ κοινωνικόν, τὸ πρὸς τὸν ἔλεον τῶν ἠπορημένων ἕτοιμον, ἀναστρέψει τὰς πόλεις καὶ τὰ ἔθνη, καὶ τὰς οἰκίας· πῶς δὲ ἡ τῆς ἁρπαγῆς ἢ τῆς λῃστείας ἢ πάσης ἁπλῶς ἀδικίας καὶ τυραννίδος ἀναίρησις, τῆς ἀνθρωπίνης ἔσται καταστροφὴ πολιτείας; ὁ γάρ τοι καὶ τῶν ἑαυτοῦ κτημάτων ὑπὲρ τοῦ κοινῇ λυσιτελοῦντος ἠφειδηκώς, καὶ τοῖς πλησίον ἐξισάμενος τῆς ἰδίας ὠφελείας, καὶ ὅλον ἑαυτὸν ὑψηλότερον φέρων, τῆς περὶ τὴν ὕλην προσπα-

cipitia, ſcopulos, & infinitos errores trahens, poſtquam ſemel ab inclinatione ad bonum ſeparata fuerit, & profundam boni animadverſi oblivionem induxit, ſolis malorum tenebris oblectari aſſuefacit, & cœcos non minùs quàm ſuæ ſalutis inimicos reddit. Julianus, cùm partes animæ ſingulas per ſuam Apoſtaſiam pollutas haberet & obvolutas tenebris, exemplis iis oculis, per quos, id quod verè ſubſiſtit, intueretur, hoſtem ſe declarat & perduellem contra illa præcepta, quæ ad optima quæque reformant: nec deſiſtit allatrare quamvis adhibitam exhortationem, & quod reverâ laude ac admiratione digniſſimum habetur, momicè traducendum ſtatuit. Illud enim effatum, *Vendite, quæ habetis, & eleemoſynam facite*, in quo defectum patitur alicujus compaſſionis, aut genuini amoris hominum erga homines: Continentiam verò & temperantiam quis in Philoſophia magiſter, luculentiùs quàm hoc præceptum docet? nonne paſſiones illas omnes, quas parere ſolet avaritia, liberrimè amplectitur? rapinæ, latrocinium, &c. ubi conſiſtent? ſi quæ poſſidemus ſtudioſè diſpergere tolerabimus: concertationes, rixæ, pugnandi ſtudium, continuò evaneſcunt, ſi divitiis non parcamus diſſipantis: laſciva, prodiga, luxurioſa vivendi ratio nuſquam ſubrepere poterit, ubi dominatur eleemoſyna & quicquid ſuperſtat in uſum pauperum, & neceſſitates alleviandas impenditur: quæ non patitur hominem contumelioſiùs ſe gerere, propter luxuriæ ſatietatem aut alicujus alterius voluptatis unde ſolent paſſiones illæ pullulare, vel turpitudines tactus accommodare. Quocirca, quomodo fieri poteſt? ut humanitas, communio bonorum, diſpoſitio ad commiſerandum ſuper egentes, civitates, gentes, domos everteret & familias: Quomodo rapinæ, latrocinii injuſtitiæ & tyrannidis ſublatio civilis eſſe poterit gubernationis ſubverſio? Nam qui pro bono publico propriis ſuis facultatibus non pepercerit, qui in vicinos de propriis ſuis rebus contulerit, qui ſe ſublimiorem præſtiterit, quàm ut materiæ adfixus adhæreſcat,

quomodo

quomodo is per quamvis prædictarum paſſionum captivum ſe abduci patietur? Imò potiùs, cùm ab iſtis omnibus purus fuerit, & omnimodo illa, quæ verè bona ſunt,ſibi conquirat,qui non modo civibus indigentibus auxilium afferat, ſed & per privatam ſui ipſius converſationem, & maximam præſtiterit utilitatem, ac philoſophicæ, & ſublimis vitæ exemplum. Illi,qui quaſi publica complectuntur omnia, qui dexteris plenas miſericordiâ attollunt, qui vim & violentiam exterminant omnem,qui juſtitiam honorant, & ut compendio dicam, qui ſe cum cæteris ſub pari conditione gerunt: ubi per tales incolitur aliqua civitas, non ſequetur deſolutio vicinorum: Imò qui diutini temporis felicitate ſunt gaviſi, eandem numeris ſuis perfectionem, & longâ duratione continuatam cum gloria trahent. Verùm prudens ille Julianus non hoc intendebat, ut videtur: cives ſuos volebat gravi & durâ manu injectâ, de alienis laboribus facultates ſibi acquirere, nec parcere vel latrocinandi audaciæ, non quidem inſidias, non vim apertam ſubterfugere. Quod ſi per tyrannidem inſultare oporteat, ſi quicquam Phalaride truculentius & crudelius ſit agendum, ſi ſuperandi omnes ab ullo facinore famigerati, nihil omnino prætermittere eos vult, aut diffugere, ut rem ſuam faciant ampliorem, ut omnigenæ voluptatis ſegetem uberiorem, & cupiditatis materiem comparent & recondant: quo ſecuriùs deinceps licentiæ poſſent indulgere, ventri & pudendis viventes, vitam cum honore ac æmulatione conjunctam & longiſſimo tractu duraturam, non aliam quàm præſentem ſibi circumſcribunt: Neque enim laudari debet conſilium illud, quo per ſedulam curam civitas ædificatur, cujus ſumma & profunda prudentia gentes continet, & domos ſtabilitas facit, qui, quod è ſermonibus colligi poteſt, pro homines amantibus argenti ſubſtituit amatores, pro mutuo amore inſidias, pro commiſeratione immiſericordiam, & breviter ut expediam, pro optimo peſſimum rerum ſtatum introducit. Patet enim,

θείας, πῶς ἂν ἔν τινι τῶν εἰρημένων ἁλοίη πάθει; μᾶλλον δὲ, πῶς οὐχὶ τούτων ἁπάντων καθαρεύων, ἑαυτῷ τε διαφέροντας κατεπράττοιτο τὰ ὄντως ὄντα ἀγαθὰ, καὶ τοῖς πολίταις, οὐ μόνον δι' ὧν ἐπεχορήγησεν ἀπορουμένοις, ἀλλὰ καὶ δι' αὐτοῦ καθ' ἑαυτὸν πολιτεύματος μέγα ἂν εἴη ὄφελος καὶ ὑπόδειγμα φιλοσόφου καὶ ὑψηλοῦ βίου προτεθειμένος. Ἐκ δὲ τοιούτων ἀνδρῶν, κοινὰ μὲν τὰ ὄντα προτιθέντων, ἐλεοῦς δὲ πλήρεις τὰς δεξιὰς προτεινόντων, καὶ βίαν μὲν πᾶσαν ἐλαυνόντων, τὸ δίκαιον δὲ τιμώντων, καὶ συντόμως εἰπεῖν, ἐν ἴσῳ ἑαυτοῖς τοὺς πλησίον ποιουμένων· ἡ ἐκ τοιούτων ἀνδρῶν πόλις οἰκιζομένη, ἄπο φθορᾶς ἐκ γειτόνων ἔσται· ἢ μακρῷ καὶ ὅσαι πώποτε συχνοῖς ἔτεσι τὴν εὐδαιμονίαν ἔχον παραμετρουμένην καὶ τούτων ἁπασῶν ἀμείνω τε καὶ διαιωνίζουσαν μᾶλλον τὴν διαμονήν τε καὶ τὸ κλέος ἕξει. Ἀλλ' ὁ σοφὸς, (ὡς ἔοικεν) Ἰουλιανὸς οὐ βούλεται τοῦτο· ἐθέλει δὲ τοὺς αὐτοῦ πολίτας χεῖρα μὲν βαρεῖαν περιβεβλῆσθαι ἐκ τῶν ἀλλοτρίων πόνων αὐτοῖς τὴν περιουσίαν * συλλέγουσαν· μὴ φείδεσθαι δὲ μήτε λῃστρικῆς τόλμης, μήτε λαθραίας, μήτ' ἐμφανοῦς ἐπιβουλῆς. Ἀλλὰ κἂν τυραννίδι ἐπιθέσθαι δέοι· κἂν Φαλάριδος ὠμότερον πρᾶξαί τε καὶ δόξαι· κἂν πάντας ἀποκρύψασθαι τοὺς ἐπὶ πάσῃ κακίᾳ βεβοημένους, ὑπὲρ τοῦ πλείω τὰ ὑπάρχοντα ποιῆσαι μηδὲν μηδαμῶς παραιτεῖσθαι, ὡς ἂν ἁπάσης ἡδονῆς καὶ ἐπιθυμίας ὕλην ἄφθονον ἑαυτοῖς παρεσκευακότες καὶ ἀποθέμενοι, ἀδεῶς τοῦ λοιποῦ τρυφῶσί τε καὶ κατασπαταλῶσι, γαστρὶ καὶ αἰδοίοις ζῶντες, καὶ τὸν εὐκλεᾶ καὶ ἀξιοζήλωτον βίον, καὶ εἰς μήκιστον παρατεινόμενον χρόνον, οὐκ ἄλλον ἀλλ' ὃν οὗτοι βιοῦσιν, περιορίζοντες· οὐ γὰρ καλή γε ἡ συμβουλὴ τοῦ, τὰς πόλεις, δι' ὧν φροντίζει, πολίζοντος, καὶ οὗ ἡ βαθεῖα καὶ μεγάλη φρόνησις τὰ ἔθνη συνέχει, καὶ τὰς οἰκίας συνίστησιν· ὃς ἐξ ὧν ἔδοξε λέγειν, ἀντὶ μὲν φιλανθρώπων, φιλαργύρους, ἀντὶ δὲ φιλαλλήλων, ἐπιβούλους, καὶ ἀντὶ ἐλεημόνων, ἀνελεήμονας, καὶ συντόμως εἰπεῖν, ἀντὶ τοῦ διὰ πάντων ἀρίστους, ἐν πᾶσι κακίστους εἶ(ναι), εἰσηγούμενος. Δῆλον γὰρ,

* ἴσ. συλλέγοντας.

ὅτι καθ' ὃν τρόπον τὸ ἀφιλάργυρον ἦθος συνεφέλκεται τὰς ἄλλας ἀρετάς· οὕτως ἡ φιλάργυρος νόσος συνεπισύρεται πᾶσαν τὴν συγγενῆ κακίαν. Ἀλλ' οὖν, ὅπερ ἔλεγον, ὁ καλὸς οὗτος σύμβουλος, καὶ τῆς δεσποτικῆς ἐντολῆς χλευαστής, ἀντὶ τοῦ βελτίστου, τὰ χείριστα τοὺς ἀνθρώπους αἱρεῖσθαι, κατὰ τὸ ἀκόλουθον, ὑποτιθέμενος, μηδ' ἂν ἄλλως εὐδαιμόνως βιῶσιν, μήτε πόλιν, μήτε ἔθνος, μηδ' οἰκίαν, κατεπαγγέλλεται· ἀλλὰ μηδὲ προελθεῖν ἐπὶ μακρότατον, εἰ μὴ ἕλοιντο μᾶλλον, ἀντὶ τοῦ πάντα εἶναι χρηστοί, τὰ πάντα εἶναι φαυλότατοι. Εἰς τοιοῦτον αὐτῷ, καὶ βουλῆς, καὶ πολιτείας, καταστρέφει τέλος, τὸ κατὰ τῆς θείας ἐντολῆς θράσος, καὶ ἡ εἴρων γλῶσσα, καὶ τὰ τῆς ἀνατροπῆς σοφὰ ἐνθυμήματα· καί τοι γε, εἰ μή τι ἄλλο, τοὺς σοὺς κύνας, οὓς ἐθαύμαζες, ἔδει σε μεμνῆσθαι, καὶ αἰσχύνεσθαι τὸν Διογένη, τὸν Ἀντισθένη, τὸν Κράτητα, τὸν ἄλλον χορὸν τῶν θαυμασίων σου κυνῶν· οἳ εἰ καὶ τῷ ἐπιδεικτικῷ τοῦ ἤθους τὸν τῆς ἀληθοῦς ἀκτημοσύνης χαρακτῆρα ἐκιβδήλευον· ἀλλ' οὖν μεμισηκότες ἐφαίνοντο τὸ φιλόπλουτον, καὶ τὸν λιτὸν δοκεῖν ἀσπάζεσθαι, καὶ ἀφιλάργυρον βίον μέγα ἐποιοῦντο· ἐκείνοις ἐχρῆν σε μᾶλλον λέγειν, ἀντὶ τοῦ θεάζειν, ὡς εἰ πάντες ὑμῖν πεισθεῖεν· οὐκ ἂν ἔθνος, οὐ πόλις, οὐκ οἰκία μία συστήσεται. πῶς γὰρ ἔτι, μιμησαμένων ὑμᾶς ἁπάντων ἀνθρώπων, οἶκος ἔντιμος δύναταί τι, καὶ οἰκία; τὸ σοφόν σου τοῦτο, καὶ πάσης ναυτίας γέμον, κατὰ τῆς ἐντολῆς ἐπαπόρημα· πῶς οἶκος ἔντιμος δύναταί τι, καὶ οἰκία; ἀλλὰ γὰρ πῶς, ἀντὶ τοῦ ταῦτα, τοῖς σοῖς ἐπιτιμᾶν σε κύσι, τούτους μὲν ὑπερθαυμάζεις· ἃ δὲ τὴν ἀμείνω πολλῷ τούτων, καὶ ἀμιγῆ πάσης μοχθηρίας, εἰσηγεῖται πολιτείαν, ταῦτα δὲ τὰ λόγια διασύρεις· τί δὲ καὶ ἐπὶ μόνης τῆς διδασκαλίας ταύτης, τὸ δριμύ σου τῶν ἐνθυμημάτων, καὶ τῆς ἰθυβόλου φύσεως τὸ βαθὺ καὶ ἔντονον, ἐπιδείξω; ἠδύνω γὰρ τὰ αὐτὰ ματαιολογεῖν καὶ ἐπὶ πλειόνων ἄλλων. Λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ὑμῶν ἔργα, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν οὐρανοῖς· ἀλλ' εἰ πάντες ἐκλάμψουσι, τίνες οἱ ὀψόμενοι; καὶ τὸν θεόν, ἐφ' οἷς ἴδον,

quòd quemadmodum ab avaritia abhorrens virtutes omnes contrahit; ità & avaritiæ morbus affinem & congenerem improbitatem omnem ſecum trahit. Atque ità, quod dicebam, egregius iſte conſiliarius, Dominici præcepti irriſor, qui præclara quæque ſuggerere debuit, peſſima hominibus eligenda offert, ità ut haud aliter cum felicitate vivere, non urbem, gentem, domum conſtituere, quæ conſiſtent, poſſint: imò nullos omnino progreſſus facere, ſi non, qui debebant omnium eſſe optimi, peſſimi omnium velint eſſe. Huc enim ſpectat ipſius & conſilium & politia, per inſolentiam contra mandatum Divinum, per linguæ diaſyrmos & præclaras concluſiones. Sed (mi homo) ſi tamen nihil aliud, canes illos tuos, quos ſic admiraris, Diogenem, Antiſthenem, Cratetem, cæteroſque præclaro illo conſeſſu, recolere & verecundari debueras: Illi, utcunq; per vanam oſtentationẽ veræ paupertatis characterem adulterabant: tamen amorem divitiarum deteſtabantur, cùm videri vellent amplecti inopem & immunem ab avaritia omni vitam. Apud illos poteras, quos adoras, effutire præclarum illud tuum apophthegma, ſi omnes vellent vobis obtemperare, non adhuc gens, urbs, domus ſubſiſteret: Hæc eſt enim illa tua vomitu fœdanda ad præceptum quæſtio, illa præclara ut videtur tibi: Quomodo domus vel habitatio ſubſiſtet? ſed tu, qui hæc canibus tuis objicere debueras, illos admiratus, oracula autem illa divina deriſui habes, quæ longè meliorem vivendi rationem & ab improbitate abhorrentem introducunt. Quid eſt? quòd in iſtam tantummodo doctrinam concluſiones tuæ virulentiæ intendas, & diſpoſitionis improbæ jacula incuſſa violenter ſtringas, cùm non minùs contra alia quàm iſta, ſi liberet, blaterare debeas. *Luceat ſic lux veſtra coram hominibus ut videant bona veſtra opera & glorificent patrem veſtrum qui eſt in cælis.* Quòd ſi omnes & ſinguli ſic lucerent, ubi erunt qui videant? & Deum, pro illis

quæ

quæ vident, glorificent? *Date, & dabitur vobis*, si omnes dederint, quis accipiet? *Remittite, & remittetur*, si omnes indulgentes, ubi erunt quibus indulgetur? *Diligite inimicos vestros*, si omnes diligant, ubi comparebunt qui sunt animo inimico? *Si omnes affecti contumeliâ dextram genam & sinistram obvertere debet* injuriæ illatæ, ubi erunt qui plagam infligent? Sunt hujusmodi infinita: & ut uno verbo expediam omnia, nullum planè erit Divinum mandatum, nulla exhortatio inter homines observanda, quò non pervadat hæc stulta & à ratione aliena improperatio. Qui enim ista dividit à mutuo inter se habitu ac connexione, quæ in personarum copula mandatum constituunt, & ità vult omnibus pedibus concedere in alteram partem divisionis, quæ post talem operationem constituitur: ille nullo negotio ad abolendum mandatum id quod residuum erit, assumet, consequentiam falsam eliciendo & absurdam ejus, quam comminiscitur, propositionis, quæstionísque tam fastuosæ, cum Ironia & inflatione vanâ conjunctæ. Si omnes etenim operabuntur, ubi erit, in quem tendat operatio? Ad hunc modum facilè erit impetum facere in omnem Spiritus doctrinam, per de loco superiori violentam incursationem, unde fiet, ut in pleráque si non in omnia tali modo hoc tuum examen incussisti: sed intra unius mandati exceptionem, quæ tua fuit pietas & devotio conclusisti: certè ità magìs admiramur modum tuæ actionis tam facilem & profundum: Sed erat hæc à malitia tua potiùs quàm imprudentia profecta machinatio: Intelligebas enim, si eandem objectionem in quodvis Divinum mandatum ejaculatus esses, facilè potuisse animadverti inceptum illud tam ineptum, cuivis enim esset perspicuum, quòd omnia Dei mandata eandem arrodendi exhiberent occasionem innovationis. Quòd si calumniam in uno aliquo terminaret, multò se meliùs latiturum & paratiorem aditum inventurum nequitiæ, per quem impeterentur, quæ vacabant, capita culpa, ità in quibus latitare vo-

διὰ δόξης θεραπεύσοντες; Δίδοτε καὶ δοθήσεται ὑμῖν· Εἰ πάντες ἕλοιντο διδόναι, τίς ὁ ληψόμενος; Ἀφίετε καὶ ἀφεθήσεται ὑμῖν. Εἰ πάντες ἀφῶσιν, τίνες οἷς ἀφήσουσιν; Ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν· Εἰ πάντες ἀγαπήσουσι, ποῦ οἱ ἐχθρὰς ἔχοντες; Εἰ πάντες τοῖς τὴν σιαγόνα παίουσι τὴν δεξιὰν, καὶ τὴν ἄλλην εἰς ὕβριν ἴσην ἐκδώσουσι, ποῦ οἱ τυπτήσοντες; καὶ μυρία ἄλλα· μᾶλλον δὲ * (ὡς ἔπος εἰπεῖν) οὐδεμία θεία παραίνεσις, ἐν τῇ πρὸς ἕτερον ἀφ᾽ ἑτέρου πράξει κατορθουμένη, καθ᾽ ἧς οὐκ ἔστιν ἰδεῖν τὴν ἄλογον ταύτην καὶ μωρὰν ἐπήρειαν διαβαίνουσαν· τῆς γὰρ ἐχούσης ἐντολῆς, ἐν συζυγίᾳ προσώπων, τὴν ὕπαρξιν, ὁ διαχίζων ταῦτα τῆς πρὸς ἄλληλα συναφείας καὶ σχέσεως, εἶτα πάντας ἀξιῶν εἰς θατέραν συνωθεῖν μοῖραν τοῦ τμήματος, οἷς ἐξ ἧς προβάλλεται ἡ ἐνέργεια, οὗτός γε τὴν ὑπόλοιπον πάντως εὐχερῶς εἰς καταστροφὴν τῆς ἐντολῆς παραλήψεται, ψευδεῖ καὶ ἀτόπῳ τῇ παρ᾽ αὐτοῦ συμπλασθείσῃ θέσει, ἀκόλουθον ἔχων τὸ παραινούμενον, καὶ διερωτήσει γε μάλα σεμνῶς, σὺν εἰρωνείᾳ καὶ διακενῷ φυσήματι. Εἰ πάντες ἐνεργήσουσι, τίνες ἐν οἷς ἡ ἐνέργεια; Οὕτω τοιγαροῦν ῥᾳδίας οὔσης φέρεσθαι κατὰ πάσης τῆς σχεδὸν τῆς διδασκαλίας τοῦ πνεύματος, τῆς ὑψηλῆς σου ταύτης καὶ δραστηρίου καταδρομῆς, πῶς εἰ καὶ μὴ ἐπὶ πασῶν, ἀλλά γε τῶν πλείστων, οὐκ ἀφῆκας τὴν τηλικαύτην σου βάσανον· μιᾷ δὲ μόνῃ τῶν ἐντολῶν, ὑπὸ πολλῆς εὐλαβείας συγκατέκλεισας· οὕτω γὰρ ἂν σου τῶν ἐπιχειρημάτων τὸ εὔπορον καὶ βαθὺ μᾶλλον ἀπεθαυμάζομεν· ἀλλ᾽ ἦν καὶ τοῦτο κακουργίας μᾶλλον ἢ ἀνοίας ἐπιτέχνασμα· ᾔδει γὰρ, ἤδει κατὰ πάντων μὲν τῶν δεσποτικῶν προσταγμάτων τὴν αὐτὴν κατάῤῥησιν προβαλλόμενος, εὐφώρατον ἕξειν τὸ ῥᾳδιούργημα, ἅτε δυναμένου καὶ τοῦ τυχόντος συνορᾶν, ὡς οὐκ ἂν οὕτω γε πάντα τὰ σωτήρια παραγγέλματα, τὴν αὐτὴν παρεῖχεν αἰτίαν, τοῦ δι᾽ ἑαυτῶν περιτρέπεσθαι· ἐπὶ μιᾶς δὲ μᾶλλον ἤλπισε λαθεῖν, εἰ περιγράψοι τὸ συκοφάντημα· καὶ τὸ οἰκεῖον κακούργημα παρείσδυσιν οὕτω πλέον εὑρεῖν εἰς ψόγον τῶν ἀμωμήτων ἀντιπεριενεχθήσεσθαι· ὥστε καὶ δι᾽ ὧν

* οὐκ ἐστίν.

λαθεῖν

λαθεῖν ἐμελέτησε, τὸ φιλοκακοῦργον καὶ σαθρὸν τῶν λόγων, τῶν αὐτὸς αὐτοῦ, ἐθριάμβευσεν. Ἐχρῆν δὲ τοιαύταις αὐτὸν, ἐκδεδωκότα λέσχαις καὶ κακοσχόλοις σοφίσμασι, μηδὲ τὴν διὰ τῆς ἑτέρας μοίρας τῶν προσώπων ἐπήρειαν παρελθεῖν· ἀλλ' ἐξ ὁμοίου τάχους διανοίας, καὶ ἀγχιστρόφου φρονήματος ἐπαπορεῖν, καὶ λέγειν· Εἰ δὲ πάντες, ἀντὶ τοῦ πιπράσκειν, ἕλοιντο ὠνεῖσθαι, τίνες ἂν οἱ πωλοῦντες εἶεν; τί γὰρ διαφέρει; πάντας εἰς τὴν τῶν ἀγοραζόντων μοῖραν συνελαύνοντα, τοὺς ὠνησομένους ἐπιζητεῖν· ἢ ἀνάπαλιν, εἰς ἀγοράζοντας ἀναφέροντα, τοὺς πωλεῖν ἐθέλοντας διερευνᾶσθαι, καὶ περιεργάζεσθαι· ἀλλ' ἐάσθω τοῦτο· τί δὲ σύ; ἆρα βούλει πάντας ἀνθρώπους, καλοὺς καὶ ἀγαθοὺς εἶναι, καὶ πταισμάτων κρείττους; ἢ ἀπαρέσκει σοι; ἀλλ', εἰ πάντες καλοὶ καὶ ἀγαθοὶ, ποῦ ἡ τῶν νόμων χρεία; ποῦ δὲ τῶν νομοθετῶν ὁ πόνος, καὶ ἡ σπουδὴ, καὶ ἡ πρόνοια; καίτοιγε αὐτὸ τοῦτο καλοὺς καὶ ἀγαθοὺς εἶναι τοὺς ἀνθρώπους προνοούμενοι τοὺς νόμους ἐπέθεσαν· ἡ δικαιοσύνη δὲ ἆρ' οὐκ εἰς τραγελάφους σοι καὶ σκινδάψους περιστήσεται; ποῦ γὰρ δικαιοσύνη, δίκης οὐκ οὔσης; ποῦ δὲ δίκη, μηδενὸς ἀδικοῦντος; ἀδικῶν δέ τις, πάντων εἰς ἀμείνους μεταταξαμένων; οὐχὶ δὲ καὶ ἡ πραότης συνοιχήσεται; τινὶ γὰρ πρᾶος, οὐκ ὄντος τοῦ παροργίζοντος; ποῦ δὲ ὁ παροργίζων καὶ τινά; καὶ ἡ αἰτία ποία, ἀγαθῷ γὰρ ἀγαθὸς, οὐκ ἔστιν ἐφ' ὅτῳ, κἂν βουληθῇ, παροργίσειεν· δῆλον δὲ, ὡς οὐδὲ βουλήσεται· οὐκοῦν κατὰ τοῦτογε τὸ περιπόνηρόν σου λήρημα, πολλῆς καὶ μεγάλης ἔνοχος αἰτίας, ὁ τοὺς ἀνθρώπους καλοὺς καὶ ἀγαθοὺς βουλόμενος εἶναι. Κρατυνθεί-

* ἴσ. ταύτης. σης γὰρ τῆς διδασκαλίας, οἰχήσεται τὰ κράτιστα τῶν κατορθωμάτων· καὶ αὐτοὶ οἱ νόμοι, μάταιόν τι, καὶ περιττὸς ὄχλος ἔσονται. Καὶ οὔπω λέγω, ὅτι δι' αὐτοῦ, ἀγαθοῦ ἀναίρεσις καταπράττεται· οὐδ' ὅτι ἡ τοῦ ἀρίστου αἱρέσεως εἰσαγωγὴ τῶν χειρόνων ἐπιδείκνυται· οὐ γὰρ σοφά σου, καὶ πολιτικῆς θεωρίας ἔμπλεα τὰ ἐνθυμήματα, ὁ τὰ πολιτικὰ ἡμῖν ἐπισείων, καὶ λέγων, ταύτης ἔχει τις εἰπεῖν πολιτικωτέραν τῆς ἐντολῆς; καί τοι, τὸν τὰς Πλάτωνος πολιτείας μονονουχὶ προσκυνοῦντα, μυρίας μὲν γεμούσας ἀσελγείας, μυρίας δὲ πρὸς

luit, ipse quasi in triumphum duxit suorum sermonum futilem improbitatem. Sed par profectò fuit, ut is, qui oblectabatur istiusmodi ineptis & putidis sophismatibus, minimè ex adversa fronte in contumeliam personarum descenderet; sed eâdem mentis celeritate, & animo in partes versatili addubitando diceret: si omnes loco venditionis emptionem instituant, quinam erunt vendentes? Nam quid interest? inter eum qui in partem vendentium omnes compingit, & illum qui emptores quærit: aut è contra in licitantes referentem, eos investigare, qui velint vendere: Verùm missum hoc faciamus. Quid an tu vis omnes homines bonos honestos & frugi fieri, nec lapsibus subjectos? an hoc tibi potiùs displicet? Quòd si omnes essent probi, nulla foret legum necessitas, legumlatorum cura, studium, providentia: & tamen, ut tales fierent, leges illi providè condiderunt: Justitia an non in Tragelaphos transibit, & Scindapsos? ubi enim δικαιοσύνη; si non sit δίκη· ubi illa? si nemo injuriam inferat: si singuli in meliùs immutabuntur, unà quoque abibit & mansuetudo: nam nisi sit iracundia movens, non est mansuetudo: Ubi erit ille movens qui irritabit? de qua causa, non enim si velit maximè vir bonus in bonum irritabitur, non autem ille ità velit, sic secum dum improbissimum isthoc deliramentum, culpâ non vacat, qui tenetur maximâ, qui id agit, ut homines honesti & probi fiant. Hæc doctrina si obtineat, præclara facinora evanescunt omnia: Leges ipsæ erunt inane nomen, & superfluus tumultus censebuntur. Non dum hoc urgeo, probitatem ità tolli, nec quòd melioris electio pessimas subintroducat consequentias: Neque enim prudentia, & politicæ considerationis plena Enthymemata adhuc nobis proclamat (ecquis autem magis politicam rationem inibit) utcunque Platonis rempublicam tantùm non adoret, (in qua sunt multiplices impuritates, multiplices inter

se

ſe contradictiones, & ad oppoſitum conſtitutę cuicunque reipublicæ humanæ conſtitutiones, nuſquam exiſtentes, nullibi ab omni ævo uſurpatæ: illas memoriâ recolentem rationes, & eaſdem magni æſtimantem, omnino pudore ſuffundi oportet, quoties vel nudum reipublicę nomen labiis protulerit: Aſt hic tu te ironicè gerere auſus es & tantam prætuliſti patrandi audaciam, ut quę vituperare cogitas, tacitè laudes: quę laudare vel maximè deſideras, ea vituperare te non perſentiſcas. Sed mitto in pręſenti iſtud: Opinaris, quæ tua ſumma & prudentia, principalem ſervatori ſcopum propoſitum fuiſſe, artem tradere politicam: Et quorſum non incuſas, qui eo facilè deſcendis, quòd de militibus, caſtris, ducibus, nihil ſtatuit, non docuit quomodo hoſtes ſint excipiendi, fœdera ineunda, frumentum contrahi & commeatus poſſint: Nec iniquo animo feris, quòd nihil intulerit de venalium rerum curatoribus, judicibus, legumlatoribus Cœce tu & ſtulte, itáne profundo ſomno ſepultus jacuiſti? (qui tamen totas noctes inſomnes transmeaſti, dum inepta meditaris & fruſtranea adverſus oracula Dei) ut nullum iſtius ſenſum habueris, quòd Deus & Servavator noſter de formis politicis & actionibus, nullam principalem habuit intentionem ſtatuendi. Intelligebat enim homines ſatis ab experientia inſtructos ad iſta, quibus neceſſitas & uſus, facilè ad eam aditum diſcendi faciebat quotidiè, & à præcedentibus admiſſi errores in ſimilibus actitandis expeditam ſuppeditarent emendationem. Quòd ſi admiſſus inibi error fuerit, ad ſtatum facile præclarum reducetur: Scopus Servatori primarius fuit, animarum ſalus: vitæ ſublimioris philoſophicæ inſtitutio: Per iſtam etenim à paſſionibus quies, converſio ad ſummum bonum, & conjunctio cum eodem, cura, & ſtudium docebatur, non civilis alicujus converſationis, aut felicitatis corporalis: Enimverò Servatoris noſtri iſta admonitio iis qui carnem & corpus di-

ἑαυτὰς μάχης, καὶ πολεμιωτάτας μετὰ πάσῃ ἀνθρωπίνῃ πολιτείᾳ, τὸ ἀνύπαρκτον δὲ καὶ ἀνύσιον παρ' ὅλον τὸν αἰῶνα πολιτευομένας· τὸν ἐκείνας ἐν μνήμῃ λαμβάνοντα, καὶ ταύταις ἐνσεμνυνόμενον, ἆρ' οὐκ ἐχρῆν ὅλως αἰσχύνεσθαι, καὶ αὐτὸ τὸ τῆς πολιτείας ὄνομα ψιλὸν διὰ χειλέων προάγειν; σὺ δὲ καὶ ἐπειρωνεύειν ἡμῖν ταύτην ἐθρασύνθης· καὶ τοσοῦτόν σοι τὸ δραστήριον, ὅτι ἃ μὲν ψέγειν σπουδάζεις, ἐπαινεῖς λανθάνων· οἷς δὲ τὸν ἔπαινον φέρειν ἀγωνίζῃ, ταῦτα ψέγων οὐκ αἰσθάνῃ. Ἀλλ' ἐῶ μὲν τοῦτο τέως· ἐνόμισας δὲ ἄρα ὑπὸ πολλῆς σοφίας σου, ὡς καὶ προηγούμενον εἶχε σκόπον ὁ σωτὴρ πολιτικὴν παραδοῦναι τέχνην· πῶς οὖν οὐκ αἰτίαις ὑπάγεις, (καί τοι φιλαιτιώτατος ὤν, καὶ πνέων τὴν ὕβριν,) ὅτι μηδὲν περὶ στρατηγῶν, μηδὲ στρατοπέδων, μηδὲ στρατιωτῶν ὥρισεν· οὐδ' ὅπως δεῖ πολεμίοις διὰ μάχης ἰέναι, οὐδ' ὅτε σπένδεσθαι· ἀλλ' οὐδ' ὅσου δέοι τὸν σῖτον ἢ τὰ ἄλλα παρασκευάσασθαι· ἀγορανόμους δὲ καὶ δικαστὰς καὶ νομοθέτας, ὁποῖοί τε ἔσονται καὶ ὅσοι, οὐ δυσχεραίνεις ὅτι μηδὲν εἰσηγήσατο; τυφλὲ καὶ μωρὲ, οὕτω βαθὺν ὕπνον ἐκάθευδες, (καὶ ταῦτα τὰς νύκτας ἄϋπνος τελῶν, ἐπὶ τῇ κατὰ τῶν θείων λογίων ματαιοπονίᾳ·) ὥστε μηδὲ τούτου συναίσθησιν δέξασθαι, ὅτι περ ὁ σωτὴρ ἡμῶν καὶ θεὸς, τῶν μὲν πολιτικῶν τύπων, καὶ τῆς περὶ αὐτὰ τάξεως οὐκ εἶχε προηγούμενον τὸν σκοπόν· ᾔδει γὰρ ᾔδει τοὺς ἀνθρώπους ἱκανὴν τῇ πείρᾳ παρασκευὴν πρὸς ταῦτα λαβεῖν· τῆς χρείας καὶ τῆς ἀνάγκης τὴν μάθησιν αὐτοῖς ὁσημέραι ῥᾳδίαν παρεχομένης, καὶ τῶν προλαβόντων τὰ πταίσματα ἀποχρῶσαν τοῖς ἐσομένοις ἐπὶ τῶν ὁμοίων ἀντεισάγειν τὴν διόρθωσιν. Εἰ τί δὲ καὶ ταύτης ἡμάρτητο καὶ τοῦ μὲν πρὸς τὸ εὖ ἔχον καὶ καθεστηκὸς ἐπανορθούμενος μετερύθμιζε· προηγουμένη δὲ τῷ σωτῆρι φροντὶς, ἡ τῶν ψυχῶν ὑπῆρχε σωτηρία, καὶ εἰσαγωγὴ βίου φιλοσόφου καὶ ζωῆς ὑψηλοτέρας· διὰ ταύτης γὰρ ἡ τῶν παθῶν ἐλευθερία, καὶ ἡ πρὸς τὸ πρῶτον ἀγαθὸν ἐπιστροφὴ καὶ συνάφεια, ἀλλ' οὐ πολιτικῆς διαγωγῆς ἢ σωματικῆς εὐδαιμονίας ἡ ἐπιμέλεια κατεβέβλητο· ταύτῃ τοι καὶ τοῖς φιλοσάρκοις καὶ φιλοσωμάτοις ἡ δεσποτικὴ παραίνεσις,

ὥσπερ δὴ καί σοι δυσοιστότε καὶ δυσάρεστος· ἐχρῆν δὲ ἄρα, εἴπερ τις ἦν λογισμὸς, κἂν γοῦν ἐν ταῖς συκοφαντίαις μελετῶν, φυλάττειν τὸ ἀκόλουθον, μὴ ὅτι οὐκ ἔστι πολιτικὴ ἡ δεσποτικὴ ἐντολὴ ἐν εἰρωνεί λόγῳ διαθρύπτεσθαι· ἀλλ' ὅτι οὐ φιλόσοφος οὐδὲ φιλοσόφου βίου κρηπίς· οὐδὲ, ἐξ ὧν μὲν ἐκείνη ψόγον οὐκ ἐδέχετο, τοῦτο αἰτιασάμενος· καί τοι κἂν τούτῳ ματαιολογεῖν προεληλεγμένος, δι' ὧν δ' ἂν ἐντολὴ τοιαύτη ψεχθείη, μηδὲ μεμνῆσθαι θαῤῥήσας καὶ τὸ τῆς σῆς γνώμης φιλαίτιον καὶ φιλοκακοῦργον καὶ σαθρὸν ἀμάχῳ λόγῳ διήλεγξας· καὶ τὸ τῆς ἐντολῆς κρεῖττον μώμου καὶ διαβολῆς ἁπάσης καὶ ἄκων προσεμαρτύρησας. Ὅρα δὲ λοιπὸν, ὅπως αὐτὸς ἑαυτῷ ὑποθέμενος τὸ ἀδύνατον καθ' ἑτέρου δοκεῖ συνάγειν τὸ ἑπόμενον ἄτοπον. Λέγων γὰρ, ὅτι πωλούντων ἁπάντων, τίς ὁ ὠνησόμενος, ἀδυνάτῳ μὲν αὐτὸς θέσει τὴν ἀτοπίαν ἐφέλκεται· οἴεται δὲ οὐ τῆς αὐτοῦ ῥᾳδιουργίας εἶναι τὸ ἔγκλημα, τὴν ἐπηρεαζομένην δ' ἐντολὴν παρέχειν τὸ αἴτιον· οὐ γάρ ἐστιν, οὐκ ἔστιν κἂν πολλάκις τοῦτο Χριστὸς παραινέσειεν, κἂν μυρίαις ἀπειλαῖς καταδήσειεν, κἂν ἀστραπὰς καὶ βροντὰς καὶ κεραυνοὺς καὶ γῆς χάσματα τοῖς λόγοις συνεπαφήσειεν· οὐκ ἔστι δυνατὸν ἅπαντας μὲν ὑφ' ἕνα καιρὸν ἑλέσθαι πωλεῖν, οὐδένα δὲ ὑπολελεῖφθαι τὸν φιλοκερδῆ καὶ φιλόπλουτον· εἰσὶ γὰρ εἰσὶ κατὰ πάντα καιρὸν οὗτοί τε κἀκεῖνοι· βάσιμος δὲ οὐδέποτε πᾶσιν ἅμα ἡ ἀρετὴ ἀγαπητὸν, δὴ κἂν οἱ πλείους καὶ ἀνὰ μέρος· ἀλλ' οὐδὲ τοῦτο ῥᾷον, οὐδ' ἐπὶ τινὸς ἐστὶν ἰδεῖν· ἀρετῆς ἐλάττους γὰρ ἀεὶ ταύτης ἢ οἱ τῆς κακίας ἐρασταί· οὐ μὴν διὰ τοῦτο προσήκει τὸν ἀνθρωπίνου γένους προνοητὴν τοὺς νουθετικοὺς λόγους ἀφαιρεῖν καὶ τὴν διδασκαλίαν προελεῖν, διότι μὴ πάντας πειθομένους ἔχει· ἀλλ' ὅτι πολλοῖς ἐγγίνεται δι' αὐτῶν, φυγὴ μὲν τοῦ χείρονος, αἵρεσις δὲ τοῦ βελτίονος, διὰ τοῦτο δεῖ πάντας ἐπ' ἀρετὴν παρακαλεῖν. Κἀκεῖνο δὲ σκοπεῖν ἔξεστιν, ὅπως μηδὲν προορώμενος ὁ συνετὸς οὗτος καὶ ταχὺς ἐν θεωρίᾳ, τὸ ἐπειδὴ λέγοι. Πῶς γὰρ πάντες πωλήσουσιν; ἆρα πάντες πλούσιοι, καὶ πένης οὐδείς; οὐδεὶς δὲ οὐδὲ τῶν ἐν αὐταρκείᾳ μόνῃ βιούντων; καί τοι

ligunt, uti ac tibi non placet, sed videtur intolerabilis: si ergo inerat aliqua ratio, licet tota sycophantiis scateret, observare debueras consequentias, nec per Ironiam cavillari, quòd politicum nil sapiat Christi sermo: sed quòd vitę illius & conversationis fundus philosophicam vitam non attingat: Ac tu, in quibus minimè vituperandus ejus sermo fuerat, accusas tamen: Tibi namque propositum fuit ineptias effutire, nullâ illius injectâ mentione quod concedere in vituperium præcepti poterat: Ità invalidam & fluidam protulisti rationem, quæ mentem tibi calumniandi avidam malefaciendi cupidam & putridam declaras: & ut non sponte tamen mandatum, ultra omnem vituperii & calumniæ aleam positum. Videsis ulteriùs, qualiter ille qui sibi impossibile proposuerat aliter videtur consequens absurdum inferre: Nam cùm dixerat, si omnes vendant, quis erit emptor? per thesin impossibilem absurdum quod est infert: Opinatur autem non ejusdem esse stultitiæ, crimen calumniis petitum mandatum quasi culpæ causam: Non est enim licet Christus illud toties commonefecerit, licet multis minis devinxerit, licet fulgetra, fulmina, tonitrua, hiatus terræ sermonibus suis adjunxerit: Non est possibile, ut omnes per idem momentum vendere velint, ità ut nemo avarus & divitiarum cupidus relinquatur, semper enim & ubique tales existunt: Non est virtus omnibus parabilis: sufficit si eam ambiant plures sigillatim: sed nec illud obviàm, nec in aliqua virtute observandum; pauciores virtutem quàm vitia adamant: Nec tamen debet humani generis curam suscipiens, consilium omittere dandum aut informationi supersedere, quòd non omnes obtemperant: Sed quòd multi ab hoc ortu profecti, malum quod est fugiunt, bonum eligant, idcirco generatim admonendi sunt omnes ut virtutem colant. Sed & illud intueri etiam licet, quòd prudens iste & acutus in discernendo nihil videbat, cùm proferret illud dictum: Quomodo omnes vendent? An omnes divites, nec quisquam pauper, nullus qui suis contentus vivit?

cùm

cùm videas pleróſque in talibus vivere: Divites multò pauciores ſunt: ubi ergò omnes locupletes invenies, unde tibi tam obſequentes, ut res ſuas vendant? Sed videris iſta è Platonis republica collegiſſe, nempe nullibi inveniendos, nuſquam exiſtente tali republica: ſi quis egregium tuum hoc & curioſum examen, & exquiſitam ignorantiæ legem in ipſa ſancita velit remittere, & admirabilia doctorum & majorum apothegmata, riſus & ludibrii argumentum abundè ſuppeditaretur: examen illud tuum in nos collatum, nihil præter hoſtilem calumniam, ambitionem glorioſuli, nihil ſani ſuggeret: Quòd ſi in authores regeratur, lex erit amantis viri, judicium inimicitiis vacuum, redargutio vera, nec injuria: Tua ſcita igitur, per tua ſcita evertuntur, & diffunduntur irriſa; cùm noſtra nullo horum impetantur; ſed impudentiam, audaciam, calumniam accuſatoris convincunt. Sed ſi omnes venderent, quæ domus tam pretio, aut valore ſuo conſtare poſſet? Hem tuam exaccuratam Dialecticam! oh gravitatem! Papæ! quàm Rhetorica perſuaſio, quàm ſeveritas hæc pungit, & ſæpè, & longè à conſequentia intuetur! quàm verborum pompum in refutando præ ſe fert! quæ convitia de trivio arrepta in nos congerit! Certè triobolaris anus de vigiliis Deorum tuorum per compita permeans, vino madefacta, an non magìs appoſitè, & exactè reſponderet? Quæ domus pretio conſtare poterit? & quidnam magìs honoratum, quàm æqualitas inter eos quibus eſt natura æqualis? quid magìs optabile, quàm ut qui eandem civitatem colunt, æquali ſtatu & conditione perfruantur? Sed inæqualitas, ſed tyrannis apud te in pretio, vel doli, ſed cauponantium, & licitatorum in vicinos machinæ & artificioſæ fraudes: Omnes enim opes, vel novos, vel antiquos fontes eoſdem habent, per quos Apoſtata ſuum Honorabile magnificare vult. Qui planè, ut & cætera ignorabat, quid apud Deum honorificum eſſet veritate, ac quid

τὸ πλεῖστον τῶν ἀνθρώπων ἐν τοιούτοις ὁρῶμεν ἐξεταζόμενον· πλούσιοι δὲ παρὰ πολὺ τῶν ἄλλων ἐλάττους· πόθεν οὖν πάντας ἀνθρώπους πλουσίους εὗρες, καὶ πωλεῖν αὐτοὺς τὰ ὑπάρχοντα πειθηνίους ἔχεις; ἀλλ' ὡς ἔοικεν, ἐκ τῆς Πλάτωνος τούτους συνελέξω πολιτείας, ἐκ τῆς μηδαμῇ μηδαμῶς ὑφεστώσης, τοὺς οὐδαμοῦ εὑρισκομένους· εἰ δέ τις τὴν καλήν σου ταύτην καὶ περίεργον βάσανον καὶ τὸν ἀκριβῆ τῆς ἀνοίας νόμον, ἐπὶ τὰς σὰς ἐπαφήσει νομεθεσίας, καὶ τὰ θαυμαζόμενά σοι τῶν διδασκάλων καὶ πατέρων ἀποφθέγματα, ἆρ' ἐστὶν ὃ μὴ γέλωτος καὶ χλεύης ὑπόθεσις εὑρεθείη; καίτοι καθ' ἡμῶν προβαλλομένη σου ἡ βάσανος, ἐχθροῦ διαβολὴν καὶ φιλαιτίου δόξαν ἀνδρὸς, καὶ ἕτερον ὑγιὲς οὐδὲν, μηνύει· κατὰ δὲ τῶν ἰδίων ἐπαφιεμένη, φιλοῦντος νόμος, καὶ κρίσις ἔχθρας κεχωρισμένη, καὶ ἀληθὴς ἔλεγχος, καὶ μάλα δικαίως ἂν νομισθείη. ὥστε τὰ μὲν σὰ, διὰ τῶν σῶν ἀνατέτραπται καὶ διαπέπαικται· τῶν δ' ἡμετέρων οὐ μόνον οὐδενὸς καθάπτεται, ἀλλὰ καὶ ἀνοίας καὶ θράσους δι' ὧν ἔφθασε συκοφαντεῖν, ἐλέγχους ὑπέχει. Ἀλλ' εἰ πάντες πωλήσειαν, ποῖος οἶκος ἔντιμος εἶναι δύναται; ὢ διαλεκτικῆς ἀκριβείας καὶ δεινότητος! βαβαὶ τῆς ῥητορικῆς σου πιθανότητος καὶ δριμύτητος! ὁ πολὺς ὁρᾶν, καὶ πόῤῥωθεν, τὸ ἑπόμενον! ὁ τοῖς ῥήμασι σοβαρὸς, καὶ ταῖς ἀνατροπαῖς ἀνυπόστατος! ὁ τὰ ἐκ τριόδου κατονειδίζων ἡμῖν! ἆρα γραῦς ἐν τριόδῳ ἐκ παννυχίδων ἥκουσα τῶν σῶν θεῶν, καὶ οἴνῳ διάβροχος, οὐχὶ τούτων ἐντρεχέστερά τε καὶ ἀστειότερα φθέγξαιτο; Ποῖος οἶκος ἔντιμος εἶναι δύναται; καί τι τῆς ἰσότητος, εἰπέ μοι, τοῖς ἰσότιμον λαχοῦσι φύσιν, τιμιώτερον; τί δ' εἰς αἵρεσιν ἄμεινον, οἷς τὴν αὐτὴν πόλιν γέγονεν οἰκεῖν, ὑπὲρ τοῦ κοινῆς ἀπολαύειν καὶ ὁμοίας πολιτείας; Ἀλλ' ἡ πλεονεξία, * ἡ τυραννὶς σοὶ * ἴσ. ἢ
τὰ ἔντιμα, ἢ οἱ δόλοι καὶ τὰ τῶν παλιγκαπήλων καὶ μεταβολέων ἐπάρατα κατὰ τῶν πλησίον μηχανήματα καὶ τεχνάσματα· πᾶς γὰρ ὡς ἐπίπαν πλοῦτος ἢ πρόσφατος ἢ παλαιτέρας ταύτας ἔχει τὰς πηγὰς τῆς γενέσεως, δι' ὧν ὁ παραβάτης ἀποσεμνύνειν ἔγνω τὸ ἔντιμον. Ἀλλ' ὅλως ἠγνόηκεν, ὥσπερ ἅπαντα, τί μὲν τὸ ἀληθῶς, καὶ παρὰ θεῷ τίμιον, τί δὲ τὸ

μὴ οὕτως ἔχοι· Ἄνθρωποι μὲν γάρ, καὶ τό γε δὴ ἐξ ἀγέλης, οὐ γὰρ ἂν οἵ γε φιλοσοφίας καθαρὸν τὸν ἔρωτα συντηρήσαντες, πρὸς ἓν μόνον τὸν πλοῦτον, καὶ τὴν ἐξ αὐτοῦ τρυφὴν καὶ δόξαν κεχηνότες, κἂν μυρίοις ὁ κεκτημένος βρύῃ κακοῖς, τίμιον αὐτὸν καὶ μακάριον ἡγοῦνται. Θεὸς δὲ τὸν εὐσεβῆ τιμᾷ, καὶ τοῖς φιλαρέτοις τὸ εὐκλεὲς ἀπονέμει, κἂν ὁ τῶν χρημάτων αὐτοὺς ὄγκος οὐ φλεγμαίνει, οὐδ' ὁ ἐκεῖθεν τῦφος καὶ ἡ τρυφὴ περιβλέπτους ποιεῖ· μᾶλλον δὲ οἷς ἡ δόξα διὰ τούτων, οὐδ' ὁ τῆς ἀρετῆς ἐθέλει πόθος, οὐδ' ὁ τῆς εὐσεβείας ζῆλος περιεῖναι· ἔδει τοιγαροῦν ἔδει, θεὸν ὄντα τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, τὸν ἐπὶ σωτηρίᾳ τοῦ γένους κενώσαντα ἑαυτόν, καὶ παραπλησίως ἡμῖν σαρκὸς καὶ αἵματος κοινωνήσαντα, μὴ πρὸς τὸ ἡδὺ καὶ κεχαρισμένον τοῖς τὰ ἐπίγεια φρονοῦσιν ἰδεῖν, μηδ' ὅσα κακίαν φύει τούτων εἰς ῥίζας περιορᾶν, καὶ καρπὸν τὰ σπέρματα διαδιδόναι· ἐκεῖνα δὲ νόμον καὶ παράγγελμα ποιεῖν, δι' ὧν πρόρριζα μὲν τέμνεται τὰ πάθη, ἀρετῆς δὲ πάσης καὶ θεωρίας εἰλικρινοῦς κατορθούσας ἡ τελείωσις· ὧν οὐδεμιᾶς ἐνδεῖ, μᾶλλον δὲ πλειόνων, ἐξ ὧν εἴρηται, τὸ κράτος ἐπέχει καὶ ἡ προκειμένη παραίνεσις. Ἀλλ' ἄρα μήποτε ῥηθῆναι μὲν ἡ ἐντολὴ ἅπαν διαφεύγει παράλογον, καὶ τῆς ἐκ λόγων λαβῆς ἕστηκεν ὑψηλοτέρα· πραχθῆναι δὲ οὐχ ὁμοίαν ἔλαχε φύσιν· ἐνδεῖ δὲ τῆς ἐν ῥήμασιν ἀκολουθίας, ἡ ἐν ταῖς πράξεσιν ὕπαρξις, καὶ τίς οὕτως ἔχει δι' αὐτῶν τῶν ἔργων ἐναργεστάτην παρέχειν τὴν ὑπόστασιν, καὶ τὸ ἐν λόγοις ἀκόλουθον ὁμόλογον τῇ πρακτικῇ οὐσιώσει ἐπιδείξασθαι. Ἐπεὶ γὰρ ἡ σωτήριος αὕτη παραίνησις διὰ τῶν δεσποτικῶν καὶ ἀχράντων χειλέων προεληλύθει, ἐξ ἐκείνου μέχρι νῦν οὐκ ἔστι χρόνον εὑρεῖν, ἐν ᾧ οὐκ ἔστι ταύτην ἰδεῖν ἐν ταῖς τῶν ἀνθρώπων ψυχαῖς διερριζωμένην, καὶ ἐμβαθύνουσαν, καὶ εἰς πλάτος καὶ μῆκος αὐξάνουσαν, συναύξουσάν τε τὰς ἄλλας ἀρετὰς καὶ συναπαρτίζουσαν· τότε μὲν γὰρ τρισχίλιοι καὶ πεντακισχίλιοι, εἶτα καὶ πλῆθος ἐκφυγὸν τὴν ἀπαρίθμησιν, συνιόντες ἀλλήλοις, καὶ τῶν ἰδίων ἐξιστάμενοι, κοινὰ τὰ ὄντα προυτίθεσαν, καὶ πένης ἦν οὐδεὶς ἐν αὐτοῖς (ὢ θαυμασίας ἰσομοιρίας καὶ πρὶν πραχθῆναι μηδ' ἐλπιζομένης.) οὐδὲ πλούσιος. Ὅσοι γάρ,

non: homines enim, licet non gregarii, sed philosophi, qui illibatum conservant amorem, unicas tantùm divitias earúmque lautitias & gloriolam inhiant, & utcunque qui eas possident opes multis malis scateant, honorandum tamen & beatum judicant. Deus pietate præditos honorat, & gloriam dat virtutem diligentibus, licèt opum illos tumor non inflet, nec typhus aut luxus observabilis fuerit: Nam qui gloriam inde aucupantur, nec virtutis desiderio, nec pietatis aliquo tanguntur zelo; æquum erat ergò, ut Dominus & Deus noster Jesus Christus, qui ob generis nostri salutem se evacuaverat, & carnis nostræ atque sanguinis fiebat particeps, non id quod suave & acceptum est iis, qui terrena sapiunt, aut quæ nequitiam progerminant, eorum radices consideraret, & semina sereret ejusmodi fructum producentia; sed, ut leges & edicta illa sancire per quæ radicitùs passiones evelluntur, virtutis, & contemplationis puræ perfectio consummatur: Nullo illorum indiget, imò multipliciter ea continet præsens admonitio & consilium: Sed fortassis nihil est in hoc consilio absonum, aut absurdum, nec ansam quod præbeat justè carpendi. Sed non tam facilè natura fert, ut fiat, & actione compleatur deficit actus, nec aspirat ad orationis sequelam, nec quis opere subsistentem actionem suggeret, aut conformem sermoni. Consilium hoc salutiferum per purissima Domini labia prolatum, ab omni præterita memoria ad hunc usque diem semper animitus hominibus radicatum, & profundè, latè, longè augmentum capiens, virtutes cæteras perfectas consummavit: ter mille quinquies mille olim, & postea innumerabilis hominum multitudo, in commune convenientes, & de propriis decedentes, communia voluerunt esse quæ possidebant, nec inter eos quispiam pauper erat, (erat hæc mirabilis æqualitas, nec speranda nisi cum adhiberetur) sed nec dives. *Quicunque enim,*

ait

ait Scriptura, *domos vel agros poſſidebant, vendebant, & pretium adductum ad pedes Apoſtolorum deponebant, diſtribuebatur cuique prout indigebat.* Audis Juliane: Qui poſſeſſores erant, vendebant: Nonne omnes? ſed tum ab initio mandatum illud ità ſplendidè ferebatur, ut opere floreret: Ab eo tempore ad hunc uſque diem, non modo florem ſummè immarceſſibilem conſervatum videmus, unde animæ hominum circumfuſo odore perfuſæ ad virtutum omnium ſalutiferam, & vivificam fragrantiam trahuntur à corrupta paſſionum affectione, quæ plurima maleolentia exhalat: ſed omnes terrarum orbes acta diffuſa pertranſivit, non tantùm viritim, ſed populatim, & infinitam planè multitudinem, hominum monaſticam, hoc eſt cœleſtem vitam amplectentium ſuper terram, qui opera ſua extenderunt, & præſcripto mandati cum ſumma omnium laude & prædicatione: Ità domini noſtri verba efficacia & actuoſa, magnopere ſunt, ob hoc ipſum, admirationis, animas hominum meritorum ad ſe convertentia, & verbi ſemen inſpergentia ſatis profundè faciunt, ut à fructibus arbor cognoſcatur: & per fructum atque arborem hortulani potentia & ſapientia laudetur, cujus laudis opulentum ſatis ſegetem ſuggerunt, & tamen nondum per hæc tot & talia encomia, naturalis enim magnificentia ſatìs abundè manifeſtatur, nam multarum præterea virtutum ſubſiſtentiam ſuſtentat & complectitur: & certè, niſi quis pari cum Juliano judicio divino occœcatus, in clariſſima luce aberrabit, ſummopere admiraturus eſt naturalem ejus vim, ſublimem illam & ſalutiferam? Qui cœleſtem converſationem terreſtri ſua vita repræſentant, ii diſcerni facile poſſunt, hoc fundamento imprimis innixi, *Vendite quæ poſsidetis, & eleemoſynam date:* cui ſic jacto, cæteras ſuperſtruunt virtutes: ità ut ſine illo, ſubſiſtere non poſſe purè illæ videantur. Quocirca

φησί, κλήτορες χωρίων ἢ οἰκιῶν ὑπῆρχον, πωλοῦντες ἔφερον τὰς τιμὰς τῶν πιπρασκομένων, καὶ ἐτίθουν παρὰ τοὺς πόδας τῶν ἀποστόλων, διεδίδοτο δὲ ἑκάστῳ καθ' ὅ τις χρείαν εἶχεν· Ἀκούεις Ἰουλιανέ, ὅσοι κλήτορες, οὗτοι ἐπώλουν· οὐχὶ ἅπαντες; ἀλλὰ τότε μὲν ἐξ αὐτῆς ἀρχῆς οὕτως εἰς πλῆθος ἡ ἐντολὴ τελεσιουργουμένη, λαμπρῶς ἐπεδίδου καὶ ὑφειστήκει ταῖς ἐνεργείαις ἐνακμάζουσα· * ἐφεξῆς δὲ μέχρι νῦν, οὐκ ἀμάραντον μόνον τὸ τῆς ἀκμῆς ἄνθος διεσώσατο, δι' οὗ τὰς ἀνθρωπίνας ψυχὰς περιανθίζουσα, ἀπὸ τῆς τῶν παθῶν σηπεδόνος πολὺ τὸ δυσῶδες ἐναποπνεούσης, ἐπὶ τὴν τῶν ἀρετῶν σωτήριον καὶ ζωοποιὸν εὐωδίαν συνεφέλκεται· ἀλλά γε δὴ καὶ πάντα τῆς οἰκουμένης τὰ πέρατα, ταῖς ἐνεργείαις περιλαβοῦσα καὶ διαβρέχουσα, οὐ κατ' ἄνδρα μόνον, ἤδη δὲ καὶ κατὰ δήμους ὅλους, καὶ ἀριθμοῦ κρείττω, συστήματα τῶν ὡς ἀληθῶς μονάδα βίον καὶ οὐράνιον πολίζουσά τε τοῖς ἐπὶ γῆς, καὶ πλατύνουσα δι' αὐτῶν τῶν ἔργων, ὅσον ἐστὶν αὐτῆς τὸ ἐν τοῖς λόγοις ἀκόλουθον μᾶλλον, ἢ διὰ τὸ κατὰ τὸν λόγον ἀκολουθίας τὸ ὑφεστὸς αὐτῆς ἐν τοῖς ἔργοις καὶ περιούσιον λαμπρῶς ἐπιδείκνυσιν· οὐ μὲν ἀλλά γε, καὶ τῶν δεσποτικῶν ῥημάτων τὸ ἐνεργόν, καὶ τὴν δύναμιν οὐδὲν ἧττον δι' ἑαυτῆς παρέχει θαυμάζεσθαι· τὰς γὰρ ἀνθρωπίνας ψυχάς, ὅσαι ἄξιαι, πρὸς ἑαυτὴν ἐπιστρέφουσα, καὶ τὸν τοῦ λόγου σπόρον ἐνιεῖσά τε καὶ ἐμβαθύνουσα, ἀπὸ τοῦ καρποῦ τὸ δένδρον ἐπιγινώσκεσθαι, καὶ δι' αὐτῶν τοῦ φυτοκόμου πάλιν τὴν ἰσχὺν καὶ σοφίαν ἐξυμνεῖσθαι, παρασκευὴν πολλὴν συνεξεύρατο· καὶ οὔπω γε διὰ τούτων, καίπερ τηλικούτων ὄντων, ἐφ' ὅσον ἥκει τὸ μεγαλεῖον τῆς φύσεως αὐτῆς ἐμφανίζεται· ἀλλ' ὅτι καὶ τὴν ἄλλων ἀρετῶν καὶ κατορθωμάτων ὑπερείδει τε καὶ συνέχει τὴν ὕπαρξιν. Πῶς, εἰ μή τις Ἰουλιανοῦ τὴν ἴσην δίκην ὑπέχων τυφλὸς τῷ φωτὶ περιπλανώμενος διελέγχοιτο, οὐκ ἂν ὑπεραγασθείη τὸ ἐν τῇ φύσει κράτος αὐτῆς καὶ ὑψηλὸν καὶ σωτήριον; οἱ γὰρ ὅσοι τὴν οὐράνιον πολιτείαν, δι' ὧν βιοῦσιν ἐπὶ γῆς, ὑπογράφουσι, τούτους δὴ τούτους ἐν ἐστὶν ὁρᾶν αὐτὸ τοῦτο πρῶτον, θεμέλιον, οἷον καὶ ὑπόβαθρον, τό, πωλήσατε τὰ ὑπάρχοντα, καὶ δότε ἐλεημοσύνην, ὑποβαλλομένους καὶ οὕτω τὰς ἄλλας ἀρετὰς ἐποικοδομοῦντας· ὡς ἄνευ ταύτης, μηδεμίας ἄλλης ὑφεστάναι καθαρῶς δύναμιν ἐχούσης.

*ἴσ. ἐξ ἐκείνης

ἐχούσης. διὸ πωλοῦντες πρότερον τὰ ὑπάρχοντα, καὶ τοῖς δεομένοις διανέμοντες, πῶς ἄν τις ἀξίως ἐξυμνήσῃ τὸ θεῖον καὶ θεουργικὸν καὶ φιλάνθρωπον τῆς παραινέσεως; οὕτω γυμνοὶ λοιπὸν καὶ χρημάτων καὶ προσπαθείας ἄλλης γηΐνης, τοὺς ἀσκητικοὺς ἄθλους ὑποδύονται, πρὸς ἓν μόνον τὸν νοῦν ἀνατεινόμενοι, καὶ τὴν ἔφεσιν ἔχοντες, εἰς τὸ κατὰ Παῦλον, ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι· δι' οὗ, τοῦ πατρὸς ἐν ἁγίῳ πνεύματι (ὢ μακαρίου θεάματος) ἡ τελεωτέρα, καὶ χωρὶς τῶν ἐσόπτρων γνῶσις, συναποκαλυπτομένη τε καὶ συναπαστράπτουσα τὸ πρῶτον ἀγαθὸν εἰς ἀπόλαυσιν τοῖς θεαταῖς, καὶ τῶν ἐφετῶν χαρίζεται τὸ ἀκρότατον· οὕτω δὴ οὕτως ἡ σωτήριος αὕτη καὶ δεσποτικὴ ἐντολὴ οὐ ῥηθεῖσα μόνον τὸ εὔλογόν τε καὶ ἀκόλουθον πολλῇ δυνάμει συνδιεσώσατο ἅπαν μαχόμενον καὶ πολεμεῖν ἠρμένον τρεψαμένη τε κατὰ κράτος, καὶ καταισχύνασα· ἀλλὰ καὶ πολύγε πλέον τὸν εἱρμὸν τῶν λόγων, καὶ τῆς γνώμης τὸ ἀνεπίληπτον, διὰ τῆς κατὰ τὰς ἐνεργείας περιφανείας τε καὶ ὑπάρξεως τῆς ἀνὰ πᾶσαν τὴν ὑφ' ἡλίῳ ἐντελέστερόν τε καὶ θαυμασιώτερον ἐπεδείξατο, καὶ κρεῖττον ἢ κατ' ἰσχύν τε καὶ φύσιν ἐπιχειρημάτων, τοὺς τετολμηκότας αὐτὴν ἐξυβρίζειν τῆς μηχανώσης αἰσχύνης τὸ σκυθρωπὸν ὑπελθεῖν ἐρύθημα κατεπράξατο. Ἀλλὰ τοσαῦτα μὲν, ἐξ ὧν ἡ λήθη μὴ προκατέλαβε πρὸς Ἰουλιανὸν τὸν ἀποστάτην κακουργοῦντά τε καὶ κατὰ τῆς εὐσεβείας ἡμῶν θρασυνόμενον εἰρήσθω. Σοὶ δὲ φιλομαθοῦντι, καὶ τὸ θεῖον θεοπρεπῶς ὀργιάζοντι, καὶ ὀλίγα τῶν εἰρημένων ἐξαρκέσειν, οἶμαι πρὸς τὴν τῆς ἀπορίας ἐπίλυσιν.

cùm vendideritis primò quæ possidetis, & indigentibus distribueritis, omnino hoc Christi consilium, ut Dei opus, ut humanitate plenum, celebrabitur: Ad hunc modum nudi demum homines, opibus & passionibus vacui terrenis, ad certamina athletica se componunt, in illud solùm mente intenti, & scopum directum habentes, quod Paulo dicitur, *Cupio dissolvi, & cum Christo esse:* Unde visio paterna, in Spiritu Sancto, (felix omnino visio) perfecta, & sine speculo revelata, & revelans bonorum primum, & desideratorum summum intuentibus fruendum, repræsentat: Atque ità Servatoris Domini mandatum, non modo dictu rationabile & consequens videtur esse, & multa veritate fulcitum, sed quicquid ad oppositum repugnat, fugat prævalendo & pudore suffundit: sed & multò magis seriem verborum & sententiarum censurâ vacuam, per operationes eximias & subsistentiam universam sub sole consummatiorem & admirabiliorem ostendit, atque ultra vim & naturam epichirematrum: ità ut audentes ipsam violare dedecus cum pudore subire coegerint. Atque hæc hactenus, ex iis quæ oblivio non prævenit, contra Julianum Apostatam nequiter & impiè contra veritatem insolescentem dicta sunto. Tibi, discendi cupido, & divina oracula, ut divinis rebus convenit, edocto, etiam pauca è dictis, scio, sufficient ad quæstionis solutionem.

Ἐπιστ. ρπη'.

Ἀπὸ τῆς ὑπερορίας τοῖς συνδεδιωγμένοις ἐπισκόποις.

Ὁ διωγμὸς βαρὺς, ἀλλ' ὁ τοῦ δεσπότου μακαρισμὸς ἡδύς· ἡ ὑπερορία χαλεπὴ, ἀλλ' ἡ τῶν οὐρανῶν βασιλεία τερπνή. Μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης, ὅτι αὐτῶν ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν· πολλαὶ αἱ θλίψεις, καὶ πᾶσαν ὑπερβαλλόμεναι χαλεπότητα· ἀλλ' ἡ ἐκεῖθεν χαρὰ καὶ ἀγαλλίασις, οὐ μόνον κουφίζειν οἶδεν αὐτῶν τὴν δριμύτητα· ἀλλὰ τοῖς

Epist. 188.

Ab exilio, ad episcopos similem passos persecutionem.

PErsecutio gravis, sed Domini benedictio suavis: exilium difficile, sed jucundum regnum cœlorum. *Beati persecutionem passi propter justitiam, quia illorum est regnum cœlorum:* Afflictiones multę, omnem excedentes gravitatem, sed à cœlo gaudium & exultatio non modò acerbitatem illarum alleviant:

sed

sed ità immutat, ut sint solatii argumentum iis, qui vivunt secundum spes supernas: Quocirca certamina subeamus, ut consequamur præmia: ut cum Paulo clamare possimus, *Bonum certamen certavi, cursum confeci, fidem servavi; de cætero reposita mihi est justitiæ corona*: Hac voce triumphali, ecquid suavius, aut amplius erit? ecquid magis in dedecus communis generis humani hostis cedat? *Cursum perfeci, fidem servavi, deinceps reposita mihi justitiæ corona:* vox est, quæ turbulentas quasvis sedet tempestates, quæ gratiam spiritualis gaudii suggerat, persecutores attonitos reddat, persecutionem passos coronet, infirmos corroboret, dejectos resuscitet: Hanc ego, si verbis meis facta respondeant, felicitatem consequar, unà vobiscum præclarè mecum concertantibus, per intercessionem sanctissimæ Dominæ nostræ Deiparæ, & sanctorum omnium.

πρὸς ἐλπίδας τὰς ἄνω βιοῦσι, καὶ εἰς εὐθυμίας ὑπόθεσιν αὐτὰ μετατίθησιν· ἐχώμεθα τοιγαροῦν τῶν ἄθλων, ἵνα τύχωμεν τῶν ἐπάθλων· ἵνα γένηται καὶ ἡμῖν μετὰ Παύλου βοᾶν· Τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισμαι, τὸν δρόμον τετέλεκα, τὴν πίστιν τετήρηκα· λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος. Τί ταύτης τῆς ἐπινικίου φωνῆς ἥδυτερον ἢ χαριέστερον; τί δὲ καταισχύνειν τὸν κοινὸν τοῦ γένους ἐχθρὸν δυνατώτερον; Τὸν δρόμον τετέλεκα· τὴν πίστιν τετήρηκα· λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος· ὢ φωνῆς ἁπάσης λύπης ζάλην κατακοιμιζούσης, μᾶλλον δὲ πάσης πνευματικῆς εὐφροσύνης χάριν ἐπιχορηγούσης, τοὺς διώκτας εἰς ἔκπληξιν ἀντιμεθιστώσης, τοὺς διωκομένους στεφανούσης, τοὺς ἀσθενεῖς ἀναῤῥωννυούσης, τοὺς κατεῤῥαγμένους ἀνορθούσης· ταύτην καὶ ἐγὼ τῶν ἔργων μοι τοῖς λόγοις συνυπηχούντων ἀξιωθείην ἅμα ὑμῖν τοῖς καλοῖς συνάθλοις ἐν κυρίῳ ἀναφθέγξασθαι, πρεσβείαις τῆς ὑπεραγίας δεσποίνης ἡμῶν θεοτόκου, καὶ πάντων τῶν ἁγίων. Ἀμήν.

Epist. 189.

Mariano Patricio & Domestico scholarum.

SI quis unquam optaverit offerri sibi in vita occasionem talem: per quam & amicitiæ & justitiæ simul opera perficiat, non ille potiorem aliquando inveniet illâ, quàm in præsenti tibi offero: Injuria affectus, pro quo intervenio, non est adhuc tibi notus: causa ejus est eximiè justa: si in quem intenditur actio, amicus est tibi & pauper: & non fortassis quia malus est, sed quia pauper, injustitiæ faciendæ pronus: Tu judex, bene moratus, & quod utroque non est minus, utramque virtutem illustrando dispositus: Deum habes, qui te divitiis circumfluentem custodit, nec custodiet tantùm, sed, ut qui veritatem prodere non solet, propter misericordiæ actiones tuas, easdem tibi accumulabit redundantiùs. Quomodo quis periclitanti amico secundum leges dilectionis veræ adesse poterit? & inju-

Ἐπισ. ρπθ.

Μαριανῷ Πατρικίῳ καὶ Δομεστίκῳ τῶν σχολῶν.

ΕΙ τις ηὔχετο διὰ βίου τοιαύτῃ περιτυχεῖν ὑποθέσει, δι' ἧς ἅμα καὶ φιλίας καὶ δικαιοσύνης ἐργάτης δόκιμος ἀναφανείη, οὐκ ἂν ἀμείνω τῆς νῦν σοι παρ' ἡμῶν προτεινομένης ὀφθείη εὑράμενος· ὁ μὲν ἀδικούμενος, ὑπὲρ οὗ πρεσβεύω, τῶν μήπω μέν σοι ἐγνωσμένων ἐστὶ· λαμπρὸν δὲ τὸ δίκαιον ἔχει· ὁ δὲ πρὸς ὃν ἡ δίκη, φίλος τέ ἐστι καὶ πένης, καὶ οὐδ' ἀπὸ κακίας ἴσως, ἀλλ' ἐξ ἀπορίας ὁρᾷ πρὸς τὸ ἄδικον· σὺ δὲ καὶ κριτὴς, καὶ τρόπους χρηστὸς, καὶ ὃ μηδ' ἑτέρου ἔλαττον, ἑκατέραν τῶν ἀρετῶν λαμπρῶς ἐπιδείξασθαι· τὸν θεὸν ἔχεις ἐν ἀφθονίᾳ πλούτου τὸν βίον συνέχοντα· οὐ συνέχοντα δὲ μόνον, ἀλλὰ καὶ οὐκ ἂν σφαλείην τῆς ἀληθείας, διὰ τὰς ἐπ' ἐλέῳ σου πράξεις ἴσῃ προσθήκῃ τοῦτον ἤδη πλεονάζοντα· πῶς ἄν τις καὶ τῷ φίλῳ κινδυνεύοντι κατὰ τοὺς νόμους τῆς ὡς ἀληθοῦς ἀγάπης βοηθήσῃ; καὶ τῷ

ἀδικουμένῳ

ἀδικουμένῳ δίκης ἄλλος ὀφθαλμὸς γινόμενος χεῖρα ἐπίκουρον προτείνοι· εἰ ὥσπερ σὺ διαπραξάμενος καὶ κατορθώσας, ὅπερ ἀξιοῦμεν, (ἐλπὶς γάρ με, τὸ μέλλον ὡς παρὸν ὁρῶσα) οὕτω λέγειν ἀναπείθει, τῷ μὲν ἀδικηθέντι τὸ ἀδίκημα ἀποκαταστήσει· τὸν δὲ φίλον, οἴκοθεν καταπιθεὶς τὸ ὀφείλημα τῆς εἰσπράξεως, ἐλευθερώσει· καὶ ὅρα ὡς ἡ πρᾶξις, ἐφ᾽ ἣν σε παρακαλοῦμεν, μία οὖσα καὶ δύο ταῦτά σοι περιποιοῦσα, προσμαρτυρεῖ ἀγάπης πλοῦτον καὶ δικαιοσύνης ἄμαχον ἰσχὺν, καὶ καλὸν τῷ βίῳ διήγημα ἐγκαινίζουσα, ἀρχέτυπόν σε τοῖς φιλαρέτοις καὶ ἀξιοζήλωτον ἐπεισάγει παράδειγμα, καὶ τὸ μέγιστον καὶ τῶν ἄλλων ἁπάντων ὅσα τις ἀγαθὰ καὶ εἴποι καὶ ἐπινοήσοιτο κεφάλαιον, ὅτι τὰς οὐρανίους πύλας αὕτη ὑπανοίγει σοι, πρὸς τὸν καθαρὸν ἐκεῖνον καὶ μακάριον θάλαμον τῆς θείας καὶ ἀϊδίου ἀπολαύσεως, μετὰ πολλῆς προπέμπουσα (ἧς πως ἀναξιωθείην ἔγωγε) φαιδρότητος.

riam paſſo alter juſtitiæ oculus factus manum porrigat auxiliatricem, ſi, ut tute feciſti & rectè incediſti, quod ſperamus (ſpes enim me futurum tanquam præſens intueri facit) injuriam paſſo injuriam reſarciet: amicum verò, domi debitum amicitiæ continens, à faciendo liberabis: Vide autem ut res illa, ad quam te hortamur, cum ſit unica, & duo tibi iſta repreſentans, teſtimonium reddat, & amori diviti, & juſtitiæ invictæ, cujus vis & pulchritudo in te relucens celeberrimè per totam vitam prædicabitur: ità ut archetypum te & exemplum præſtet virtutem amantibus imitatione dignum, & quod maximum eſt, inter bona quæ nominari queunt, atque caput: quòd cœleſtes portas hoc tibi adaperiet, ad ingrediendum immaculatum & felicem thalamum divinæ æternæ fruitionis, eo tranſmiſſo, cujus fruitione claritatis ſim ego dignus.

Ἐπισ. ρϙ΄.

Τῷ αὐτῷ.

Ἔδειξας εἰς ὅσον ἥκει καὶ φιλίας καὶ δικαιοσύνης, ἡ σὴ τελειότης καὶ τότε γενεαῖς τοιαύταις ἐν αἷς οὐδ᾽ ἑτέρας αὐτῶν, οὐδὲ τὴν συνήθη πρᾶξιν καθαρὰν ὁρῶμεν. Καὶ ἔγωγε ἐπὶ τοσοῦτον, καὶ τῷ τάχει, καὶ τῷ μεγαλείῳ, χαίρω τοῦ κατορθώματος, καὶ χαίρων οὐ λήγω τῆς ἀγαλλιάσεως, ὅτι πρὶν μὲν γράφων ἐσκοπούμην, μήπως ἄρα ὀχληρός σοι δόξω, εἰς τοιαύτας εὐθὺς ἀναβαίνων ἀξιώσεις· νῦν δ᾽ οὕτως ἀνεπτέρωμαι καὶ μετέωρος ὅλος εἰμὶ τῷ προθύμῳ τῆς ἀρίστης γνώμης, καὶ ἀπροφασίστῳ τῆς θαυμασίου σου πράξεως ἐπαιρόμενος, ὅτι δέδοικα μὴ πολλὰς ἔχων σοι τοιαύτας προσάγειν ὑποθέσεις, δι᾽ ὧν καὶ τὴν ἐμὴν χαρὰν πολυπλασιάσω, καὶ τὴν σὴν ἀρετὴν λαμπροτέραν ἐπιδείξω· ἀντὶ τοῦ δοκεῖν ὀχληρὸς, εἰ μὴ ἀφιλόκαλος, καὶ τότε παρά σοι κριτῇ γε (τὸ βαρύτατον) νομισθείην. Ἀλλ᾽ ἔρρωσό μοι ἐν κυρίῳ, κἂν μὴ δοκιμάζομεν ἡμεῖς

Epiſt. 190.

Eidem.

Declarâſti, quantum & amicitiæ, & juſtitiæ tribuas, vir conſummate, præſertim cum tot præterfluxerint generationes, in quibus nullum utriuslibet actum ſincerum viderimus: ego certè cùm ob celeritatem, tum ob magnitudinem iſtius rei optimè geſtæ gaudeo: nec gaudere cum exultatione deſiſtam, quia priuſquam literis explorârem an moleſtus tibi eſſem, tantum dignatus es mihi attribuere: In præſenti, adeò attollor & alatus incedo, ob promptitudinem optimæ tuæ voluntatis: & in tantum efferor ob actum planè admirabilem, ſine ulla excuſatione, quòd verear, nè plures tibi tales miniſtrem occaſiones, unde & meam gratiam multiplicabo, & tuam virtutem reddam illuſtriorem: & pro eo, quòd videbor moleſtus, nè parcus nimiùm tibi, quod moleſtum erit mihi, te judice, cenſear. Sed vale in Domino, etiamſi apud ipſum, multas ejuſmodi

actiones

actiones inveniens, & gloriam tibi per vitæ cursum acquirens, me minimè captante experimentum.

Epist. 191.

Zachariæ Metropolitæ Antiocheno.

BEatus & divinus Paulus, Gentium Apostolus, mundi doctor, qui totos terræ angulos prædicando circumiit: ille cœlesti magisterio edoctus, & inenarrabilium sermonum princeps, humanas aures audientes habens, multis in locis discipulos à conversatione impiorum excludens, non tantùm versatus est ipse cum ejuscemodi, sed & *sine lege existentibus velut exlex convixit:* Quid autem? An ut ipse libenter ageret, quod reliquis non permisit? an discipulorum securitati ut provideret, ipse sibi damnum creavit? an oblitus eorum quæ suggesserat, aliis contraria obivit? absit: Utrumque optimè noverat, se perfectionem assecutum immobilem ad malum, aliorum imperfectiones & quàm labiles ad deteriora: Horum conscius & intelligens, discipulis inhibuit congressum & conversationem cum improbis, præcidens nempe damna & amoliens exinde futura: seipsum mediis intulit, sub eodem sæpe tecto cum iis, & eadem mensa familiariùs versatus: neque enim maculam ab iis metuebat: imò communicaturum se confidens de puritate sua: Atque ità contrariis viis ad eundem finem contendebat Paulus, nec declinavit convictum improbè viventium, ob correctionem secum versantium, paria admittere non sinens discipulos, ne boni mores malis conversationibus corrumperentur: Quo spectat, quid vult sibi hæc oratio? certè solvit à vestra perfectione quæstionem propositam: Nam ut imperfecti facultatem non habebant liberè cum improbis miscendi se: At Paulus faciens

αὐτὸς δι' ἑαυτοῦ πολλὰς τοιαύτας ἀνευρίσκων πράξεις, καὶ ταύταις ἐλλαμπρυνόμενος διὰ βίου.

Ἐπισ. ρϟα΄.

Ζαχαρίᾳ μητροπολίτῃ Ἀντιοχείας.

Ὁ Μακάριος καὶ θεῖος Παῦλος, ὁ τῶν ἐθνῶν Ἀπόστολος, καὶ τῆς οἰκουμένης διδάσκαλος, ὁ τὸν γῦρον ἅπαντα τῆς γῆς περιλαβὼν τῷ κηρύγματι, οὗτος ὁ τῷ οὐρανίῳ παιδευθεὶς διδασκαλείῳ, καὶ τῶν ἀπορρήτων ἐκείνων ῥημάτων πρῶτος, ἀνθρωπίνην ἀκοὴν ἐπιδείξας κατήκοον, πολλαχοῦ τοὺς μαθητὰς τῆς μετὰ τῶν φαύλων διατριβῆς ἀπείργων, αὐτὸς οὐ μόνον συνῆν καὶ συνανεστρέφετο, ἀλλὰ καὶ τοῖς ἀνόμοις ὡς ἄνομος συνδιετίθετο. Τί τοῦτο; μὴ γὰρ ἅπερ ἑτέροις ἀπέτρεπεν, αὐτὸς καθ' ἡδονὴν ἔπραττεν; ἢ τῶν μαθητῶν μὲν τὸ ἀσφαλὲς διετίθετο, ἑαυτῷ δὲ τὴν βλάβην εἰσέφερεν; ἢ λήθην ἔχων ὧν ἄλλους ἐπαίδευεν, αὐτὸς τἀναντία ἔστεργε; μὴ γένοιτο. Ἀλλ' ἑκάτερον τούτων ἀκριβῶς συνεπίστατο, καὶ τὸ καθ' ἑαυτὸν τέλειον, καὶ πρὸς κακίαν ἀμετακίνητον, καὶ τῶν πολλῶν τὸ ἀτελὲς καὶ πρὸς τὰ χείρω εὐέμπτωτον· ταῦτα δὲ καλῶς εἰδὼς καὶ συνεπιστάμενος, ἐκείνοις μὲν τὰς ἐκ τῶν ἐπισφαλῶς βιούντων βλάβας ἀνακόπτων καὶ ἀποκρουόμενος, τῆς μετ' αὐτῶν διαίτης καὶ ἀναστροφῆς διεκώλυεν· ἑαυτὸν δὲ εἰς μέσους φέρων ἠφίει, καὶ ὁμορρόφιος αὐτοῖς πολλάκις, καὶ ὁμοδίαιτος ἐχρημάτιζεν· οὐ δεδιὼς μεταχεῖν κηλῖδος τῆς παρ' αὐτῶν· θαρρῶν δὲ καὶ μεταδώσειν τῆς ἐνούσης καθαρότητος· οὕτω τοιγαροῦν ὁ αὐτὸς σκοπὸς, ἡ τῶν ψυχῶν φημὶ σωτηρία, διὰ τῶν ἐναντίων τῷ μακαρίῳ Παύλῳ ἐπεραίνετο· αὐτοῦ μὲν τὴν οὐκ εὐαγῶς βιούντων τὴν συνοδὸν, ἐπὶ διορθώσει τῶν συνόντων οὐ παραιτουμένου· τοὺς δὲ μαθητὰς οὐκ ἐῶντος παραπλησίως πράττειν, ἵνα μὴ χρηστὸν ἦθος κακαῖς ὁμιλίαις διαφθείροιτο· πρὸς τί δέ μοι ἀφορᾷ ὁ λόγος, καὶ τί βούλεται; ἢ δῆλον ὅτι τὸ παρὰ τῆς ὑμῶν τελειότητος διαλύει προτεινόμενον· ὥσπερ γὰρ οὐκ ἦν μὲν τοῖς ἀτέλεσιν ἐπ' ἐξουσίας ἔχειν, μετὰ τῶν φαύλων συναναφύρεσθαι· Παῦλος δὲ

πράττων, ὅπερ ἀπεῖργε, καὶ διῳκονομούμενος καὶ ἐφαίνετο, κερδαίνων μᾶλλον ἐξ ὧν ἄλλοις ὑπῆρχε τὸ ἐπιζήμιον· οὕτω χρὴ καὶ περὶ τοῦ διορισμοῦ τῆς τριετίας λογίζεσθαι, ἣν ἐπὶ τῶν προσιόντων τῷ μονάδι βίῳ ὁ ἀκριβὴς λόγος διωρίσατο· τοὺς μὲν γὰρ πολλοὺς καὶ δεομένους προκαθάρσεως, ἄμεινον ἐκεῖθεν τὴν δοκιμασίαν ἐπιδέχεσθαι· ὅσοι δὲ αὑτοὺς προκαθάραντες, οὕτως πρὸς τὸν φιλόσοφον βίον διαβεβαιοῦσιν, οὐκ ἀναγκαῖαν ἔχουσι τὴν ὁμοίαν παρατήρησιν· ὥσπερ δὲ ἐπὶ τῶν προσιόντων τῇ φιλοσόφῳ πολιτείᾳ ταύτῃ, πολλὴ καὶ μεγάλη καθορᾶται ἡ διαφορά, καὶ διὰ τοῦτο διάφορος συγχωρεῖται ἡ δοκιμασία, οὕτω καὶ ἐπ' αὐτῶν τῶν προτεταγμένων, καὶ καταρρυθμίζειν τοὺς ἄλλους ἠξιωμένων, οὐχ ἡ αὐτὴ δύναμις καὶ σοφία τοῦ παιδαγωγεῖν ἐπιδείκνυται· διὸ τοὺς ἁπλούστερον πως διακειμένους, βέλτιον ἂν εἴη μηδὲν παρ' ἑαυτῶν προσεπινοεῖν, πάντα δὲ πράττειν πρὸς τὴν τοῦ κανόνος κρίσιν ἀφορῶντας καὶ ἀπευθύνοντας· ὅσοι δὲ τῶν προεστηκότων, τοῦτο μὲν τῇ τῶν ἀνθρωπίνων πείρᾳ πολλῇ καὶ συγγυμνασίᾳ· τοῦτο δὲ τῇ ἄνωθεν χάριτι καὶ ἐπικουρίᾳ, ἱκανῶς ἔλαχον κρίνειν τε καὶ διακρίνειν, τὰς ὁρμάς τε, καὶ τὰς διαθέσεις τῶν εἰσαγομένων· τούτοις οὐκ ἂν εἴη πολὺ τῆς εὐθύτητος ἀπολειπόμενον κριτήριον, οἶμαι, κἂν ὁ τῆς τριετίας οὐ συμπαρεκτείνοιτο χρόνος, ἡ τῆς οἰκείας γνώμης καὶ συνειδήσεως ψῆφος καὶ ἐπίκρισις, ἅτε δὴ πάντα πράττειν ἐπὶ τῇ τῶν ἀνθρώπων σωτηρίᾳ οὐ μόνον σκοπὸν τεθειμένοις ἀλλὰ καὶ χάριν ἄνωθεν, καὶ σοφίαν ἐξ ἐμπειρίας προσειληφόσι· καὶ τὸ δὴ μέγιστον καὶ ἀναγκαιότατον εἰς μετάθεσιν αἰτίας, καὶ παραίτησιν συγγνώμης, ὁ παρὼν καιρός, ὡς τὰ μὲν πετεινὰ καὶ τὰς ἀλώπεκας, εἰ βούλει δὲ καὶ τοὺς λύκους, καὶ τοὺς δράκοντας, καὶ τὰς παρδάλεις, καὶ ἁπλῶς τοὺς θηριοτρόπους τῶν ἀνθρώπων, λαμπραῖς καὶ περιφανέσιν οἰκίαις ἐγκατοικίζειν, καὶ πᾶσαν αὐτοῖς ἐλευθερίαν πράττειν ἃ ἂν ἕλοιντο, παρέχειν· τοῖς δὲ μαθηταῖς καὶ μιμηταῖς τοῦ υἱοῦ τοῦ ἀνθρώπου, οὐδ' ἔχειν ὅπου κλῖναι τὴν κεφαλήν, οὐδ' ὧν ἄνευ οὐδὲ ζῆν ἐστιν οὐδενὸς οὐδεμίαν ἄδειαν ἐπιτρέπει. Πῶς οὖν, ὁ καὶ αὐτῶν τῶν ἀναγκαίων ἀπεστερημένος, καὶ μηδὲ σπᾶν ἀδεῶς τὸν ἀέρα συγκεχωρημένος, ἐφ' ὅλα τρία ἔτη τὸν μαθεῖν

quod prohibebat, & quod facere cernebatur, ut lucrifaceret eo, quod aliis damnum crearet: ità oportet & de triennii exploratione ſtatuere, quam ſtatuit exacta diſciplina erga monaſticam profeſsionem facturos: Multos, utpote purificatione indigentes, melius eſt ſubire illam explorationem; at qui ſe priùs purgantes vitam ineunt philoſophicam, non neceſſe habent præcisè illud tempus obſervare: Quemadmodum in iis qui hanc vitam inſtituunt, multa & magna differentia invenitur, & diverſa eapropter exploratio conceditur: ità & quod eos tangit, qui præponuntur, & informationi aliorum præficiuntur, non eadem prudentia aut facultas erudiendi oſtendatur: Quocirca præſtaret ut ſimpliciores, nihil à ſuo ingenio faciant, ſed omnia agant, canonis judicium intuentes & eò collimantes: Præpoſiti verò, qui, vel per rerum humanarum experientiam & exercitium, vel per gratiam & adjutorium cœleſte, ſatis inſtructi ſunt, ad diſcernendum affectus & diſpoſitiones admittendorum, iis, ut mea fert ſententia, non eſt opus ut triennii terminus præcisè expleatur injunctus, nec à regula deficiet multùm, qui ſic judicaverit, judicii & conſcientiæ cujuſque calculus & diſcretio, in iis qui omnia ad ſalutem adminiſtrare volunt & gratiam de cœlo inſuper ac ſapientiam acceperunt ab experientia: & quid imprimis cauſæ mutationi favet, & veniam meretur, hujus temporis neceſſitate conſtringantur, in quo *volucres & vulpes*, ſi vis lupi, dracones, pardales, & ut verbo dicam, belluinis moribus homines præditi, illuſtres & amplas domos incolunt, & licentiam ſibi aſſumunt, quicquid placuerit agendi: Diſcipuli verò & imitatores filii Hominis, *Non habeant ubi reclinent capita*, nec ullius rei uſum liberum, ſine quo vita non eſt vitalis. Is qui rebus neceſſariis privatur, qui nec liberè aerem ſpirare permittitur, quomodo ad integrum triennium, virtutem addiſcere volentes

volentes præſtruet, & exercitium illi deſcribet aſceticæ futuræ? ſufficit vel quocunque modo de nequitia multiplici extractum vitæ philoſophicæ copulare. Ubi erit illud Phrontiſterium, in quo per triennium quis verſari poſſit, cùm paſſim diffuſa ſit perſecutio: cùm nec in montibus, ſpeluncis, terræ foraminibus ſine vexatione vivere piis permittatur? Ubi ordo, & obſequium, quibus Monachi labores aſceticos ſubeunt, cum torrente malorum tam ingenti omnia corripiantur? rebus ſanè ad voluntatem fluentibus, nec aliqua urgente neceſſitate, exactam diſciplinam impediente, præſtaret opinor formam præſcriptam cuicunque obſervare: ſed cùm ut in proverbio eſt, *retrò flumina, omnia ſubverſa ſint*, melius fuerit, in quantum eſt poſſibile, & in quantum res patitur, ſalutem quovis modo procurare, quàm nudo nomini exactæ diſciplinæ adhærendo, proditores animarum humanarum, & malos diſpenſatores prodire: Quocirca archiepiſcopalis veſtra perfectio cùm ſufficiat judicare quæ conveniunt, & tempeſtates iſtas conſideret omnia contra accurationem promoventes, omnino ad tuum judicium rem integram deferendam ſentio, ut ea facias poteſtatem ſanctificando, quæ conſcientia tibi pura, aut potiùs Spiritus gratia per immaculatam conſcientiam operata ſuggeſſerit.

ἐθέλοντα τὴν ἀρετὴν προκαταρτίσει, καὶ γυμνάσιον αὐτῷ τῆς μελλούσης ἀσκήσεως προδιαθήσει; ἀγαπητὸν γὰρ καὶ ὁ τῷ δήποτε τρόπῳ τῆς πολλῆς ἐξελκύσας γε κακίας, τῇ φιλοσόφῳ δυνηθείη ζωῇ ἐνδημῆσαι. Ποῦ γὰρ τὸ φροντιστήριον ἐν ᾧ ἡ τοῦ τελείου τριετοῦς χρόνου διατριβή, ἅπαντα τοῦ διωγμοῦ καταλαβόντος, καὶ οὐδὲ τοῖς ὄρεσιν, ἢ τοῖς σπηλαίοις, ἢ ταῖς ὀπαῖς τῆς γῆς ἀνεπηρεάστως παροικεῖν τοὺς εὐσεβεῖς συγχωροῦντος; ποῦ δὲ ἡ ἄλλη τάξις καὶ ἀκολουθία, καθ' ἣν τὸ μοναδικὸν τοὺς τῆς ἀσκήσεως ὑπεδύετο πόνους, ἁπάντων τῷ τοσούτῳ ῥεύματι τῶν κακῶν συγκεχυμένων; τῶν μὲν γὰρ πραγμάτων κατὰ ῥοῦν φερομένων, καὶ μηδεμιᾶς περιστάσεως τὴν ἀκρίβειαν παραποδιζούσης, ἄμεινον οἶμαι παντὶ τοὺς τεθέντας φυλάττεσθαι τύπους· ἄνω δὲ ποταμῶν, ὡς ἡ παροιμία, πάντων ἀνατετραμμένων, πῶς οὐκ ἄμεινον, καθ' ὅσον οἷόν τε, καὶ ἐφ' ὅσον ἐγχωρεῖ, τὴν *τῶν σωτηρίαν διοικονομεῖσθαι, ἢ ψιλῷ τῷ τῆς ἀκριβείας ὀνόματι προσκαθημένους, προδότας ψυχῶν ἀνθρωπίνων καὶ κακοὺς οἰκονόμους ἀπελέγχεσθαι; διὸ καὶ τὴν ὑμετέραν ἀρχιερατικὴν τελειότητα, ἱκανήν τε οὖσαν κρίνειν τὰ δέοντα ἐπιστάμενος, καὶ τὸν καιρὸν ὁρῶν τἀναντία πάντα τῆς ἀκριβείας ἀναφθεγγόμενον, ὅλην ἐπὶ σοὶ τοῦ προκειμένου τὴν κρίσιν ἀνατίθημι, ἐκεῖνα πράττειν τὴν ἐξουσίαν ἀφιερῶν ἅπερ ἂν τὸ καθαρὸν συνειδὸς, μᾶλλον δὲ ἡ τοῦ ἁγίου πνεύματος χάρις διὰ τοῦ καθαροῦ συνειδότος ἐνεργοῦσα ἐπιτρέψει.

* ἴσ. ἑαυτῶν.

Epiſt. 192.

Galatoni Aſpathario, & à ſecretis.

INter legendum obſervavimus, Ephod, de qua voce interrogas, tria ſignificare: Imprimis ſacram & Pontificalem ſtolam, qua uti nulli licuit, niſi ſacerdoti: Illa ſignificabatur quod agendum erat in iis rebus, quo conſilium humanum pertingere non poterat, nempe, an à bellis ceſſandum, an prælio erat decertandum & ſimilia? & hæc principalis Ephod ſignificatio: ſecun-

Ἐπιστ. ρϟβʹ.

Γαλάτωνι ἀσπαθαρίῳ καὶ ἀσηκρῆτις.

ΤΟ Ἐφοὺδ, περὶ οὗ μαθεῖν ἐπεζήτησας, τρία σημαίνειν, ἐξ ὧν ἀνέγνωμεν, εὕρομεν· ἓν μὲν, τὴν ἱερατικὴν καὶ ἁγίαν στολὴν, ἣν κεχρῆσθαι θέμιτον οὐκ ἦν, ἀλλ' ἢ τοῖς ἱερεῦσι μόνοις· ἐδηλοῦτο δὲ δι' αὐτῆς τὸ πρακτέον, ἐφ' ὧν ἀνθρωπίνη κρίσις τὸ συμφέρον ἰδεῖν ἐξησθένει· οἷον ἐκεχειρίαν θέσθαι πολεμίοις ἢ τῷ δόρατι τὴν τοῦ πολέμου κρίσιν ἐπιτρέψαι· καὶ εἴ τι ἄλλο παραπλήσιον. Ἀλλὰ πρῶτον μὲν σημαινόμενον τοῦ Ἐφοὺδ τοῦτο·

ἕτερον

ἕτερον δὲ σχήματι πῶς τῷ εἰρημένῳ παρεοικὸς, κοινὸν δὲ, καὶ οὐχ ἱερατικὸν ὃ φαίνεται
2. Chron. 15. 27.
καὶ Δαβὶδ ἀμπεχόμενος· ἐπὶ γὰρ Δαβὶδ φησιν, Ἐφοὺδ μόνον· ὃ ἔνιοι βύσσου γὰρ ἐπεποίητο· (φυτὸν δὲ ἡ βύσσος) στολὴν ἐκ τῆς ὕλης ὠνόμαζον βυσσίνην· οἱ δὲ τῷ τρόπῳ τῆς χρήσεως τὴν γένεσιν διδόντες τοῦ ὀνόματος ἐπωμίδα τε καὶ ἐπένδυμα. Παρὰ δὲ ταῦτα, ἔστι καὶ τρίτον ἰδεῖν σημαινόμενον· οἱ γὰρ τῶν εἰδώλων θεραπευταὶ, κατὰ μίμησιν τῶν ἱερέων τοῦ θεοῦ, τοῖς σφῶν ἱερεῦσι στολὰς ἀφωρισμένας ἐπίθεντο εἰς σχῆμα τοῦ Ἐφοὺδ, τὸ ὕφασμα περιγράφοντες, καὶ τὴν κλῆσιν ἐκεῖθεν μεθέλκοντες, Ἐφοὺδ καὶ αὐτὸ προσηγόρευον. Ἐκέχρητό τε τῷ μιμήματι, δι' αὐτοῦ τὰ δαιμόνια· καὶ αὐτοὶ ἐπερωτῶντες εἰς τὴν τῶν τρακλέων κατάληψιν, καὶ καινὸν οὐδέν· ὥσπερ γὰρ τὸ, Θεὸς, ὄνομα, καὶ τὸ ἀληθῶς ὄντα σημαίνει, ἐφέρετο δὲ καὶ κατὰ τῶν ψευδωνύμων δαιμονίων· οὕτω καὶ τὸ Ἐφοὺδ εἰς διάφορα διαιρεῖται σημαινόμενα. Οὐ τὸ, Θεὸς, δὲ μόνον ὄνομα πρὸς τἀναντία μερίζεται, ἀλλὰ καὶ τὸ Ὂν καὶ τὸ καὶ ἅγιον· τούτων γὰρ ἑκάτερον, καὶ τὸν κυρίως ὄντα, καὶ κυρίως ἅγιον, δηλοῖ· καὶ τοῖς λατρευταῖς τῶν δαιμόνων, ἐπὶ τιμῇ τῶν οἰκείων σεβασμάτων, καθ' ὃν δὴ τρόπον καὶ τὸ Ἐφοὺδ, μετενήνεκται. Σὺ δέ μοι ψυχῇ καὶ σώματι ἔρρωσο.

da, præcedenti ferè eadem erat forma Ephod, usus communis, & non sacerdotalis: eo amictus videtur David; ait enim Ephod erat super David, quod è bysso fiebat, (erat autem byssus planta) stolam ex illa materia confectam byssinam nominabant: at qui nominis originem, usus modo & formæ ascribunt vocant Epomida, & Ependuma. Est & tertia adhuc illius significatio; Idolorum cultores, in imitationem sacerdotum Dei, sacerdotibus etiam suis stolas appropriaverunt, texturam earum in figuram Ephod conformantes, rem quoque ipsam vocarunt Ephod. Hanc imitationem adhibuerunt dæmones: qui nihil novi ad rem intelligendam attulerunt: ut nomen, Deus, verè existentem significat, at de dæmonibus falsis diis usurpabatur; sic & Ephod in varia significata distribuitur. Neque nomen illud, Deus, tantùm in discrepantia dividitur, sed ὂν & καὶ ἅγιον utraq; vox, & propriè ens, & propriè sanctum significat: & non aliter quàm Ephod, à servientibus dæmoniis ad honorem eorum qui coluntur trahitur. Tu autem corpore & animâ, vale.

NOTÆ.

Ἐπὶ γὰρ Δαβὶδ φησὶν Ἐφούδ· alludit ad locum 1. Chron. 15. 27. Ubi tamen lxx. legunt, καὶ Δαβὶδ ἦν περιεζωσμένος ἐν στολῇ βυσσίνῃ· nulla mentio τοῦ Ἐφούδ· sed alii Ephod habent: at in fine addunt propriè ad Hebraicam lectionem Ἐφοὺδ in aliquibus exemplaribus, ut videtur. Nam nostri codices habent, στολὴ βυσσίνῃ. Cujus lectionis meminit alludendo Photius: ubi locus depravatus est in nostro codice. Ἐφοὺδ μόνον ὃ ἔνιοι, βύσσου γὰρ ἐπεποίητο, &c. Legendum, ἐπὶ γὰρ Δαβὶδ Ἐφοὺδ ἦν, ὃ ἔνιοι βυσσίνην ἐκάλουν, βύσσου γὰρ ἐπεποίητο. Quòd byssus φυτὸν erat, docet ipse Photius.

Ἐπισ. ρϟγ΄.

Θεοφίλῳ Ἀσπαθαρίῳ καὶ Σακελλαρίῳ.

Τὸ μὲν δίκην ἀπαιτεῖν τὸν ἠδικότα, ἀνθρώπινον· τὸ δὲ μὴ ἀμύνεσθαι, φιλόσοφον· τὸ δὲ καὶ εὐεργεσίαις ἀμείβεσθαι, λοιπὸν ἤδη θεῖον· καὶ μιμητὰς τοῦ ἐν οὐρανοῖς πατρὸς τοὺς γηγενεῖς ἀποφαίνον. Τὸ μέν τοι χειρῶν ἄρχειν ἀδίκων, ἐπεὶ χώραν ἐν τοῖς εἰρημένοις οὐδεμίαν ἔχει, ἢ θηρίων πάντως, ἢ δαιμόνων πρᾶξιν ἐμφανίζει, κἂν ἀνθρώπινον

Epist. 193.

Theophilo Aspathario & Sacellario.

Actionem instituere contra injustitiam, humanum est: non ulcisci, philosophicum: at benefactis compensare, divinum: quo patris, qui in cœlis est, terreni homines filii per imitationem fiunt. Violentas manus injicere non provocatum cum inter superius memorata locum non habeat, belluinam aut dæmoniacam actionem notat: licèt

licèt actor ſub humana figura fuerit. Quocirca cum quatuor ſint rerum notæ: tute per temet formam actioni tuæ congenerem adapta, re perſpecta intelliges, licèt alius non ſubindicet, eſt enim viſu res turpis, cujusnam imaginem tibi per opera tua inſculpſeris.

Epiſt. 194.

Theodoro Metropolitæ Laodicenſi.

MEditatio mater eſt operationis rectæ, impetus improviſus cum peccato hæret: Quocirca neglecto conſilio non oportet in illud procurrere, unde, præterquam quod nihil eorum perficiemus, quæ ſtudioſè ſategimus, inſipientiæ culpam incurriſſe videbimur.

Epiſt. 195.

Damiano Xenodocho.

SI graviores quàm delicta merentur pœnas irrogaveris, noli arbitrare te juſtitiæ fines non tranſilire: Nam non tantùm hoc rationi reddendæ te non ſubjicet, licèt legis prætextu fiat, ſed duplicare injuſtitiæ reum facit, nimirum, quòd injuriam intulit, & leges afficit contumeliâ: Huc uſque forſan æquum & legitimum eſt, ab injuria afficiente pœnas repoſcere: at menſuram tranſgredi, in inferendo ſupplicio, contra leges manifeſtè pugnat, & ſupplicio dignum facit eodem, quod irrogavit, ſi non graviore, certè non moderatiore: dat enim initium alteri injuriæ: ſi certè qui ab altero pœnas pro injuria repoſcit, eo ipſo debet ipſe moderationem diſcere, nè juſtè ea pœna repoſcatur ab ipſo. Quòd ſi debitorem decem millium talentorum animo recolas, & terribilem illam & horrore plenam comminationem, licèt nihil extorquebat non debitum, tantùm quòd debitori non pepercit: ſcena illa & prætextus, te ſecundùm leges facere, quid proderit? quòd auxiliũ tunc procurabit

εἴη σχῆμα περιδεδυκὼς ὁ πράξας. Τεσσάρων οὖν χαρακτήρων ταῖς πράξεσιν ἀνθεωρουμένων, αὐτὸς κατὰ σεαυτὸν τὸν προσφυῆ τύπον τῇ νυνί σου πράξει προσαρμόσας εἶτα κατιδὼν ὄψῃ, κἂν ἄλλος σοι μὴ ὑποδεικνύει (φεῦ τοῦ αἰσχίστου θεάματος) τίνος σεαυτῷ τοῖς ἔργοις διεκόλαψας εἰκόνα.

Ἐπιστ. ρϙδʹ.

Θεοδώρῳ Μητροπολίτῃ Λαοδικείας.

ΜΕλέτη μὲν μήτηρ εὐπραξίας· ὁρμὴ δὲ ἀπερίσκεπτος ἐγγὺς ἁμαρτίας· Οὐ χρὴ τοιγαροῦν ἀφέντας τὸ βουλεύεσθαι ἐπ᾽ ἐκεῖνο δραμεῖν, δι᾽ οὗ μετὰ τοῦ μηδὲν, ὧν σπουδάζομεν ἀνύειν καὶ ἀνοίας ἔλεγχον ἁλισκόμεθα διδόντες.

Ἐπιστ. ρϙεʹ.

Δαμιανῷ Ξενοδόχῳ.

ΜΗ μείζους ἀπαιτῶν τὰς τῶν πλημμελημάτων εἰς πράξεις ἔξω νόμιζε δικαίας ποινῆς πράττειν· οὐ μόνον γὰρ οὐκ ἀνεύθυνον, κἂν ἐπ᾽ ὀνόματι νόμου τοῦτο ποιῇ τις, ἀλλὰ καὶ διπλοῖς ἔνοχον ἀδικήμασιν· ὅτι καὶ ἀδικίας ἄρχει, καὶ νόμους ὑβρίζει· μέχρι μὲν γὰρ τούτου, ἴσον παρὰ τοῦ ἠδικηκότος λαβεῖν, νόμιμον ἴσως τοῖς πολλοῖς καὶ οὐ χαλεπόν· ὑπερβεβηκότα δὲ τὸ μέτρον, ἔτι ποινὰς ἐπιζητεῖν, παρανόμον φανερῶς καὶ τιμωρίας ἔνοχον ἧς ἀπήτησεν, ἵνα μὴ λέγω βαρυτέρας, τέως οὐ μετριωτέρας· ἀρχὴ γάρ ἐστιν ἀδικήματος ἄλλου· καίτοι ὁ δίκην ἕτερον, ὑπὲρ ὧν ἠδίκησεν, ἀπαιτῶν, αὐτόθεν ὤφειλεν ἔχειν τὸν σωφρονισμὸν, εἰς τὸ μὴ ἐπὶ τοῖς ἴσοις καὶ ὁμοίοις τὴν δίκην ὀφείλειν, ἀλλ᾽, ὡς ἔοικεν, οὐκ ἔστιν ὀργῆς ἐμμανέστερον. Εἰ δὲ καὶ τὸν ὀφειλέτην τῶν μυρίων ταλάντων εἰς νοῦν ἀναλάβοις, καὶ τὴν φοβερὰν ἐκείνην καίτοι οὐδὲν ἄλλο ἢ ὅπερ ἐχρεώστητο ἀπῄτει καὶ φρίκης γέμουσαν ἀπειλὴν, ὅτι μὴ συγγνώμων ἐγένετο τῷ ὀφειλέτῃ, τίνα ἄν σοι ἡ σκηνὴ τοῦ κατὰ νόμων δῆθεν προφάσεως, καὶ παρανομοῦντι βοήθειαν ἐμποιείσῃ.

Ἐπισ. ρϟϛ'.

Κωνςαντίνῳ Ἀσπαθαρίῳ ἀδελφῷ.

Οὐκ ἔστιν ἐναντίον, ὡς ἔδοξέ τισι τῶν μὴ σωφρονούντων, ἡ ὀφθαλμὸν ἀντὶ
Matth. 5.38. ὀφθαλμοῦ, καὶ ὀδόντα ἀντὶ ὀδόντος ζημιοῦσα προστάττουσα νομοθεσία, πρὸς τὴν γνώμην· Ὅστις σε ῥαπίσῃ ἐπὶ τὴν δεξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην· καὶ ὅσαι ταύτῃ παραπλήσιοι. Ἡ μὲν γὰρ τὸν κριτὴν ῥυθμίζει, καὶ πρὸς αὐτὸν ἀποτείνεται, ἀδέκαστον αὐτὸν τοῖς κρινομένοις παρέχειν νομοθετοῦσα, καὶ τῷ ἀδικουμένῳ τιμωρεῖν, τὴν ἴσην ἀπαιτοῦντα ποινὴν τὸν ἠδικηκότα. Ἡ δὲ, ἡ μὲν οὖν οὐκ ἔστι πρὸς τὸν κριτὴν, οὐδὲ νόμος, οὐδὲ πολλοῦ γε καὶ δεῖ· Οὕτω γὰρ ἂν ἦν ἐναντίον· ἀλλὰ τὸν ἀδικηθέντα παραινεῖ εἰς ἐπιείκειαν καὶ συμπάθειαν ἐπαλείφουσα, καὶ κρείττονα παρασκευάζουσα ὀργῆς καὶ θυμοῦ φιλοσόφως λίαν καὶ ὠφελίμως εἰσηγουμένη τὴν συμβουλήν. Τὸ μὲν γὰρ στερηθὲν ἢ οὐκ ἔστιν ἀναλαβεῖν, ἢ ἀναλαβόντα οὐδὲν πλέον ἐστὶν τοῦ ἐξ ἀρχῆς προσλαβεῖν. Ὁ δὲ δι' ἐπιεικείας καὶ συμπαθοῦς γνώμης περιγενόμενος τοῦ ἐχθροῦ, μετὰ τοῦ νικῆσαι λαμπρὸς καὶ ἀείμνηστον τῆς ἀρετῆς ἐγείρει μνημεῖον, καὶ τὸν κοινὸν κριτὴν εὔϊλαον ἑαυτῷ καὶ εὐμενῆ παρασκευάζει, ἐκεῖνα παθεῖν ἑαυτὸν ἄξιον εὐτρεπίσας, ἃ προσλαβὼν αὐτὸς τῷ πλησίον ἐπεδείξατο.

Epist. 196.

Constantino Aspathario fratri.

LEx illa qua præcipitur, *Oculus pro oculo, & dens pro dente*, non adversatur, ut imperiti quidam arbitrantur, illi, *Si quis te in unam malam percusserit, obverte illi, & alteram*, & quæ sunt ejus generis. Hæc enim judicem rectè disponit, & lege lata intendit, ut impartialis sit erga litigantes, & injuriam passo ut satisfiat, qui pœnam poscit infligendam afficienti injuriâ: Altera nec judicem respicit, neque lex est, ità enim contrarieretur, sed injuriam qui patitur, ad comitatem incitat, & compassionem informat: ídque agit, ut iracundiam superet & furorem, consilium philosophicum & accommodum adhibens. Nam vel non recuperat, quod ablatum est ab eo: aut si recuperet, haud possidebit plus quam ab initio habebat: Sed qui per tolerantiam, comitatem, & compassionem inimicum superet, post victoriam, monumentum sibi suscitat immortale virtutis suæ, & judicem universalem propitium sibi & placatum reddit, dignum se præparans qui patiatur illa, quæ in proximum intendebat.

Ἐπισ. ρϟζ'.

Ἠλίᾳ Ἀσπαθαρίῳ καὶ Δρουγγαρίῳ τοῦ πλοΐμου.

Εἶπεν ἄν τις τῶν παρ' Ἕλλησι σοφῶν, τὸ τάχος μόνης τύχης· Ἐγὼ δ' ἂν φαίην, ὡς εἰ μὴ θείας ἐστὶν ὁρμῆς, ἢ καιρῶν ἀνάγκης, μόνης ἀβουλίας. Σκέψασθαι δεῖ τοιγαροῦν περὶ ὧν ἐπείγῃ, καὶ μὴ τῷ προπετεῖ τὴν πρᾶξιν πιστεῦσαι. Καὶ γὰρ ἂν μὲν εἰς συμφέρον ἀποβαίη, ὥσπερ τῆς ἐκ τοῦ τέλους ὠφελείας, οὕτω δὴ καὶ τοῦ βουλεύσασθαι κερδανεῖς τοὺς ἐπαίνους· Ἂν δὲ τοὐναντίον, τοῦ μὲν βεβουλεῦσθαι οὐδ' οὕτω τὴν κρίσιν ἐζημιώθης, τοῦ δέ γε μὴ ὠφελεῖσθαι, ὃ μέγιστον ἐστὶν ἐν πᾶσι τοῖς τοιούτοις παραμύθιον, οὐ σαυτὸν αἰτιάσῃ.

Epist. 197.

Heliæ Aspathario, & Drungario Ploimi.

DIxit quispiam Græciæ sapientum, *Celeritas soli fortunæ convenit*: Ego dixerim, quòd si non à divino motu procedat, aut temporis necessitate, celeritas inconsulta est. Considerandum ergo illud est, quod instat, nec præcipitationi res concredenda. Nam si satis commodè inciderit, quod finalem attinet utilitatem, laudem eò consequeris, quasi rectum consilium ceperis. Sin contra evenerit, quàm consilio capto opinabaris, judicii detrimentum non sic subibis, nec quòd utilitatem non ceperis, te justè incusabis, quod in talibus solamen non exiguum erit.

Epist. 198.

Amphilochio Metropolitę Cyzici

JUsta persuasio non tam procedit à dicentis facultate, quàm dispositione audientis. Nolo risum movere sine affectu informans, si non persuasero sed persuasus, utinam risum tantummodò incurrat, & non in futuro supremo supplicio luat.

Ἐπισ. ρηή.

Ἀμφιλοχίῳ Μητροπολίτῃ Κυζίκου.

Ἡ Δικαία πειθὼ, οὐ τῆς τοῦ λέγοντός ἐστι δυνάμεως, μᾶλλον ἢ τῆς τοῦ ἀκούοντος διαθέσεως. Οὐκ οὖν οὐκ ἐγὼ κινήσω γέλωτα τὸν ἀπειθῆ νουθετῶν, εἰ μὴ πείσω, ἀλλ' ὁ ἀπειθῶν, εἴθε γέλωτα, ἀλλὰ μὴ καὶ τὴν ἐσχάτην ἐκεῖθεν προσοφλήσῃ τιμωρίαν.

Epist. 199.

Georgio Metropolitæ Nicomediæ

SI patet illud, quòd si quis consilium dat, ut gloriam venetur, reprehensione acerbiore dignus: Sed quòd quis pro consilio dato malè audiat, & deridetur, nec novum, nec inexpectatum est. Quocirca mirari desine, si Petronius admonitus asperioribus verbis tuam perfectionem excepit: Sed noli tu idcirco exhortationem debitam, vel erga illum, vel alium omittere: Ità enim videbimur nos ipsi, priusquam illi id faciant, dignos exhibere reprehensione, & incusationem ipsorum aliàs minimè rationabilem in rationabilem transformare.

Ἐπισ. ρηθ'.

Γεωργίῳ Μητροπολίτῃ Νικομηδείας.

Εἰ δῆλόν ἐστιν, ὡς εἴ τις νουθετεῖ, δόξης θήραν πραγματευόμενος, ἄξιός ἐστι μεγάλης μέμψεως· οὐδὲν καινὸν οὐδ' ἀνέλπιστον εἴ τις νουθετῶν, κακῶς ἀκούει καὶ διασύρεται. Διὰ τοῦτο, μηδ' αὐτὸς θαυμάσῃς, εἰ Πετρώνιος νουθετούμενος τραχυτέρους λόγους κατὰ τῆς σῆς ἀφίησι τελειότητος· μηδὲ διὰ τοῦτο μήτε τὴν εἰς ἐκεῖνον, μήτε τὴν εἰς ἄλλους ὀφειλομένης ὑφόρα παραινέσεως. Ἐπεὶ δόξομεν ἂν πρὸ ἐκείνων αὐτοὶ ἑαυτοὺς ἀξίους ἀποφαίνειν ἐπιτιμήσεως, καὶ τὴν ἄλογον αὐτῶν μομφὴν εἰς αἰτίαν μεταποιεῖν ἀξιόλογον.

Epist. 200.

Sergio Aspathario fratri.

IMmoderata redargutio in hæc duo incidit: quod intendit, haud perficit: quibus nollet, incidit: Intendit, ad resipiscentiam inducere redargutum: hoc non præstat: studium divertitur in contrarium, exacerbat potiùs & ad desperationem adigit: opinionem de se suscitat, quòd opprobriis indulget, quasi malis vicini sui gavisus, non quòd humano affectu aut compassione tangatur. Quocirca consultò & sapienter, cum Nathan Davidi, tum Micheas Achabo, personatam representant redargutionem: molliori sermone delinientes: & quia nesciebant quò scena tenderet, ipsos judices habentes criminum

Ἐπισ. σ.

Σεργίῳ Ἀσπαθαρίῳ ἀδελφῷ.

Ἔλεγχος ἄκρατος εἰς δύο περιίσταται ταῦτα· ὃ μὲν βούλεται ποιεῖν, οὐ περαίνει· καὶ οἷς μὴ βούλεται, περιπίπτει. Βούλεται μὲν γὰρ εἰς μετάνοιαν τὸν ἐλεγχόμενον ἄγειν· ἀλλὰ τοῦτο μὲν οὐκ ἐξανύει· περιίσταται δὲ αὐτῷ τὰ τῆς σπουδῆς εἰς τοὐναντίον· ἐκτραχύνει γὰρ μᾶλλον, καὶ εἰς ἀπόνοιαν περιτρέπει· ἑαυτόν τε δίδωσι νομισθῆναι, ὡς οὐχὶ φιλανθρώπῳ γνώμῃ, καὶ συμπαθεῖ διαθέσει, ἐπιχαιρεκακοῦντα δὲ τῷ πταίσματι τοῦ πλησίον τοῖς ὀνείδεσιν ἐπεμβαίνειν. Διὸ συνετῶς ἄγαν καὶ σοφῶς, καὶ Νάθαν ὁ προφήτης τῷ Δαβὶδ καὶ Μιχαίας τῷ Ἀχαάβ, ὑπὸ προσωπείῳ τοὺς ἐλέγχους προσενηνόχασιν· ἅμα μὲν πρᾳοτέροις ὑπολεαίνοντες λόγοις· ἅμα δὲ καὶ διὰ τοῦ ἀγνοεῖν, εἰς ὃ τείνει καὶ ἀφορᾷ τὸ τοῦ δράματος, αὐτοὺς ἐκείνους κριτὰς ἀδεκάστους τῶν παρὰ σφίσιν αὐτοῖς

ἡμαρτημένων

ἡμαρτημένων, λαμβάνοντες. Διὰ τοῦτο γὰρ καὶ ὁ μὲν ἤνυσε τὸ πᾶν· (Αἰδέσιμα γὰρ ἀρετῆς ἐραστὴν, εἰ καὶ παρωλισθηκότα, ἐν νουθεσίᾳ διελέγξει)· ὁ δὲ, ὡς πρὸς τηλικοῦτον θηρίον, εἰ καὶ μὴ ὁμοίως, ἀλλ' οὖν μεγάλα ἐξήνυσεν· εἰς ἄλγος γὰρ καὶ δάκρυα παραυτίκα, εἰ καὶ πρὸς τὰ τῆς δυσσεβείας μετ' ὀλίγον ἐπαλινδρόμησε, συνέστειλεν αὐτοῦ τῆς γνώμης τὸ ἀπονενοημένον καὶ φυσώμενον. Καὶ σὺ τοίνυν, ἐν οἷς ἡ χρεία καλεῖ, ἐπιεικείᾳ κιρνῶν τοὺς ἐλέγχους, καὶ ὑπὸ προσφόρῳ παραπετάσματι τοῖς νουθετουμένοις προσφερόμενος, μᾶλλον ἐξανύσεις τὸ σπουδαζόμενον.

Ἐπισ. σα'.

Γεωργίῳ Μητροπολίτῃ Νικομηδείας, τελευτήσαντος αὐτῷ ἐν τῇ ὑπερορίᾳ, κληρικοῦ, μετὰ τὴν γενομένην ἐπ' αὐτῷ τοῦ πρεσβυτέρου χειροτονίαν.

Ἐβουλόμην ἀπ' ἀρχῆς τῆς σκυθρωπῆς ἀγγελίας, (ὡς εἴθε μὴ ὄφελεν ἐμοῖς ὠσὶν ἐπελθεῖν,) λόγοις παρακλήσεως τὸ ἐν σοὶ πραΰνειν ἄλγος, καὶ τὸ λυποῦν ἀφαιρεῖν, ἧς ἐνῆν μοι παρηγορίας. Ἐπεὶ δὲ ταῖς ἴσαις αὐτὸς, (οὐ γὰρ ἂν εἴποιμι πλέον· οὐ τὴν ἀλήθειαν, τὴν δ' ἀπιστίαν εὐλαβούμενος, κατετεινόμην ἀλγηδόσιν, καὶ τὴν ψυχὴν χαλεπῶς ἔπασχον·) ἀμβλύτερος πως κατέστην ἑτέρων λύπας ἀφαιρεῖν, ὧν αὐτὸς παραμύθιον οὐχ εὕρισκον. Ὀψὲ δὲ καὶ μόλις τοὺς λογισμοὺς ἀνενέγκων, κἀκεῖνο πρὸ τῶν ἄλλων ἐνθυμηθεὶς, ὡς ὅτι περίεστιν ἡ ἀρχιερατικὴ καὶ ἁγία χεὶρ ἐκείνη (καὶ περιείη γε ἐπὶ πλέον, ἢ ὅσον διεγέγονεν, ἡ τοιούτους ἡμῖν διαπλάττουσα καὶ διαμορφοῦσα τοὺς τῆς ἱερᾶς ἡμῶν ὑπηρέτας ἀγιστείας) ἔτι μᾶλλον ἐγενόμην ἐμαυτοῦ, καὶ τοῦ δυσφορεῖν ὑπερανέχων· καὶ πρὸς τὴν αὐτὴν λοιπὸν διάθεσιν τὴν ὑμετέραν μεθέλκειν ἐθάρρησα τελειότητα· καί τι γὰρ ἐνενόουν τῶν ἀτοπωτέρων· τι δὲ τῶν καινοτέρων πεπόνθαμεν· ἀφῃρέθη μέλος, ἀλλὰ θεῷ ἀφιέρωται· ἀλλ' ἀπαρχὴν ἔδει δοθῆναι τῶν καλῶν, ὧν ἐκεῖθεν ἐπλουτίσαμεν· ἀρχαῖος

ab ipsis patratorum. Ideò Nathan perfecit quod volebat: Virum enim virtutis amantem, licèt ab ea exorbitaverat, admonendo redarguit: alter autem, licèt similiter apud talem bestiam non profécit, multum tamen fecit; in mœrorem protinus & in luctum conjecit, utcunque statim ad pristinam impietatem revertebatur, tamen desperatum ejus animum & inflatum coercuit. Tu autem quoties necesse fuerit, reprehensionibus admisce comitatem, & sub parato velamento, admonitis te applica, atque ità magìs, quod conaris, perfectum dabis.

Epist. 201.

Georgio Metropol. Nicomediæ, cujus Clericus peregrè diem clauserat extremam, post ordinationē ipsius ad presbyteratū.

Cupiebam ab accepto amaro nuncio, quod utinam in meas aures non venisset, consulentibus verbis dolorem tuum mitigare, & quibus possem solatiis afflictionem tuam lenire. At cùm iisdem ego ipse hebetior essem redditus malis nec aliorum tristitias auferendo, cùm ipse meis solatium reperire nequirem, ità enim tam mecum erat revera, ne quid gravius dicam: nec vereor nè fides mihi non adhibeatur, qui veritatem dico: certè excruciabar doloribus: & animo malè affectus eram. Cúmque serò ac vix tandem ad animum redieram, illud imprimis cogitabam: adhuc superstes est Archiepiscopalis & sancta illa manus, (& diu adhuc supersit precor, quæ tales nobis defingit & efformat sacerdotes rerum administros sacrarum) magìs memetipsum recollegi, nec ulteriùs graviter patiebar, & ad eandem mecum dispositionem perfectionem vestram volui deducere: Ubi tamen absurdi quid mihi occurrebat: tamen nescio quid novi passus sum: Membrum divulsum abstrahitur; sed Deo dicatur, & nos qui per Deum divitiis illis abundavimus, illi primitias offerre debebamus: Antiqua

tiqua lex hæc obtinet, ut rerum pretioſarum primitias datori & communi Domino offeramus: Germen præclarum, & fructus ferens maturos diffractum eſt: Sed manet radix, germinabit denuò non inferiora: ſi is qui ablatus eſt mœrore afficiat, progerminet alios, ut nè ità demum triſtitia percellatur, ſi ramos quoſdam ad ſe transferat hortulanus: Sed per reliquorum oblectationem ablati ſenſum abſconditum voluit: Abiit præclara & admirabilis virtutis imago; ſed idem pictor manum adhuc exercere poteſt, & qui præclaras ejus dotes diligebat, proculdubio plures tales imagines deſcribet: At mihi quidem mali medicinam facit iſtud; puto quemlibet religioſum prudenter ſumpturum: Sed eccleſiæ corpus, ad quod vocati ſumus non opinor ipſe juſtificabis, non eſſe tibi compaſſionis ſolatium Archipræſuli. Nam quid eſt? ante tempus auferebatur: & quis quæſo meliùs de temporibus judicare, & eadem obſervare novit, quàm is, qui ſecundùm rationem & ordinem diſpoſuit omnia? ſed raptus eſt in ætate vigente, & qui tales exiſtunt, certamina ſubeunt viriliter: verùm ad ſenectutem uſq; protendi interruptionem plerunq; fortitudinis operatur. Ad virtutem nobiſcum concurrebat: Non oportet invidere, ſi ſtadium ſuum prior confecerit: At ſolamen erat urgentium afflictionum: Sed nec omnes ſecum abſtulit conſolationis modos: Imo plures nunc præſtat, & quidem primò per generoſas vitæ actiones: ſecundò per interceſſionem apud Deum: utpote jam vicinior ei factus, & cœleſte adjumentum in partes aſſumens, cùm ad ſuccurrendum, tum ad vindicandum: Silent labra: clamant actiones: lingua tacet, ſed contra legum violatores ejus redargutiones ipſorum conſilia perpetuò flagellant, & religioſum quemlibet ad oblectationem excitant, & fortitudinem. Quid tandem? in perſecutione, afflictione, miſeriâ, vitam clauſit? At hæc me ſummopere conſolantur. Non enim delitiis affluere illum decuit, qui ad regnum cœlorum anhelabat, & illam ibi adire hæreditatem voluit: Luctatorem quietè affluere non decebat: nec certa-

ος ἐστὶ νόμος ἀπαρχὰς τῶν τιμίων τῷ δωτῆρι, καὶ κοινῷ προσφέρειν δεσπότῃ. Κλάδος εὐθαλὴς, καὶ καρπὸν ὡραῖον φέρων, περιῄρηται· ἀλλ᾽ ἡ ῥίζα μένει· οἴσει πάλιν οὐκ ἐλάττονα. Εἰ δὲ πλέον ὁ περιῃρημένος λυπεῖ, βλαστανέτω καὶ πλείονας· ἵνα μὴ πάλιν ἔχοι χαλεπῶς ἀλγεῖν τοῦ φυτοκόμου πρὸς ἑαυτόν τινα τῶν κλάδων λαμβάνοντος· ἀλλ᾽ ἐν τῇ τῶν ὑπολειπομένων τέρψει, τοῦ ἀφῃρημένου λανθάνειν ἔχοι τὴν συναίσθησιν· ἀπῆλθεν ἡ καλὴ καὶ θαυμασία τῆς ἀρετῆς εἰκών· ἀλλ᾽ ὁ γραφεὺς ἔτι τὴν χεῖρα κινεῖ, καὶ γράψει γε πάντως, ἐραστὴς ὢν τοῦ καλοῦ, οὐκέτι μίαν, ἀλλὰ καὶ πλείονας· Ἀλλ᾽ ἐμοὶ μὲν τοῦτο τῆς ἀθυμίας φάρμακον· οἶμαι δ᾽ ἂν αὐτὸ λαβεῖν προθύμως, καὶ τῶν εὐσεβούντων ἕκαστον· τὸ δὲ κοινὸν τῆς ἐκκλησίας, ἐφ᾽ ᾧ γε παρακεκλήμεθα, οὐκ ἂν οὐχὶ δικαιώσαις καὶ αὐτὸς, καὶ τῆς σῆς ἀρχιερατικῆς συμπαθείας μὴ γενέσθαι παράκλησιν. Τί γάρ; πρὸ ὥρας ἀπῆρεν· καὶ τίς ἀκριβέστερος ὥρας συντηρεῖν καὶ κρίνειν, τοῦ πάντα λόγῳ καὶ εἱρμῷ τάξαντος; Ἀλλ᾽ ἐν ἀκμῇ τῆς ἡλικίας, οἱ τοιοῦτοι τοὺς ἄθλους γενναίως φέρουσι· τὸ δὲ εἰς γῆρας παραταθῆναι, ἐγκοπὴ τὰ πολλὰ τῆς πολλῆς καθίσταται γενναιότητος. Σύνδρομος ἦν πρὸς ἀρετήν· οὐ χρὴ φθονεῖν εἰ τὸ στάδιον προκατείληφεν. Ἀλλ᾽ ἦν τῶν θλιβερῶν παραμύθιον· οὐ συναπῆρεν τοὺς λόγους τῆς παρακλήσεως· καὶ πλέον δὲ ἔσται νῦν, οἷς τε διὰ βίου ἀνδρικῶς ἐνεκαρτέρησε, καὶ ταῖς πρὸς τὸ θεῖον ἐντεύξεσιν· ἅτε δὲ πλησιαίτερον γεγονὼς, καὶ τὴν ἐκεῖθεν ἕλκων μᾶλλον ῥοπὴν, εἰς ἐπικουρίαν καὶ ἐκδίκησιν· σιγᾷ τὰ χείλη· ἀλλὰ βοῶσιν αἱ πράξεις· ἡ γλῶσσα τέως ἠρεμεῖ· ἀλλ᾽ οἱ κατὰ τῶν παρανομούντων ἔλεγχοι, αὐτῶν τ᾽ ἐκείνων τοὺς λογισμοὺς ἀθάνατα μαστιγοῦσι, καὶ τῶν εὐσεβούντων ἕκαστον, εἰς θυμηδίαν καὶ ἀνδρείαν διανιστῶσιν. Τί λοιπόν; ἐν διωγμοῖς καὶ θλίψεσι καὶ ταλαιπωρίαις τὸν βίον ἀπέλιπε; Τὸ μέγιστόν μοι λέγεις παραμύθιον. Οὐ γὰρ ἔδει τρυφᾶν τὸν τὴν βασιλείαν τῶν οὐρανῶν ἐπιζητοῦντα, καὶ τὸν ἐκεῖσε κλῆρον διώκοντα· οὐκ ἔδει τὸν ἀθλητὴν ἡσυχάζειν·

οὐδὲ τὸν ἀγωνιστὴν ὑπὸ σκιαῖς καὶ δένδροις καὶ παραδείσοις ἀνακεκλίσθαι καὶ ἀναπαύεσθαι· ἀλλ' ἐν μέσοις ἔδει τοῖς ἀγῶσιν, ἐν αὐτοῖς τοῖς πειρασμοῖς, ἐν μέσῳ τῆς τῶν διωκόντων μιαιφονίας, δοκιμάζεσθαι, καλὸν ἐμφανισθῆναι τῷ ἀγωνοθέτῃ, ἱδρῶσιν ἀθλητικοῖς ἔτι περιστάζόμενον· μακάριον ὀφθῆναι τῶν δρόμων καὶ καμάτων ἀσθμαίνοντα· τοῦτο τῶν στεφάνων ἐγὼ φημι μακαριώτερον· τὸ μὲν γάρ ἐστι τοῦ ἀθλοθέτου· τὸ δὲ τῆς τοῦ ἀγωνιζομένου σπουδῆς καὶ εὐδοκιμήσεως. Ἐν αὐτῇ μέσῃ τῇ τῶν διωγμῶν ἀκμῇ, πρὸς τὸν στεφοδότην ἀπέδραμεν. Τί δὲ ἀπέραντα κάμνειν ἐβούλου τὸν ἀγωνιστὴν, καὶ μὴ τάχιον τυχεῖν ἐφ' ᾧ ταῦτα διεκαρτέρει καὶ ὑπέφερεν· ἐχθρῶν εὐχήν μοι λέγεις, ἀλλ' οὐχὶ προνοίαν φίλων· οὐδὲ πόνον οὐδὲ ἔλεον. Ἐξῆλθε κοινῶν ὀμμάτων τὸ κοινὸν τῆς ἐκκλησίας τέκνον, ὁ καλὸς ἐμοὶ καὶ τοῦ Θεοῦ ἄνθρωπος· ἀλλ' εἰς οὐρανὸν, ἀλλ' εἰς τὸν κοινὸν δεσπότην, ἀλλὰ μετ' ἀγγέλων χορεύσων, ἀλλ' ἱερουργός. Ὢ πόσην εὗρον ἐν τούτῳ παραψυχήν· ἔδει γὰρ ἔδει καὶ τὴν ἡμῶν ἀπαρχὴν τῶν ὑπὲρ ἱερᾶς δόξης, καὶ νόμων ἱερῶν διωκομένων, ἱερουργὸν Θεῷ προσαχθῆναι· ἱερουργὸς, ἐμφράττων μετὰ πλείονος τῆς παρρησίας στόματα βεβήλων, καὶ χαλινῶν γλώσσας κενὰ * ἐπισταμένας· ἱερουργὸς, κἂν μὴ τὸ ἀνίερον βούλοιτο. Τί ἔτι; Ἐπήνθει αὐτῷ τὰ τῆς ἀρετῆς ἅπαντα· διὰ τοῦτο γὰρ θᾶττον εἰς τὴν ἀμάραντον ἀπεφοίτησεν τοῦ παραδείσου πολιτείαν, ἵνα μηδὲν αὐτῷ τῶν κατορθωθέντων ἀπομαρανθῇ. Εἰ γὰρ οὐδεὶς ἀπὸ ῥύπου καθαρὸς, οὐδ' ἂν ἡμέρα μία ὁ βίος αὐτοῦ, ὁ θᾶττον τὸν δίαυλον τοῦ βίου ἐξελθὼν, τὸ πλεῖστον ἔφθη τοῦ ῥύπου ἐκφυγών. Κοινὸν ἦν τῶν εὐσεβούντων στήριγμα· καλὸν αὐτοῖς ἀπολέλοιπε κανόνα καὶ τύπον ἐν τοῖς ὑπὲρ εὐσεβείας πόνοις τὸ ζῆν ἐκλιπών. Οὐκ εἶδεν τὴν τῆς ἐκκλησίας, ὑπὲρ ἧς ἐνήθλει, ἀποκατάστασιν· διὰ τοῦτο ἀκεραίους ἐκεῖθεν ἔχει τῶν πόνων τοὺς μισθούς. Τὸ γὰρ ἀνθ' ὧν ἀγωνίζεταί τις, εὐφροσύνης ἐνταῦθα τυχεῖν, ὑποτέμνεται τῆς ἐκεῖθεν μακαριότητος τὰς ἀμοιβάς. Οὐκ εἶδε τὴν ἀποκατάστασιν αἰσθητοῖς ὀφθαλμοῖς· ἀλλ' ὁρᾷ νυνὶ τοῖς

* ἴσ. μελετῶν

mini deſtinatum in umbraculis arborum paradiſi recubare, ac dulcem ſomnum capere: ſed inter certamina, per tribulationes, inter perſequentium gladios explorari decuit: & ſic approbari ab Agonothete, ſudore madentem è colluctatione, & ſic de curſu, laboribus anhelum, felicem prædicari: id quod ego coronis prætulerim: Nam coronæ donantur ab Athlotheta: Hæc certantis labores clamant & lemniſcos: Inter medias, & illas extremas perſecutiones, abivit ad coronatorem. Quorſum enim in infinitam Agoniſtam durare oportuit, ac non ſtatim potiùs illa conſequi propter quæ ea pertulit, & ſic obduravit: Hoſtium ſanè vota mihi iſtud narras, non pavidam amicorum curam, nec toleratorum commiſerationem. Ab oculis omnium abiit publicus eccleſiæ filius: præclarus ille Dei, & noſter homo: ſed in cœlos, ad communem Dominum abiit, ſed choros cum Angelis concelebraturus, ſed ſacerdos. Ego autem quantum in hoc uno ſolatii adinveni; ità enim par fuit ut ſacerdos Deo offerretur, primitiarum loco, Divinis legibus, pro Dei gloria paſſus perſecutionem: ſacerdos autem is, qui cum multa libertate profanis hominibus os obſtruere poteſt, & frænum injicere linguis meditantium vana: ſacerdos, velint nolint profani. Quid ulterius? Virtute florebat undiq;. Quocirca citiùs hinc abivit ad immarceſſibilem paradiſi politiam, ut nequid illi à rectis factis deflorefceret: ſi enim denuò ſit à ſordibus purus, ne quidem ſi vel unius diei ſpatium vinceret, certè qui *diaulum* vitæ quantociùs exceſſit, plurimas ille ſordes abluit. Pietatis erat commune quoddam ſtabilimentum: præclaram ipſis regulam, & formam reliquit, qui in patiendo pro pietate exceſſit è vita: Eccleſiæ illius, pro qua certavit, reſtitutionem non vidit: quocirca, impermixtam laborum mercedē in cœlis habet: Nam ſi oblectamentum laborum hîc perceperat, privaretur beatitudinis ibidem retributione: Oculis ſenſitivis reſtaurationem non vidit: ſed intellectus oculis nunc intuetur,

tur; utpote Deo vicinior factus, eò properare & illis conducet, qui adhuc verſantur in ſenſibilibus. Corpus ſepulchrum continet, thalami autem cœleſtes animam, pulverem habet terra, ſpiritum verò ſinus Abrahæ: privabatur amicis, reperit meliores, & quos dereliquit, haud diu erit cùm rurſus inveniet, ſi permanſerint, ſtatu quo, amici Dei: Hoſtium inſidias evaſit ſenſibilium, intellectualium, apertas, occultas, internas, externas, manifeſtas & clancularias. Vidit hîc, ſed ut in ſpeculo, (quod & ego per ſomnia à Deo immiſſa video) quæ cupiebat, & continuè anhelabat, quibus animæ dedit alas, ad quæ licèt tabernaculo prægravatus ferebatur. Vidit regem annuentem, Angelos claritate conſpicuos miniſtros vocationis, ſacrum illum, & profanis intactum, & inviſibilem locum, inexplicabilem gloriam, & oblectationem indeterminabilem, quò transferebatur. Hæc eſt dulcedinis fruitio, & viſionis illius ante fruitionem: Certè, exceſſus felix & admirandus, non lachrymis decorandus, ſed æmulatione optandus, non lugendus: Illuſtri modo tumulatus cœleſtes ſedes aſcendit, cum lampade clara, non oleo tantùm illuminata, ſed certaminis ſudoribus diffluente, non ſola virginitate exculta, ſed ſacerdotali dignitate quoque diffuſa: Nec iſtis ſolis, ſed & aliis virtutibus unde abundantia perennis effuſo lumine dilatatur: Hæc ſunt illa, quæ animum meum reficiunt, hæc quæ conſolantur: Imò potiùs hinc initio conſolationis derivato, ad ſpiritualem referebatur oblectationem exaltationémque: Hæc & tuam Archiepiſcopalem perfectionem ſolentur: hæc in gaudii & conſolationis argumentum cedant, eóque magìs quòd tuæ diſciplinæ curæ & inſtructioni tranſlati hinc illius res præclarè olim geſtæ adſcribi debeant.

νοητοῖς. Ἀλλ' ἴσως ἐπλησιαίτερον γεγονὼς Θεοῦ, ταύτῃ τοῖς ἐν αἰσθήσει στρεφομένοις ἔτι ἂν ἄρα σύμφερον ἐπιταχυνεῖν. Ἔχει τάφος τὸ σῶμα, ἀλλ' οὐράνιοι θάλαμοι τὴν ψυχήν· ἡ γῆ τὴν κόνιν, ἀλλ' Ἀβραμιαῖοι κόλποι τὸ πνεῦμα· φίλων ἐστερήθη· ἀλλ' εὗρε τοὺς κρείττους, εὑρήσει δὲ καὶ οὓς ἔλιπε μετ' ὀλίγον, ἂν τῷ εἶναι μείνωσιν φίλοι Θεοῦ. Ἐχθρῶν ἐξῆλθεν ἐπιβουλὰς αἰσθητῶν, νοητῶν, φανεράς, ὑφάλους, ἔξωθεν, ἔνδον, ἀνεδεῖς ὑπ' ἐνέδρᾳ· εἶδεν, εἰ καὶ ὡς ἐν ἐσόπτρῳ (τοῦτο γὰρ ἔγωγε τὸ ἐν τοῖς θεοπέμπτοις ὀνείροις ὁρῶ) ἃ ἐπόθει, καὶ ὧν ἀδιαλείπτως ἐγλίχετο· οἷς τὴν ψυχὴν ἀνεπτέρωτο, καὶ πρὸς ἃ καὶ τῷ σκήνει βαρυνόμενος ἀνεφέρετο. Εἶδεν τὸν καλοῦντα βασιλέα, τοὺς ὑπηρετουμένους φαιδροὺς ἀγγέλους τῇ κλήσει, τὸν ἱερὸν ἐκεῖνον καὶ βεβήλοις ἄψαυστον καὶ ἀθέατον, ἐν ᾧ παρεπέμπετο χῶρον· τὴν ἄφραστον ἐκείνην καὶ ἀτελεύτητον δόξαν καὶ τρυφήν. Ὦ γλυκείων ἀπόλαυσις, καὶ πρὸ τῆς ἀπολαύσεως, θεαμάτων· ὦ μακαρίας ἀποδημίας· ὦ ἀξίας θαυμάζεσθαι· ἀλλ' οὐχὶ δάκρυα· παρακαλεῖται ζηλοῦσθαι, οὐχὶ πενθεῖσθαι· μετὰ λαμπρῶν ἐνταφίων τῶν οὐρανίων ἀνέβη πυλῶν· μετὰ λαμπρᾶς τῆς λαμπάδος οὐκ ἐλαίῳ μόνῳ φαιδρυνομένης, ἀλλὰ καὶ τοῖς ἀπὸ τῶν ἄθλων ἱδρῶσιν ἀρδευομένης· οὐ παρθενείᾳ μόνῃ λαμπρυνομένης, ἀλλὰ καὶ ἱερωσύνης ἀξιώματι κλεϊζομένης· οὐδὲ τούτοις μόνον, ἀλλὰ καὶ ταῖς ἄλλαις ἀρεταῖς δι' ὧν τὸ δαψιλὲς καὶ ἀέναον τῆς φωτοχυσίας κατεπλουτίσθη. Ταῦτά μοι γέγονε ψυχαγωγία, ταῦτα παραμύθιον, μᾶλλον δὲ ἀπὸ τῆς παραμυθίας ἀρξάμενα, εἰς πνευματικὴν μετέστησεν εὐφροσύνην καὶ ἀγαλλίασιν. Ταῦτα καὶ τῇ σῇ ἀρχιερατικῇ τελειότητι γινέσθω καὶ παραμυθία, καὶ χαρᾶς καὶ θυμηδίας ὑπόθεσις, ὅσῳ καὶ μᾶλλον εἰς τὴν σὴν ἀνήκει διδασκαλίαν καὶ σπουδὴν, τὰ τοῦ μεταστάντος κατορθώματα.

Epiſt. 202.

Euſchemoni Cæſareæ Archiepiſc.

Suſcepit quidam Prophetam, aut juſtorum aliquem, eo quòd multos illum admirationi habentes obſervat,

Ἐπιστ. σβ'.

Εὐσχήμονι Ἀρχιεπισκόπῳ Καισαρείας.

Ἐδέξατό τις προφήτην, ἢ ὅλως τινὰ τῶν δικαίων, ὅτι πολλοὺς εἶδε τὸν

ἄνδρα θαυμάζοντες, καὶ δόξαν οὐ μικρὰν ἐκ τοῦ θαυμάσαι θηράσαντες. Ἕτερος πάλιν ἐλπίδας τρέφων, ὡς ἐκ τῆς ὑποδοχῆς πλούτου περιβαλεῖται λαμπρότητα, ἤ τινος ἄλλης σωματικῆς εὐπαθείας ἐπιτεύξεται. Οὐδεὶς οὐδαμῶς τῶν εἰρημένων οὔτε προφήτου μισθὸν, οὔτε τινὸς δικαίου λήψεται. Τίς δὲ λήψεται; Ὁ δι' αὐτὸ τὸ εἶναι προφήτην καὶ Θεοῦ θεράποντα· τοῦτο γάρ ἐστιν εἰς ὄνομα προφήτου, καὶ εἰς ὄνομα δικαίου· ἀλλὰ μηδ' ἐμπορείαν, ἢ τοιαύτην τινὰ χρείαν τὸν ἄνδρα δεχόμενος, καὶ τὴν δυνατὴν θεραπείαν εἰς αὐτὸν καθαρότητι καρδίας καὶ σπουδαίᾳ γνώμῃ ἐνδεικνύμενος. Ἄξιος γὰρ ὡς ἀληθῶς ἄξιος ὁ τοιοῦτος θείας ἀντιμισθίας καὶ ἀντιδόσεως. Τὸ δὲ, μισθὸν προφήτου, καὶ μισθὸν δικαίου λήψεται, διττὴν ἔχει τὴν διάνοιαν, ἢ γὰρ ὅτι τῆς εἰλικρινοῦς καὶ καθαρᾶς φιλοξενίας τὸν μισθὸν, οἱ τοὺς προφήτας, καὶ ὅλως, οἵτινας τῶν δικαίων ὑποδεχόμενοι, πάντως γε λήψονται, καὶ οὐκ ἔστιν αὐτοὺς τῶν γερῶν στερηθῆναι, ὧν ἀξίους ἑαυτοὺς, δι' ὧν ἔπραξαν, ἔδειξαν· ἢ ὅτι καὶ οὗτοι οὐχ ἁπλῶς μισθὸν φιλοξενίας, ἀλλὰ τὸν ἴσον καὶ ὅμοιον τοῖς προφήταις καὶ δικαίοις ἀπολήψονται. Μέγα γὰρ φιλοξενία, καὶ μεγάλους μισθοὺς προξενοῦσα, καὶ μάλιστα σπουδαίων ἀνδρῶν, καὶ ὑπὲρ θείων νόμων διωκομένων· ἣν σὺ κατορθῶν καὶ εἰς ὄνομα Θεοῦ θεραπόντων, ἀλλὰ μὴ δι' ἄλλο τι τοὺς αὐτοῦ ξενίζων φίλους, μᾶλλόν τε συνήσεις τὸν εὐαγγελικὸν χρησμὸν, κἀκεῖθεν εὑρήσεις τὸ κέρδος (ὦ μακαριότητος) πολὺ μεῖζον ἢ κατὰ διήγησιν λόγου.

qui ex illa sua admiratione, gloriam non mediocrem venabantur. Alius spem concipit, quòd è tali susceptione, eximiâ divitiarum affluentium copiâ abundabit: vel statum aliquem bonum corporalem consequetur. At nemo planè istorum, vel *Propheta mercedem* consequetur, vel *justi viri retributionem*. Quis autem recepturus eam est? Is nimirum, qui, quòd Dei servus, & Propheta quis existat, (hoc enim vult illud, *In nomine Prophetæ, in nomine justi*) & non cauponando, vel commodum captando recipit, & quo potest obsequio eam demeretur, è pura conscientia & honesto animo. Certè, dignus omnino talis divinâ retributione, & redhostimento. Illud porrò, *Mercedem justi, mercedem Prophetæ recipiet*, duplicem habet sententiam: vel enim sinceræ hospitalitatis & puræ mercedem illi recipient, certò certiùs, qui Prophetam, vel justum recipiunt: nec honore illo privari possunt, qui dignos se per res à se gestas præstiterunt; vel quòd illam non recipient simpliciter mercedem hospitalitatis, sed similem aut æqualem justis & Prophetis. Magnum quid hospitalitas est: magnam conducet mercedem, imprimis, si honesti & legem Dei sectantes recipiantur: Hanc tu rationem si rectè institueris, ac propter nomen ac titulum servorum Dei, non ob aliam ullam causam hospitio susceperis, Oraculi Evangelici mentem tenebis, unde commodum percipies: felix omnium magìs illa beatitudo, quàm quæ verbis poterit ullis explicari.

Ἐπισ. σγ'.

Θεοδώρῳ Ἡγουμένῳ.

Ὁ Μὲν ἀπορρητότερος καὶ βαθύτερος τῆς αἰτίας λόγος ἀνείσθω Θεῷ· ἐξ ὧν γε διανοίαις ἀνθρώπων ἔδωκε γενέσθαι ληπτὰ, φαμὲν, ὡς διὰ τοῦτο τὸν Ἀβὲλ δίκαιον ὄντα, πρὸ τοῦ ἐξημαρτηκότος Ἀδὰμ, καὶ τὴν ἀπόφασιν δεξαμένου, συνεχώρησεν εἰς θάνατον ἐλθεῖν· ἵνα μαθὼν ὁ ὑπόδικος ἐν τῷ ἀνευθύνῳ παιδὶ τὸ φοβερὸν τοῦ ἐπιτι-

Epist. 203.

Theodoro Hegumeno.

SEcretior omnis & profundior causæ ratio, apud Deum seponatur: sed in quantum humano captui comprehendendam dare voluit, illam ego attulerim; quòd idcirco Abelem virum justum, Adamo priorem, cùm tamen princeps is peccaverat, & sententiam ideò mortis acceperat, morti traditum voluit, ut qui reatui subjacebat, per & in filio suo inculpato majorem tristitiam

tiam conciperet animo, & majorem monstraret pœnitentiam; ità ut cùm minimo, in quantum fieri potuit, transgressionis debito hinc transiret: Deinde ut puteum illum mortis profundum, per justi hominis eò introitum injuriâ affecti receptum redderet putridum & inanem: Quòd si eum qui peccato reus fuit principem recepisset, firmum subjecisset ei firmamentum: sed abrepto illuc viro justo, putridum solum nec difficulter subruendum, nesciens tamen confecit. Tu autem porrò in mentem advoca cogitando, an non status & ratio resurrectionis, tam longo præcedente intervallo præstruatur, & per mysterium præsignificetur: si enim bonus ac justus Deus fuerit, aut utriusque potiùs fons & origo, haud immuneratum hinc abire virum justum nè ad horulæ unius spatium pati debuit: Quid autem immuneratum dico? certè haud fuisset passus injustè aliquem tolli, nedū virum sui amantem, si non alius vitæ status, conditio alia reposita fuisset illi, ubi rerum à se gestarum retributionem & remunerationem per eò inexplicabiles divinæ providentiæ divitias præparatam disposuerat. Quocirca non est cur tu adhuc addubites, unde factum ut Abel justitiæ cultor omnium hominum princeps mortem famularetur. Quòd si respexeris ad Enochum qui & ipse justissimus fuit, plus adhuc tibi suggeretur, cur non addubites, unde factum ut mors priùs in justos quàm reos dominium exerceret: superior enim justus est propter virtutem & amorem Dei eximium (ne dubia à te proposita difficulter explicentur) laqueis mortis irretitus & ejus tyrannidem expertus fuisse dicitur.

μὲν καὶ ἄψυχον, πλέοντι τὸ ἄλγος ἐνδέξηται), καὶ τὴν μετάνοιαν ἐπιδείξηται· κἀκεῖθεν ἔλαττον ἀπέλθῃ τῆς παραβάσεως χρεωστῶν. Ἔτι δὲ, καὶ ἵνα τοῦ θανάτου τὸ βάθρον, τὸν ἠδικημένον πρῶτον δεξάμενον σαθρὸν καταστῇ. Ὥσπερ γὰρ εἰ τὸν ὑπεύθυνον πρῶτον ἐδέξατο, στερρὸν ἂν θεμέλιον ὑπεβάλετο· οὕτω τὸν δίκαιον ἁρπασάμενος, σαθρὰν ἑαυτὸν ἔλαθε καὶ καὶ εὐπερίτρεπτον τὴν οἰκείαν κρηπῖδα πηξάμενος. Σὺ δέ μοι σκόπει, καὶ * εἴ πως ὁ τῆς ἀναστάσεως διὰ τούτου προκαταβάλλεται καὶ μυσταγωγεῖται λόγος. Εἰ γὰρ ἀγαθὸς καὶ δίκαιος ὁ θεὸς, μᾶλλον δὲ ἀγαθότητος καὶ δικαιοσύνης πηγὴ, οὐκ ἂν ἀγέραστον ἀπελθεῖν καὶ πρὸ ὥρας τὸν δίκαιον εἴασεν Ἀβέλ· Καὶ τί λέγω ἀγέραστον; ἀλλ᾽ οὐκ ἂν ἀδίκως καὶ τὸ μεῖζον ἀνθ᾽ ὧν ὤφθη θεοφιλὴς, οὐκ ἂν ὑπερεῖδεν ἀναιρούμενον· εἰ μή τις ἐκεῖθεν ἄλλη κατάστασις, καὶ βίος ἄλλος ἀπέκειτο, ἐν ᾧ τῶν πρακτέων τὰς ἀμοιβὰς, καὶ τὰς ἀντιδόσεις, ἀφάτῳ πλούτῳ προνοίας εὐτρεπίσας ταμιεύει. Οὐκοῦν οὐκέτι διαμφισβητήσεις, διὰ τί πρῶτος Ἀβὲλ, φίλος δικαιοσύνης γεγονὼς, πρῶτος τῷ θανάτῳ ἐλειτούργησεν. Εἰ δὲ καὶ πρὸς τὸν Ἐνὼχ ἀποβλέψεις, δικαιότατον γεγονότα, πλέον ἕξεις δι᾽ ὧν οὐ ζητήσεις, πῶς τῶν δικαίων, μᾶλλον ἢ τῶν ὑπ᾽ αἰτίαν, ὁ θάνατος ἐκυρίευσεν· ἀνώτερος γὰρ οὗτος ἐξ ἀρετῆς καὶ φιλοτιμίας Θεοῦ, (καὶ ἵνα μὴ τὸ δυσθεώρητον ἔχωσιν αἱ σαὶ ἀπορίαι) τῶν τοῦ θανάτου βρόχων καὶ τῆς τυραννίδος ἐχρημάτισεν.

* ἴσ. μήπως.

NOTÆ.

Quæstio proponebatur, διὰ τί, πρῶτος Ἀβὲλ, φίλος δικαιοσύνης γεγονὼς, πρῶτος τῷ θανάτῳ ἐλειτούργησεν; ubi πρῶτος in primo loco, non ad Abel, sed φίλος δικαιοσύνης refertur. Primus justus, primus tamen mortem gustavit, & non Adam, primus peccator: cujus consilii divini plures probabiles causas reddit. Δίκαιον ἁρπαζόμενος. Nam δίκαιος ἀδίκως ὑπὸ θανάτου κρατούμενος, ἔρημον κατεσκεύασε τὸν Ἅδην· de Christo Domino dicebatur. Sed Enochi exemplum, πρὸς ἔπος ἦδεν, non enim mortuus Enoch, sed translatus.

Epist. 204.

Nicephoro Philosopho, Monachum agenti.

Omnia se habebant optimè, nec syntaxis omnino aliquid in Gram-

Ἐπιστ. σδ'.

Νικηφόρῳ φιλοσόφῳ μονάζοντι.

Ἅπαντα μὲν καλῶς εἶχε, καὶ οὐδὲν ταῖς συντάξεσιν, ἢ ταῖς ἄλλαις γραμμα-

τικαῖς ἀκριβείαις, ὁ λόγος ἐχώλευεν· ἃ δὲ τῶν ῥητορικῶν ἐνδεῖ νόμων, καὶ τῆς ἐκεῖθεν περινοίας, οὐδ' ἐν τούτοις εἰς ἀναίσχυντον ἐκφερομένων τῶν γεγραμμένων ἁμάρτημα· καὶ ταῦτα δέ σοι, ὥσπερ ᾔτησας, διορθώσεως τυχόντα προσαναπεπλήρωται. Εἴης δὲ κἀν τούτοις, ὥσπερ κἀν τοῖς ἄλλοις, αὐτὸς διὰ σαυτοῦ λαμπρὸν φέρων τὸ εὐδόκιμον. Ἔρρωσο.

maticalibus accuratiis claudicabat: nullus legum rhetoricalium defectus erat, vel solertiæ quiddam solitæ adhiberi: sed nec ità hîc peccabatur ut scripta se impudentiùs venditarent: Hæc prout rogaveris ut corrigerentur, ad te missa perfeci: Tu autem in istis, quemadmodum & in aliis illustris fias & prædicandus. Vale.

Ἐπισ. σέ.

Θεοδώρῳ ἡγουμένῳ.

Ἡ Περιτομὴ τρία τινὰ πραγματεύεσθαί μοι δοκεῖ· ἓν μὲν, οἱονεὶ σημείῳ τινὶ καὶ σφραγῖδι τοὺς ἐκγόνους Ἀβραὰμ ἀφορίζουσα, καὶ τῶν λοιπῶν διαστέλλουσα ἐθνῶν· δεύτερον δὲ, ἐν ἑαυτῇ τὴν τοῦ θείου βαπτίσματος προδιατυποῦσα καὶ προανακηρύττουσα χάριν καὶ δύναμιν· Ὥσπερ γὰρ ὁ περιτεμνόμενος, εἰς λαὸν θεοῦ διὰ τῆς σφραγῖδος πάλαι ἐχρημάτιζεν· οὕτως ὁ βαπτιζόμενος, σφραγῖδα τοῦ Χριστοῦ ἐν ἑαυτῷ τυπωσάμενος, εἰς υἱοθεσίαν Θεοῦ ἀναγράφεται. Καὶ τρίτον, σύμβολον τῶν ἐν τῇ χάριτι καθισταμένων πιστῶν, οἳ τῶν σαρκικῶν ἡδονῶν καὶ παθῶν τὰς ἐπαναστάσεις, τῷ τμητικῷ τῆς πίστεως λόγῳ καὶ πόνοις ἀσκητικοῖς ἐκτέμνουσι, καὶ ἀπονεκροῦσιν· οὐ σῶμα τεμνόντες, ἀλλὰ τὴν καρδίαν· καὶ πνεύματι οὐ γράμματι περιτεμνόμενοι· ὧν καὶ τὸν ἔπαινον οὐκ ἀνθρωπίνης ἐπικρίσεως δεῖσθαι, ἀλλὰ τῆς ἄνωθεν ἠρτῆσθαι ψήφου, Παῦλος ὁ θεῖος, ὁ τὰ τοιαῦτα μυσταγωγὸς, λαμπρᾷ τῇ φωνῇ διαμαρτύ-
* ἴσ. Εἰ δέ τῳ. ρεται. * Εἰ δέ τῳ κἀκεῖνο δοκεῖ, ὡς γένους μὲν Χαλδαίων ἐχρημάτιζεν Ἀβραάμ· τὸ δὲ, καὶ μητράσι καὶ θυγατράσι καὶ ἀδελφαῖς ἐκθέσμῳ νόμῳ συνανεφύρετο. Ἵνα οὖν μὴ τοῖς πατρῴοις ἔθεσι μήτε αὐτὸς, μήτε τὸ ἐξ αὐτοῦ γένος, καταμιαίνοιτο, τέμνεται, φασι, τὴν ἀκροβυστίαν εἰς ἀθέτησιν τῆς τοιαύτης ἀρρητοποιΐας, καὶ γίνεται αὐτῷ τῆς οἰκείας σαρκὸς ἡ περιτομὴ, διαίρεσις τῆς προσεχοῦς συγγενείας καὶ ἀποστροφὴ, ὅσα γε εἰς ὁμιλίαν γαμικήν· οὐδὲ γὰρ οὐδ' ἦν φωρᾶσαι τινὰ, μετὰ τὴν περιτομὴν, ἐν τοῖς ἐξ αἵματος Ἀβραὰμ ταῖς τοιαύταις

Epist. 205.

Theodoro Hegumeno.

Tria præ se ferre videtur mihi Circumcisio: primum, quòd tanquam signum & sigillum Abrahami progeniem separaret, & à cæteris Gentibus distingueret: secundùm, in se Divini Baptismatis gratiam & efficaciam per figuram prædicabat; Veluti enim olim Circumcisus, per sigillum in Dei populo censebatur; sic & Baptizatus, Christi in se sigillum expressum habens, adoptatus inscribitur Dei filiorum albo: Tertium, Symbolum erat fidelium in gratia existentium, qui carnalium voluptatum & passionum insurrectiones tumultuosas excisorio fidei sermone, & asceticis laboribus abscindunt & mortificant: Non corpus scindunt, sed cor: nec secundùm literam sed spiritum circumciduntur: Quorum laudatio non habet opus humano præconio, sed à Dei calculo dependet, ut Paulus harum rerum Mystagogus clarâ voce testatur. Ulteriùs, & illud fortassis arriserit alicui, quòd è Gente Chaldæa oriebatur Abraham, ubi matribus, filiabus, & sororibus de consuetudine impia carnaliter miscebantur: Quocirca, ne per patulos mores vel ipsemet pollueretur, vel ab illo descendentes, circumcidebatur ei præputium, quo sic aboletur hujusmodi nefanda turpitudo, atque ità accrescebat ei suæ propriæ carnis Circumcisio, ut divisio ab affinibus suis & consanguineis, ac quantum ad maritalem copulam spectabat, aversio: Non enim vel furtim quis post Circumcisionem è sanguine Abraham infandis istiusmodi impedie-

batur:

batur: cùm Chaldæorum laſcivia affatim & impudenter ad multa poſt hæc ſæcula proſtitueretur: Sed fruatur hîc quiſque judicio ſuo: Certè erat neceſſe ut Abrahami progenies ſepararetur: Imprimis, ne permixta cæteris nationibus illarum moribus paulatim abduceretur, facta pietatis cultúſque mutatione, & ità execrandis illarum ſacris inſerviret: Secundò, ut promiſſionis Divinæ apparens & cuicunque intelligibilis finis & perfectio redderetur, Abrahami ſemine in inenumerabilem multitudinem multiplicato & excreſcente: Quòd ſi cum cæteris nationibus permixti manſiſſent, veritas promiſſionis adimpleta non agnoſceretur, nec multitudo tantæ eſſet admirationi, ubi ſeparatim ſi agerent, & rempublicam privatam tuerentur. Tertiò, quod ante alias cauſas cenſetur, quandoquidem Dei dilecto & diligenti Deum Abrahæ pactum fuerat: *In ſemine tuo benedicentur univerſæ mundi nationes*: Hoc pactum à nullo progredi poterat, quàm à conditore, & ineffabili ſua providentia ubique diffuſa & diſſeminata omnes complectente: Communis enim formator ſolus poterat tam communem benedictionem impertiri. Enimverò, cum hoc ipſum Proviſorem illum ad incarnationem, quod maximum eſt, deſtinaret; (Quod ab omni retrò æternitate divino & abſcondito nutu ordinabatur:) ideò genus Abrahæ ſeparatur, & à commixtione eximitur aliarum gentium: ut Creator & Dominus naturam noſtram ex illa ſtirpe aſſumeret, & ſimiliter ac nos carnis & ſanguinis particeps fieret, quo pacti & promiſſi veritas omnibus numeris, apud omnes conſummaretur: nempe Chriſto Deo noſtro, in quo gentes omnes benedictionis per gratiam participes fiunt, è lumbis illius per principia generationis humanæ deſcendente. Atque hæc quidem hactenus, ſecundùm pietatis ſenſum: Quin & illud tibi etiam liquere arbitror, quòd Circumciſio divino viro Abrahæ cauſa nequaquam fidei fuerat,

ἐνηχημένον ἀρρητουργίαις τῆς Χαλδαϊκῆς ἀκρασίας ἀδεῶς καὶ ἀνεπαισχύντως μακροῖς, καὶ μετὰ ταῦτα, χρόνοις τὰ τοιαῦτα δραματουργούσης. Ἀλλὰ τοῦτο μὲν ὡς φίλον ἑκάστῳ καὶ νομιζέτω· ἀφορισθῆναι μέν τοι τὸ Ἀβραὰμ ἔδει γένος. Πρῶτον μὲν, ἵνα μὴ τοῖς ἄλλοις ἔθνεσιν ἐπιμιγνύμενον, καὶ κατὰ μικρὸν τοῖς ἐκείνων τρόποις ὑποσυρόμενον, τῆς τε οἰκείας εὐσεβείας παρατροπὴν πάθῃ, καὶ τοῖς ἐκείνων λατρεύσῃ βδελύγμασιν. Ἔπειτα, ἵνα τῆς θείας ὑποσχέσεως ἐναργὲς, καὶ πᾶσι γνώριμον τὸ πέρας δειχθῇ εἰς ἀναρίθμητον πλῆθος τοῦ ἐξ Ἀβραὰμ σπέρματος πληθυνομένου καὶ αὔξοντος. Οὐ γὰρ ἂν ὁμοίως τοῖς ἄλλοις ἔθνεσι συμφυρομένων τότε τῆς ἐπαγγελίας ἀψευδὲς ἐγινώσκετο, καὶ τὸ τοῦ πλήθους παράδοξον ἐθαυμάζετο, ὥσπερ καθ' ἑαυτοὺς καὶ ἀφορισμένην τὴν πολιτείαν ἐχόντων. Καὶ τρίτον, ὃ καὶ τῶν ἄλλων ἐστὶν εἰπεῖν αἰτιώτατον, ἐπείπερ ὑπεσχημένον ἦν τῷ θεοφιλεῖ Ἀβραὰμ, ἐν τῷ σπέρματι αὐτοῦ πάντα τὰ ἔθνη εὐλογηθήσεσθαι· Τοῦτο δὲ δι' οὐδενὸς ἄλλου δυνατὸν ἦν προελθεῖν, ἀλλ' ἢ δι' αὐτοῦ τοῦ καὶ πλάσαντος, καὶ τὸ τῆς προνοίας ἄφατον, μέχρι καὶ αὐτῶν τῶν ἐπὶ γῆς καθιέντος καὶ ἐκχέοντος. Ὁ γὰρ κοινὸς πλάστης αὐτὸς δυνατὸς μόνος καὶ κοινὴν τὴν εὐλογίαν χαρίζεσθαι. Ἀλλ', ἐπειδὴ τοῦτο πάλιν τὸ μέγιστον τῆς περὶ ἡμᾶς προνοίας εἰς ἐνανθρώπησιν τὸν προνοητὴν ἐκάλει· (οὕτω γὰρ ἄνωθεν καὶ πρὸ τῶν αἰώνων τοῖς θείοις, καὶ ἀπορρήτοις προώριστο νεύμασι) διὰ τοῦτο τὸ Ἀβραμιαῖον γένος ἀφορίζεται, καὶ τῶν ἐθνῶν τῶν ἄλλων τῆς ἐπιμιξίας διακρίνεται· ἵνα τοῦ δημιουργοῦ καὶ δεσπότου τὴν ἡμετέραν φύσιν ἐξ αὐτοῦ προσλαμβάνοντος, καὶ παραπλησίως ἡμῖν σαρκὸς κοινωνοῦντος καὶ αἵματος, ἐπίδηλόν τε λίαν καὶ περιφανὲς ἅπασι τὸ τῆς ὑποσχέσεως ἀψευδὲς καταστῇ. Καὶ ὅτι Χριστὸς Θεὸς ἡμῶν, ἐν ᾧ πάντα τὰ ἔθνη τῆς ἐν χάριτι εὐλογίας κατηξιώθησαν, ἐκ τῆς ὀσφύος ἐκείνου τὰς πρώτας καὶ ἀνθρωπίνας ἀρχὰς οὐκ ἀπηξίωσεν αὐτῷ γενέσθαι τῆς κατὰ σάρκα γεννήσεως. Ἀλλὰ ταῦτα μὲν καὶ τὰ τοιαῦτα, οἱ εὐσεβεῖς λογισμοί. κἀκεῖνο δέ σοι δῆλον, οἶμαι, καθεστάναι, ὡς τὴν περιτομὴν ὁ θεσπέσιος Ἀβραὰμ, οὔτε πίστεως ἔχει αἰτίαν,

αἰτίαν, οὐ μὴν οὐδ᾽ αὐτό γε τοῦτο τάξιν ἐπέχουσαν πίστεως· προεπίστευσε γάρ, ἀλλὰ τῆς προϋπαρξάσης αὐτῷ μόνον σφραγῖδα ταύτην ἐδέξατο. Τὸ μέντοιγε λέγειν, ὡς διὰ τοῦτο περιετμήθη τὴν ἀκροβυστίαν, ὡς ἂν γυμνὸν γεγονὼς τῶν ἐκ φύσεως περιβλημάτων, τὸ παιδογόνον τῶν ἐκεῖθεν ῥύπων καθαρεύοι, οἶδα μὲν Ἑλλήνων παισί, καὶ τισιν Ἰουδαίων πεφλυαρημένον· καὶ μυρία λέγειν ἔχων πρὸς αὐτοὺς τῆς ἀτόπου δόξης, τὸν τῶν ἐλέγχων ἄφθονον χορηγούσης· ἐκεῖνο μόνον ἐρῶ, ὡς ἡδέως ἂν αὐτῶν ἤκουον τοῦτο λεγόντων εἰ κατ᾽ αὐτῆς τῆς σπερματικῶν ῥευμάτων τῆς πηγῆς, πρῶτον τὸ ξίφος ἔβλεπον φέροντας, ἢ κατὰ γαστέρων, ἃς αὐτοὶ ἑαυτοῖς καὶ πλειόνων ἀκαθαρσιῶν καὶ βδελυρωτέρων ἐπονόμους ὑπεστήσαντο.

neç illa secundùm fidei ordinem censeri debeat; priùs crediderat & cùm illa fides anterior apud illum resedisset, sigillum hoc impressum accepit: Affirmare igitur, quòd idcirco præputium abscindebatur, ut nudatus naturalibus ornamentis, sordes genitalis illa elueret, scio Paganos & Judæos: sed deblaterant: Contra quos cùm multa mihi dicenda suppetant, quæ abundè refellant hanc absurdam opinionem: Hoc unicum edisseram, quod non illibenter audirem ità dictitantes, si contra fontem effluxionis seminalis, gladium vel cultellum adhibitum vidissent, vel contra ventrem, quem plurima immunditie, & abhominabili adhuc magìs repletum, & subjectum sternunt.

NOTÆ.

TO δὲ καὶ μητράσι. Magis & Chaldæis hoc παρανόμημα ascribunt multi: diximus de eo alibi: Sed non potest probari, nec est verosimile fuisse illud Abrahamo vel σύγχρονον, vel antiquius: ut retur Photius, sed μακροῖς ὕστερον ταῦτα χρόνοις subintroductum.

Ἐπισ. σϛ΄.

Παύλῳ Μητροπολίτῃ Λαοδικείας.

Ἔκαμον, τὰς εὐδίας ἀναμετρῶν, καὶ τὴν σὴν περιβλεπόμενος ἄφιξιν· ἀλλ᾽, ὡς ἔοικε, χειμῶνές σοι αἱ εὐδίαι γεγόνασιν. Εἰς ποῖον οὖν ἄρα πέρας τὰ τῶν χειμώνων σοι ἀποκριθήσεται;

Epist. 206.

Paulo Metropolitæ Laodiceæ.

Defatigatus sum serenos dies numerando, dum tuum adventum expectā: sed sudum, ut videtur, tempestas tibi fuit: quem ergò terminum sortientur tempestates tuæ?

Ἐπισ. σζ΄.

Ἀμφιλοχίῳ Μητροπολίτῃ Κυζίκου.

Οἱ μὲν ἄλλοι τοῦ Πλάτωνος λόγοι τοῦ πολιτικοῦ λόγου πεφύκασι γνώμονες, πλὴν εἴ τι καὶ ἐκλογὴν ὀνομάτων ἐνιαχοῦ παρημέληται· αἱ δὲ τούτου ἐπιστολαί, ἴσον τε τῆς ἐκείνου λογιότητος, καὶ τοῦ ἐπιστολιμαίου τύπου ἀπολείπονται. Αἱ δέ γε τοῦ Ἀριστοτέλους, τῶν μὲν ἄλλων αὐτοῦ γραμμάτων εἰσί πως λογιώτεραι· πλὴν οὐδὲ ταῖς Πλατωνικαῖς ἐξισάζουσι. Δημοσθένους δὲ οἱ μὲν ἄλλοι πόνοι, καὶ ῥητόρων καὶ κριτικῶν ἐγκωμίοις πληροῦσι τὰ στόματα· τὰς ἐπιστολὰς δέ, οὐδὲν ἀμείνους εὑρήσεις τῶν Πλάτωνος. Τίσιν οὖν ἐπιστολαῖς ὁμιλητέον, καὶ τίσι τῶν

Epist. 207.

Amphilochio Cyzici Metropol.

CÆteri Platonis sermones gnomones quidam sunt politici sermonis, nisi quòd verborum electio nonnunquam negligitur: At epistolæ ejus ex æquo fortassis deficiunt, cùm ab ipsius conditione, tum à forma epistolari: Aristotelis autem ferè sunt cæteris ejus operibus accuratiores: & tamen Platonicas non exæquant: Demosthenis opera cætera & Rhetorum & Criticorum ora implent: sed nihilo meliores quàm Platonis ejus epistolas reperies. Quænam igitur epistolę lectitandę? & à

quibus

quibus exercitium adhibebimus, ut artificioſum, quem didicimus, charactera exprimamus? Certè ingens eſt earum numerus: habes autem, ne elongatius tibi ſtadium figas, epiſtolas quæ Phalaridis eſſe dicuntur Acragantini Tyranni, & quibus Bruti Romanorum ducis nomen præſcribitur: & qui apud Imperatores Philoſophus erat: ſophiſta apud vulgus Libanium. Quòd ſi unà cum epiſtolari charactere, rerum multarum & magnarum utilitatem acquirere cupias, ſufficiat, ſuavis ille, ſi quis alius Baſilius: & inter omnes præcipuus pulchritudinis artifex Gregorius: & variata illa Iſidori Muſa, qui ut nos, Monachus fuit: Ille ut orationis, ità quoq; ſacerdotalis & Aſceticæ vitæ canon digniſſimè inſcribitur: His adjungas, ſi qui alii ſint, qui eodem animo, eorum ideam, propriis ſuis epiſtolis expreſſerunt.

ἐπιγνωσθέντα ἡμῖν διὰ τῆς τέχνης χαρακτῆρα ἐφαρμόζοντες τὴν γυμνασίαν συλλεξόμεθα; Ἔστι μὲν καὶ ἄλλο πλῆθος ἄπειρον· ἔχεις δ', ἵνα μηδὲ μακρὸν ᾖ σοι τὸ τῆς γυμνασίας στάδιον, τὰς εἰς Φάλαριν ἐκεῖνον, οἶμαι, τὸν Ἀκραγαντῖνον τύραννον ἀναφερομένας ἐπιστολὰς· καὶ αἷς Βροῦτος ὁ Ῥωμαίων στρατηγὸς ἐπιγράφεται· καὶ τὸν ἐν βασιλεῦσι φιλόσοφον, καὶ τὸν σοφιστὴν ἐν ταῖς πλείσταις Λιβάνιον. Εἰ δὲ βούλει σὺν τῷ χαρακτῆρι, καὶ πολλῶν ἄλλων καὶ μεγάλων συλλέξαι ὠφέλειαν, ἀρκήσει σοι Βασίλειος ὁ γλυκύς· καὶ ὁ κάλλους, εἴ τις ἄλλος, ἐργάτης Γρηγόριος· καὶ ἡ ποικίλη καὶ τῆς *ἡμετέρας αὐλῆς μοῦσα Ἰσίδωρος· ὃς ὥσπερ λόγων, οὕτω δὲ καὶ ἱερατικῆς καὶ ἀσκητικῆς πολιτείας κανών ἐστι χρηματίζειν ἀξιόχρεως· καὶ εἴ τις ἕτερος μετὰ τῆς ὁμοίας προαιρέσεως, τὴν ἐκείνων ἰδέαν ταῖς ἰδίαις ἐπιστολαῖς ἐνεδυναμώθη μορφῶσαι.

* ἴσ. ὑμετέρας.

NOTÆ.

Ἐπιστολιμαῖον χαρακτῆρα delineat, cujus ipſe formam haudquaquam obſervat: Platonis, Ariſtotelis, Demoſthenis epiſtolas ſeponit, Phalaridis & Bruti præcipuè laudat: ſed cur? non exprimit. τὸν ἐν Βασιλεῦσι φιλόσοφον, quem vult, Marcúmne an Julianum? Iſidorum vult: ſed cur? τῆς ἡμετέρας αὐλῆς.

Epiſt. 208.

Leonti Philoſopho.

ABundantia vocis εἰμὶ *ſum*, in compoſita oratione cum pronomine *ego* præcedente frequens eſt in divinis literis, nec tamen crimen ſubit ſolœciſmi: ſi de hoc dubites, recogita. Ἔνιοί τινες. Σφᾶς αὐτοὺς. Ἀπῆλθεν ἔχων, quæ redundant in Græcorum libris, & ità deſiſte addubitare: Patet enim, quòd ἔνιοι, cum voce τινες· σφᾶς, cum αὐτοὺς, non aliquid aliud ſignificant, quam quod primis vocibus deſignabatur: Et patet hanc unam eſſe ſpeciem Paroliæ ſeu redundantiæ: Figura eſt orationis, non ſolœca ignoratio: & ſæpe ἔχων cum ἀπῆλθες, ſubſtrata vox in compoſitione apud ſophiſtas tuos nihil aliud notat, quàm βαδίζεις, σπεύδεις, &c. ad formam nimirum παρολκῆς· ſin per viciniora exempla vis, ut ſilentium tibi imponatur,

Ἐπιστ. ση΄.

Λέοντι Φιλοσόφῳ.

Ἡ τοῦ εἰμί παρολκή, τῆς ἐγὼ ἀντωνυμίας κατὰ σύνθεσιν προηγησαμένης, συνηθὲς μὲν ἐστι τῇ θείᾳ γραφῇ· ἀλλ' οὐδεμίαν διὰ τοῦτο σολοίκου γλώσσης αἰτίαν παρέχεται. Εἰ δέ γε διαμφισβητεῖς· ἐννοήσας τό, Ἔνιοί τινες· καὶ τό, Σφᾶς αὐτοὺς, καὶ τό, Ἀπῆλθεν ἔχων, ἃ τοῖς Ἑλληνικοῖς πλεονάζει γράμμασι, στῆσον σαυτὸν τῆς ἀμφισβητήσεως· δῆλον γὰρ ὡς τό, τινες, μετὰ τοῦ ἔνιοι, καὶ τὸ σφᾶς, μετὰ τοῦ αὐτοὺς, οὐδὲν ἕτερον, ἀλλ' ὅπερ ἐδήλουν αὐτὴν αἱ προτεταγμέναι σημαίνουσι λέξεις. Τὸ δὲ τοιοῦτον εὔδηλον, ὡς μία τις ἐστὶν ἰδέα τῆς παρολκῆς καὶ σχῆμα λόγου, ἀλλ' οὐ σόλοικος ἄγνοια· καὶ τό, ἔχων δὲ πολλάκις μετὰ τοῦ ἀπῆλθες, ἢ τοῦ βαδίζεις, ἢ τοῦ σπεύδεις, καὶ μετὰ πλειόνων ἄλλων, ἐν ὑποταγῇ συντιθέμενον, παρὰ τοῖς σοῖς σοφισταῖς οὐδὲν ὅλως σημαῖνον εὑρίσκεται, ἀλλ' αὐτὸ τοῦτο παρολκῆς ἐπέχον τόπον. Εἰ δὲ καὶ ἐγγυτέροις βούλει κατασιω-

πιθανῶσαι τοῖς παραδείγμασιν, οὐδὲ τοῦτο παρήσω. Αὐτοῦ γὰρ τοῦ εἰμὶ τὴν ἀπαρέμφατον ἔγκλισιν, καὶ τὴν ἑκὼν μετοχὴν, εἰς μνήμην ἀντιληφθεὶς (καίπερ ὀλίγοι τῶν Ἀττικιστῶν, οἷς οὐκ ἔστι τὸ ἑκὼν εἶναι τῶν συγγραμμάτων ἐν μοίρᾳ λαμπροῦ καλλωπίσματος) εὖ οἶδ' ὅτι σαυτὸν αἰτιάσῃ, ὅτι τοῖς ἐκείνων πόνοις ἐνομιλῶν, καὶ τὸ εἶναι βλέπων παρέλκον αὐτοῖς, τρανῶς πολλαχοῦ, καὶ οὐδὲν νοῆσαι· τολμήσας ποτὲ ὀνειδισμὸν σολοίκου φωνῆς, ἢ ὑπόνοιαν αὐτοῖς τὸ τοιοῦτον ἐμποιεῖν; οὐκ ἐδυσωπήθης, διὰ τὴν τοῦ εἰμὶ παρολκὴν, τὴν (εἴπερ ἦν ταῦτα γλώσσης Ἑλληνίδος ἁμάρτημα) ὁμοίως ἑκατέροις ἐφαρμόζουσαν τοῦ σολοικίζειν γραφὴν· ὥσπερ ἐκ βαρβάρου ἐπιτάγματος κατὰ μόνης τῆς θείας ἡμῶν καὶ ἱερωτάτης μὴ καταψηφίζεσθαι γραφῆς. Ἀλλ' οὖν εἰδώς σου τὸ τῆς γνώμης ἀδέκαστον, εὔελπίς εἰμι τοῦ λοιποῦ, οὐ μόνον μηκέτι σε τὰ τοιαῦτα ὑπ' αἰτίαν ὁρᾶν· ἀλλὰ καὶ, εἴ τινες τολμῷεν παραπλησίως ἐξαμαρτάνειν, ῥᾳδίως αὐτοὺς μεθέλκειν, καὶ ἀναδιδάσκειν, ὧν ἡ ἄγνοια, θρασὺς γὰρ ἀμαθία μητὴρ, εἰς τὸ πλημμελεῖν αὐτοὺς ἀνεπτέρου καὶ ἀνηρέθιζεν.

id non prætermittam. Vocis εἰμὶ Infinitivum cum Participio in memoriam revocans (licèt pauci sint inter Atticistas, qui non ἑκὼν εἶναι, ut ornamento orationis utuntur) scio teipsum culpabis, quòd cùm in eorum scriptis versatus fueris, ubi εἶναι sæpissimè redundare deprehendes manifestissimè, nec aliquid omnino significare; ausus fueris solæcismum iis imputare, aut in ejus venire suspicionem? Cur igitur non metuisti propter vocis εἰμὶ redundantiam? (si esset in sermone Græco peccatum) quæ utrisq; competit, acsi barbarè loqueretur, sacram & divinam Scripturam incusare. Sed cùm intelligam incorruptum tuum esse judicium, spes me tenet bona, te hujusmodi locutionem dehinc non incusaturum: sed si qui sint, qui illud ausi fuerint te facilè eos instructos in viam reducturum, quorum ignorantia, nam audaciæ mater est ignorantia, ad hoc modo delinquendum ipsos excitavit, & quasi alis instruxit.

Ἐπιστ. σθ'.

Λέοντι Ἀσπαθαρίῳ.

Ἴσθι, ὡς οὐ μόνον τῷ τληπαθεῖ Ἡρακλεῖ, ἀλλὰ καὶ τῷ λογίῳ Ἑρμῇ, τὸ τῆς Ἀμαλθείας κέρας οἱ ποιηταὶ ἐγχειρίζουσι. Μὴ τοίνυν στρατείαις καὶ πόνοις σωματικοῖς ὅλον σαυτὸν διδοὺς, τῶν καλῶν μαθημάτων ἀφίστασο, ἐκεῖθέν σοι ῥεῦσαι μόνον τὴν εὐδαιμονίαν τοῦ βίου οἰόμενος· ἀλλὰ καὶ ταῖς ἡμετέραις εὐγενέσι Μούσαις, αἳ τῶν Ἑλληνίδων τοσοῦτον διαφέρουσιν, ὅσον ἐλεύθεροι φύσεις δούλων ἠθῶν, καὶ κολακείας ἀλήθεια· δίδου κἂν ἐν μέρει τὰ σεμνὰ καὶ ἡδέα τῶν ᾀσμάτων κατεπᾴδειν σοι. Τὸ μὲν γὰρ Ἀμαλθείας κέρας καὶ τῷ Ἀχελῴῳ ποταμῷ, ὅτι τὴν ὑποκειμένην περιρρέων χώραν παμφόρον ἐργάζεται, τὸ ποιητῶν αὐτόνομον ἔθνος ἑτοίμως χαρίζονται· καὶ οὐδὲν ἀνθρώπῳ μέγα τυχεῖν ὧν ἐκ φύσεως ἔχει καὶ τὰ ἄψυχα· τὴν δ' ἀληθῆ καὶ θείαν εὐδαιμονίαν, καὶ ἀν-

Epist. 209.

Leonti Aspathario.

Intelligis, Poetæ Amaltheæ cornu non modò ærumnoso Herculi, sed Mercurio logio in manus tradunt. Noli igitur totum te militiæ & corporeis laboribus dedere, ità ut seponas disciplinas præclaras, quasi ab inde felicitas tibi tantùm affunderetur: sed generosis nostris Musis addicito te, quæ tantum distant à Græcaneis, quantum liberi natura à servilibus moribus, & veritas ab assentatione: Id age, ut saltem aliquando gravissimæ & suavissimæ cantiones accinantur. Nam & Acheloo flumini poetarum illa exlex & sui juris natio Amaltheæ cornu donant, eo quòd vicinos agros alluens, fertiles reddat & frugiferos: Non est magnum, ut homines illa assequantur, quæ inanimata per naturam consequuntur: verùm divinam felicitatem, & hominibus

bus congruam, ad quam si examinetur Amalthæa, morbus & paupertas esse invenietur, tantúm ex oraculis divinis colligi potuisse, & illâ culturâ obtineri.

Epist. 210.

Eulampio Archiepiscopo & Sceuophylaci.

ILlud, *Mulierem habere capitis sui potestatem*, non, ut prima facie verba sonare videntur, ità in præsenti usurpat divinus Paulus: Cùm audimus, *Potestatem habere*, fortè dominationem, & principatum quidam intelligent: at ille hic *potestatem habere*, ponit pro *subdi & subjici potestati:* Utque dicitur, manifestius fiat, & ad aliorum, quæ abinde oriuntur, dubitationes solutio expediatur: dicendum, mundi doctor *Viros inter orandum & prophetandum non velatis capitibus esse vult, mulieres autem velatis:* Causam affert geminam, cur hoc præcipiat, *Vir caput suum tondet, aut etiam radit*, neutrum facere mulieri permittitur: Ità non perinde mulieri licet invelatum caput, ut viro licet: Vir, *ne caput dedecoret*, non tegit: Non est enim cum ratione conjunctum, ut cùm coma tollatur, quam natura dedit, externum adsciscatur operimentum: Mulieri decori est operimentum; caput dehonestat non modò tonsa, rasa, sed etiam non velata: Licet enim illud naturâ institutum, hoc autem à modestia & pudore fit: utrumque tamen capitis operimentum est: & veluti rasa naturale deponit operimentum: sic inoperta pudoris velamen & modestiæ tollit, *atque ità pari constat statu tum erasa:* Una igitur & eadem habetur causa, cur velari debeat illa, iste non item: Imò re perspecta diligenter, haud ista subire causæ rationem dabunt; refutationem verò & negationem continere eorum, qui statutum vituperare volunt, & paria mulieres cum viris factitare volunt, propterea quòd utrisque sit na-

θρώπῳ περιέπεσαν· καὶ πρὸς ἣν ἡ Ἀμάλθεια παρατιθεμένη,, νόσος καὶ πενία εὑρίσκεται, ἐκ μόνων ἐστὶν τῶν θείων λογίων, καὶ τῆς ἐκεῖθεν γεωργίας ἀμήσασθαι.

Ἐπιστ. σί.

Εὐλαμπίῳ Ἀρχιεπισκόπῳ καὶ Σκευοφύλακι.

ΤΟ, ἐξουσίαν ἔχειν τὴν γυναῖκα ἐπὶ τῆς κεφαλῆς, οὐχ ὡς τὸ πρόχειρον τῶν ῥημάτων νοεῖν δίδωσιν, οὕτω νῦν ὁ θεσπέσιος Παῦλος ἐξείληφε. Καὶ γὰρ ἐξουσίαν ἔχειν ἀκούοντες, τὸ κατεξουσιάζειν καὶ κυριεύειν ἴσως τινὲς ἐξακούουσιν· αὐτὸς δὲ νῦν ἐξουσίαν ἔχειν φησὶ τὴν γυναῖκα, τὸ ὑπ' ἐξουσίαν τάττεσθαι καὶ τελεῖν· καὶ ἵνα σαφέστερον γένηται τὸ λεγόμενον, καὶ τῶν ἄλλων αἱ λύσεις, ἅ σοι κατὰ τὸ αὐτὸ χωρίον, συνδιηπόρηται ῥητέον ἐντεῦθεν· Τοὺς ἄνδρας ὁ τῆς οἰκουμένης διδάσκαλος ἀκαλύπτους ἔχειν τὰς κεφαλὰς ἐν τῷ προφητεύειν τε καὶ προσεύχεσθαι, διατάσσεται· Τὰς γυναῖκας δὲ κεκαλυμμένας· Καὶ τίθησιν αἰτίας, δι' ἃς τοῦτο παρακελεύεται διττάς. Ὁ ἀνήρ, φησι, κείρεται τὴν κεφαλὴν καὶ ξυρᾶται· γυναικὶ δὲ οὐδ' ἕτερον τούτων ποιεῖν θέμις. Οὕτως οὖν εἰ καὶ ὁ ἀνὴρ ἀκάλυπτον ἔχοι τὴν κεφαλὴν, ἀλλ' οὐκέτι καὶ γυναικὶ τολμητέον. Ὁ μὲν γὰρ, ἵνα μὴ ταύτην αἰσχύνῃ, φυλάττει ἀκάλυπτον· οὐ γὰρ λόγον ἔχει τὴν μὲν κόμην, ἣν ἡ φύσις δίδωσιν, ἀφαιρεῖν, ἔξωθεν δὲ περιβόλαιον ἐπινοεῖν· γυναικὶ δὲ χρέος τὸ κάλυμμα· καταισχύνει γὰρ τὴν κεφαλὴν αὐτῆς, ὥσπερ ξυρωμένη τε καὶ κειρομένη, οὕτω δὴ καὶ μὴ καλυπτομένη. Εἰ γὰρ καὶ τὸ μὲν ἡ φύσις περιβάλλεται· τὸ δὲ, ἡ σώφρων αἰδώς· ἀλλ' οὖν ἄμφω κεφαλῆς περιβόλαια· καὶ ὥσπερ ἡ ἐξυρημένη τὸ φυσικὸν ἀπέθετο περιβόλαιον· οὕτω καὶ ἡ ἀκάλυπτος τῆς σώφρονος αἰδοῦς περιεῖλε τὸ ἀμφίασμα, καὶ γίνεται κατὰ τοῦτο ταὐτὸν τῇ ἐξυρημένῃ. Μία μὲν οὖν αἰτία οὐ τοῦ μὲν δεῖν καταλύπτεσθαι, τοῦ δὲ μηκέτι, αὕτη. Μᾶλλον δέ τις ἀκριβῶς ἐπισκοπῶν, οὐδὲ αἰτίας ἀπόδοσιν ἐρεῖ ταῦτα· ἀνατροπὴν δὲ καὶ ἀναίρεσιν τῶν αἰτιᾶσθαι τὴν νομοθεσίαν ἐπιχειρούντων, καὶ τὰ αὐτὰ τοῖς ἀνδράσιν ἀξιούντων καὶ ἐν τούτοις πράττειν τὰς γυναῖκας διὰ τὴν κοινωνίαν τῆς

1. Cor. 11. 10.

φύσεως. Ἀλλ᾽ εἴτε αἰτία, εἴτε τῶν αἰτιωμένων ἔλεγχος, τοιαύτη ἂν ἡ διάνοια εἴη. Δευτέραν δὲ τίθησι τοιαύτην. Ἡ γυνή, φησι, ὑπὸ τὴν ἐξουσίαν πέφυκε τελεῖν τοῦ ἀνδρός· ἐξ αὐτοῦ γὰρ ἔχει κατὰ πρώτας τὰς σωματικὰς ἀρχὰς τῆς γενέσεως· καὶ πολλῶν μὲν ἐξουσιάζει καὶ ἄλλων ὁ ἀνήρ· τὸ δὲ ἐνδοξότερον αὐτοῦ, καὶ τιμιώτερον τῆς ἐξουσίας, καὶ ἀρχῆς ἡ γυνή ἐστι· τοῦτο γὰρ λέγει· Γυνὴ δὲ δόξα ἀνδρός ἐστιν. Ἐπεὶ οὖν τὸ ἐνδοξότερον καὶ ἐπισημότερον τῆς τοῦ ἀνδρὸς ἀρχῆς, ἡ γυνή ἐστι, κεχρεώστηκεν ὅσα τιμῶσιν, ὡς ἀρχὴν τὸν ἄνδρα πράττειν· πράττοι δ᾽ ἂν ἔχουσα τὴν ἐξουσίαν αὐτοῦ ἐπὶ κεφαλῆς, καὶ ἐπιδεικνύσα τὴν ὑποταγὴν ἐν τῷ καλύπτειν μὲν τὴν ἰδίαν· ἐκεῖνον δὲ κεφαλὴν αὐτῆς νομίζειν, καὶ εἰς ἐκεῖνον ὅλην ἑαυτὴν ὡς εἰς κεφαλὴν ἀναφέρουσαν ἀνατιθέναι. Ἀναίσχυντον γὰρ καὶ ἀχάριστον, μὴ οὐχὶ τοῦτον ἀρχὴν καὶ παραίτιον τῆς ὑπάρξεως εἰδέναι, καὶ τὴν ἀρχικὴν τιμὴν ἀπονέμειν. Εἰ γὰρ καὶ μηδὲν ἕτερον, πολλῶν ὄντων, ὑπολογίζοιτο, μηδέ τινας ἀνθρώπων αἰσχύνοιτο τὴν ἀρχὴν αὐτοῦ, καὶ τὸ ὑποτετάχθαι παραιτουμένη· ἀλλὰ τοὺς γοῦν ἀγγέλους φησίν, οἳ ἐπόπται καὶ μάρτυρές εἰσι τῆς ἐξ ἀνδρὸς γενέσεως αὐτῆς καὶ προόδου, δίκαια ἂν εἴη δυσωπεῖσθαι καὶ αἰσχύνεσθαι, ὑποκεῖσθαί τε διὰ τοῦτο τῷ ἀνδρί, καὶ τῆς ὑποταγῆς σύμβολα, τὸ ἐπὶ τῆς κεφαλῆς κάλυμμα φέρειν; Τοῦτο γὰρ ἐδήλωσεν εἰπών, διὰ τοῦτο ἡ γυνὴ ὀφείλει ἐξουσίαν ἔχειν ἐπὶ τῆς κεφαλῆς, διὰ τοὺς ἀγγέλους. Ὁ μέν τοι γε ἀνήρ, οὐκέτι τῷ αὐτῷ τῆς ὑποταγῆς ὑπόκειται νόμῳ· διό, οὐδὲ χρείαν ἔχει καλύπτεσθαι τὴν κεφαλήν. Ἀλλά, ναί φησιν, εἴποι ἄν τις, διὰ τί δὲ ὁ ἀνὴρ κεφαλὴν ἔχων τὸν Χριστόν, καὶ τῆς ἀρχῆς αὐτοῦ τὸ ἐνδοξότατον ὑπάρχων (εἰκὼν γὰρ καὶ δόξα Θεοῦ φησιν, ὥσπερ καὶ αὐτοῦ χρηματίζει, ἡ γυνή,) οὐχὶ καὶ αὐτὸς κατακαλύπτει τὴν κεφαλήν; Πρὸς ὃν ἐστιν εἰπεῖν, ὅτι δι᾽ αὐτὸ μὲν τοῦτο μᾶλλον οὐκ ὀφείλει κατακαλύπτειν, ἵνα καὶ αὐτὸς ἐν τῷ ἄρχειν καὶ ἐξουσιάζειν, ἀλλὰ μὴ τελεῖν ὑφ᾽ ἑτέρους τὸν κοινὸν εἰκονίζων δεσπότην δειχθῇ· οὗπερ ἔνδειξις ἐστὶ τὸ φέρειν ἀκάλυπτον τὴν κεφαλήν. Ὅτι μὲν γὰρ ἄρχει Θεὸς καὶ κυριεύει, κεφαλὴ πεφυκὼς τοῦ ἀνδρός, οὐκ αὐτοῦ μόνον, ἀλλὰ καὶ συμπάντων, οὐδεὶς ἀμφιβολίας λόγος· διόπερ οὐδὲ συμβόλων εἰς

tura communis: ſed ſive cauſam induant, ſeu redargutionem tollentium illorum, hæc tamen ſenſu dicuntur: Sententiam alteram hanc ſtatuunt: Naturâ ſtat ut mulier ſit ſubjecta viro: nam ab illo originem ortus ſui ea derivat: Multis quidem aliis imperitat vir: illuſtriſſimum ejus imperium & poteſtas eximia eſt in mulierem: Hoc ſenſu dicitur, *Viri gloria, Mulier eſt.* Cùm ergò principatus viri apex mulier ſit, debitrix eſt ea facere, quæcunque virum, ut principem, honorent: Faciet autem *habens poteſtatem ipſius ſuper caput,* & declarans ſubjectionem, in eo quòd proprium caput velet, illum autem reputet ejus caput, & in eum omnimodo tanquam caput, relationem habens. Impudens certè & ingratum opus eſt, non agnoſcere illum principium & cauſam ſuæ exiſtentiæ, & ut principi honorem tribuere: ſi nihil aliud, quæ multa ſunt, recogitet, ſi detractet viri in ſe imperium, & ſuam ſubjectionem: at verò Angelos, inquit, teſtes ſui à viro originis, æquum eſt ut metuat ac revereatur, & propter illos velamentum capitis geſtare, ſignum ſuæ ſubjectionis: Nam hoc declarant illa, *Quocirca debet mulier poteſtatem habere in capite, propter Angelos:* At non perinde vir eadem lege ſubjectionis tenetur: Non eſt opus ergò ut caput tegat: Imò verò, inquit quis, cur vir, qui caput ſuum Chriſtum habet, & cùm ſit ejus principatus pars glorioſiſſima (*eſt enim vir imago & gloria Dei, ut & mulier ipſius eſt*) non & ipſe ſuum caput tegit? Cui reſpondendum, quòd ob hoc ipſum tegendum illi caput non eſt, ut in imperando & poteſtatem habendo, non ſubjiciendo ſe aliis, communem Dominum exprimere oſtendatur; eſt ejus oſtenſio caput ſuum opertum habere: Quòd Deus imperet & dominetur, ut quòd caput viri ſit, non viri ſolius, ſed & omnium rerum, non eſt in ambiguo poſitum: Quocirca, nec à ſymbolis opus eſt indicare ſubjectionem, cùm

ponatur

ponatur apud omnes in confesso ipsius potestas, & dominatio principalis super omnia: Ast, quòd mulier debeat viro subponi, non est ex æquo omnibus clarum, ipsam verò hoc fateri opus est, & per symbola idem declarare. Sunt enim quæ cum signa ea circumferant, à multis resiliunt, & ordinem invertunt, unde turbæ & tumultus non privatas solùm ædes, sed urbes repleverunt: quod nisi ita esset, ut subjectionem servare juberentur, quid non accideret? Quocirca cum ratione conjunctum, & è communi utilitate Paulus, cùm alia dedit in mandatis, & sapientiæ plenis, non tantum physicæ, sed & politicæ Enthymemasi definita circumscripsit, quibus vir nudatum caput, mulier autem velatum habere jubetur.

τοῦτο καθέστηκε χρεία, τὴν ὑποταγὴν ἐνδεικνυμένων· πᾶσι γὰρ τὸ κατὰ πάντων αὐτοῦ κράτος, καὶ ἡ δεσποτικὴ ἀνωμολόγηται κυριότης. Ὅτι δὲ, γυναῖκα ὑπὸ τὴν ἐξουσίαν δεῖ τετάχθαι τοῦ ἀνδρὸς, οὔτε πᾶσιν ὁμοίως φανερόν· αὐτήν τε εἰδέναι μάλιστα προσήκει καὶ τοῖς συμβόλοις ἐπιδεικνύναι. Εἰσὶ γὰρ καὶ τὰ σύμβολα περιφέρουσαι πολλῶν τε κατεξανέστησαν, καὶ τὴν οἰκείαν τάξιν ἀμείβουσαι θορύβων καὶ ταραχῆς οὐ τὰς οἰκίας μόνον, ἀλλὰ καὶ πόλεις ἐπλήρωσαν. Εἰ δὲ μὴ τοῦτο ἦν, καὶ τὴν ὑποταγὴν μὴ προσετέτακτο φυλάττειν, τί ἂν ἐγεγόνει; Εὐλόγως ἄρα καὶ βιωφελῶς ὁ μακάριος Παῦλος τά τε ἄλλα διωρίσατο, καὶ σοφοῖς τε καὶ φυσικοῖς, ἀλλὰ καὶ πολιτικοῖς συγκατεσκευάσατο ἐνθυμήμασιν, ὡς ἀνδρὶ μὲν ἀκάλυπτον ἔχειν τὴν κεφαλὴν, γυναικὶ δὲ οὐχὶ θέμιτον μὴ κατακαλύπτεσθαι.

Epist. 211.

Constantino Aspathario, & à secretis.

IN eos qui discendi sunt cupidi, valde (nequid magis invidiosum dicam) ego gratiosus & ab iis acceptus sum: Quocirca quæstionum à te propositarum solutionem, & facilem, & concisam recipies. Illud, ad eum qui princeps fratricidium invenit, dictum *si rectè obtuleris, non rectè diviseris, peccâsti, quiesce:* multiplices, velim scias, admittet expositiones: Qui dictum putat assertivè, talem sententiam latentem extundet: Haudquaquam rectè offerre potes, quia non rectè dividisti: Hoc est, Quia minùs rectè dividisti, & minùs rectè obtulisti, nam recta oblatio pendet à recta distributione, quocirca peccâsti & sis quietus. Quòd si non assertivè dictum, ut interrogationis formâ prolatum velit, (nam & id videtur) tum hic sensus erit: Nonne licet rectè obtuleris, & non rectè diviseris, peccâsti? ac si diceret, An igitur quia rectè obtulisti, rectè autem non divisisti, non videris peccâsse? Nihil vetat illum rectè offerre dici, qui Deo

Ἐπιστ. σια΄.

Κωνσταντίνῳ Σπαθαρίῳ καὶ ἀσηκρῆτις.

ΤΟῖς φιλομαθοῦσιν ἔγωγε (πῶς ἀνεπιφθονώτερον εἴπω;) χαρίεις εἰμί· δι᾽ ὃ τῶν ἠπορημένων σοι τὴν λύσιν, μετὰ τοῦ ῥᾳδίου σύντομον εὑρήσεις. Τὸ τοίνυν πρὸς τὸν ἀρχηγὸν τῆς ἀδελφοκτονίας εἰρημένον, οὐκ ἂν ὀρθῶς προσενέγκῃς, ὀρθῶς δὲ μὴ διέλῃς, ἥμαρτες, ἡσύχασον· διαφόρους ἴσθι δυνάμενον δέξασθαι τὰς ἀναπτύξεις· ὁ μὲν γὰρ ἀποφαντικῶς αὐτὸ εἰρῆσθαι ὑπειληφὼς, τοιοῦτόν τινα τὸν ἐν αὐτῷ θεωρήσει νοῦν· οὐκ ἂν ὀρθῶς προσενέγκοις, ὅτι περ μηδὲ διεῖλες ὀρθῶς· τουτέστιν, ἐπεὶ μὴ διεῖλες ὀρθῶς, οὐδὲ προσενήνεγκες ὀρθῶς, ἡ γὰρ ὀρθὴ προσένεξις τῆς ὀρθῆς * ἤρηται διαιρέσεως· δι᾽ ὃ ἥμαρτες, ἡσύχασον. Εἰ δέ τις οὐκ ἀποφαινόμενον, ἀλλ᾽ ἐν τύπῳ προσενηνεγμένον ἐρωτήσεως τὸν λόγον ἐκλάβοι (καὶ γὰρ καὶ τοῦτο μάλιστα ἐγχωρεῖ) τοιοῦτον εὑρήσει τὸν νοῦν. Οὐχί, φησι, κἂν ὀρθῶς προσενέγκῃς, ὀρθῶς δὲ ὅμως μὴ διέλῃς, ἥμαρτες; οἶμαι, ἄρα γὰρ διότι ὀρθῶς προσενήνοχας, ὀρθῶς δὲ μὴ διεῖλες, οὐ δοκεῖς ἁμαρτεῖν; οὐδὲν γὰρ, ἴσως, κωλύει ὀρθῶς μὲν προσενεγκεῖν, τὸν μὴ ἑτέρῳ τινι,

* ἴσ. ἤρτηται.

μόνῳ δὲ θυσιάζοντα τῷ πάντων Θεῷ· μὴ μέντοι διελεῖν ὀρθῶς, τὸν μὴ τηροῦντα τὸν πρέποντα τῇ διαιρέσει θεσμόν. Δεῖ δὲ τὸν ἀνεπιμώμως τοῖς θείοις ὑπηρετούμενον, ὀρθῶς τε προδιελεῖν, καὶ ὀρθῶς ὁμοίως προσενεγκεῖν. Ἀλλ' εἰ μὲν κατὰ μίαν περίοδον εἴη τὸ χωρίον τεθεωρημένον, τοιαύταις ἂν ὑπάγοιτο θεωρίαις· Εἰ δέ τις οὐχ ἁπλῆν καὶ μίαν, ἀλλ' οἷον ἐκ δύο τινῶν βραχυτέρων συγκειμένην, ὑπολάβοι τὸ τοῦ ἀποφαινομένου σχῆμα, καὶ οὕτω φυλάττοι τὴν περίοδον, καὶ τὸ μὲν αὐτῆς κατ' ἔλλειψιν, τὸ δὲ αὐτοτελῶς εἰρῆσθαι· οὐδ' οὕτω τῇ φύσει τῆς ἀληθείας λυμανεῖται· οἷον, οὐχὶ ἂν ὀρθῶς μὲν προσενέγκῃς εὐδοκιμήσαις ἂν δὲ μὴ ὀρθῶς διέλῃς, ἥμαρτες. Καὶ γὰρ ὥσπερ τὸ ὀρθῶς προσενεγκεῖν εὐσεβές, οὕτω τὸ μὴ ὀρθῶς διελεῖν ἀσεβείας ὑπεύθυνον. Καὶ ὁ μὲν τῆς τοῦ ῥητοῦ συντάξεως λόγος, καὶ ἡ ἀπ' αὐτῆς ἀναφαινομένη διάνοια, ἐν τούτοις, ἀλλὰ γὰρ τὸ μὲν προσενεγκεῖν ὀρθῶς αὐτόθεν δῆλον· τὸ δὲ μὴ διελεῖν ὀρθῶς, ἴσως δεῖται σαφηνείας. Ἐκεῖνος τοίγαρουν ὀρθῶς διαιρεῖ, ὁ μὴ τὰ τυχόντα δῶρα φέρων Θεῷ, ἀλλ' ὀρθῇ κρίσει διαιρούμενός τε καὶ διακρίνων, καὶ δωροφορούμενος αὐτῷ τὰ πολλῷ τῶν ἄλλων προφερέστερα. Πῶς γὰρ οὐχὶ τὰ πάντων ἐν ὑπεροχῇ τιμιώτερα, τῷ δημιουργῷ καὶ δοτῆρι καὶ πάντων αἰτίῳ τῶν καλῶν Θεῷ, μὴ προσῆκεν ἐξαίρειν καὶ ἱεροθυτεῖν; Τοιοῦτος δὴ δείκνυται καὶ Ἄβελ, εὐγνωμονόν τε καὶ τὸ θεῖον καθαρῶς φιλῶν· καὶ γὰρ εἴρηται περὶ αὐτοῦ, ὡς ἀπὸ τῶν πρωτοτόκων, καὶ ἀπὸ τῶν στεάτων προσενήνοχεν· τουτέστιν, ἃ τῶν ἄλλων ἔν τε τῷ πρωτοτόκα εἶναι, καὶ ἐν τῷ, ὡς ἂν εἴποι τις ἐστεατῶσθαι καὶ καταλελιπάνθαι διέφερε, ταῦτα προσέφερε. Τὸ γὰρ ἀπὸ τῶν στεάτων, τῶν εὐτραφῶν καὶ ἐστεατωμένων φησί, καὶ τῇ πολλῇ ἐπιμελείᾳ παρεχομένων τὸ ἐξῃρημένον καὶ ἄριστον. Ἀλλὰ τοῦ μὲν προσενεγκεῖν, ἀμφοῖν ἐγεγόνει ἡ φροντίς· τοῦ δὲ διελεῖν καὶ ἐκλέξασθαι τὰ ἀμείνω, οὐκέτι ὁμοίως ἀμφοῖν· ἀλλ' ὁ μὲν Ἄβελ, ὥσπερ διεῖλεν ὀρθῶς, οὕτω καὶ προσενήνοχεν· ὁ δὲ Καΐν, ἢ οὐδὲ προσήνεγκεν ὀρθῶς, ὅτι μὴ δὲ διεῖλεν· ἢ εἰ καὶ δοίη τις ὀρθῶς προσενεγκεῖν, ἀλλὰ περί γε τὴν ἐξαίρεσιν καὶ ἐκλογὴν, πλεῖστον ὅσον διήμαρτεν· οὐδὲ γὰρ τὰ κρείσσω, τὰ δὲ μὴ τοιαῦτα, προσήνεγκε· Καὶ δῆλον ἐξ

ſoli, qui ſuper omnia eſt, ſacrificium & non alii offert; at non ſtatim rectè dividere, cùm non obſervet in dividendo congruentem legem: Qui ſine reprehenſione Deo vult ſervire, imprimis rectè dividere, & ſimiliter rectè offerre debet: Quòd ſi una periodo concludatur locus, taliuſmodi ſubjacebit ſpeculationi: Quòd ſi non unam & ſimplicem ſed veluti è duabus contractam figuram hîc quis agnoſcet, & ad hunc modum periodum abſolventem, ut partim elleipticè, partim plenariè dicatur; nec ità vis infertur veritati, ità, Non, ſi rectè attuleris, laudem conſequeris, niſi & rectè quoque diviſeris: Nam ut pietatem ſapit rectè offerre: ità non rectè dividere impietatis reatum affert: Hæc eſt conſtructio iſtius dicti, hic ſenſus indè elicitus. Verùm ulterius, *Rectè offerre* per ſe manifeſtum eſt, *rectè dividere* indiget ulterioris explicationis: Ille igitur *rectè dividit*, qui dona non quælibet Deo ſacrat, ſed recto judicio illa diſcernit, ac dividit, atque ità longe optima offert: Fieri enim non poteſt, quoniam omnium præſtantiſſima & pretioſiſſima productori, Datori & Cauſæ univerſorum Deo debeant offerri & ſacrari: Talis fuiſſe docetur Abel, animo puro & ſincero Deum amans: Narratur de illo, quòd *de primogenitis*, & *pinguioribus oblationem tulit:* hoc eſt, Illa, quæ in primogenia productione,& in eo quòd pinguia erant & altilia cæteris præſtabant,obtulit: Nam de omentoſis, bene paſtis, & pingue factis, & multa ſedulitate curata quæ fuerant, ſelectiora & optima dedit. Uterq; frater ſtudium in offerendo par habuit: At non dividendi & eligendi optima, non erat par: ſed Abel ut rectè obtulit,ità & rectè diviſit: Cain, vel non rectè obtulit, quia non rectè diviſit, vel ſi detur eum rectè obtuliſſe,tamen in electione & ſeparatione multùm defecit: Nam non præſtantia, ſed imperfecta obtulit: Id apparet

quòd

quòd in *ejus sacrificia Deus non respexit*, nec divinitus igne immisso, ut Abelis assumpsit: ità enim produnt factum, & inde convictum de non rectè facta divisione. Atque ità se habet, *Nonne, si rectè obtuleris, non & rectè diviseris, peccasti?* Quod sequitur, *Quiesce*, quasi diceret ad peccantem, Sis apud te solum quietus, & diligenter considera absurditatem facti tui & per pœnitentiam peccato veniam acquire: Per quietem & sedatas passiones faciliùs id & discernitur, & judicatur, quod prætermissum fuit: sed & fortè volebat reprimere illius impetum, quo ille miserè ferebatur: *Peccasti*, inquit, *quiesce:* ne injustitiæ accumules aliam: insaniam in me tuam circumscribito, à fraterno sanguine & manus, & mentem immunes præsta. At illud, *ad te erit conversio ejus, & tu illi dominaberis*, vel de oblato munere dicitur, quasi vellet, indignum est, quod ego acceptem, quocirca aversum est ad te, & tu illius dominus etiamnum eris, ut fuisti, priusquam offerretur: vel, non quod offerebatur, sed in quo peccabatur, cùm offerretur, intelligi debet: ac si diceret, tu peccati istius, & non alius, fuisti causa; quare ejus conversio, & relatio ad te erit, túque dominaberis, dux ejus contemptus divini numinis, unde cætera peccata processerunt. Sin velit aliquis, hoc consolandi causâ dictum (nam mœstus erat Cain, non eo quòd peccaverat, sed quòd in secundis post fratrem quoad sacrificia fuerat) non hoc longe recedit ab infinita & inscrutabili misericordia Dei; acsi indulgens pater filium delinquentem alloqueretur, noli concidere, aut mœrore absorberi, quòd frater te donis suis superaverit: si enim ritè præfertur, ob id quod rectè fecit, tamen iterum ille ad te convertetur, sub te erit, & primogenituræ prærogativis præcedes eum, si per resipiscentiam te correxeris à peccato: Prærogativa illa tibi non aufe-

ὧν τε Θεὸς ταῖς αὐτοῦ θυσίαις μὴ ἐπέβλεψε, μηδὲ πυρὶ θείῳ, ὥσπερ τὰ τοῦ Ἄβελ ὡλοκαύτωσε· τοῦτο γάρ τινες ἐκδεδώκασι καὶ ἐξ ὧν τὸν ἔλεγχον τῆς οὐκ ὀρθῆς ἀπέτισε διαιρέσεως. Ἀλλὰ τὸ μὲν, οὐκ ἂν ὀρθῶς προσενέγκῃς, ὀρθῶς δὲ μὴ διέλῃς, ἥμαρτες; τοιοῦτον· Τὸ δὲ, ἡσύχασον, ἵνα εἴπῃς πρὸς ἡμαρτηκότα, ἠρέμησον κατὰ σεαυτὸν, καὶ διασκόπησον ἀκριβῶς τοῦ πεπραγμένου τὸ ἄτοπον, καὶ μετανοίᾳ τὸ ἁμαρτηθὲν ἐξιλεῶσαι· ἐν ἡσυχίᾳ γὰρ καὶ τῷ ἀταράχῳ τῶν λογισμῶν μᾶλλον συνορᾶται καὶ κρίνεται τὸ παροραθέν. Τάχα δὲ καὶ προαναστέλλοντος ἦν τὴν ὁρμὴν τὴν ἐφ᾽ ἥνπερ αὐτὸς ἀθλίως ἐκβέβηκεν· ἥμαρτες φησιν, ἡσύχασον· μὴ προσθῇς ἕτερον τῷ ἀδικήματι· μέχρι τῆς εἰς ἐμὲ πλημμελείας περίγραψον τὴν ἀπόνοιαν, ἀδελφικῶν αἱμάτων μὴ τὰς χεῖρας μόνον, ἀλλὰ καὶ τὴν γνώμην καθαρὰν διαφύλαξον. Τὸ δὲ, πρὸς σε ἡ ἀποστροφὴ αὐτοῦ, καὶ σὺ αὐτοῦ ἄρξεις· ἢ περὶ αὐτοῦ τοῦ προσενεχθέντος εἴρηται οἷον ἀνάξιόν, φησιν, τῆς ἐμῆς ἐπὶ προσφορᾶς, διὸ ἀποστρέφεταί σοι καὶ αὐτὸς αὐτοῦ, ὥσπερ καὶ πρὶν ἢ προσενεχθῆναι κύριος ἔσῃ· ἢ οὐχὶ τὸ προσενεχθὲν, ἀλλ᾽ αὐτὸ τὸ διαμαρτηθὲν περὶ τὴν προσένεξιν ὁ λόγος δηλοῖ· τουτέστιν, σὺ τοῦ ἁμαρτήματος, οὐκ ἄλλος, γέγονας αἴτιος· διὸ ἡ ἀποστροφὴ αὐτοῦ, καὶ ἡ ἀναφορὰ, πρὸς σε ἐπανήξει καὶ σὺ αὐτοῦ ἄρξεις ἀρχηγὸς ὀφθεὶς τῆς περὶ τὸ θεῖον ὀλιγωρίας ἐξ οὗ καὶ τὰ λοιπὰ τῶν ἁμαρτημάτων προέρχεται. Εἰ δέ τις εἴποι καὶ ὡς παραψυχῆς ἕνεκα τοῦτο εἴρηται· (ἐλελύπητο γὰρ ὁ Κάϊν, εἰ καὶ μὴ διότι ἡμάρτηκεν, ἀλλ᾽ ὅτι τὸ ἧττον ἔσχεν ἐπὶ ταῖς θυσίαις παρὰ τὸν ἀδελφὸν) οὐδὲ τοῦτο μακρὸν τῆς ἀπείρου καὶ ἀνεξιχνιάστου φιλανθρωπίας τοῦ Θεοῦ· ὡς ἂν εἴποι φιλόστοργος πατὴρ πρὸς ἡμαρτηκότα παῖδα, Μὴ συμπέσῃς, μηδὲ καταποθῇς τῇ λύπῃ, τοῖς δώροις σε παρευδοκιμήσαντος τοῦ ἀδελφοῦ. Εἰ γὰρ καὶ ἐξ ὧν αὐτὸς ὁσίως ἔπραξεν δικαιοπρεπῶς προτετίμηται, ἀλλ᾽ οὖν ἀποστραφήσεταί σοι πάλιν καὶ ὑπό σε ἔσται, καὶ τῷ προνομίῳ τῶν πρωτοτοκίων αὐτὸς πάλιν τὸ πρεσβεῖον ἕξεις, ἂν μεταμελείᾳ σαυτὸν τοῦ πταίσματος ἀνορθώσῃς· ἀναφαίρετον γὰρ ἔσται σοι τὸ κατ᾽ αὐτοῦ κῦρος,

ὥσπερ

ὅσπερ εἴληφας ἐξ ὧν πρῶτος τὰς μητρικὰς ἔλυσας ὠδῖνας· ἀλλὰ κατ' ἐπιστολὴν ἱκανὰ καὶ ταῦτα οἶμαι. Οἶδα δέ τινάς ποτε τῶν παλαιοτάτων Ἰουδαίων γεγραφότας, οἳ τὸ ἐλλόγιμον τῶν ἄλλων ἔχειν ἐδόκουν, διὰ τοῦτο εἰρῆσθαι τὸν Καῒν μὴ διελεῖν ὀρθῶς· διότι ἀπὸ τῶν ἀψύχων, ἀλλ' οὐκ ἀπὸ τῶν ἐμψύχων, ὥσπερ ὁ Ἄβελ τὰ δῶρα προσέφερεν· καθυστερεῖν γὰρ καὶ ἐλαττοῦσθαι πολλῷ τῶν ἐμψύχων τὰ ἄψυχα· διὸ καὶ τὸν τῶν ὅλων θεὸν τοῦ μὲν ἐφησθῆναι τοῖς δώροις ὡς ἐμψύχοις, τοῦ δὲ τὴν θυσίαν ὑπεριδεῖν ὡς ἐκ τῶν ἀψύχων εἰσκεκομισμένην. Ἀλλ' εἴπερ οὕτως εἶχεν οὐκ ἂν ὁ Καῒν τὴν διαίρεσιν, ἀλλ' αὐτὴν ἂν τὴν θυσίαν ὠνειδίζετο, ὅπερ ἀντὶ τῶν καρπῶν μὴ ζῶα προσενήνεγκεν. Ἀλλ' οὐδαμοῦ φαίνεται τοῦτο ἡ θεία καταμεμψαμένη φωνή· ἀλλὰ τῶν μὲν δώρων οὐδὲν ἠτιάσατο, ὑπὲρ δὲ τῆς διαιρέσεως τὴν μέμψιν ἐπήνεγκεν· ἀλλ' ὥστε δὲ εἰ ὁ μὲν ἀπαρχῆς βίον τὸ γεωπονεῖν· ὁ δὲ τὸ ποιμαίνειν ἐπίθετο· πῶς οὐκ ἄλογον ὑπολαμβάνειν ὑπ' αἰτίαν γενέσθαι τὸν Καῒν, διότι μὴ ἀπὸ τῶν ἀλλοτρίων, ἀλλ' ἀπὸ τῶν οἰκείων προσήνεγκεν. Κἀκεῖνο δέ τις προσθείη, ὡς οὐκ ἐν τῇ προσενέξει τῆς θυσίας, μᾶλλον ἀλλ' ἀπαρχῆς τῆς τῶν βίων αἱρέσεως ἔδει τὸν μὲν φαυλίζειν ὅτι γεωπονεῖν εἵλετο, τὸν γε ποιμαίνοντα ἀποδέχεσθαι· τὸ γὰρ τῶν ἐπιτηδευμάτων διάφορον ἀρχὴ καὶ αἰτία καθέστηκεν τοῦ τὸν μὲν ὡς ἐνόμισαν ἁμαρτεῖν καρποῖς θυσιάζοντα, τὸν δὲ παρευδοκιμῆσαι ζῶα τὰ δῶρα ποιούμενον. Πῶς δὲ κἂν ταῖς νομοθεσίαις ὕστερον σεμίδαλίς τε καὶ στάχυες καὶ ἄρτοι προθέσεως εἰς προσφορὰν θεῷ ἐλογίζοντο; Εἰ δὲ καὶ καλὰ λίαν οὐχί τινα τῶν δημιουργημάτων, ἀλλὰ πάντα τῷ γενεσιουργῷ λόγῳ εἴρηται, καὶ πεποίηται, τίνα λόγον ἔχει; τοὺς ἀπὸ γῆς καρποὺς, καὶ ἃ μᾶλλον ἐστὶν ἀνθρώπῳ τροφὴ, ἐν ἀτίμῳ μοίρᾳ καὶ βδελύγματι τὸν δημιουργήσαντα παραπέμπεσθαι· διὸ τῆς τοιαύτης ἐπιβολῆς τὴν προτεθεωρημένην ἐξήγησιν μᾶλλον ἐγκριτέον· Αὕτη γὰρ καὶ οἷς ὁ τῆς καθαρᾶς ἡμῶν καὶ ἀναιμάκτου θυσίας λόγος ἠγνόηται, δοκεῖ πως φέρειν ὁμόφωνα· ἐξ ὧν καὶ ὁ τῆς ἀποστασίας Ἰουλιανὸς κατὰ τῆς εὐ-

retur, quam accepisti in eo quòd maternos dolores primus solveris: Atque hæc suffecerint epistolæ: Novi quosdam qui res Judæorum antiquissimas memoriæ mandantes, qui ante alios scientiâ præditi visi sunt, qui ideo existimant Cain minimè rectè divisisse dici, quia non à viventibus, ut Abel, sed ab inanimatis munera accepta dedit: Multis enim modis inanimata cedunt animatis: Deum itaque universa illius dona animata accepta habuisse, hujus sacrificium rejecisse, quòd de inanimatis appararetur: sed si id ità fiet, haudquaquam divisio, sed ipsum sacrificium accusaretur: quòd non animalia pro frugibus offerret: sed non videtur hoc Divina illa voce increpatum; de donis non accusat, reprehendit tantùm divisionem: Certè si ab initio agricolationem ille, pastoritiam iste sequebatur, à ratione omnino alienum est existimare Cainem in culpa fuisse, quia non de alienis, sed suis oblationem offerebat: Addere licet, quòd non in offerendo, sed in eligendo vitæ instituto accusandus erat: quia agriculturam elegerit, & fratri reliquerit pasturam: Differentia quippe institutę vitæ causam dedit & principium, quòd opinantur illum peccâsse, dum de fructibus sacrificium offert, cùm ille laudetur, qui animalia dedit: Sed deinceps etiam in lege, quomodo simila, aristæ, panes propositionis ad oblationes divinas deputabantur: Quòd si *valdè bona*, non aliquæ tantùm res creatæ, sed universim omnia verbo conditoris commendantur, quæ ratio suaserit? ut fructus è terra, quæ humanæ alitioni tum deputabantur, inhonoranda aut vilia despuerentur: Quocirca priorem illam expositionem longè prætulerim hac adjectitia: Nam ista, iis quibus ratio ignoratur puri nostri & sine sanguine sacrificii, quodammodo videtur consentire: unde Apostata Julianus ille contra religio-

nem

nem scribens, cum stulta & ridicula proferret, videbatur tamen non ineptè nec absurdè Christianos reprehendere, quòd nequaquam Numen animalibus cæsis honorarent.

Epist. 212.

Athanasio Monacho & Anachoretæ.

QUandoquidē ad exemplum Christi veri Dei nostri, *mundo te crucifixisti* & rectori mundano, misi ad te crucem custodiam crucifixionis.

Epist. 213.

Euschæmoni Archiepiscopo Cæsareensi.

PRomissum prævenit Servator, propter discipulorum parvanimitatem: & ante accessum in Galilæam apud Hierosolymas se manifestat: Non in hoc promissum suum violavit, nec longè differtur, quod propter magnam misericordiam tam citò adimplebatur: si quis animo perverso veritatem in mendacium vertere velit, & dicat non esse veracis, promittere visionem in Galilæa, illam verò Hierosolymis exhibere: consideret, quòd ubi dixerat Servator se fruitionem beatæ ipsius visionis in Galilæa exhibiturum, & omnino non exhiberet: vel si adjiceret, Hierosolymis haudquaquam ipsum visuros, & tamen viderent, non sine justa forsitan ratione quis de mendacio postularet: Quòd si Galilaicam apparitionem præmittens & illam præstitit, ac etiam in Hierosolymis addiderit aliam, ubi mendacii processus licet in exili phantasia relinquatur? Imò quare non potiùs veritatis duplex erit adimpletio, illius quam promisit, & ejus quam sine promisso præstitit? sed ulteriùs adverte, si simpliciter discipulis pollicitus esset, se visum iri in Galilæa,

στεβείας γράφων· ἀλλόκοτα μὲν καὶ μωρὰ γράφων, ὅμως ἔδοξέν τι σοφὸν καὶ δυσεπιτίμητον αἰτιᾶσθαι Χριστιανοὺς, ὅτι μὴ ζωοθυσίαις τὸ θεῖον γεραίρουσιν.

Ἐπιστ. σιβ'.

Ἀθανασίῳ μονάζοντι καὶ ἡσυχαστῇ.

ΕΠειδὴ κατὰ μίμησιν Χριστοῦ, τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν, σαυτὸν ἐσταύρωσας τῷ κόσμῳ καὶ τῷ κοσμοκράτορι, πέπομφά σοι τὸν σταυρὸν φυλακτήριον τῆς σταυρώσεως.

Ἐπιστ. σιγ'.

Εὐσχήμονι Ἀρχιεπισκόπῳ Καισαρείας.

ΣΥντέμνει τὴν ὑπόσχεσιν ὁ σωτὴρ, διὰ τὴν ὀλιγοψυχίαν τῶν μαθητῶν· Matth.26.32. Marc.14.28. καὶ πρὸ τῆς Γαλιλαίας ἐν αὐτοῖς Ἱεροσολύμοις αὐτοῖς ἐμφανίζεται· καὶ οὐδήπου τοῦτο τῆς ἐπαγγελίας ὑπάρχει παράβασις, οὐδὲ πολλοῦ δεῖ· ταχεῖα δὲ μᾶλλον ἐκ πολλῆς φιλανθρωπίας ἐκπλήρωσις. Εἰ δ' ἔτι τις ἀγνωμονῶν εἰς ψεῦδος ἕλκειν τὴν ἀλήθειαν ἐκβιάζοιτο, οὐκ εἶναι λέγων ἐπαληθεύοντος, ἐν μὲν τῇ Γαλιλαίᾳ παρέχειν τὴν ὄψιν ἐπαγγείλασθαι, ἐν Ἱεροσολύμοις δὲ ταύτην διαρρήσασθαι· ἐκεῖνο μᾶλλον συνιέτω, ὡς, εἴπερ εἰπὼν ὁ σωτὴρ, ἐν τῇ Γαλιλαίᾳ δώσειν τοῖς μαθηταῖς τὴν ἀπόλαυσιν τῆς μακαρίας θέας ἐκείνης, εἶτα μηδ' ὅλως παρέσχεν ἢ προσθεὶς ἐν Ἱεροσολύμοις μηδαμῶς αὐτοῖς ὀφθῆναι, ἔπειτα ὤφθη, οὐκ ἂν ἀφρόνως λίαν εἰς ὑπόνοιαν τις ἐξεφέρετο τοῦ ψεύδους· εἰ δὲ τὴν ἐν τῇ Γαλιλαίᾳ ἐπιφάνειαν προεπαγγείλας, καὶ ταύτην ἐπλήρωσε, καὶ τὴν ἐν Ἱεροσολύμοις ἐχαρίσατο, ποῦ τῷ ψεύδει πάροδος, κἂν γοῦν ἐν ψιλῇ τινὶ καταλείποιτο φαντασίᾳ; μᾶλλον δὲ, πῶς οὐκ ἔστιν, ὡς ἄν τις εἴποι, διπλῆ τις τῆς ἀληθείας ἐκπλήρωσις, ὧν τε ὑπέσχετο, καὶ ὧν μηδὲ ὑπισχνούμενος ἐχαρίσατο; Ὅρα δὲ κἀκεῖνο· εἰ μὲν ἁπλῶς τὴν προεπαγγείλας ἐν τῇ Γαλιλαίᾳ

τοῖς μαθηταῖς ὁραθήσεσθαι, ὁ δὲ ἀλλαχοῦ πρότερον ὤφθη, συγκεχωρείσθω καὶ μηδὲ χώραν ἔχον τὸ ψεῦδος. Εἰ δὲ ἀπελθόντας ἔφη ὄψεσθαι, οἱ δὲ οὔπω παρεγένοντο, οὐδὲ γὰρ ἦν αὐτοῖς ἐστηριγμένον τὸ τῆς ἀναστάσεως θαῦμα, ἵνα τὸν ἀναστάντα τὰ Ἱεροσόλυμα λιπόντες, εἰς τὴν Γαλιλαίαν ἰδεῖν προσδοκήσωσι· πῶς οὐκ ἀσύνετος σφόδρα τῆς ἐπὶ τῷ ψεύδει συκοφαντίας ἡ δόξα; Χωρὶς δὲ τῶν εἰρημένων συνορᾶν μάλιστα δεῖ, ὡς κἂν ἐν Ἱεροσολύμοις ἐπέστη, καὶ ὤφθη τοῖς μαθηταῖς ὁ σωτήρ· ἀλλ᾽ οὖν οὐ κυρίως ἐκεῖνοι τοῦτον ἐθεάσαντο· πῶς γὰρ ἑώρων, οἵ γε πνεῦμα θεωρεῖν ἐδόκουν; εἰ δὲ καὶ ὕστερον ἐπίστευον, ἀλλ᾽ οὐδὲ οὔπω μέγα· τί γάρ, πλὴν ὅτι πνεῦμα σάρκα καὶ ὀστέα οὐκ ἔχει, καὶ ὅτι αὐτὸς ὁ θανατωθεὶς καὶ ἀνέστηκε. Διὸ καὶ ἐπιτιμῶν αὐτοῖς ἔλεγε. Τί τεταραγμένοι ἐστὲ καὶ διὰ τί λογισμοὶ ἀναβαίνουσιν ἐν ταῖς καρδίαις ὑμῶν; ὅπερ οὐκ ἦν ἐστερεωμένων ταῖς γνώμαις, οὐδ᾽ ἀκινήτοις χρωμένων περὶ τὴν ἀλήθειαν τοῖς λογισμοῖς. Ἐν τῇ Γαλιλαίᾳ δὲ ἀληθῶς ἐθεάσαντο καὶ εἶδον· ἐκεῖσε γὰρ αὐτοῖς ἀποκαλυφθὲν ἐτρανώθη ὡς ὃν βλέπουσι καὶ ὁρῶσιν, αὐτὸς μέν ἐστιν ὁ τοῦ θανάτου σκυλεύσας τὸ κράτος· αὐτὸς δὲ ὁ πάντων ἅπασαν τὴν ἐπὶ γῆς καὶ οὐρανῷ, τὴν ἐξουσίαν καὶ κυριότητα ἀναδεδεγμένος· ὅτε καὶ τὸ μέγα καὶ ὑψηλὸν τῆς ἀποστολῆς ἀξίωμα, τῆς ἀνὰ πᾶσαν τὴν οἰκουμένην περιεβάλοντο. Τοιγὰρ οὖν, ἐν τῇ Γαλιλαίᾳ τὸν διδάσκαλον, ὡς ἀληθῶς, οἱ μαθηταὶ ἐθεάσαντο· κύριον γὰρ καὶ ἐξουσιαστὴν τοῦ παντός· τῆς τε χάριτος τοῦ παναγίου πνεύματος χορηγὸν· καὶ τῶν ἄλλων ἀγαθῶν ταμίαν τότε μᾶλλον ἢ πρότερον διδαχθέντες, κατενόησαν. Παναληθῶς ἄρα καὶ θεοπρεπῶς ἔφη ὁ Χριστὸς, κἂν ἐν Ἱεροσολύμοις ἑαυτὸν προϋπέδειξεν, ὅτιπερ οἱ μαθηταὶ τὴν Γαλιλαίαν καταλαβόντες, ἐκεῖ αὐτὸν ὄψονται.

& ille priùs alicubi videretur, in confesso erit non mentitum: Sin abeuntes diceret visuros, at illi non abirent, quippe qui miraculum illud resurrectionis nequaquam firmiter credentes, ut relictis Hierosolymis, illum in Galilæa videndum expectarent: quomodo non irrationalis est opinio de mendacio & sycophantia? sed & absque istis prædictis, intueri imprimis oportet, quòd licet Hierosolymis affuit, & visus est discipulis suis servator, non tamen principaliter illi eum intuebantur, quî enim possent, qui se spiritum videre putabant? Quòd si autem postea credebant: tamen nec illud magnum fuit: quid enim præter hoc, *Spiritum carnem & ossa non habere*, quòd, qui mortem obierat, resurrexit: Quocirca illos increpans ait, *Quid turbati estis? Quorsum cogitationes ascendunt in corda vestra?* Hoc non erat eorum qui animis fuerant confirmati, qui immobilibus veritati rationibus adhærebant. In Galilæa revera viderunt eum, ibidem revelato modo manifestabatur: quòd quem intuebantur oculis, ipse esset *qui mortis dominium spoliaverat*, Ipse, *qui rerum omnium quæ in cælo sunt ac in terra potestatem acceperat & dominium*, quando summam & excelsam Apostolatus dignitatem super orbem universam, collatam accipiebant. Quare doctorem suum discipuli revera in Galilæa videbant, Dominum & cum potestate omnibus impositum divinæ Spiritus sancti gratiæ elargitorem: aliorum quoque bonorum promum condum: quod clariùs quàm antea cognoscebant. Quocirca verissimè, & divinè dixit Christus, utcunque se præostendebat Hierosolymis, quòd ipsum, cùm venissent in Galilæam, visuri erunt.

NOTÆ.

PRomiserat servator discipulis: Mar. 14. 28. Cùm surrexero προάξω ὑμᾶς εἰς Γαλιλαίαν, & ibi videbitis me: at viderunt illum priùs Hierosolymis, & in Judæa: Dicebant aliqui, erat hoc ψεῦδος, & qui mitiùs, ἐπαγγελίας παράβασις, cui rectè, sed nimis fortè operosè respondet Photius.

Epiſt. 214.

Stephano Orthodoxo.

IDola gentium argentum & aurum, opera manuum humanarum: Vaſa libatoria in religione Chriſtiana, crateres, thuribula,crucis effigies,& ſexcenta alia: prætermitto enim ſymbola Moſaici ſacrificii;nonne argentum ſunt & aurum, ligna, colores, opera manuum humanarum? Imò abſit, argentum non ſunt, ſed argentea, non aurum, ſed ex auro facta, non ligna, non colores, ſed materiem illam habent: Aliud eſt ex iſtis, quod perficitur opus mirum: Non ſunt manuum humanarum in materia ludentium, & ſine omni operatione divina id quod cogitationem ſubierit fabricantium: Quocirca illa nihil aliud ſunt,quàm materia contumelioſè tractata, & manuum humanarum labor ſine ratione & conſideratione ulla: iſta autem efformata in in materia, & manus habent ſubminiſtrantes,ſed motas à cœlo:Nam ſubſervitur cœleſtibus inſpirationibus, & rationi prudenti, & judicium pietatis promoventibus.Attende Iconomachè, nec ediſcere te pudeat illa, per quæ liberaberis à pudore terribili, & unde rationem inibis judicium inevitabile declinandi: veluti cùm libatoria noſtra, calices, & thuribula, Crucis figuræ, ac ſimilia, non ſunt aurum, non argentum, non lignorum, non colorum materies, neque opera manuum humanarum: ità ſacratæ Imaginum repræſentationes non ſunt aurum, argentum, æs, colores, non opera manuum (Deus meliora) humanarum. Prædicatio divina, & invariata traditionis ab initio Apoſtolicæ & patritæ, tanquam vivida quædam ſapientia materiem apprehenſam juxta proprias & Divinas leges operata, & artificioſè tractans, formam & figuram Imaginis in eam inducit, nihil planê vel deordinationis materialis, vel humanæ curioſitatis ibi permittens liberè extare; ſed opus ſu-

Ἐπιστ. σιδ΄.

Στεφάνῳ Ὀρθοδοξήσαντι.

ΤΑ εἴδωλα τῶν ἐθνῶν ἀργύρειον καὶ χρυσίον ἔργα χειρῶν ἀνθρώπων. Τί δὲ τὰ σπονδεῖα τῆς τῶν χριστιανῶν θρησκείας, καὶ οἱ κρατῆρες, καὶ αἱ θυΐσκαι, καὶ οἱ τοῦ σταυροῦ τύποι καὶ μυρία ἄλλα; Ἐῶ γὰρ εἰπεῖν τῆς Μωσαϊκῆς θυσίας τὰ σύμβολα· οὐχὶ ἀργύρειον, καὶ χρυσίον, καὶ ξύλα, καὶ χρώματα, καὶ ἔργα χειρῶν ἀνθρώπων; Μὴ γένοιτο· οὐ γὰρ ἀργύρειον εἰσιν, ἀλλ᾽ ἐξ ἀργύρου· οὐδὲ χρυσίον, ἀλλὰ χρυσοῦ πεποιημένα, οὐδὲ ξύλα, ἢ χρώματα, ἀλλ᾽ ὕλην μὲν ἔχει ταῦτα. Ἕτερον δέ τι ἐστιν ἐκ τούτων, θαυμάσιον οἷον συντετελεσμένον· Οὐ μὴν οὐδ᾽ ἐστι χειρῶν ἀνθρώπων παιζόντων περὶ τὴν ὕλην, χωρίς τε πάσης ἐνεργείας θείας τὸ παρεμπῖπτον αὐτῶν ταῖς διανοίαις ἀναπλαττόντων· διὰ τοῦτο, τὰ μὲν οὐδέν ἕτερόν ἐστι πλὴν αὐτὴ ἡ ὕλη περιυβρισμένη, καὶ ὁ τῶν ἀνθρωπίνων χειρῶν ἀνεπίσκεπτός τε καὶ ἀλόγιστος πόνος· τὰ δὲ, μορφάζεται μὲν ἐπὶ τῇ ὕλῃ, καὶ τὴν χεῖρα ὑπηρετοῦσαν ἔχει, ἀλλ᾽ ἄνωθεν κινουμένην· ὑπηρετεῖται γὰρ ταῖς ἄνωθεν ἐπιπνοίαις καὶ λογισμοῖς ἔμφροσι, καὶ πρὸς τὸ εὐσεβὲς κρίσιν ἀνηγμένοις. Προσέχοις εἰκονομάχε, καὶ μὴ ἐπαισχυνθῇς μαθεῖν, δι᾽ ὧν αἰσχύνης φρικτῆς ἀπαλλάττῃ, καὶ δίκην ἄφυκτον φυγεῖν ἐξευρήσεις. Ὥσπερ δὲ τὰ ἡμέτερα σπονδεῖα καὶ οἱ κρατῆρες, καὶ αἱ θυΐσκαι, καὶ οἱ τοῦ σταυροῦ τύποι, καὶ τὰ παραπλήσια, οὐ χρυσός, οὐκ ἄργυρος, οὐδὲ ξύλων, ἢ χρωμάτων ὕλη, οὐδ᾽ ἔργα χειρῶν ἀνθρώπων· οὕτως οὐδὲ τὰ ἱερὰ ἡμῶν τῶν εἰκονισμάτων ἐκτυπώματα, οὐκ ἐστιν ἀργύρειον, οὐδὲ χρυσίον, οὐδὲ χαλκός, οὐ μὴν οὐδὲ χρώματα οὐδ᾽ ἔργα (μή τι γένηται) χειρῶν ἀνθρωπίνων. Τῆς γὰρ ἀνέκαθεν ἀποστολικῆς τε καὶ πατρικῆς παραδόσεως, τὸ θεῖον καὶ ἀδιάπτωτον κήρυγμα, οἷόν τις ἔμπνους σοφία, τὴν ὕλην ὑπολαμβάνουσα, καὶ κατὰ τοὺς ἰδίους καὶ ἱεροὺς θεσμοὺς ἐργαζομένη, ταύτην καὶ τεχνιτεύουσα, εἰκονίζει τε καὶ μορφοποιεῖ οὐδὲν τῆς ὑλικῆς ἀκοσμίας, ἢ τῆς ἀνθρωπίνης περιεργείας, ἐν αὐτοῖς ἐῶσα παρρησιάζεσθαι· ὅλον δὲ τὸ

ἔργον ἑαυτῆς δεικνύουσα καὶ ἀποφαίνουσα καθαρὰς ἡμῖν καὶ ἀκιβδήλους ἐν τοῖς σεπτοῖς εἰκονίσμασι τὰς τῶν πρωτοτύπων ἐμφάσεις ἱεροπρεπῶς τε καὶ ἱεροτύπως παρέχεται. Ἔχεις οὖν, ὡς ἐν βραχέσιν, οἶμαι, δι' ὧν τε σαυτὸν τὴν προγονικὴν εὐσέβειαν καρποφοροῦντα μᾶλλον ἐπιδείξεις, καὶ τοὺς αἱρετίζοντας ἐπιστομίσεις. Τῷ μὲν γὰρ τῆς ὕλης λόγῳ καὶ τῷ ὑποκειμένῳ, ὥσπερ τράπεζα Θεοῦ, καὶ τράπεζα δαιμονίων, θυσία τε θεία, καὶ θυσία δαιμονιώδης, ὄργιά τε ἐθνῶν, καὶ χριστιανῶν μυσταγωγίαι, καὶ πολλὰ δὲ ἄλλα τῶν εἰς τὸ ἀκρότατον ἀντικειμένων, παρ' ὀλίγον ἔχουσι τὸ παρηλλαγμένον· χρήσει δὲ καὶ κλήσει, ἐπιθειασμῷ τε καὶ τελεσιουργίᾳ, καὶ μυρίοις ἄλλοις ἄφατον αὐτῶν ὑπάρχει τὸ διωρισμένον. Οὕτω δὴ οὖν καὶ εἴδωλα ἐθνῶν, καὶ χριστιανῶν εἰκόνες, ναός τε θεοῦ, καὶ βωμὸς εἰδώλων, καὶ δὴ καὶ κνίσσης Ἑλληνικοῦ λειτουργικὰ σκεύη, καὶ τῆς καθαρᾶς, καὶ ἀναιμάκτου θυσίας ἡμῶν ἱερουργικὰ δοχεῖα· καὶ γὰρ καὶ τούτων ἑκάτερον τῶν εἰς ἀντίθετον συστοιχίαν ἀποκεκρινομένων ὕλην μὲν ἔχουσιν, ἔστιν ὅτε μηδόλως ἔχουσαν τὸ διηλλαγμένον· κατὰ μέν τοι τὰ μορφοῦντα, καὶ εἰδοποιοῦντα, καὶ τὴν ἑτερότητα ἐργάζεσθαι πεφυκότα, ἄπειρος ὁρᾶται καὶ λόγῳ μόλις ῥητὴ ἡ ἐν αὐτοῖς ἀλλοτριότης· δι' ὃ τὰ μὲν τῆς ὕλης οὐδὲν ἐπὶ τὸ ἄμεινον μετενηνεγμένα, ἀλλὰ καὶ πολὺ τοῦ χείρονος μετειληφότα, δικαίως ἂν ξύλα, καὶ λίθοι, καὶ χρυσός, καὶ ἄργυρος, ἢ ἔργα χειρῶν ἀνθρώπων ἐπονομάζοιντο, βέβηλά τε καὶ ἐναγῆ καὶ ἀκάθαρτα· τὸ μὲν ἐκ τῆς ὕλης· τὸ δέ, ἐκ τοῦ πλάττοντος· τὸ δὲ ἐξ ἐκείνων, οἷς δυσσεβῶς καὶ ἀθέως ἀνιερώθησαν ἐξωνομασμένα· διὰ τοῦτο κἂν ἔχῃ στόμα, τὴν ἀφωνίαν ὀνειδίζεται· κἂν πόδας, κἂν χεῖρας, τὴν ἀκινησίαν· κἂν ὦτα, κἂν ῥῖνας, κἂν εἴ τι ἄλλο, τὴν ἀναισθησίαν, καὶ ἀπραξίαν, καὶ τὸ μάταιον· ὧν γὰρ ἢ οὐδὲν ἢ δύστηνα καὶ ἐναγῆ τὰ ἀρχέτυπα, καὶ ὁ τούτων πλάστης μετὰ τοῦ δυσσεβοῦς ἀθλιώτερος καὶ τὸ τῆς λατρείας ὅλον θεοστυγέστερον· τούτοις πόθεν ὅλως χάριτός τινος ἢ δόξης, ἢ ἐνεργείας, ἢ τινος σεμνοτέρας κλήσεως οἰκείωσις προσαρμοσθήσεται. Τὰ δέ γε ἅγια, καὶ σεπτὰ τῶν χριστια-

um omnino & in solidum ostentans, puras & impermixtas prototyporum repræsentationes, ut rei sacræ convenit, & sacratæ famæ exhibet. Ità habes, opinor, unde fructus pietatis tuorum progenitorum percipere declares, & hæreticorum ora obtures, breviter expressa: Nam, quod materialem rationem spectat, mensa Dei, & mensa dæmonum, sacrificium divinum, & diabolicum sacrificium, Paganorum Orgia, & mystagogiæ Christianorum, & multa alia, quæ per summos gradus disparantur, non magnâ tamen constant differentiâ: Usu ac titulo, consecratione, ac mystica participatione, & in multis aliis, inexplicabile discrimen obtinent: Ad hunc modum idola Gentium, & Christianorum imagines, templum Dei, & idolorum aræ, nidoris Græcanici Liturgica vasa, ac nostri sacrificii puri illius & sine sanguine sacrata receptacula: Hæc utraque, quę sic in oppositum secernuntur, materiem habent aliquando eandem, ac in nullo discrepantem: at secundùm formalia, & speciem inducentia, aut altereitatem inducere valentia, inexplicabilis resultat, nec verbis exprimenda differentia: Quapropter materia minimè in meliorem statum mutata, quin potiùs abundè participans, non immeritò lignum, lapides, aurum, argentum, æs, opera manuum humanarum appellantur, & profana sunt, impia, impura, partim propter materiem, partim propter artificem, partim ab iis quibus impiè, & scelerate adscribuntur denominationem sortita: Hanc ob causam, licet os habeant, muta dicuntur, licet pedes & manus, non moveri tamen: licet aures, nasos, tamen sine sensu, sine actione inania esse dicuntur: Quorum enim Archetypa, vel nihil, vel misera, vel sacrilega sunt, eorum artifex inter impios magìs miser est, & cultus exhibitus Deo magìs exosus; Hisce, nullo modo potest adaptari gratiæ & gloriæ quicquam operationis, aut honestior appellatio: At Christianorum

sacra,

ſacra, & venerabilia vaſa ſacramentalia, templa, imagines, & alia pietatis cultúſque ſigna, utcunque eandem materiem ſortiantur, in melius tamen multò transformantur; uſu, nomine, myſtagogiâ & exemplarium divinitate, quorum per characteres exprimuntur, ſanctificata ſeparatáque perficiuntur: Hanc ob cauſam haud ulteriùs lignum, lapis, argentum, aurum, non modo colores poteſtate & gratia aſſiſtente & ſpecificante deſtituti reputari debent vel nominari: Sancta potiùs, honoranda, glorioſa, venerabilia: Cùm enim participent cœleſtem operationem, & eam iis communicent, quibus dedicantur, quorum nomen referunt, ſpeciem repræſentant, cúmque animum noſtrum ad illa tranſvehant, & tranſportent, & divinum favorem nobis procurent, & bona attrahant, non à materia denominantur, non ab aliqua alia proprietate inconvenienti, & quæ contrariis congruere poſſit, ſed quæ participant, ad quæ traducuntur, quibus ſubſerviunt & devoventur, ab illis quidem optimè & cognoſcuntur à viris piis, & denominationem ſortiuntur.

καὶ ἱερουργικά τε σκεύη, καὶ τεμένη, καὶ εἰκονίσματα, καὶ τὰ ἄλλα τῆς θείας ἡμῶν θρησκείας σύμβολα, ἐπεὶ κἂν ὕλην οὐχ ἑτέραν ὑποβέβληται, ἀλλ' οὖν γε πρὸς τὸ πολλῷ ἄμεινον μετασκευάζεται· χρήσει γὰρ καὶ κλήσει καὶ μυσταγωγίᾳ, καὶ τῇ τῶν παραδειγμάτων θεότητι, ὧν τοῖς χαρακτῆρσι διαμεμόρφωται, καὶ μυρίοις ἄλλοις καθαγιασθέντα τετελείωται· διὰ τοῦτο οὐκέτι ξύλα, ἢ λίθος, οὐδ' ἄργυρος, οὐδὲ χρυσὸς· οὐ μὴν οὐδὲ χρώματα γυμνὰ τῆς εἰδοποιούσης καὶ παρεδρευούσης δυνάμεώς τε καὶ χάριτος, οὔτ' ἂν ἐννοηθείη ποτέ, οὔτε παρονομασθήσεται· ἅγια δὲ μᾶλλον, καὶ τίμια καὶ δεδοξασμένα, καὶ σεπτά· τῆς γὰρ ἄνωθεν ἐνεργείας, καὶ οἷς ἀνατέθεινται, ὧν τε τὴν κλῆσιν καὶ τὸ εἶδος φέρουσιν, ἐν μετουσίᾳ γινόμενα, καὶ τὸν ἡμέτερον νοῦν πρὸς ἐκεῖνα διαβιβάζοντα, διαπορθμεύοντά τε ἡμῖν τὴν ἐκεῖθεν ἀγαθοειδῆ καὶ θείαν εὐμένειαν, οὐκ ἐκ τῆς ὕλης ἂν εἰκότως κληθείη· οὐ μὴν οὐδ' ἀπό τινος ἀπεμφαινούσης ἄλλης, καὶ τοῖς ἀντικειμένοις ἁρμοζούσης ἰδιότητος· ἀλλ' ὧν τε μετέχει, καὶ πρὸς ἃ παρῆκται· οἷς τε ὑπηρετεῖται καὶ ἀφιέρωται· ἐκεῖθεν εὖ μάλα καὶ λίαν ἐνδίκως καὶ γνώσκεται τοῖς εὐσεβέσιν ὄντως καὶ ὀνομάζεται.

Epiſt. 215.

Paulo Metropolitæ Laodiceæ.

SI hyems non erat, de qua dicebat ſervator, *Orate, ne fuga veſtra per hyemem fiat*, verborum in te hyemem concitarem: Non novi ego, dicam more minimè amici, tam longinquam peregrinationem, quæ propiùs accedat, ad antiqui illius corvi fugam incuſare: Sin alæ tibi adſint caſtæ, puræ, & velocis columbæ ſartum tectum amorem habeo, hyems planè nihili eſt, nec quid aliud grave: ſin colliſionem & anfractionem, quod non puto, illud perpeti, neceſſe eſt deorſum ut conſiſtas, donec alæ excreverint, & ne ad nos advoles, ne per ſudum quidem. Sed valeas, Dei

Ἐπιστ. σιε'.

Παύλῳ Μητροπολίτῃ Λαοδικείας.

ΕΙ μὴ χειμὼν ἦν, περὶ οὗ ὁ σωτὴρ ἔλεγεν, Εὔχεσθε μὴ γενέσθαι τὴν φυγὴν ὑμῶν ἐν χειμῶνι· χειμῶνα ἄν σοι λόγων δικαίως ἐπήγειρα· οὐκ οἶδα, τὸν ἄφιλον ἐρῶ τρόπον· ἢ τὴν οὕτω μακρὰν ἀποδημίαν, καὶ τοῦ παλαιοῦ κόρακος ἐκείνου ἐγγὺς γενέσθαι φιλονικήσασαν, αἰτιώμενος. Ἀλλ' εἰ μὲν τὸ πτερόν σοι τῆς ἁγνῆς καὶ καθαρᾶς καὶ ὀξυπόρου περιστερᾶς, ἔρρωται τῆς ἀγάπης, οὐδὲν ὁ χειμών, ὥσπερ οὐδέ τι ἄλλο. Εἰ δέ τινα θραῦσιν, ἀλλ' οὐκ ἂν εὐχθείην ἐκεῖνο, πεπόνθοι· ἀνάγκη κάτω μένειν ἕως ἂν ὁ ταρσὸς πάλιν ἀναθει βλαστήσῃ, καὶ μηδ' ἐν εὐδίᾳ πρὸς ἡμᾶς μετεωρίζεσθαι. Ἀλλ' ἔρρωσό μοι τὸν θεῖον

ἔρωτα μᾶλλον ἐπὶ τοῖς προτέροις πτεροφυῶν, ἢ τοὺς ἀρχῆθεν καὶ καλῶς προβεβλημένους ταρσοὺς ῥαθυμίᾳ περιθραυόμενος.

Ἐπιστ. σιϛʹ.

Γεωργίῳ Μητροπολίτῃ Νικομηδείας.

ΟΝ οὐδὲν δύναται χωρίσαι τῆς ἀγάπης Θεοῦ· οὐ θάνατος ἀπειλούμενος· οὐ ζωῆς ὑπόσχεσις· οὐ τὰ ἐκεῖθεν ἁπλῶς· οὐ τὰ ἐνταῦθα· πῶς αὐτὸς ἑκουσίως ἀφίσταται, καὶ τό γε ὑπὲρ τῶν κατὰ σάρκα συγγενῶν· Καὶ οὐ μόνον τὸν χωρισμὸν ὑπομένει, ἀλλὰ καὶ ἐπιθυμεῖ καὶ ἐπεύχεται χωρισθῆναι Χριστοῦ· ηὐχόμην γὰρ αὐτὸς ἐγὼ ἀνάθεμα εἶναι ἀπὸ Χριστοῦ, ὑπὲρ τῶν ἀδελφῶν μου, τῶν συγγενῶν μου τῶν κατὰ σάρκα. Οὕτω μὲν ἄν τις τὴν σὴν ἐπιτείνων ἀπορίαν ἐρεῖ· Τί οὖν; πῶς συμβήσεται τὰ ἀσύμβατα; ἢ πρῶτον μὲν ἐκεῖνο φάναι ἐστὶν ὅτι οὐδὲ ἐστι ταῦτα μαχόμενα· οὐ γὰρ ἐναντίον ἀδιαίρετος πόθος Χριστοῦ, καὶ τὸ ἀγαπᾷν οὕτω τὸν πλησίον, ὥστε καὶ τῆς ἰδίας ὠφελείας μὴ νομίζειν ἐλάττονα τὴν ἐκείνων σωτηρίαν· μᾶλλον δὲ καὶ συνᾴδει ταῦτα πρὸς ἄλληλα. Ὁ γὰρ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ, ἐντολὴν πληρῶν δεσποτικὴν, τὸ πρὸς τὸν δεσπότην φίλτρον καθαρὸν καὶ ἀκέραιον διασώζει· ἐν τούτῳ γὰρ γνώσονται πάντες, ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγαπᾶτε ἀλλήλους· καὶ πάλιν, Ἐν ταύταις ταῖς δυσὶν ἐντολαῖς ὅλος ὁ νόμος καὶ οἱ προφῆται κρέμανται· Κεφάλαιον γάρ ἐστι, καὶ σύνδεσμος, καὶ ῥίζα τῶν ἄλλων ἁπάντων κατορθωμάτων, ἥ τε τοῦ θεοῦ ἀγάπη καὶ ἡ τοῦ πλησίον. Ναί φησιν, ἀλλ' ἐνταῦθα προκρίνει μὲν τοὺς συγγενεῖς· εὔχεται δὲ Θεοῦ χωρισθῆναι, ἵνα κερδάνῃ τούτους. Ὁ δὲ Χριστὸν ἔφη· Ὁ φιλῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμὲ, οὐκ ἔστι μου ἄξιος. Ἀλλὰ γὰρ πῶς ἐστὶ τοῦτο φιλεῖν ὑπὲρ τὸν Χριστόν; Εἰ μὲν γὰρ δι' ἕτερόν τι Παύλῳ ἐστέργοντο, εἶχεν ἂν ὁ λόγος τὸ ἰσχυρόν. Εἰ δ' ἵνα γένωνται Χριστοῦ, οὐκ ἔχω συνιδεῖν, ὅπως οἱ συγγενεῖς προτετίμηνται τοῦ δημιουργοῦ. Τί γὰρ καὶ ἦν ἕτερον τὸ φι-

amorem magìs adhuc magísque adurgendo, potiùs quàm ut alæ quæ ab initio optimè excreverant per ſocordiam colliſæ diffringantur.

Epiſt. 216.

Georgio Metropol. Nicomedienſi.

QUem nihil ſeparare poteſt ab amore Dei: non mors nimis intentata, non vita promiſſa, non quæ ibi ſunt, non quæ hîc: quomodo is ſponte ſeparatur, etiam *pro affinibus ſecundùm carnem*? Nec tantùm ſubit ſeparationem, ſed illam expetit, & orat à Chriſto ſeparari: *Cuperem ego me Anathema fieri à Chriſto pro fratribus meis, cognatis mihi ſecundùm carnem*: Ad hunc modum aliquis tuam dilatans dubitationem dixerit: Quid igitur? quomodo competent incompetibilia? Imprimis videtur dicendum, non hæc ad invicem pugnare: Non enim Chriſti indiviſum deſiderium contrariatur, amare in tantum vicinum, ut nè exiſtimetur illius ſalus procuranda in ſecundis eſſe propriæ utilitatis: Quin concinunt potiùs hæc inter ſe: nam qui diligit fratrem ſuum, & in eo Domini mandatum implet, purum & ſincerum ille amorem conſervat erga Dominum: *In hoc enim cognoſcent omnes, quòd mei eſtis diſcipuli, ſi invicem diligatis*: & iterum, *in hiſce duobus præceptis, tota lex pendet, & prophetæ*: Dei etenim & proximi dilectio caput eſt, vinculum, radix, omnium aliorum rectè factorum: Conceditur, aſt in hoc inquiunt, prætulit affines: nam *à Deo exoptat ſeparari, ut lucretur eos*: cùm Chriſtus dicat, *Qui diligit patrem vel matrem pluſquam me, non eſt me dignus*: Verùm, quomodo ſupra Chriſtum diligi dicuntur? ſi ob aliud aliquid diligebantur à Paulo, valeret conſequentia: Sin, ut Chriſti peculium fierent, haud intelligo quomodo cognati ejus pluſquam Chriſtus diliguntur. Quid aliud enim inſinuat a-

mare

mare illos quàm ſubdere, & appropriare illos communi Domino? Quomodo ergò dilexit eos plus quàm Chriſtum, cùm in obedientiam illius & amorem eos pertraheret? Quin judicio incorrupto ſi quis hoc ponderet, ab eo poterit intueri flammâ divini amoris accensâ Paulum perpetuò exardeſcentem: Non continuit ſeipſum ad Deum transferens, adduxit alios non linguâ tantùm, & manuum operibus miraculoſis, ſed vita, moribus & omni ratione ut id ageret contendebat: Rectè dixit, utcunque ſe à Chriſto non ſeparavit: Non eſt vituperandum, quòd alios volebat adducere, at ſeparare ſe voluiſſe ab eo, ad quem adducebat alios, quomodo non reprehendendum? Quid dicemus ergò, An quòd nequaquam ſeparabat? Non enim dixit: *opto ſeparari*, ſed *optarem*, hoc eſt, ſi poſſibile eſſet, ſi fieri poſſet, ut deſiderium divinum divino deſiderio vinceretur; ſi amor decens Deum divinum amorem tranſcenderet, hunc ego ut ſubirem contenderem: Omnia enim faciebat Paulus, ut omnes Chriſto lucrifaceret, imprimis Judæos: Erant illi affines, Lege ordinabantur, ad eos promiſſa patribus ab initio ſpectabant: illi ultra alios prædicationi obſiſtebant: quocirca magìs de illis laborandum & contendendum fuit; imprimis ne videretur lex aliquid gratiæ communicâſſe, nec animas ab illa informandas nihilo magìs aptas reddi, ut promiſſiones patribus factæ falſæ putarentur, nè Chriſtus magìs ab iis blaſphemetur, à quibus magìs honorari debet, nè qui conjunctiores Domino erant, in communem Dominum contumelioſiùs agerent, ipſe videretur maximæ parti conſanguineorum inſultare: Taliter enim Paulus erat animatus: ut ubique in omnibus gloriam & cultum abſolutum Deo debitum præſtari vellet per ſeipſum, per genius ſuum, per gentes, nè in aliquo deeſſet Apoſtolatus ſui functioni, imprimis infidelitas conſanguineorum illum malè habebat, eorum cauſa inflammabatur: Hoc indicans

λεῖν ἐκείνους, ἢ τὸ ὑποτάξαι αὐτοὺς, καὶ προσοικειῶσαι τῷ κοινῷ δεσπότῃ; πῶς οὖν δεῖ φιλεῖν ἐκείνους ὑπὲρ τὸν Χριστὸν, ὅπουγε καὶ αὐτοὺς εἰς τὴν ὑπακοὴν καὶ ἀγάπην εἷλκε τὴν αὐτοῦ; μᾶλλον δὲ ἀδεκάστῳ κρίσει τις ἐπισκοπῶν ἐντεῦθεν ἂν καταθεῷτο τρανῶς τὸν ἀναφλεγόμενον ἀεὶ τοῦ θείου ἔρωτος ἐν Παύλῳ πυρσόν. Οὐ γὰρ ἠρκεῖτο ἑαυτὸν μόνον προσάγων, ἀλλὰ καὶ ἑτέρους· οὐ γλώσσῃ μόνον καὶ χειρὶ * σημείων· ἀλλὰ καὶ βίῳ καὶ τρόποις ἅπασι, καὶ μεθόδῳ πάσῃ ἐσπούδαζεν συνεισενεγκεῖν· καλῶς φησὶν εἰ μὴ ἐχώριζεν ἑαυτὸν τοῦ Χριστοῦ· τὸ μὲν γὰρ θέλειν ἑτέρους προσενεχθῆναι, οὐκ ἔστιν ἐπιτιμᾶν· τὸ δὲ χωρίζειν ἑαυτὸν ᾧ τινι προσῆγεν ἄλλους οὐκ ἔστι μὴ ἐπιτιμᾶν. Τί οὖν φαμέν; ἢ ὡς οὐ μὲν οὖν οὐκ ἐχώριζεν; οὐδὲ γὰρ εἶπεν, Εὔχομαι χωρισθῆναι, ἀλλ' ηὐχόμην ἄν· τουτέστιν, Εἰ δυνατὸν ἦν, εἰ συνέβαινεν θείῳ πόθῳ πόθον ἔνθεον ἐκνικηθῆναι· εἰ ἔρως θεοπρεπὴς θεσπεσίου ἔρωτος παρηυδοκίμει, καὶ τοῦτον ἂν ὑπελθεῖν ἠγωνισάμην· πάντα μὲν γὰρ ἐπράττετο Παύλῳ, ἵνα ἅπαντας Χριστῷ οἰκειώσῃ· μάλιστα δὲ Ἰουδαίους· Οὗτοι γὰρ καὶ συγγενεῖς καὶ νόμοις ἠγμένοι, καὶ πρὸς οὓς αἱ ἐπαγγελίαι ἄνωθεν καὶ ἐκ πατέρων· ἀλλὰ καὶ τῶν ἄλλων πλέον τῷ κηρύγματι ἀνθεστηκότες· δι' ὃ καὶ ὁ περὶ αὐτοὺς ἀγὼν, καὶ ἡ σπουδὴ, καὶ ὁ πόνος, μᾶλλον διὰ τοῦτο ἵνα μὴ δόξῃ ὁ νόμος οὐδὲν τῇ χάριτι συνεισενεγκεῖν, καὶ τὰς ἐκεῖθεν παιδαγωγηθείσας ψυχὰς, οὐδὲν ἐπιτηδειοτέρας παρασκευάσαι, ἵνα μὴ ψευδεῖς, εἰ καὶ μάτην αἱ πρὸς τοὺς πατέρας ἐπαγγελίαι νομισθῶσιν· ἵνα μὴ Χριστὸς ὑφ' ὧν ἔδει μᾶλλον προσκυνεῖσθαι, μᾶλλον βλασφημῆται· ἵνα μὴ καὶ τὸ ἔγγιστα συγγενείας εἰς τὸν κοινὸν δεσπότην ἐμπαροινοῦντος, μέρει τινὶ τοῦ προσεχοῦς αἵματος, καὶ τότε μεγίστῳ δόξῃ καὶ αὐτὸς ἐμπαροινεῖν. Τοιαύτη γὰρ ἦν ἡ Παύλου ψυχή· διὰ πάντων ἤθελεν ὁλοτελῆ τὴν δόξαν, καὶ τὴν λατρείαν προσάγεσθαι Θεῷ διὰ ἑαυτοῦ, διὰ τῶν ἐκ γένους, διὰ τῶν ἐθνῶν· οὐδενὶ μέρει ἐλλιπῆ παραστῆσαι τὴν τῆς ἀποστολῆς, αὐτοῦ διακονίαν ἠνείχετο, μάλιστα δὲ αὐτὸν ἡ τῶν συγγενῶν ἠνία ἀπιστία, καὶ τούτων περὶ ἐκαίετο. Καὶ τοῦτο

* ἴσ. σημαίνων

παριστάνων

παριστάνων ἔλεγεν, ηὐχόμην αὐτὸς ἐγὼ ἀνάθεμα εἶναι. Οὕτω μέ, φησὶν εἰπεῖν, τοῦ πόθου τὸ κέντρον συνελαύνει· οὕτως ἡ τῆς στοργῆς φλὸξ τὰ σπλάγχνα ἐπιβοσκομένη βιάζεται ἀνακράζειν· οὕτως ὁ πρὸς Χριστὸν ἔρως, καὶ τὸ σπεύδειν αὐτῷ πάντας ἱερῶσαι φρονεῖν ἀναπείθει. Ηὐχόμην ἄν, εἰ ἐνεδέχετο, εἰ ἐνεχώρει, εἴ τις ἦν ἀπόστασις σωτήριος, Θεῷ χρειζομένη συνάψαι, εἴ τις χωρισμὸς συνδέων σφοδρότερον, εἴ τις ἀλλοτρίωσις οἰκειοῦσα τελειότερον· οὐδὲ γὰρ οὐδὲ τοῦτον τῆς Χριστοῦ δόξης, καὶ τῆς τῶν ὁμοφύλων σωτηρίας, οὐ μὴν οὖν οὐκ ἄν γε παρῆλθον τὸν τρόπον· Ἐπειδὴ γὰρ ἐκ τῶν ὄντων ἁπάντων τὴν εἰς Χριστὸν ἀγάπην, ἐπεδείξατο· πέπεισμαι λέγων, καὶ τοῖς λόγοις, καὶ διὰ τῶν ἔργων τὴν πίστιν ἐπάγων, ὅτι οὔτε θάνατος οὔτε ζωή, οὔτε ἀρχαί, οὔτε δυνάμεις, οὔτε ἐνεστῶτα, οὔτε μέλλοντα, οὔτε ὕψωμα, οὔτε βάθος, οὔτε κτίσις τις ἑτέρα δυνήσεται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ, τῆς ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν. Ἐπεὶ οὖν σύμπαντα μὲν τὰ ὄντα, καὶ μερίζων, καὶ κεφαλαιούμενος διεξῆλθεν, οὔπω δὲ τὸν τοῦ πόθου ἔστησε δρόμον, λοιπὸν ἤδη καὶ ἐκ τῶν μὴ ὄντων μὲν μηδὲ γενομένων, εἰς ὑπόθεσιν δὲ παραλαμβανομένων, οἷα τις κόρον οὐκ εἰδὼς ἐραστής, ἀεὶ δὲ νομίζων ἐλαττοῦσθαι τοῦ χρέους, καὶ τὸ λεῖπον φιλονεικῶν ἀναπληρῶσαι προσεπάγει· μονονουχὶ λέγων, ὡς καὶ αὐτὴν τὴν ἐλπίδα, αὐτὸν τὸν δρόμον, αὐτὴν τὴν σωτηρίαν κατεθέμην ἄν, εἰ Χριστὸς πλέον διὰ τῆς τοιαύτης ἐδοξάζετο πράξεως, καὶ τὸ Ἰουδαίων ἔθνος ἐπιστρέφον διεσώζετο· τὸ δὲ τοιαῦτα καὶ φρονεῖν καὶ λέγειν, οὔτε Θεοῦ χωρισμός ἐστι· πόθεν; οὔτε διάστασις· ἕνωσις δὲ μᾶλλον θαυμασία τις καὶ ὑπερφυής, καὶ καινοπρεπεστάτη συνάφεια, καὶ τοῦ πρὸς

dicit, *Optarem ego Anathema fieri:* Hoc ut pronunciem, stimulus amoris mei me provocat: affectionis meæ flamma viscera depascens ità me cogit proclamare: Amor erga Christum meus persuasit, ut in animum inducam, singulos ipsi consecratos dare: *Optarem*, si concederetur, si liceret, si apostasia aliqua salutaris esset, quæ cum Deo procuraret conjunctionem, siqua separatio arctiùs constringat, si qua alienatio perfectiùs uniat: Nam pro Christi gloria, & contribulium salute, nè hoc ego quidem prętermitterem: Postquam certè amorem, quem in Christum gerebat, omnimodo manifestarat, nam & verbis expressis ait, *Persuasus sum*, ità enim fidem per opera confirmat, *quòd neque mors, neque vita, nec principatus, nec potestates, nec præsentia, nec futura, non altitudo, non profunditas, non quævis alia Creatura poterit me separare ab amore qui est in Christo Jesu Domino nostro:* Postquam singula entia collectim distribuerat in partes, nec cursum amoris sui stiterat, de cætero, à non entibus in argumentum tantummodo adductis, velati insatiatus quidam amator, Christo minùs se deferre arbitratur, & eum defectum supplere contendens, infert tantùm non verbatim, Ipsam spem, cursum ipsum, salutem ipsum libenter deponerem, si Christus hinc plus gloriæ accederet, & conversi Judæi salverentur: Hæc & sentire & dicere, non est à Deo separatio. Quonam enim? potiùs quædam mira conjunctio, & unio supra naturam innovata: amoris erga Deum erga homines incomparabilis exhibitio manifesta: insigne quoddam proprium beatæ cœlestis illius Pauli animæ: Atque ità esto prima solutio dubii, non multùm, uti arbitror, recedens ab Apostoli sensu & sententia. At cùm Pauli plantatio non sit uniusmodi, sed non rarò, multis & diversis ramusculis, tanquam ab unico literæ campo, sensuum fructus maturi progrediantur, agedum,

Θεὸν καὶ ἀνθρώπους ἀπαραβλήτου φίλτρου ἐναργεστάτη παράστασις, καὶ μόνης, ὡς ἀληθῶς, τῆς μακαρίας ἐκείνης καὶ οὐρανίου Παύλου ψυχῆς ἀπαραχάρακτον γνώρισμα. Ἀλλ' ἡ μὲν πρώτη λύσις τοῦ ἠπορημένου, οὐκ ἂν οἶμαι λίαν, οὐδὲ τῆς ἀποστολικῆς ἐκείνου γνώμης πόρρω τεθεωρημένη, τοιαύτη. Ἐπεὶ δὲ οὐκ ἔστι μονοειδὴς ἡ Παύλου φυτεία, ἀλλ' ἔσθ' ὅτε πολυστέλεχοί τε καὶ διάφοροι, ὡς ἀπὸ μιᾶς τοῦ γράμματος χώρας, οἱ τῶν νοημάτων ὡραῖοι καρποὶ ἀνα-

cum

cum oratione collectionem fructuum, & ſiquid indè aliud agricolatione dignum enaſcatur, inſtituamus: Videmus Paulum, non ſimpliciter dicentem, velle ſe pro tribulibus ſuis, poſtquam crediderat, ſeparari: hoc erat enim magìs terribile; ſed non ait, ab hoc tempore *optarem fieri anathema, ſed optaſſem fuiſſe*; ac ſi diceret, magìs optâſſem, ut ſi vos ad prædicationem cucurriſſetis, ut ego aliquantiſper adhæſiſſem literę legis in foribus, & ſub umbra delituiſſem, quàm ut præveniens vos, & curſum fidei currere anticipans, vos adhuc intuear, hoſtili animo eſſe, nec ad gratiam convertendos. Certè ſi tardâſſet ille ad hunc modum, non magnopere defeciſſet, nam cùm multi eum præveniſſent, itá timore tenebatur ne ab ullo ſuperaretur, ut etiam, ſicut cum veritate loquitur liberê, curſu & ſtadio cunctos poſt ſe reliquerit: Itá tarditas illi nihil incommodi tulit; timore valido percellebatur pro iis, qui in fidem erant itá animati, nè ſi per vitæ curſum obdurati manerent, æternam ſibi perditionem procurarent: Prætulit ergò illorum ſalutem ſuæ feſtinationi, ut ſalvaretur. Conſiderandum eſt, quòd divina ſcriptura pro malefacto, & ſupplicio Anathema uſurpat: unde & illud cogitandum, quòd hac voce Paulus pro ſalute tribulium vellet impiorum ſupplicia tolerare; nec ſimpliciter, ſed à Chriſto judice inflicta: Hoc enim ſignificare poteſt, *à Chriſto*, nempe ſententiam pronunciante punitivam. Eſt hoc dictu magnum & mirum, certè ſed nullam ſubinducit à Chriſti deſiderio vel conjunctione ſeparationem, nec ſuperiùs poſitarum dubitationum aliquam admittit; velle enim quemlibet extrema quæque in corpore ſuo pati pro ſalute aliorum, non minutionem divini affectus operatur, licèt à cœlis infligatur, quin potiùs adauget. Dedidit ſe quocirca divinus Paulus, & optavit gravia & inſufferenda ſupplicia per-

φύον)· φέρε, τῷ λόγῳ συνεκκαρπούμεθα, καὶ εἴ τι τοῦ ἐκεῖθεν γεωργίου ἄλλο ἄξιον. Ὁρῶμεν τοιγαροῦν τὸν θεσπέσιον Παῦλον, οὐχ ἁπλῶς οὕτω λέγοντα, κεχωρίσθαι θέλειν ὑπὲρ τῶν ὁμοφύλων Χριστοῦ· οὐδὲ μετὰ τὸ πιστεῦσαι διΐστασθαι· τοῦτο γὰρ ἴσως καὶ φοβερώτερον· οὐδὲ γὰρ ἀπό γε τοῦ νῦν φησιν, εὔχομαι γενέσθαι ἀνάθεμα, ἀλλ' ηὐχόμην εἶναι (ἐπὶ)· ὅπερ ἴσον ἐστὶ τοῦ λέγειν, αἱρετώτερον ἡγούμην τῷ Χριστοῦ κηρύγματι προσδεδραμηκότων ὑμῶν ἐμὲ βραχύ τι προσδιατρίβειν ἔτι τοῖς τοῦ νομικοῦ γράμματος προθύροις, καὶ τῇ σκιᾷ ὑποκαθῆσθαι, ἢ προλαβόντα καὶ ταχύναντα, τὸν ἐπὶ τῇ πίστει δρόμον ὑμᾶς οὕτως ὁρᾷν πολεμίως ἔχοντας, καὶ ἀνεπιστρόφως πρὸς τὴν χάριν. Καὶ γὰρ ἐκεῖνος μὲν ἐμβραδύνων, οὐδ' οὕτως ἂν οὐδὲν ὑστέρησε μέγα, ὅπου γε καὶ πολλῶν προκαταληφότων τί δεῖ λέγειν διευλαβούμενος ὡς οὐδενὸς ὑστέρησεν, ἀλλὰ μὴ παῤῥησιασάμενον τὴν ἀλήθειαν, ὅτι πάντας τῷ δρόμῳ καὶ τῇ σπουδῇ ὑπερήλασεν. Ἀλλ' ἐκείνῳ μὲν ἡ βραδύτης εἰς οὐδὲν ἀπήντα δύσκολον· φόβος δ' ἦν οὐ μικρὸς περὶ τῶν οὕτω κακῶς ἐπὶ τῇ πίστει διακειμένων, μὴ καὶ διὰ βίου τὴν αὐτὴν νοσοῦντες πώρωσιν, αἰώνιον αὐτοῖς τὸν ὄλεθρον συνεργάσωνται· δι' ὅ, τὴν ἐκείνων προτιμᾷ σωτηρίαν τοῦ ταχύτερον αὐτὸν ἐντὸς γενέσθαι τῆς σωτηρίας. Ἀλλὰ σύ γε προσέχων, ὡς ἡ θεία πολλαχοῦ γραφὴ, καὶ ἀντὶ κακώσεως καὶ τιμωρίας σωματικῆς, τὸ ἀνάθεμα τίθησιν, οὐ χαλεπῶς κἀκεῖνο συνήσεις, ὅτι τὰ τῶν κακούργων παθεῖν ὁ θεῖος Παῦλος, ὑπὲρ τοῦ σωθῆναι τοὺς συγγενεῖς, διὰ τῶν τοιούτων ῥημάτων ηὔχετο· καὶ οὐχ ἁπλῶς οὐδὲ τοῦτο· ἀλλὰ καὶ ἀπὸ Χριστοῦ δικάζοντος· τοῦτο γὰρ ἂν εἴη τὸ ἀπὸ Χριστοῦ καὶ τὴν τίμωρον ἀφιέντος ψῆφον. Τοῦτο δὲ μέγα μὲν καὶ θαυμάσιον· πῶς γὰρ οὔ; οὐδεμίαν δὲ τοῦ πρὸς Χριστὸν πόθου ἢ τῆς συναφείας διάστασιν συνεισάγει, οὐδέ τινα πάροδον ταῖς ἄνωθεν ἀφίησιν ἀπορίαις· Οὐδὲ γὰρ οὐδὲ τὸ βούλεσθαί τινα ὑπὲρ τῆς ἑτέρων σωτηρίας τὰ ἔσχατα τῷ σώματι πάσχειν, κἂν ἄνωθεν ἕλκῃ τὴν κρίσιν, ἐλάττωσίν τινα τῆς θείας στοργῆς, ἵνα μὴ λέγω μάλιστα ὡς καὶ συναύξησιν εἰσάγει· Ἐδίδου τοίνυν ἑαυτὸν ὁ θεῖος Παῦλος, καὶ ηὔχετο πικραῖς ὑπελθεῖν καὶ βαρείαις τιμωρίαις, εἰ μόνον

τοὺς ὁμοφύλους ἴδοι, τὸν κατὰ Χριστοῦ φθόνον καὶ πόλεμον καταθεμένους, καὶ τὸ βαρὺ τοῦ νόμου καὶ παλαιὸν ἄχθος ἀποσεισαμένους, ὑπὸ τὸν χρηστὸν τῆς χάριτος καὶ ἐλαφρὸν ζυγὸν γεγενημένους. Ὑπόλοιπον δὲ τῶν εἰρημένων ἐστὶν ἰδεῖν, ὡς εἴ τις καὶ μηδὲν ἔξωθεν τῶν γεγραμμένων ἐπιλογιζόμενος, αὐτὰ δὲ καθ' ἑαυτὰ, καὶ χωρὶς τινος περινοίας μετερχόμενος, ἀδεκάστῳ κρίσει καὶ πνευματικαῖς, κατ' αὐτὸν ἐκεῖνον εἰπεῖν τὸν θεσπέσιον ἀνακρίσεσι, τὴν περὶ αὐτῶν ἐπιτρέψοι ψῆφον, οὐδ' οὕτως οὐδὲν δυσχερὲς ἢ τῶν ἀπόρων ἀπόψεται. Ἵνα γὰρ τὴν τοῦ Πατριάρχου θαυμασίαν ἐάσω Ῥεβέκκαν, φοβερὰν ἀρὰν ἐφ' ἑαυτὴν ἑλκύσασαν, ὡς ἂν τὸν παῖδα πείσῃ πατρικῆς εὐλογίας τέχνῃ τὸν κλῆρον ἰδιώσασθαι· ἀλλ' ὅγε Μωσῆς ὁ θεόπτης τὰ αὐτὰ ὑπὲρ Ἰουδαίων μικροῦ καὶ λέξεσι παραφθεγξάμενος, πῶς οὐκ ἀντὶ πάντων ἀρκήσαι τὰς ἐπιφερομένας ἀπορίας τῶν τοῦ ἀποστόλου ῥημάτων παραδιαλύσασθαι; Τί γάρ φησιν; Εἰ μὲν ἀφεῖς αὐτοῖς ἄφες, εἰ δὲ μὴ, ἐξάλειψον κἀμέ· ἀλλὰ πόθεν; ὄντως συγγενὴς ἦν ἡ Μωσέως ψυχὴ τῆς Παύλου ψυχῆς· ἐκ τῆς βίβλου γάρ φησι τῆς ζωῆς. Τοῦτο δὲ τί ἐστιν ἄλλο, παρὰ τὸ λέγειν, ὡς ἂν μὴ τοῖς ἐκγόνοις καταλλαγείης, καὶ σαυτῷ συνάψῃς αὐτοὺς (ὢ γνώμης ἀκράτου τὴν τῶν ἐξ αἵματος περίνοιαν μεθυούσης) χώρισον κἀμὲ ἀπὸ σοῦ· εὔδηλον γὰρ ὡς ὁ ἐκεῖθεν ἀπαλειφόμενος τὸν χωρισμὸν συγκαταδικάζεται τοῦ θεοῦ· καὶ οὐδὲν διενήνοχεν εἰπεῖν, ἐξάλειψόν με τῆς βίβλου τῆς ζωῆς, καὶ χώρισόν με ἀπὸ σοῦ. Ὢ παρρησίας οὐκ ἐκ θείας μόνης φιλοτιμίας, ἀλλὰ καὶ πόνοις οἰκείοις, οὐ κατὰ τὸ ἀκατάγνωστον μόνον, ἀλλὰ καὶ τὸ εὐδόκιμον ἀπενεγκαμένης· ἐξεῖλέ τε γὰρ τὸν φυλετικὸν λαὸν τῆς δικαίας ὀργῆς ἡ φωνὴ, καὶ τὸν εἰπόντα οὐκ ἀπήλειψε τῆς τῶν ἀειζώων συγγραφῆς· ὡς οὖν Μωσῆς ταῦτα λέγων καὶ πράττων θαυμάσιος· οὕτω καὶ Παῦλος ἐν τοῖς ὁμοίοις σφοδρότερος ὀφθεὶς, ἐπὶ τοσοῦτον θαυμασιώτερος. Ἢ οὐ δοκεῖ σοι ἀνάθεμα ποιεῖν ἑαυτὸν, ὑπὲρ τῆς σωτηρίας τῶν συγγενῶν, καὶ τρόπον τινὰ τῆς χάριτος διαχωρίζεσθαι, ὅτε Τιμόθεον περιέτεμνεν; ὅτε αὐτὸς ἐκεῖνος λαμπρῶς κηρύσσων τὸ εὐαγγέλιον, Ἰουδαϊκὰς εὐχὰς ὑπεκρίνετο, τήν τε κόμην ξυρώμενος τῆς κεφαλῆς, καὶ τὰς νενομισμένας θυσίας προσ-

ferre, si videret suos contribules, invidiam, hostilem animum in Christum deponere, si grave & intollerabile legis onus excutere, & sub Christi & gratiæ suavi & levi jugo positos. Reliquum est despicere, quòd si quis, qui nihil à scriptis alienum cogitat, ipsa autem per se, sine ulla circumlocutione interpretans, sincero judicio, vel secundùm ipsum Paulum, spirituali, sententiam ferat, ne sic quidem aliquid ineluctabile occurret: Ut omittam præclaram Patriarchæ uxorem Rebeccam, maledictum horrendum in se transferentem, ut filium induceret ad paternæ benedictionis sortem arte quâdam: Moses certè, qui Deum vidit, eadem, iisdem pene verbis pro Judæis loquebatur: & ità omnes contrà Apostoli verba dubitationes injectas dissolvit abundè, inquit autem, *si remittes, remitte illis:* sin minùs, *me dele*; unde autem? certè congenora fuit Moysis anima Pauli, *è libro vitæ*: Quid hoc aliud est, quàm, si meis contribulibus nec veniam indulgebis, nec tibi illos adunies, *separa & me à te?* tam sincero affectu in sanguine conjunctos ferebatur: Qui de libro deletur, judicium subit separationis à Deo, nec interest, dixerítne? *Dele me de libro vitæ, & separa me à te:* Libertas hæc non tantùm ab affectu divino procedens, verùm & propriis meritis subinduxit, ut non modo non rejiceretur, sed cum honore admitteretur: Vox illa populum affinem ab ira justa liberavit, nec dicentem expunxit ab illo *libro vitæ*: Quocirca ut Mosen hæc dicentem & facientem admiramur, ità & Paulum magis suspicere debemus: qui vehementiùs in eundem affectum ferebatur: An non videtur tibi Anathema seipsum quodammodo posuisse, & se à gratia separâsse pro cognatis suis, cùm Timotheum circumcideret, & cùm gloriosè prædicans Evangelium, Judæorum vota simulavit, caput abradens, & statuta offerens sacrificia?

crificia; nec pro ſe ſolo, ſed pro aliis etiam quorum ſodalis erat, qui & ſumptus in ſacrificia ſuppeditabat iis: In quam cauſam? Illam nempe, *ut omnes Chriſto lucrifaceret, ut plurimos adduceret, ut omnimodo aliquos ſervaret: ideò Judæis Judæus fit, iis qui ſine lege, tanquam ſine lege, cum infirmis infirmabatur:* Nihil horum erat, abſit ut fuerit, apud animum & judicium ſuum: ſed *omnibus omnia factus eſt, ut ſic aliquo modo aliquem lucrifaceret:* Imitator egregius, ut, quod caput eſt, dicam, communis Domini & Servatoris noſtri, qui omnia pro nobis paſſus, ob inexplicabiles divitias miſericordiæ ſuæ, & exinanitionis, non recuſavit *Peccatum, & Maledictio pro nobis* dici & reputari; cùm tamen fons eſſet omnis benedictionis, & deſtructio peccati: Hunc ſibi per totum vitæ curſum exemplar proponens genuinus ejus diſcipulus, admirabilem illam & deſiderabilem converſationis repreſentationem animæ ſuæ quotidiè tranſcribere & efformare non deſtitit: ſed de tuo dubio haud ſcio an quod requirebatur minùs, certè ultra epiſtolæ terminos, iſta habeas ſolutionis vice. Vale.

φέρων, καὶ οὐχ ὑπὲρ ἑαυτοῦ μόνον, ἀλλὰ καὶ ὑπὲρ ἑτέρων οἷς συνηγωνίζετο, τὰς ἐπὶ τῇ θυσίᾳ κατατιθεὶς δαπάνας, καὶ τὰ ἀναλώματα· ἵνα τί γένηται; ἵνα πᾶν Χριστῷ κερδήσῃ· ἵνα τοὺς πλείονας προσάξῃ· ἵνα πάντως τινὰς σώσῃ· διὰ τοῦτο καὶ Ἰουδαῖος τοῖς Ἰουδαίοις· καὶ τοῖς ἀνόμοις ὡς ἄνομος διατίθεται· καὶ συνασθενεῖ τοῖς ἀσθενοῦσιν· μηδὲν τούτων (ἄπαγε) μήτε ὢν ἐν κρίσει, μήτε γινόμενος· καὶ τοῖς πᾶσι πάντα γίνεται, ἵνα πάντως τινὰς τῆς πλάνης ἀνελκύσῃ· μιμητὴς γὰρ ἦν περιδέξιος (ἵνα τὸ κεφάλαιον εἴπω) τοῦ κοινοῦ σωτῆρος ἡμῶν καὶ δεσπότου· ὃς πάντα παθὼν ὑπὲρ ἡμῶν ἀφάτῳ πλούτῳ φιλανθρωπίας καὶ κενώσεως, οὐδ᾽ ἁμαρτία, οὐδὲ κατάρα κληθῆναι δι᾽ ἡμᾶς, καὶ νομισθῆναι παρῃτήσατο· καίτοι πηγὴ πάσης εὐλογίας, καὶ πάσης ἁμαρτίας ὑπάρχων ἀναίρεσις· ὃν διὰ βίου καλὸν παράδειγμα προστησάμενος ὁ γνήσιος, ὡς ἀληθῶς, μαθητὴς, ἀεὶ τὸ θαυμαστὸν ἐκεῖνο καὶ πολυέραστον τῆς πολιτείας, ἐν τῇ ψυχῇ μεταγράφων, καὶ ἀνατυπῶν οὐκ ἀπέληγεν ἄγαλμα. Ἀλλὰ γὰρ, περὶ τοῦ διηπορουμένου σοι, τῆς χρείας, οὐκ οἶδ᾽ εἰ ἔλαττον, τῆς δ᾽ οὖν ἐπιστολῆς καὶ ἐπὶ πλέον, τὰς λύσεις δεχόμενος, ἔρρωσο.

Epiſt. 217.

Nicephoro Philoſopho Monacho

AMorem corporalem corporales ipſi alatum pingunt: pingunt itá divinum, quotquot pulchritudinem ejus intelligibilem animis puris effigiatam geſtant: illi colorum tincturis & flore: iſti virtutibus & illuſtribus factis: Teſtantur utrique, eo quòd ſic pingunt, quòd celeritate mira præditus eſt amor, propoſiti tyrannus, legum contemptor quibus retardatur. Cognoſcas igitur, Deo ſacrate, nos ab hoc tyranno vehementer oppreſſos, qui voluntatem cogit, & ante tempus tuam efflagitare præſentiam incitat. Vale.

Ἐπισ. σιζ΄.

Νικηφόρῳ φιλοσόφῳ μονάζοντι.

ΤΟν μὲν τοῦ σώματος ἔρωτα, ἐπτερωμένον οἱ σωματικοὶ γράφουσι· γράφουσι δὲ καὶ τὸν θεῖον, ὅσοι τὸ νοερὸν αὐτοῦ κάλλος ψυχαῖς καθαραῖς ἐνεμορφώσαντο· ἀλλ᾽ οἱ μὲν βαφαῖς καὶ χρωμάτων ἄνθεσιν· οἱ δ᾽ αὖ ἀρεταῖς, καὶ λαμπροτέροις τοῖς κατορθώμασι. Ἑκάτεροι δ᾽ οὖν ὅμως μαρτυροῦσι, δι᾽ ὧν γράφουσιν, ὡς ἄφατον ἔχει τάχος, καὶ προθεσμίας ὑπάρχει τύραννος, καὶ ὑπερόπτης νόμων, οἷς ἀναβολὴ δίδοται. Ἴσθι τοιγαροῦν, ὦ τοῦ θεοῦ ἱερὲ ἄνθρωπε, ὡς καὶ ἡμᾶς ἡ τυραννὶς αὕτη κατὰ κράτος εἷλκε, καὶ τὴν προθεσμίαν ἐβιάσατο, καὶ πρὸ τοῦ χρόνου τὴν σὴν παρουσίαν ἐπιζητεῖν κατηνάγκασεν. Ἔρρωσο.

Ἐπισ. σιη΄.

Ἰωάννῃ Μητροπολίτῃ Ἡρακλείας.

Ἐμοὶ μὲν δοκεῖ, καὶ δι᾽ ἄλλας πολλὰς ἀῤῥήτους τε, καὶ ὑπὲρ νοῦν, θεωρίας, τὸν Χριστὸν καὶ Θεὸν ἡμῶν, βασιλέα, καὶ τοῦ παντὸς ὑπάρχοντα κύριον, δι᾽ ἑκουσίου μᾶλλον παθήματος, ἀλλὰ μὴ δεσποτικῇ καὶ αὐτοκράτορι ἐξουσίᾳ, τὴν παγκόσμιον σωτηρίαν ἀπεργάσασθαι· οὐδὲν δὲ ἧττον οἶμαι, καὶ διὰ τοῦτο, ὡς ἂν μάλιστα μέγα καὶ σαφὲς παραμύθιον τοῖς ἐν βίῳ ταλαιπωροῦσι, καὶ τὰ ἔσχατα πάσχουσι, καταλείποι τὰ οἰκεῖα πάθη, καὶ τὸν ἐπονείδιστον αὐτοῦ θάνατον· πρὸς ἃ καὶ σὺ ἀφορῶν, χαῖρε μᾶλλον, οἷς ἔχεις, ὁ δοῦλος μιμεῖσθαι τὸν δεσπότην· ἀλλὰ μὴ δυσφόρει πρὸς τὰς τῶν στεφάνων ὑποθέσεις, ὑπὸ τῶν τῆς ἀληθείας ἐχθρῶν, καὶ ἀκόντων, παιδοτριβούμενος.

Ἐπισ. σιθ΄.

Λέοντι καὶ Γαλάτωνι ἀδελφοῖς ἀσηκρῆτις.

Τί δήποτε, πυνθάνῃ, τὸ ἐκ διαφόρων χρωμάτων ὕφασμα, κίβδηλόν τε καλῶν, καὶ ἀποτρέπων ὁ νομοθέτης τοὺς ὑπ᾽ αὐτοῦ παιδαγωγουμένους ἀμφιέννυσθαι, τὴν τοῦ μαρτυρίου σκηνὴν τοιούτοις ἐπιβλήμασι προστάττει καλύπτεσθαι, ἐν ᾗ θεός τε ὠπτάνετο, καὶ τὰ τῶν ἁγίων ἀπέκειτο ἅγια. Ἀκούοις δ᾽ ἂν κοινόν, ἐπ᾽ αὐτοῦ τε καὶ τῶν ὁμοίων, λόγον ἀποδιδόμενον· ὡς τὰ τοιαῦτα νομοθετῶν ὁ θεῖος Μωσῆς ἀκριβῶς ἐδήλου, μὴ χρῆναι γυμνῇ προσεδρεύειν τῇ λέξει τοῦ γράμματος, μηδὲ τῷ προχείρῳ προσανέχειν τῆς καταλήψεως· τοῖς γὰρ διαφιλονικοῦσι ταύτῃ τὸν νοῦν τῶν προστατομένων λαβεῖν οὐκ ἄν ποτε θηράσιμος γένοιτο. Τοιοῦτον γάρ ἐστι τό, ἐν σαββάτῳ κελεύειν μηδὲν ὅλως ἐργάζεσθαι· τοὺς δὲ ἱερεῖς ἐπιτρέπειν ἐπὶ ταῖς θυσίαις καὶ ξυλοκοπεῖν, καὶ σφάζειν· οὓς ἔδει μᾶλλον τῶν ἄλλων γνώμονας ὥσπερ καὶ ἀρχέτυπον τοῦ πλήθους ὄντας,

Epist. 218.

Johanni Metropolitæ Heracleæ.

Videtur mihi Christus Deus & Rex noster cùm sit, & Dominus rerum existentium, propter multas alias inexplicabiles causas, & mentis intuitum transcendentes, per voluntatem potiùs passionem subjisse, & non per potentiam absolutam totius mundi salutem operatus: Imprimis ob hoc ipsum, ut ità magnum eximium & apparens solatium iis qui in hac vita affliguntur, & extrema omnia patiuntur, relinqueret suas ipsius passiones, & mortem contumeliosam: Hæc tu intuitus, lætare potiùs, eò quòd habeas, servus cùm sis, in quibus magistrum tuum imiteris: Noli murmurare, ob illa quæ cedent tibi in argumentum coronarum, si à veritatis hostibus, licet invitis contribuleris.

Epist. 219.

Leonti & Galatoni fratribus à secretis.

Quid interrogas, vestimentum è diversis coloribus contextum adulterinum vocans legislator, ejúsq; usum prohibuit iis, qui ipsius pædagio infirmabantur, nè induerent; tamen Testimonii tabernaculum talibusmodi operimentis velari jubet: in quo videbatur Deus præsens, & sancta sanctorum recondebantur: Audi autem rationem huic quæstioni & similibus congruentem; divinus Moses cùm talia mandaret, præcisè voluit significare non esse literæ adhærendum penitus, nec attendendum ad sensum prima facie exhibitum: Illi certè, qui pertinaciùs contendunt secundùm literam ista intelligenda, sententiam nunquam venabuntur. Tale mandatum est, quo præcipitur *nihil planè per Sabbathum agendum*, cùm tamen sacerdotes permitterentur ligna findere, carnes dividere, animalia occidere: qui tamen regulæ instar & archetypi debebant esse mul-

titudini,

titudini, ut, quod lege præcipiebatur, sincerè colerent: Ità cùm mandetur nè è lapidibus sectilibus altaria construantur, eò quòd sic polluerentur, & pollutionis ejusmodi causa enchiridio imputetur, quo in exascianda materia uti solent: cùm & enchiridio id quod maximo in honore Judæis & veneratione erat, nempe Circumcisio, perficeretur, & omnia sacrificia per eadem consummata absolutáque darentur instrumenta: Simile est, is qui mortuum tetigerit, immundus erit, & purificandus traditur sacerdoti: qui non alio modo eum purificare potuit, quàm per sacrificia: quæ per ipsum morticinia imprimis fiunt, ità tangit, & per sanguinem demortui & cinerem purgat eum, qui purgandus venit, non aliam ob causam quàm quòd tetigerat mortuum. Hæc resipiunt ænigmata, si quis literæ immanserit: Atque simile est per omnia, quod simulachrum prohibentur Israelitæ facere: cùm tamen is, qui hæc sancivit lege, arcum jubeat fabricare secundùm typum & imitationem ostensorum ipsi in monte: tum etiam mandet imagines & expressiones Cherubim exsculpere, & formare, & velis prætextis contegere & radio intertexere; sed & malorum granatorum formas sacris utensilibus insculpere, & similia multa: Illud verò non est quin admiretur is, qui vel miracula ab introitu salutavit, nec animum affixum & intentum habet, ad ea quæ interiùs occultantur; quòd cum qui lepra incipiente compungitur, nec totam corporis superficiem morbo infectam adhuc habet, immundum pronunciat, & declinandum, cùm illum, qui à capite ad calcem odioso hoc morbo laborat, atque est ad intuendum detestabilis, quique prope est ut vincula naturę solvat, hunc inquam mundum lex reputet, & dignum judicet synagoga: Si adhuc placeat intueri illos qui sub lege vivebant, quibus licitum non erat alibi quàm apud Tabernaculum sacrificare: Certè sanguine in eum vindicabatur, qui transgressus fuerat legem; sed nec extra templum licuit, postquam templum construebatur, sacrificia perage-

τὸ τῆς νομοθεσίας φυλάττειν ἀκήρατον. Ἔτι δὲ καὶ τὸ προστάσσειν, ἐκ λίθων τμητῶν μὴ κατασκευάζειν θυσιαστήρια, ὅτι μεμίανται· καὶ τοῦ μεμιάνθαι τὴν αἰτίαν ἐπάγειν τὸ ἐγχειρίδιον, ὅτι περὶ αὐτοῖς τοῦτο ξυομένοις ἐπιβέβληται· τῷ ἐγχειριδίῳ δὲ καὶ αὐτὸ τὸ τιμιώτατον καὶ μέγιστον παρ' Ἑβραίοις τὴν περιτομὴν ἀπεργάζεσθαι, καὶ μὴν καὶ πάσας ἱερουργίας ἐγχειριδίοις τελεσιουργεῖσθαι καὶ καταρτίζεσθαι. Καὶ δὴ κἀκεῖνο, τὸν μὲν ἁπτόμενον νεκροῦ ἀκάθαρτον εἶναι, εἶτα καθαίρεσθαι παρὰ τοῦ ἱερέως· τὸν δὲ μὴ δύνασθαι καθαίρειν, ἄλλως εἰ μὴ διὰ θυμάτων, ἃ δὴ αὐτός τε νεκροποιεῖ πρῶτος, καὶ ἅπτεται, καὶ ἀπὸ τῶν νεκρῶν αἱμάτων, ἢ τῇ σποδῷ περιρραίνει τὸν, ὅτι νεκροῦ ἥψατο προσιόντα καθαρθήσεσθαι. Αἰνίγματι γὰρ τοῦτο παντελῶς, εἴ τις ἐναπομένοι τῷ γράμματι, ἔοικε. Τοιοῦτόν ἐστι καὶ τὸ, πάντως ὁμοίωμα ποιεῖν ἀπείργειν τὸν Ἰσραὴλ· αὐτὸν δὲ ταῦτα νομοθετοῦντα, πρῶτον μὲν καὶ αὐτὴν τὴν κιβωτὸν κατὰ τύπον καὶ μίμημα ποιήσασθαι τῶν δειχθέντων αὐτῷ ἐν τῷ ὄρει· ἔπειτα τὰς εἰκόνας, καὶ τὰ ὁμοιώματα τῶν χερουβὶμ διαγλύψαι τε καὶ τορεῦσαι, καὶ τοῖς παραπετάσμασι προσεξυφᾶναί τε καὶ ῥαφιδεῦσαι· ῥοΐσκων τε ὁμοιώματα τοῖς ἱεροῖς σκεύεσιν ἐντυπῶσαι καὶ μυρία ἄλλα. Ἐκεῖνο δὲ, πῶς οὐ θαυμάσειέ τις, τοῖς τοῦ θαύματος προθύροις μόνον ἀναστρεφόμενος, καὶ τοῖς ἔνδον κεκρυμμένοις τὸν νοῦν οὐκ ἔχων ἀνατενίζοντα; ὅτι τὸν μὲν ἀρτιφυεῖ λέπρᾳ τὸ σῶμα στιζόμενον, οὔπω δὲ τὴν ὅλην ἐπιφάνειαν διαφθαρέντα τῷ νοσήματι, ἀκάθαρτον καὶ μιαρὸν ἀποφαίνει· τὸν δι' ὅλον τὸ σῶμα περιχεθέντα τῷ κακῷ, καὶ *βδελύγματι ἀνθούμενον· καὶ *εἰ δὲ χθὲς μὲν ὁραθῆναι, ἐγγὺς δὲ γεγονότα καὶ τοὺς φυσικοὺς συνδέσμους λύεσθαι· τοῦτον δὲ ἄρα καθαρὸν καὶ τῆς συναγωγῆς ἄξιον κρίνεσθαι. Εἰ βούλει δὲ κἀκεῖνο τῶν ἐν νόμῳ βιούντων ἰδεῖν, ὡς οὐκ ἐξῆν μέν τινα παρὰ τὴν σκηνὴν ἀλλαχοῦ τολμᾶν θυσιάζειν· ἢ γὰρ εἰς αἷμα δίκη ἀπῄτει τὸν παραβάντι· οὐ μὴν οὐδὲ ἔξω τοῦ ναοῦ, μετὰ τὴν τούτου οἰκοδομὴν, τὰς ἱερουργίας ποιεῖσθαι·

* ἴσ. βδελυγματιαῖον.
* εἰδεχθὲς.

ποιεῖσθαι· τὸν δὲ θαυμάσιον Σαμουὴλ, καὶ θυσιαστήριον τῆς σκηνῆς ἑστώσης πῆξαι, κἀκείνην μὲν λιπεῖν· ἐκεῖσε δὲ τὰς θυσίας ἀνενεγκεῖν· οὐκ αὐτὸν δὲ μόνον, ἀλλὰ καὶ τὸν ἱερὸν Ἡλίαν τοῦ ἐν Ἱεροσολύμοις ναοῦ λαμπρῶς ἑστηκότος, ἐπὶ τοῦ Καρμήλου βωμούς τε ἐγεῖραι καὶ προσενεγκεῖν θυσίας. Καὶ τούτων οὐδένα, οὐχ ὅτι μὴ ἐγκληθῆναι, ἀλλὰ καὶ πρὸς θεοῦ, τοῦ διὰ Μωσέως μηδὲν τούτων τολμᾶσθαι νομοθετοῦντος, εὖ μάλα τε προσδεχθῆναι, καὶ οὐρανίῳ πυρὶ τὴν τῶν θυμάτων ὁλοκαύτωσιν περιφανεστέραν τε καὶ παραδοξοτέραν, ἢ συμπάσας τὰς ἄλλας, αἳ τὸν νόμον εἶχον τῆς τελετῆς αὐτῶν καθηγούμενον, ἀποφανθῆναι. Εἶτα τὸν Σαμουὴλ πάλιν ἀρχιερωσύνης ὕψει καὶ προφητείας ἀνηγμένον, χερσὶν ἱεραῖς τὸν Ἄγαγ ἀποσφάττειν· καὶ πρό γε αὐτοῦ τὸν Φινεὲς διπλῆς σφαγῆς, ἐμφυλίου τε καὶ ἀλλοφύλου, τὴν ἱερωσύνην δῶρον αἰώνιον ἀποφέρειν. Οὐ μὴν ἀλλά γε καὶ πρόσθεν ἐπὶ λαμπρᾶς εὐλογίας καὶ τιμῆς μείζονος ἀξιοῦσθαι τοὺς, ὅσοι συγγενικῶν αἱμάτων τὰς χεῖρας ἐπλήρωσαν, καί τοι κοινῆς οὔσης τῆς αἰτίας τῶν τε δίκην εἰσπραττομένων, καὶ τῶν ἀποτιννύντων· τούτους μὲν τοιούτοις ἄθλοις ἐπὶ τῇ τῶν αἱμάτων χύσει τιμηθῆναι. Τὸν δέ γε βασιλέα Δαβὶδ ἀνάγκην ἔχοντα πολέμοις τοὺς ἀνθεστηκότας ἐπεξιέναι, διὰ τοῦτο τὸν ἐν Ἱεροσολύμοις νέω ἀναστῆσαι προθυμούμενον, κεκωλῦσθαι. Καὶ τὸν μὲν Σαοὺλ καὶ τὸν Ἀχαὰβ, ὅτι φιλανθρώποις ὄμμασιν ἴδον τοὺς ἑαλωκότας τῶν πολεμίων, ἐκπτώσει τε τῆς βασιλείας ζημιωθῆναι, καὶ τὸν διὰ μαχαίρας θάνατον ἀπαιτηθῆναι· τὸν δὲ Δαβὶδ, ὅτι δικαιοτέρᾳ κρίσει τοὺς παραπλησίους ὑπῆγεν, ἀνάξιον κριθῆναι τῆς τοῦ ναοῦ ἀνεγέρσεως. Εἰ βούλει δὲ καὶ ἄξιον αὐτὸν μὲν πάλιν τοῦτον ἐπιδειχθῆναι, θυσιαστήριον ἐν τῇ τοῦ Ὀρνᾶ ἅλω ἀναστῆσαι καὶ θῦσαι παράδοξον θυσίαν, οὐρανίου πυρὸς τὴν ὁλοκαύτωσιν συγκαλλιεροῦντος, καὶ θυμὸν ἄσχετον ἐκ θείας ὀργῆς καὶ δικαίας, ἅπαντα τὸν Ἰσραὴλ ἐπινεμόμενον, ἐξιλεωσάμενον στῆσαι· τὸν αὐτὸν δὲ τοῦτον οὐδὲν πλέον εἰς αἷμα πολεμίων ἀδυσώπητον γεγονότα ἐξείργεσθαι τοῦ ναὸν Θεῷ

re: Admirabilis tamen vir Samuel, cùm staret tabernaculum, altare alibi fixit, & quod in tabernaculo fuit, reliquit, & in à se constructo sacrificia obtulit: Sed & sanctus sacérque vir Helias templo splendidissimè constructo, in monte Carmelo altaria erexit & sacrificavit: Horum nemini vitio hæc vertebantur, sed à Deo, qui per Mosen, nil tale audendum sancierat, accepti fuerant, cúmque oblationes igni cœlesti absumerentur, multò erant illustriores & gloriosiores quàm illi in suis sacrificiis, qui legis præscriptum sacrificantes sequebantur: Samuel ulteriùs, qui Pontificatus sublimi titulo, & Prophetiæ attollebatur, sacratis manibus Agag interemit; & illo prior Phinees per cædem duplicem indigenæ & alienigenæ sacerdotium æternum muneris loco accepit: sed & anteriùs adhuc, splendida benedictione & honore majori digni habiti sunt, qui cognato sanguine manus impleverant; cùm causa esset communis eorum qui patiebantur, & qui vindictam inferebant: Hi quidem talibus remunerationibus pro sanguine fuso colebantur: Davidem regem necessitas adurgebat, bello persequi hostes: idcirco, cùm id vehementer cuperet: templum Hierosolymitanum construere vetabatur: Saul & Ahab, quòd misericordibus oculis intuebantur captivos hostes, amissione regni mulctabantur, & gladio perire decernebantur: Cùm David qui justo judicio similiter delinquentes mactâsset, indignus censeretur, qui extrueret templum: Si volueris autem poteris è contra videre dignum judicatum qui altare erigeret in area Orphna Jebusei: ubi sacrificium obtulit præclarum, igne de cœlo illud absumente; ità ut iram irresistibilem, è justo Dei furore accensam, quæ totum Israelem depascebat, extingueret: qui ipse tamen inexorabilis cùm esset in hostium sanguine fundendo, prohibebatur Dei templum ex-

ædificare.

ædificare: Hæc tot & talia, ubi legitur litera contra literam, quomodo quis ab omni contrarietate excuſabit, & ſeriem, quæ par eſt in illis obſervari, congruam demonſtrabit, & non potiùs omnia tumultu & ſuſpenſione animi impleat? Præterea, quæ ratio reddi poteſt, Deum nuptias permittere, & ſua dignari benedictione, & tamen qui copula nuptiali jungebatur, ſecundùm Dei & naturæ ipſius leges, ut immundum à myſteriorum participatione excluderet, nec ad ſacra admitteret niſi priùs purgatum? Ità quoque vas teſtaceum, in quo pollutum quid continebatur, confringi jubebat, acſi non poſſet alioqui pollutum expiari: Sin æneum vas, vel ligneum eſſet, facillimè lavando mundaretur: Eliſæi oſſa communi de morticiniis legi ſubjacebant, & pollutionem impertiebant, tamen mortui iiſdem approximantes ab illis puros vitæ radios recipiebant, & ad vitæ lucem à tenebroſis mortis foribus reducebantur: Dicéſne igitur, polluti illi, qui proximi illis oſſibus facti, à mortis immunditie purgabuntur? an non potiùs ſacrificium gratitudinis pro reſtauratione illorum offeres, quàm expiatorium contactus per quem ſurrexere? Quomodo non erit hoc contra planam Scripturam rem apparentem per ignorantiam & imperitiam inducere? Aſini autem maxilla triplici ſcatens immunditia quomodo defæcatæ & potabilis aquæ ſcaturigines ſitienti Nazaręo ſuppeditabat; quę paribus impuritatis miraculis illuſtrabatur: Os enim fuit aſini, & quidem aſini mortui, & adhuc tertiò, necis inſtrumentum: non autem è vicina terra aqueæ diſtillationes inſenſibiliter os illud madefaciebant: ſed viri bellatoris arma contra hoſtiles inſultus adhibebatur; tantum verò aquarum ſcaturiginem edidit, ut qui poſt talem defatigationem, & laborem, & in tali temporis exigentia ſitiret, abundanti, varia, & ultra neceſſitatem aquarum copia irrigaretur: Et quidem taliusmodi miraculo os animalis impuri, & mortui ſubmini-

ἀνοικοδομῆσαι. Πῶς γὰρ ταῦτα καὶ τὰ τοιαῦτα ἡ τοῦ γράμματος κατὰ τὸ γράμμα ἀνάγνωσις, αἰτίας τε καὶ ἐναντιώσεως ἀπαλλάξει, καὶ τὸν πρέποντα εἱρμὸν ἐν αὐτοῖς θεωρούμενον ἐπιδείξει, ἀλλὰ μὴ καὶ πολλῆς ἐμπλήσει ταραχῆς τε καὶ ἀμηχανίας; Ἐπὶ τούτοις, πῶς ἂν ἔχοι λόγον, τὸν μὲν γάμον Θεὸν ἐπιτρέψαι, εὐλογίας τε τῆς παρ' αὐτοῦ ἀξιῶσαι· ἀκάθαρτον δὲ τὸν ὡμιληκότα, κατὰ τοὺς θείους θεσμοὺς, τοῖς τῆς φύσεως μυστηρίοις * ἀποκαλέσαι, καὶ τοῖς ἱεροῖς μὴ προσιέναι, εἰ μὴ καθαρθείη, ἀποθεσπίσαι; Πάλιν δὲ τὸ μὲν ὀστράκινον ἄγγος, ἐπὰν ἀκαθάρτου τινὸς ψαύσῃ, συντρίβεσθαι, ὡς μηκέτι δυνατὸν εἶναι τῆς ἀκαθαρσίας τὸ μεμολυσμένον * ἀπολύεσθαι· ἂν δὲ χαλκοῦν, ἢ ξύλινον ᾖ, ῥαδίως τῆς ἀκαθαρσίας διὰ τοῦ ὕδατος ἀπαλλάττεσθαι. Καὶ τὰ μὲν Ἐλισσαίου ὀστᾶ τῷ κοινῷ τῶν νεκρῶν νόμῳ εἰς ἀκαθαρσίαν ἄγειν· τοὺς δὲ πεπλησιακότας αὐτοῖς νεκροὺς καθαρὰς ἐκεῖθεν τῆς ζωῆς δέχεσθαι τὰς ἀκτῖνας, καὶ πρὸς τὸ τοῦ βίου φῶς ἐκ τῶν ζοφερῶν πυλῶν ἐπανάγεσθαι τοῦ θανάτου. Τί οὖν ἐρεῖς, ἀκαθάρτους ὅτι πλησιάσαντες ὀστέοις νεκροῦ τῆς ἀκαθαρσίας τοῦ θανάτου ἐκαθάρθησαν, ἢ καὶ προσοίσεις ὑπὲρ αὐτῶν οὐκ εὐχαριστήριον τῆς ἐγέρσεως, ἀλλὰ καθάρσιον τῆς ἀφῆς, ἐξ ἧς ἀνέστησαν; Καὶ πῶς οὐκ ἂν εἴη τοῦτο κατά γε τῶν γεγραμμένων τὸ φαινόμενον, πολλὴ ἀμαθία καὶ ἄνοια; Ἡ δὲ τῆς ὄνου σιαγὼν τριπλῆς ἀκαθαρσίας αἰτίαν πηγάζουσα, πῶς καθαροῦ καὶ ποτίμου νάματος διψῶντι τῷ Ναζαραίῳ ἀνέδωκε ῥύακας, ἴσοις τῆς ἀκαθαρσίας διαβοηθεῖσα θαύμασι· ὄνου μὲν γὰρ ἦν, καὶ νεκροῦ ὀστᾶ, καὶ τρίτον, φόνων ὄργανα· οὐκ ἐν γῇ δὲ πλησίον ὕδατος, οὐδέ τινες νοτίδες ἀφανῶς ὑπαρδόμεναι τοῦ ὀστοῦ κατελείβοντο· ἀλλ' ἀνδρὸς χειρὶ μαχητοῦ ὅπλον κατὰ πολεμίων ἐφέρετο· καὶ τοσαύτην πηγὴν ὑδάτων ἀνέβλυσεν, ὥστε τὸν ἐν τοσούτῳ κόπῳ καὶ καμάτῳ, καὶ τοσαύτῃ καιροῦ περιστάσει δεδιψηκότα, ἀφθόνου καὶ δαψιλοῦς, καὶ πέρα τῆς χρείας, * ἐμοιρῆσαι πόματος. Ἀλλὰ τοιούτῳ μὲν τὰ τοῦ ἀκαθάρτου ζώου καὶ νεκρὰ καὶ φονικὰ ὀστᾶ ὑπηρε-

* ἴσ. ἀποκλεῖσαι.

* ἴσ. ἀπολύεσθαι.

* ἴσ. συμμοιρῆσαι,

τήσατο

τήσαντο θαύματι· τοῖς γὰρ ὄνομα πηγῆς, τοῦ ὄνου σιαγόνα ποιοῦσι, κἀκεῖθεν τῷ δεδιψηκότι φέρουσι τὸ νᾶμα, καί τοι τὸν προκείμενον λόγον κατ' οὐθὲν λυμαινομένοις. Δῆλον γὰρ ὡς καὶ αὐτοὶ τοῦτο λέγοντες, πόῤῥω τοῦ γράμματος ἰχνηλατοῦσιν· ἕως ἂν ἡ τῶν παραδόξων ἔργων πίστις ἐνισχύῃ, οὐκ ἂν ἡδέως συμφήσαιμι. Καὶ τί ἄν τις ἀπαριθμοίη τὰ τοιαῦτα; σχεδὸν γὰρ δι' ὅλου τοῦ νομικοῦ γράμματος, ἡ τοιαύτη τῶν αἰνιγματωδῶν θεωριῶν κατακέχυται θύελλα· ἀλλ' ὅπερ καὶ ἀρχόμενος εἶπον, διὰ τούτων τε καὶ τῶν τοιούτων ἁπάντων, ὁ σοφὸς νομοθέτης ἐναργῶς παρίστησιν, ὡς ἄλλη μὲν ἡ κατὰ τὸ γράμμα καὶ τὸ πρόχειρον τῆς ἐπιβολῆς ἀπαγγελία, ὡς παραπέτασμα διηπλωμένη κρυφίων θεωρημάτων· ἑτέρα δὲ ἡ τοῦ πνεύματος ἐν τῷ βάθει κρυπτομένη θεοσοφία· ἧς ἡ τῶν Ἰουδαίων, καὶ τῶν ἰουδαϊζόντων αἱρεσιωτῶν πλῆθος ἐκπεσοῦσα μακρὰν καὶ χαλεπὴν οὐ παύεται πλάνην πλανωμένη.

ſtravit: Nec quicquam inde detrimenti acceperunt, qui nomen fontis maxillæ aſini detulere; & abinde ſitienti fluenta dedêre. Certè ſi qui ità affirmant, longè à litera inveſtigantes recedunt; quibus ego libens non adhibebo conſenſum, quamdiu paradoxorum operum fides prævaluerit: Et quid opus his ſimilia enumerare? ferè enim per univerſam legis Scripturam ejuſmodi ſpeculationum ænigmaticarum tempeſtas diffunditur: ſed quod ab initio dixi, propter hæc & ſimilia, ſapiens ille legiſlator apertè indicat; quòd aliter litera apparenter ſuggerit, tanquam velamentum obductum obſcuratarum ſpeculationum, aliter ſpititus in abſcondito divina ſapientia: à quo Judaica & Hæretica multitudo excidens longum & difficilem errorem errare non deſinit adhuc.

NOTÆ.

ERudita eſt epiſtola, & multiplices Legis ceremonias explicat, appoſitè: διαφθαρέντα νοσήματι omnino rectè: in codice erat, νοήματι. Βδελύγματι ἂν γενόμενον vel βδελυγματιαῖον γενόμενον εἰ εἰδεχθὲς, ὑφ' οὗ. Quòd Samuelem Pontificem facit, errat, erat Levites: neque Phinees benedictus ob cœdem ἁπλῶς· ſed ex zelo in cauſa divini cultus. Illud quod ſequitur Levitas reſpicit, qui in μοσχοποιΐᾳ Idololatras affines ſuos interemerunt Exod. 32. Ὅτι δικαιοτέρᾳ κρίσει· Hoc jam ab eo dictum fuit: quòd ſi reſpexit crudele ſupplicium in Ammonitas irrogatum, hoc, niſi in genere fuſi ſanguinis, non fuit impedimento ei.

Ἐπισ. σκ'.

Παύλῳ Μητροπολίτῃ Λαοδικείας.

Οὔτε τοὺς ἐν λόγοις ἀγνώμονας εὐεργετεῖν οἶδα λόγῳ, καίπερ ἐν τοῖς ἄλλοις, (ὡς ἂν αὐτὸς φαίης,) φιλοσοφώτερον αὐτὸ θεωρήσας, οὔτε σολοικίζουσι (νῦν γὰρ εἴποτε, καιρὸς καὶ τοῦ παῖξαι) συνήθης εἰμὶ πείθεσθαι· ἕως ἂν ὦσιν εὐχάριστοι μὲν οἱ ἀγνώμονες καθεστῶσιν· οἱ δὲ τοὺς καλοὺς κακῇ προφορᾷ ῥημάτων αἰκιζόμενοι λόγους, Ἑλλάδα γλῶτταν τῆς ἀμουσίας ἀλλάξωνται, οὐκ ἂν ἑκών γε εἶναι τῶν τῆς ῥητορείας καινῶν μυστηρίων ἐπόπτας ποιήσομαι· διὸ σὺ μὲν τὴν γλῶτταν Ἀττικαῖς μελέταις, ὁ δὲ σὸς φίλος εὐγνωμοσύνης τελεταῖς, τὴν γνώμην καθάρας, σὺν Θεῷ φάναι τεύξοισθε τῶν ποθουμένων.

Epiſt. 220.

Paulo Laodicenſi Metropolitæ.

NEc benefacere dictis improbos ſcio, licet (ut tute affirmas) qui magìs philoſophice rem complecteris in aliis: neque ſolæciſmum admittentibus (Nunc enim, ſi aliàs, occaſio jocandi minſtratur) mihi in more ponitur obtemperare: Quamdiu grati exiſtant, qui ſunt tam perverſè affecti, ut & male productis verbis orationem lædunt, ità ut linguam Græcam illiteratæ permutent, haud ego libenter admittam eos novorum Rhetoricæ myſteriorum Epoptas: Tu igitur linguam tuam Atticiſmorum meditationibus, amicus autem tuus bonæ diſpoſitionis myſteriis, ubi animum purgaveritis, cum bono Deo conſequemini id quod concupiſcitis.

Epist. 221.

Zachariæ Metropolitæ Chalcedonis.

DIcam nobis inscribis, quam si alius inscripserat, de lite injustè intentata illum non immeritò accusares; & apologiam scribis dicæ, cùm te nemo accuset; certè venia quàm longissimè ab accusatione distinguitur: Non potest misericordiam expetere, qui rationem exigit acceptæ injuriæ, nisi priùs reatum contraxerat: Tu apologiam contexendo, reum te prodis, & longissimæ rationis reddendæ debitorem: Omnino te non appellavi, apologiam nihilo moderatiorem Æsopi fabulis video: Opinor haud deliqui, accusationem institutam video vehementiorem, quàm illorum erat, qui in Socratem debacchabantur: Tu ergo aerem verberans pro teipso, concertas adversus me, cursu veloci, sed lubrico & incerto contendisti validè: Laudationum siquidem excrescentia non modò nihil excusat contumelias in me jactas, sed accusationes institutas adauget: Concidunt Coloni, Nautæ, Milites, Caupones: si quis eorum lapsus ante veritatem amat duci vel sacerdoti Dei appendat, aut cuicunque virtute præstanti viro, papè, quàm absurdum ille & machinatur, & machinari convincitur: Tu sic laudibus me in sublime efferens, in profundum mergis, causans me homines conviciis afficere & in eo malefacere, qui tamen extra culpam sum, qui innumeris calamitatibus, quod dolens dico, pro veritate exhaurior, qui omnium passiones gravitate vicerim, & ipsos inimicos mihi insultantes in misericordiam flexerim. Quis talibus, non dicam afflictiones excogitans, non valdè inflectetur, si injustus, crudus, crudelis, barbarus non sit, si non omnem illi rationalem & humanum sensum potestas non expectoravit? Ità sit, inquies, sed te oportuit me vocatum consolari: aut, saltem in secundis, si non il-

Ἐπισ. σκα΄.

Ζαχαρίᾳ Μητροπολίτῃ Χαλκηδόνος.

ΓΡάφεις ἡμᾶς γραφὴν, ἣν κἂν ἑτέρου γράφοντος, δίκαιος αὐτὸς ἦσθα τοῦτον διώκειν ἀδίκου γραφῆς· καὶ γράφεις ἀπολογίαν, μηδενός σε διώξαντος δίκην· καί τοι συγγνώμη πᾶσα καὶ ἀπολογία, μακρῷ τῷ μέτρῳ τῆς κατηγορίας διέστηκεν· οὐ γάρ ἐστιν οὐκ ἔστιν ἔλεον αἰτεῖν, καὶ λόγον ἀδικημάτων ἀπαιτεῖν, ὥστε μὴ πρότερον αἰτίαν ἔχων· εὗρες ἀπολογούμενος, δι' ὧν σεαυτὸν μακροτάτων λόγων ἔδειξας χρεώστην· οὐκ ἐπεκαλεσάμην ὅλως· καὶ τῶν Αἰσώπου λόγων οὐδὲν μετριωτέραν ὁρῶ τὴν ἀπολογίαν. Οὐχ ἥμαρτον οἶμαι· καὶ τῶν εἰς Σωκράτην ἐμπαροινησάντων ἀναισχυντοτέραν ὁρῶ τὴν κατηγορίαν· καὶ ὑπὲρ μὲν σαυτοῦ εἰς ἀέρα δέρων ἐπύκτευσας, καθ' ἡμῶν δὲ ὀξὺν μὲν καὶ σφοδρὸν τὸν δρόμον, ἀλλ' ἐπισφαλῆ καὶ ἀναίτιον διηγώνισαι. Ἡ γὰρ τῶν ἐπαίνων αὔξησις, οὐ μόνον οὐδὲν παραιτεῖται, ὧν ὑβρίσμεθα, ἀλλὰ καὶ ἐπὶ τὸ μεῖζον ἄγει τὰ ἐγκλήματα. Πίπτουσι μὲν γὰρ γεωργοὶ, καὶ ναῦται, καὶ στρατιῶται, καὶ παλιγκάπηλοι· ἀλλ' ἐάν τις τὸ ἐκείνων πτῶμα, φίλῳ ἀληθείας περιάπτοι, ἢ στρατηγῷ, ἢ ἀρχιερεῖ Θεοῦ, ἢ ἁπλῶς ἀνδρὶ τῶν πολλῶν ταῖς ἀρεταῖς τὸ ἐξαίρετον ἔχοντι, βαβαὶ, ἡλίκον οὗτος διὰ μηχανῆς κατασκευάζων ἀποφαίνει τὸ ἀτόπημα. Οὕτω τοῖς ἐπαίνοις, ὡς ἀνωτάτω φέρων ἡμᾶς, εἰς τὸ βαθύτατον ἔρριψας· ἄνδρας ἐπηρεάζειν ἡμᾶς, καὶ κακῶς ποιεῖν, αἰτιώμενος, οἷς οὐδὲν αἰτίας διαπέπρακται· καὶ τότε συμφοραῖς μυρίαις, καὶ τὸ βαρύτατον, ὑπὲρ ἀληθείας, περιαντλουμένους, καὶ πάντας, τῶν παθῶν τῷ μεγέθει, καὶ αὐτοὺς τοὺς ἐπιτιθεμένους εἰς ἔλεον ἕλκοντας. Τίς γὰρ ὁ τοῖς τηλικούτοις, οὐ λέγω θλίψεις ἐπινοῶν, ἀλλὰ μὴ καὶ σφόδρα καμπτόμενος, οὐκ ἄδικος, οὐκ ὠμὸς, οὐ τὸν νοῦν καὶ τὴν φύσιν βάρβαρος, οὐ πᾶσαν περιῃρημένος λογικήν τε καὶ ἀνθρωπίνην, μετὰ τῆς δυνάμεως αἴσθησιν; εἶεν· ἀλλ' ἔδει σε, φησὶ, μετακαλεσάμενόν με ψυχαγωγῆσαι· ἢ εἰ μὴ τοῦτο

τὸ γοῦν δεύτερον, ὡρμημένον ἐπιτρέψαι παραχρέεσθαι· τὸ δὲ μηδέτερον προβῆναι τούτων, πῶς οὐ τοῖς ἐσχάτοις με περιβάλλει κακοῖς, καὶ πρὸς μῖσος ἀπάγει καὶ αὐτοῦ τοῦ ζῆν; Ἀλλ' ὦ καλὲ καὶ ἀγαθέ, εἰ μὲν ἠγνόεις, ὅτι καθ' ἡμῶν ἡ κοινὴ τῶν διωκόντων κέχυται λύσσα, καὶ οἵας, πανταχοῦ γῆς σχεδὸν καὶ θαλάσσης, τὰς ἐπιβουλὰς ἱστῶσι, καί τὰ ἔνεδρα· τάχα ἂν εἰς ἄλλας προφάσεις ἔχες λόγον ἀναφέρειν, ὧν ἐβούλου, τὴν ἀποτυχίαν * καὶ ἐπαιτιᾶσθαι, ὅτι μὴ στέργω στεργόμενος· τὸ δὲ καὶ γινώσκειν αὐτῇ πείρᾳ ταῦτα, καὶ ἐκτραγῳδεῖν κἂν τοῖς γράμμασιν, εἶτα ζητεῖν αἰτίαν ἄλλην, διὰ τί μὴ μετάπεμπτόν σε πεποιήμεθα, μηδ' ἐλθεῖν ἐξητηκότι κατενεύσαμεν· οὐ ζητοῦντός ἐστιν αἰτίαν, ἀλλὰ τὴν ἀληθεστάτην, καὶ πρὸ ὀφθαλμῶν παρορῶντος, καὶ προφάσεις ἐκμηχανωμένου, δι' ὧν οὐ μὲν ὅπως οὐκ ἔχοντας αἰτίαν δόξαις, οὐκ ἂν ἀναισχύντως λίαν κακῶς ἡμᾶς εἰπεῖν. Ἀλλ' ἡ μὲν περὶ ἡμᾶς σκηνὴ, καὶ τὸ θέατρον, τοιαύτην ἔλαχε τὴν ὑπόθεσιν· τὰ δ' ἄλλα, σπουδὴν ὁρῶ παιδιὰ σπενδομένην, καὶ κατήφειαν γέλωτι, καὶ κωμικὸν χορὸν ᾄδοντα δάκρυα· τὸ μὲν γὰρ ὀδύρεσθαι τὰ συμβεβηκότα, καὶ πρὸς πάθη καὶ νόσους καὶ τύχας καταφεύγειν, ψυχῆς ἐστὶν ὀλοφυρομένης, καὶ σπουδαζούσης ἀληθῶς εἴ τι καὶ προσείληφε τῶν κηλίδων ἀπονίψασθαι· τὸ δ' ἄλλον μὲν λέγειν τὸν ἡμαρτηκότα, ἕτερον δὲ τὸν ὑπὲρ ἐκείνου λέγοντα, ἵνα μὴ λέγω πέως, Τί οὖν ὑπὲρ ἑτέρου κόπτεις σεαυτόν; τί δέ σοι μέλει οὗ κατὰ μηδέν σοι προσήκοντος; ἔα τοῦτον ἐν αἰτίαις εἶναι, καὶ εἰ δέ σοι στρεβλοῦσθαι, καὶ μαστιγοῦσθαι, καὶ πάσχειν, ἃ πάσχειν ἄξιος, κακὸν περὶ σε φανέντα, καὶ μικροῦ τὴν ἀρετὴν ἐνυβρίσαντα· ἵνα ὅπως μηδὲν τῶν τοιούτων λέγω, (ἴσως γὰρ οὐδὲ δεῖ σπουδάζειν ἐν παιγνίοις) ἀλλ' ἐκεῖνο πάντως εἰπεῖν πρεπωδέστατον, ὡς ἐκείνης ἐστὶ τῆς σοφίας, τοιαύτας φέρειν τὰς ἀπολογίας, ἧς Ἀριστοφάνης ὁ καλὸς κορυφαῖος καθέστηκεν· Ἀλλ' οὔπω τοῦτο χαρίεν, καί τοι νὴ τὴν χάριν, Φιλιστίωνιον ὄν· ἀλλ' ἐκεῖνο χαριέστατον, τὸ παίζοντα τὴν ἀπολογίαν, ὡς ἐπὶ λίαν ἐσπουδασμένοις, καὶ τὸ δίκαιον λαμπρὸν ἐπὶ δεδειγμένοις, ὅρκον τε

* ἴσ. μὴ ἐπαιτιᾶσθαι.

lud, permittere ut avolem è vestigio: Horum neutrum cùm succedat, cur non me summis malis immergat, & vivendi odium ac timorem faciat? Ast ô bone tu & virtuose, si ignoras, quòd me persequentium furor in me effunditur, si quas struunt ubique soli & sali insidias fortè ad alios prætextus convertere possis orationem, quos tute tibi struere volueris, & non insimulare, cùm quòd diligar non redamem: At cùm experientiâ hæc scias, & literis ea tragicè persequaris, tum demum causam sciscitari cur te non advocaverim, nec annuerim, ut accedas, cùm id cuperes; non est hominis causam verè requirentis, sed veritatem ob oculos versantem negligentis & prætextus excogitantis, per quos non impudenter videaris me & de justa causa tractare: Sed scena & theatrum in nos commotum ità consedit: Cætera quod attinet, sedulitatem video pueriliter libantem: dejectionem in risum versam lacrymas chorum comicum cantitantes: nam quæ contigerunt plangere, & ad passiones, morbos, fortunam referre animæ indicium est deplorantis, & sincerè satagentis, ut labes contractas eluat: at affirmare, hunc deliquisse, alium eum defendere conantem, nè dicam, Quorsum te exagitas pro alio, quid res prosperæ illius te respiciunt, qui non relationem habet ad te? Permitte illum reatui suo: & si tibi torqueri, verberari, pati quæ dignum est eum pati, qui in te malitiem exercuit, & virtutem ipsam contumeliis affecit: Nè aliquid hujusmodi proferam (in ludicris seriò agendum non est) tamen congruum est, ut id omnes affirment, sapientiam illam decere, tales admittere apologias, quas suavis ille Aristophanes ut coryphæus texat: At enim non est hoc jucundum, utcunque per ipsas gratias Philistionem referat: illud autem summè delectabile ludentem contexere apologiam, tanquam in re valde seria & splendidè justa: quin offerre juramen-

tum,

tum,& sciscitari,an aliquis sit, qui cùm unus captaverit, alium culpa teneri justum putet: Certè tuum hoc philosophicè usurpatum, non modo sapientiam Aristophaneam, & universi poetici generis, artes & methodos novitate sua obscurat: Quòd si oblatum non esset juramentum, me in admiratione comicæ lusionis & drammatum sistere voluissem. Cùm verò, quod non oportuit fieri, Deus jocis intermedius veniat, certè qui veritatem non vult dicere, reum te culpæ peractæ non peraget, sed nec omni culpa eximet; usque dum perspicuè magìs mentem tuam per verba tua intellexerit: Neminem olim arbitror similis jocandi modus reatu exemit, idque constanter ego affirmo, uti & neminem esse culpæ obnoxium propter jocandi usum, qui, cùm alius revera peccaverit, mereatur pœnas subire, aut rationi reddendæ subjacere: Nec inter judices repertus est, qui absolverit eum cui talis scena obvenit, propterea quòd doleat se peccâsse: Quin te rogo per justitiam ipsam, per sacra veritatis orgia, detrahe hanc scenam, rem ut est enuncia (certè magìs mei interest quàm aliorum hanc conditionem offerre) igitur dices, justè reatu teneri illum, qui pro calumniis à se inflictis, tuam hanc in medium proferet accusationem: sed nè dixeris ità, licet ità dixeris: Hæc autem hactenus, nè videar adjuratus siluisse, & mendacium prætulisse veritati, & ut adhuc magìs agnoscas quàm jucundè nec perfunctoriè epistolam tuam legerim, in qua grammaticalem tuam accurationem laudo, neutiquam hoc verbum Dativo conjungendum, nisi ubi sensus syntaxin requirat circumlocutionis: Licebit ità, cum Dativo jungere, sermone docens, quod non ut te laudem, sed ut alium tua causa meliorem reddam: Et certè illud δίκην ὑφ' ἑτέρου εἰσπράττεσθαι pro παρ' ἑτέρου, cavendum est dicere; barbara non dixero hujusmodi at barbarica, quæ epi-

ἐπάγειν, καὶ διαπυνθάνεσθαι, ὡς ἄρ' ἐστί τις ἀνθρώπων, ἄλλου πταίσαντος, ἕτερον τὴν δίκην ἀξιῶν πράττεσθαι. Οὐ γὰρ τὴν Ἀριστοφάνους μόνον σοφίαν, ἀλλὰ καὶ παντὸς ἐκείνου τοῦ γένους, τέχνας πάσας, καὶ πάσας μεθόδους, τῇ καινοπρεπείᾳ, τοῦτο δὴ τὸ σὸν ἀποκρύπτεται φιλοσόφημα· ἀλλ' εἰ μὲν ἦν μὴ προτεθειμένος ὅρκος, μέχρι τοῦ θαυμάζειν τὴν κωμικὴν παιδιὰν, ἐμαυτὸν ἐδίδουν ἂν καὶ τὰ δράμματα. Ἐπεὶ δὲ καὶ Θεὸς, οὐ δέον μέσῳ παιδιᾶς συμπαρατέθειται, ἀνάγκη καὶ μὴ βουλόμενον λέγειν τἀληθῆ, ἔνοχον μὲν οὖν προηγηταμένης αἰτίας οὐκ ἄν σε φαίην· οὐδ' ἂν πάλιν παντελῶς ἀνυπαίτιον· ἕως ἂν τὴν σὴν διάνοιαν, διὰ τῶν σῶν φωνῶν, λευκότερον ἀναμάθωμεν· ὅτι δὲ οὐδένα ποτὲ τῶν πώποτε ἀνθρώπων ἡ τοιαύτη παιδιὰ δίκης ἐρρύσατο, καὶ μάλιστα ἂν διαβεβαιωσαίμην· καὶ ὡς οὐκ ἔστιν οὐδεὶς τῶν ἡμαρτηκότων, ἐκ τοῦ παίζειν, ὡς ἄλλος μὲν ἥμαρτεν, ἄλλος δὲ τὰς ποινὰς οὐκ ἔστι δίκαιος ὑπέχειν, μὴ δεδωκὼς, ἃς ὤφλεν, εὐθύνας· οὐ μὴν ἀλλ' οὐδὲ τῶν κρινόντων εἴη ἂν τις ὅλως, ὅς ἀφῆκε τὸν, τοιαύτην σκηνὴν, ἀντὶ τοῦ στένειν ἐφ' οἷς ἥμαρτε, προβεβληκότα. Καί μοι, πρὸς αὐτῆς δίκης, καὶ ἱερῶν ἀληθείας ὀργίων, ῥίψας τὴν σκηνὴν, καὶ τὰ ὄντα λέγων (ἐμοὶ γὰρ μᾶλλον οἰκειότερον ἤπερ ἄλλοις τοιαῦτα προτείνειν) ἆρα φήσαις ἂν, ἐνοχῆς* εἶπε δικαίας αὐτὸς, τὸν, εἴ τις, ὑπὲρ ὧν ἐξυβρίσοι, ταύτην τὴν σὴν προβαλλόμενον δικαιολογίαν; ἀλλ' οὐκ ἂν φαίης, οὐδ' ἂν φαίης· Ἀλλὰ ταῦτα μὲν ἵνα τε μὴ δόξωμεν ὁρκωθέντες σιγᾶν, καὶ τὰ ψεύδη περὶ τῆς ἀληθείας τιμᾶν· καὶ ἵνα μᾶλλον ἐπιγνῷς, ὡς ἡδέως τε, καὶ οὐ παρέργως, τὴν σὴν ἀνελεξάμην ἐπιστολήν· δι' ὃ καὶ τὴν σὴν γραμματικὴν ἀκρίβειαν παραινῶ, μηκέτι τὸ ῥῆμα τοῦτο δοτικῇ συντάσσειν, πλὴν εἰ μή που περιπεποιημένην ἡ ἔννοια σύνταξιν ἀπαιτοίη· τότε γὰρ ἔξεστι καὶ πρὸς δοτικὴν ἀποδιδόναι, δηλοῦντα τῷ λόγῳ, ὡς οὐχί σε παραινεῖν, ἕτερον δὲ διὰ τῆς παραινέσεως, τό σοι ποιοῦν κεχαρισμένον, προῄρημαι βελτιοῦν· καὶ δὴ καὶ τὸ δίκην ὑφ' ἑτέρου εἰσπράττεσθαι, ἀντὶ τοῦ παρ' ἑτέρου, παραφυλακτέον· βάρβαρα μὲν γὰρ οὐ λέγω τὰ τοιαῦτα· βαρβαρικὰ δὲ, καὶ αὐτὸς

*ἴσ. εἰς αὐτόν.

σιωπήσεις ἐπιστήσας· ἃ καὶ τὴν ἐπιστολὴν κεκαλλιεπημένην οὖσαν, ὑπενόθευεν. Ἀλλ' ἐπὶ τοσοῦτον μὲν ταῦτα· Ἐγὼ δὲ Ζαχαρίαν τὸν ἐμὸν οὐκ ἀρχόμενος νῦν ἄπαγε, φείδεσθαι οὐδὲ τοῦ κολάζειν πεπαυμένος, οὐδὲ δυσπεπηθεὶς νόσους καὶ πάθη καὶ τύχας καὶ περιστάσεις, οὐδ' ἐπιβουλάς τε καὶ κακώσεις μικροῦ τῆς Φαλαρίδος ἀνεκτοτέρας δεικνύσας, ἀλλὰ τὴν ἔμφυτον ἐμοὶ καὶ ἀρχαίαν διασώζων γνώμην, καὶ τὸ καθαρὸν καὶ ἀκήρατον περὶ τοὺς ἐμοὺς οὐκ ἐπιλελησμένος φίλτρον, καὶ περιπτύσσομαι πατρικῶς, καὶ ἐναγκαλίζομαι ἱεροπρεπῶς· οὔτε τῷ πάλαι σφαλέντι, ὡς σὺ γράφεις, ἐπεμβαίνων, καὶ τὸν ἄσειστον διαμεμενηκότα στέργων καὶ κατασπαζόμενος ἐν σπλάγχνοις Χριστοῦ καὶ δέχομαι προσιόντα χαίρων, καὶ πάντας κινδύνους ὑπερορῶν, οὐ τραγικῶν ἡμῖν διηγημάτων ἄγοντα φόρτον, ἀλλὰ τὸν οἰκεῖον νοῦν, καὶ τὴν ἑαυτοῦ ψυχὴν, προσύλου πάσης ἀχλύος φέροντα καθαρὰν· ἐν ᾗ τὸ βέβαιόν τε καὶ ἀμετακίνητον διὰ βίου ἔχοντά τε καὶ ἱδρυσάμενον, τοῖς ἐκεῖθεν στεφάνοις λαμπρὸν, λαμπρῶς εὔχομαι παραπεμφθῆναι.

stolam, quod intelligere potes, aliàs scitulam adulterarunt: Sed hæc hactenus: Ego certè meum Zachariam non nunc primum incipio, Deus meliora, vel parcere, vel non ulteriùs punire desino, nec quod morbos & passiones declinem, fortunam, & calamitates, insidias & nequitias Phalaridis illis non minùs tolerabiliores, sed animitus insidentem & antiquum affectum conservans, amicitiæque erga meos sinceræ & puræ non oblitus, & paterno more amplector, & sacro veneratu foveo: Non quod tu scribis, errori pristino insultans, verùm cùm immotum permanentem diligam & in visceribus Christi recipiam cum gaudio accedentem, ità omnia pericula de sublimi despicio, nec tragicarum narrationum onus onustum, verùm mentem propriam, & animam tenebrarum materiæ immersam, defœcatam, in quo stabilitas vitæ immobilis consistat, splendido cum apparatu hinc transmittendam optem, ad cœlestem coronam recipiendam.

Ἐπιστ. σκβ΄.

Παύλῳ Μητροπολίτῃ Λαοδικείας.

ΟΙ δραπέται, τοὺς ποτὲ τὴν πρᾶξιν αἰτιωμένους, πείθοντες συνδραπετεύειν, οὐ μόνον οὐδενὸς, ὧν αἰτιῶνται, ἀφίενται, ἀλλὰ καὶ διπλῆς αἰτίας σφᾶς αὐτοὺς, μᾶλλον δὲ πολλαπλῆς ἐνόχους δεικνύουσιν. Οὐ γὰρ ἡ κοινωνία τοῦ ἀδικήματος τὴν ἐλευθερίαν πραγματεύεται τῷ κατάρχοντι, ἀλλ' ἡ τῶν παραζηλούντων μίμησις, αὔξησίς ἐστιν ἀδυσώπητος τοῦ ἐξ ἀρχῆς ἀδικήματος, λιποταξίου δίκην ὀφλὼν, καὶ φυγὰς, καὶ ἀρχηγὸς, καὶ πείθων ἄλλους μιμεῖσθαι, καὶ τὸ βαρύτερον, καὶ τοὺς ὅσοις ἦν ἡ τοιαύτη πρᾶξις, πρὶν ὑπανδραποδισθῆναι, μέγα ὅρκιον. Ὅρα δὴ λοιπὸν, ὅρα, μᾶλλον δὲ συνορᾶτε (δίδωμι γὰρ σοι κοινωνὸν τῆς βουλῆς τὸν γνήσιον τῆς φυγῆς μαθητήν·) τίνα μέλλεις λόγον ἔχειν, ὅτε σε τῶν τηλικούτων τὰς εὐθύνας βουληθείη * μὴ πράττεσθαι. Ἀλλ' ἔρρωσο· καὶ μη-

* ἴσ. ὁ Θεὸς εἰσπράττεσθαι

Epist. 222.

Paulo Metropolitæ Laodiceæ.

FUgitivi, actionem illam aliquando vituperantes, unà secum esse fugitivos induxere, illi non modo liberi sunt ab illa culpa, sed duplici se aut multiplici reatu prædicant teneri: Non enim communicatio injuriæ libertatem procurat eam auspicanti, sed imitatio male agentium in immensum acceptum crimen; nam desertor ordinis, fugitivus, princeps, & inducens alios est, & quod gravius est, eos qui illa patrare, priusquam captivarentur, dejeràssent: videsis autem, videsis inquam, quin videritis potiùs omnes (comitem enim consilii, fugæ tuæ comitem socium adjungo discipulum) quid sis dicturus, cum ratio tui facti, à te exigetur. Sed vale: nec deinceps fu-

gitivi

gitivi animum mentémque fove, nec alios unà fugere allicito: & terribile judicium illud, ac indeclinabile, ultra comminationem non procedet.

κέπι μήτε συ δραπέτην ἔχε λογισμὸν, μήτε δραπετεύειν ἄλλους ὑποθέλγε· καὶ τὰ τῆς ἀφύκτου καὶ φοβερᾶς δίκης εἰς μόνας ἀπειλὰς διαλέλυται.

Epiſt. 223.

Zachariæ Metropolitæ Chalcedonis.

INveni, opinor, ſanguinis ablationem, licet per æſtatem, tui corporis habitudini congruam: Quod quamvìs ſit contra opinionem medicorum qui nunc ubique abundant, non eſt paradoxum tamen. Nam nè alios ipſorum errores perſequar, quibus Hippuris habetur Polygonum; Seſelys, Herculeum panaces; qui Batrachion parvum Chilidonium putant; & pro peplio Tethymallus habetur; quibus Potonigeton eſt Leimonium; & niger Chameleon tanquam albus; qui pro Anemone proferunt Argemonem; apud quos infinitæ herbarum ſpecies & naturæ peregrinis ſubſerviunt temporibus, uſibus, nominibus: nam quæ jam dixi, præ manibus ſunt, quæ ſine quæſtione certa debebant eſſe vel iis, qui à portu medicinam ſalutarunt: Quid mirum, ſi Phlebotomia tibi conducens ab illis deputetur aliena? Tu ſi conſilium meum admiſeris, cum bono Deo, illorum pudore, experientia profuturum invenies.

Ἐπισ. σκγ'.

Ζαχαρίᾳ Μητροπολίτῃ Χαλκηδόνος.

Εὗρον, οἶμαι, τὴν τοῦ αἵματος ἀφαίρεσιν, καὶ θερείας οὔσης, τῇ τοῦ σώματός σου διαθέσει συμφέρουσαν. Εἰ δὲ παρὰ δόξαν ἐστὶ τῶν νῦν ἐπιπολαζόντων ἰατρῶν, παράδοξον οὐδέν. Οἷς γὰρ ἵνα μὴ νῦν τὰς ἄλλας αὐτῶν περὶ τὴν τέχνην ἁμαρτάδας, ὅι μοι λέγω, ἀλλ' ἵππουρις μὲν νομίζεται τὸ πολύγονον· σέσελις δὲ τὸ ἡράκλειον πάνακες· καὶ οἷα δὴ βατράχιον τὸ μικρὸν, κρίνεται χελιδόνιον· καὶ ἀντὶ μὲν πεπλίου, τιθύμαλλος· ὡς ποταμογείτων δὲ, τὸ λειμώνιον· καὶ ὁ μὲν μέλας χαμαιλέων, ὡς λευκὸς παραλαμβάνεται· ἀντὶ δὲ τῆς ἀνεμώνης, ἡ ἀργεμώνη· καὶ μυρίαι ἄλλαι φύσεις βοτανῶν ξένοις ὑπηρετοῦσι καιροῖς, καὶ χρείαις, καὶ ὀνόμασι. (Ταῦτα δὴ ταῦτα τὰ πρόχειρα, ἃ μηδὲ τοῖς ἐν προθύροις ἰατρικῆς προσῆκον ἦν ἐν ἀμφισβητήσει καθίστασθαι) Τί θαυμαστὸν κἂν ἡ φλεβοτομία, χρειώδης οὖσα σοι, τούτοις νομισθείη ξενίζουσα, αὐτὸς δὲ τὴν συμβουλὴν δεξάμενος, σὺν Θεῷ σωτηρίᾳ φανῇ, καὶ τὸν ἔλεγχον ἐκείνων, τῇ πείρᾳ, καὶ τὸ σὸν εὑρήσεις κέρδος.

Epiſt. 224.

Theophylacto Aſpathario.

ORarem, ut nunquam ſi fieri ità poſſet, morbo labores, nec medica arte indigeas: ſin, quia homo es, neceſſariò ægrotas, ſecundò, te citò convaleſcere, & talibus me donis remunerare, nempe Deo ingentes habentem gratias, pauperibus opitulantem, debitoribus condonantem debita: Talibusmodi ingentibus ſanè donis nequaquam exſaturari vel lętari deſinam.

Ἐπισ. σκδ'.

Θεοφυλάκτῳ Ἀσπαθαρίῳ.

Εὐξαίμην ἂν, εἴπερ οἷόν, μηδέποτέ σε περιπεσεῖν νόσῳ, μηδ' ἀκεσορείης ἐπιδεᾶ γενέσθαι τέχνης. Εἰ δ' ἄνθρωπον ὄντα, καὶ νοσεῖν ἀνάγκη· ἀλλ' οὕτω τε ῥαδίου τυγχάνειν τῆς θεραπείας, καὶ τοιούτοις ἡμᾶς ἀμείβεσθαι δώροις· θεῷ μὲν μεγάλας ἀναφέροντα τὰς εὐχαριστίας, πένησι δὲ βοηθοῦντα, λύοντα δὲ καὶ τοῖς χρεωστοῦσι δίκας τὰς ὀφειλάς· ταῖς γὰρ τοιαύταις οὐδὲ κόρον ἴσμεν ἡδόμενοι μεγαλοδωρεαῖς.

Ἐπισ. σκε´.

Μιχαὴλ Μητροπολίτῃ Μιτυλήνης.

ΤΑ` μὲν εἰς σὲ τῶν διωκόντων πάθη, ἄλλος ἄν τις εἴποι μείζω παραμυθίας· ἐγὼ δὲ σοῦ βουλομένου φαίην ἂν μείζω εὐφημίας· ὥρα οὖν ἐπισκοπεῖν σε, πότερον ἂν ἕλοιο τῶν σφόδρα λεουμένων, ἢ τῶν σφόδρα μακαριζομένων, εἶναι. Ἂν μὲν γὰρ εὐχαρίστως φέρῃς, (οἶδα δ' ὅτι φέροις) εὔχομαί σου τῶν στεφάνων, καὶ τῶν παθῶν, ἐπὶ πλέον κοινωνῆσαι· ἂν δ' ὅπερ ἀπεύχομαι, ἀλλ' οὐκ ἂν ἐρῶ· καὶ γὰρ πέπεισμαι ματαιολογήσειν· διό μοι πάλιν εἴησαν κοινά, καὶ οἱ ἄθλοι, καὶ τὰ ἔπαθλα. Ἔρρωσο.

Epist. 225.

Michaeli Mitylenes Metropolitæ.

QUæ tu passus es à persecutoribus, alii fortè excedere solatium dicent, ego cum tua bona venia dixerim laude omni majora esse: Opportunè ergò considerandum est utrum inter eos velis esse qui miseratione, an felicitate excipiuntur: Si cum grato animo patiaris(scio quod sic patieris)optarim adhuc magis tuarum passionum & coronarum particeps fieri: Sin, quod deprecor, nec efferam; quia me inepti re persuasum habeo; dicam communia denuò sunt tua mecum certamina, remunerationésque. Vale.

Ἐπισ. σκϛ´.

Μανουὴλ Πατρικίῳ.

ΟΥκ ἂν λάθοις, οὐδ' ἂν λάθοις, τὸν ἀλάθητον ὀφθαλμὸν τοῦ Θεοῦ, ἐκεῖνα πράττων καὶ κατασκευαζόμενος, δι' ὧν ἡμᾶς ἐξάγοις βίᾳ τοῦ ζῆν. Ὁ γὰρ παρὰ τὸν ὁρισθέντα τῇ φύσει θάνατον, ἕτερον τρόπον ἐλαύνων ἀνθρώπους τοῦ βίου, εἰ καὶ μὴ τῇ χειρὶ τὸ ξίφος φέρων βάπτοι τῇ σφαγῇ, ἀλλ' οὖν ἀνδροφόνος ἐστὶ κἂν μήπω τὸν δήμιον ὁρᾷ. Εἰ δὲ * καὶ τὸ ταῦτα διαφυγεῖν, χαλεπώτερα τὰ ἐκεῖθεν δικαστήρια ποιεῖ, μέχρι τίνος οὐκ ἀποστήσῃ σαυτὸν, τῶν ἐκεῖσε, πικρῶς οὕτω, καὶ ὡς οὐκ ἂν ἔγωγε βουληθείην, οὐδ' ἂν πλέον ἐπιβουλευθείην, μακρὰ καὶ μάτην οἱ μώζοντα, καὶ κατολοφυρόμενον, παραπεμπόντων.

*ἴσ. καὶ μετὰ τὸ

Epist. 226.

Manueli Patricio.

NOn latebis, etiamsi lateas, Dei oculum non latibilem, qui ea agis, & apparas, quibus me per vim è vita extrahas: Qui præter ordinatam mortem, per aliam viam vita homines privat, licet manu ensem non teneat, nec tingat illum sanguine, est nihilominus homicida; etiam cùm carnificem non appellet: Si talia patrare, tribunalia cœlestia reddat implacabiliora, quousque tu te non expedies ab illis, qui tam acerbè olim ibi, quod ego nollem tibi contingere, nè quidem si adhuc magìs in me feraris, frustrà tamen & sine fructu, ad quæ homines undique gementes transmittuntur.

Ἐπισ. σκζ´.

Μιχαὴλ Μητροπολίτῃ Μιτυλήνης.

ΑΛλος ἄν τις ηὔξατο τυχεῖν στεφάνων τῶν σῶν, ἄνευ τοῦ τὰ σὰ πάθη, καὶ τοὺς σοὺς ὑπὲρ εὐσεβείας ἄθλους, ὑπελθεῖν. Ἐμοὶ δὲ τίμια τὰ πάθη τὰ σά, κἂν μήπω τις ἐκτείνων τὴν χεῖρα, στεφάνους τῇ ἐμῇ περιάπτῃ κεφαλῇ. Οὐ δεῖ, τοι γὰρ οὖν, ἀθυμεῖν οὕτω ζηλωτὸν καὶ μακάριον, καὶ ἐν αὐτοῖς τοῖς κινδύνοις, καὶ τοῖς παθήμασιν, ἀναφανέντα, καὶ ἀναλάμψαντα.

Epist. 227.

Michaeli Metropolitæ Mitylenes.

ALius optaret tuarum coronarum participare; sed non tuas passiones, ac pro pietate certamina subire: Mihi honorandæ sunt passiones tuæ, licet nemo manu extenta capiti meo coronam imponat: Virum tantopere æmulandum & felicem, tam illustrem & conspicuum in ipsis pathemasi despondere non decet animum: Re-

rum

rum enim præſentium, licet Legiſlatorum, Prophetarum, Regum piorum, virorum veritatis amantium acta, omnia omnino ora reticerent, ea eſt conditio, ut ſuam futilitatem tragicè exponant: Annon vides ut fluxu continuo & mutatione alterantur ſine ſenſu, ſúſque déque fertur gloria omnis, divitiæ, fortunæ, ſplendores, nec quicquam eſt in rebus præſentibus, quod mentem ſobriam alliciat aut ad ſe trahat? Quæ in cœlis ſunt, cùm omnem excedant explicationem, inalterabilia, nec fluxa ſunt; atque ità æternam præſtant bonorum fruitionem iis qui merentur: Ecquis eſt, cui oculi ſunt aperti reſpectu ſtabilium illorum quæ ſperantur ibi, cum malis præſentibus coincidet, quæ ſimilia ſunt inſomniis dolorem inferentibus? quis in medio certaminum contriſtabitur, unde par eſt eum magnificari? Quocirco, præſtat, arbitror, & majori cum ratione conjunctum eſt, pejora pro inſomniis habere vigilantem, verò bona ineffabilia & non diffundenda per fruitionem conſequi, quàm ſomniorum, exigua, temporalia, errantia, ludentia bona eligentem, malis interminabilibus permutare.

Τὰ μὲν γὰρ ἐνταῦθα, κἂν νομοθετῶν, κἂν προφητῶν, κἂν εὐσεβῶν βασιλέων, κἂν ἄλλως ἀνδρῶν ἀληθείας φίλων, σιγῷεν ἅπαντα τὰ στόματα, τὴν ἐν αὐτοῖς ἐκτραγῳδοῦντα ματαιότητα· ἀλλ' οὐκ ὁρᾷς, ὅπως τῇ συνεχεῖ ῥεύσει καὶ μεταβολῇ, οὐκ ἠρέμα ἀλλοιούμενα· ἀλλ' ἄνω καὶ κάτω φέρεται δόξα πᾶσα, καὶ πλοῦτος, καὶ τυχαί, καὶ λαμπρότητες, καὶ οὐδέν ἐστι τῶν παρόντων, ὅπερ τὸν σώφρονα νοῦν ἐπισπασάμενον ὑποθέλξειε. Τῶν δὲ ἐκεῖθε, τά τε ἄλλα ὑπὲρ διήγησιν ὄντων, καὶ τῷ ἀναλλοιώτῳ καὶ ἀρρεύστῳ τὴν τῶν ἀγαθῶν ἀπόλαυσιν τοῖς ἀξίοις παρεχομένων· τίς πρὸς τὰ ἐκεῖθε τὰς ἐλπίδας ἔχων ἱσταμένας, καὶ τοὺς ὀφθαλμοὺς ἠνεῳγμένους, τοῖς παροῦσι κακοῖς συμπεσεῖται, ὀνείροις ἴσα λυποῦσι· καὶ ἐξαθυμήσει τοῖς, δι' ὧν ἐστι λαμπρύνεσθαι, ἀγωνίσμασιν· ἄμεινον οὖν, οἶμαι, καὶ κρεῖττον λόγου παντὸς, ἐν ὀνείροις ἔχοντα τὰ χείρω, τῶν καθ' ὕπαρ ἀγαθῶν, καὶ ἀνεκλαλήτων, ἐν ἀπολαύσει γενέσθαι μὴ ληγούσῃ, ἢ ὀνείροις μικρὰ καὶ πρόσκαιρα πλανηθέντα, καὶ παίξαντα, τῶν ἀδιαδόχων πειρᾶσθαι κακῶν.

Epiſt. 228.

Arſaber Aſpathario.

NOn videtur mihi magnam habere difficultatem, quod tibi, uti ſcribis, dubitationem plurimam affert: Imprimis ſi in natura & forma humana apparuit, qui cùm filius eſſet, erat in forma Dei & Patris: ut homo cum diſcipulis verſans differebat, noſtram in ſe naturam ſuſcepiſſe oſtendens: Quid in eo dubium eſt, illum qui defatigabatur, qui ſudabat, qui ſomno requieſcebat, qui cibo ac potu, corporis naturam, ut totum quod eſt dicam, fluxilem firmabat, hunc ignorantiam diei judicii in ſe ſuſcepiſſe, & menſuram, uti & cæterorum, ità & humanæ cognitionis noluiſſe pudefacere? Certè, ut conditor omnium ac Deus omnia cum patre ſciebat; at tanquam homo humanam

Ἐπιστ. σκη'.

Ἀρσαβὴρ Ἀσπαθαρίῳ.

ΟΥ πολλήν μοι δοκεῖ τὴν δυσχέρειαν ἔχειν, ὅπερ σοι πολλήν, ὡς γράφεις, ἐμποιεῖ τὴν ἀπορίαν· πρῶτον μὲν γὰρ, ἐν ἀνθρώπου φύσει καὶ μορφῇ πεφηνὼς, ὁ ἐν μορφῇ τοῦ θεοῦ καὶ πατρὸς ὑπάρχων υἱὸς, ὡς ἄνθρωπος τὰ πολλὰ τοῖς μαθηταῖς συνὼν διελέγετο, τὴν καθ' ἡμᾶς φύσιν ἀναλαβεῖν ἐνδεικνύμενος. Καὶ τί γὰρ ἄπορον, τὸν κοπιῶντα, καὶ ἱδροῦντα, καὶ ὕπνῳ διαναπαυόμενον, βρώσει τε καὶ πόσει, τὴν τοῦ σώματος φύσιν, τὸ ὅλον εἰπεῖν, συνέχοντα ῥέουσαν, τοῦτον δὴ τοῦτον, καὶ ἄγνοιαν τῆς μελλούσης ἡμέρας ἀναδέξασθαι, καὶ τὸ μέτρον, ὥσπερ δὴ τῶν ἄλλων, οὕτω δὲ καὶ τῆς ἀνθρωπίνης γνώσεως, ἐξυβρίζειν οὐκ ἀνέχεσθαι; ὡς μὲν γὰρ δημιουργὸς ἁπάντων καὶ Θεὸς ἅπαντα τῷ πατρὶ συνῄδει· ὡς ἄν-

θρωπος δὲ, οὐδὲ τὴν ἀνθρώποις πρέπουσαν ἄγνοιαν, οὐ μὴν ὅμως οὐκ ἠθέτει. Ὃς γὰρ δὴ τὸ ὅλον εἵλετο λαβεῖν, πῶς ἕν τι τῶν περὶ ἐκεῖνο παρῃτήσατο μὴ λαβεῖν, ἢ μὴ πιστεύεσθαι *ὅτι παρέχοι λαβών; Δεύτερον δὲ, κἂν εἰς ἀναβολὴν τὸν νοῦν τῶν εἰρημένων ἐρεῖ τις ἀφορᾷν, καὶ τὸ μὴ βούλεσθαι τοῖς μαθηταῖς εἰπεῖν, ἅπερ αὐτοῖς οὐκ ἦν τέως συμφέρον μαθεῖν, οὐδὲ τοῦτο τῆς φιλανθρώπου προνοίας ἡ μέθοδος παραιτεῖται· μεθοδεύοιτο δ' ἂν, ἐξ οἰκονομίας σχηματιζομένη τὴν ἄγνοιαν, καὶ τὸ μᾶλλον δόξαι μὴ εἰδέναι, ὑπὲρ τοῦ μὴ λυπεῖν τοὺς μαθητὰς, τὸ ἐγνωσμένον μαθεῖν ζητοῦντας, οὐκ ἐκδιδάσκοντα· ἐπεὶ πῶς ἄλλως ἂν ἔχοι λόγον, τὰ μὲν περὶ τῆς ὥρας εἰδέναι τε, καὶ σὺν πολλῇ διδάσκειν τῇ ἀκριβείᾳ, αὐτὴν δὲ τὴν ὥραν ἐκείνων ἐχομένην, καὶ τὸ βραχύτατον μέρος οὖσαν, οὐκ ἐπιγινώσκειν; πῶς δ' ἄν τι τῶν ὄντων τὸν ἀλάθητον καὶ θεῖον διαλάθοι νοῦν; ἢ τίνα λόγον ἔχοι, τῶν μὲν παραγομένων αὐτὸν, καὶ τῆς παραγωγῆς, καὶ τῆς συνοχῆς, τὴν αἰτίαν ἔχειν, καὶ τὴν γνῶσιν· τὸν δὲ καιρὸν μόνον, κρείττω τῆς ἐκείνου καταλήψεως, ὑπάρχειν, καὶ τῆς μὲν κρίσεως αὐτὸν ἀνηρτῆσθαι τὸ κράτος; (Ὁ πατὴρ γὰρ οὐδένα κρίνει, τὴν δὲ κρίσιν πᾶσαν δέδωκε τῷ υἱῷ·) τῆς ὥρας δὲ τὴν διάγνωσιν, καὶ κρίσιν, τὴν αὐτοῦ σοφίαν καὶ κυριότητα διαφεύγειν; Καὶ τί ταῦτα λέγω; Ἆρ' ὁ τὸν πατέρα εἰδὼς, ὥσπερ ὁ πατὴρ τὸν υἱὸν, ἡμέραν καὶ ὥραν, μικρά τινα καὶ εὐπεριόριστα διαστήματα, ἀγνοήσει; ἢ δῆλον, ὡς οὐκ αὐτὸς, ὁ πάντα εἰδὼς, καὶ πρὶν ὑποστῆναι, ἡ ἐνυπόστατος τοῦ πατρὸς σοφία, ὁ πάντα τὰ τοῦ πατρὸς ἔχων, πλὴν τῆς ἀγεννησίας, οὐ μὴν οὖν οὐδὲ τῶν τοιούτων τὴν ἄγνοιαν εἶχεν· ἀλλὰ τοῖς μαθηταῖς ἀσύμφορον οὖσαν ὑπερτιθέμενος τὴν γνῶσιν κοινὴν ἐκ φιλανθρωπίας τὴν ἄγνοιαν ἐποιεῖτο, καὶ πρὸς τὸ ἄλυπον αὐτοῖς συνδιετίθετο τὴν ἀπολογίαν. Τρίτον δ' ἂν εἴδοι τις κἀκεῖνο ὡς τῷ πατρὶ διδοὺς ὁ υἱὸς, ὡς αἰτίῳ, τὰ πρεσβεῖα. Πρέπει γὰρ υἱῷ φιλοπάτορι, πάσης τε φύσεως καὶ εὐταξίας δημιουργῷ καὶ νομοθέτῃ, καὶ τοῖς

* ἴσ. ὅτιπερ ἔχοι.

à ſe ignorantiam non rejecit: Nam qui totum dignatus eſt recipere, quomodo unum aliquid eorum abnegaret, nec acciperet, aut ubi accepiſſet, accepiſſe non crederetur? Secundò ſi quis dixerit mentem & ſententiam dictorum rejectionem reſpicere, ità ut noluerit eam diem diſcipulis revelare, propterea quòd ſcire eos non erat utile, nè hæc quidem ratio à providentia in homines divina abhorret: methodicè autem diſponitur per œconomiam, quæ præ ſe fert ignorantiam, & minimè intelligere, nè mœrore diſcipulos afficeret, qui deſiderabant id, quod ignorabant intelligere: Certè incongruum erat illa ſcire, quæ tempus illud erant præceſſura, & tam accuratè illa exponere: horam verò ipſam illis adhærentem, quæ pars eorundem breviſſima fuit, non cognoſcere: Nec fieri poteſt, ut res aliqua exiſtens animum divinum, & quem latere nihil poteſt, lateat: Nec fieri poteſt, ut obvenientium rerum, & obventus, & connexionis cauſam cognitam habeat; tempus autem deſtinatum ut ſuam ſuperans conceptionem ignoret; ut judicii poteſtas illi concedatur: *Pater enim*, inquit, *neminem judicat, ſed omne judicium Filio dedit:* Horæ autem ſcientia, & diſcretio, ſapientiam ejus effugiat, & dominium: Sed quid ego hæc ſic commemoro? An is qui Patrem ità videt, ac Pater Filium, diem & horam, particulas quaſdam facile circumſcibendas ignorat? ſanè, patet quòd is, qui omnia ſciebat priuſquam eſſent, cùm ſit Patris ſapientia interna ſubſiſtens, qui omnia poſſidet, quæ ſunt patris, niſi quòd Ingenitus, ut pater, non ſit, iſtorum ignorantiam non habuit: ſed quòd diſcipulos ſcire non congrueret, comperendinavit revelationem, & ſcientiam communem cum patre, quæ erat miſericordia, ignorantiam fecit, & nè contriſtarentur, apologiam unà commentatur. Tertiùm conſideret quis & illud, quòd cùm patri, tanquam cauſæ Filius prærogativam adſcribat: Convenit enim Filio, qui patrem ſuum diligit, utpote totius ordinationis & naturæ operatori, &

diſpenſatori,

dispensatori, causæ præeminentiis honorare patrem, ac sic diei illius & horæ cognitionem, ut & alia multa eidem adscribere: non, id enim nefas est, seipsum illa scientia privare, ut nec alio aliquo digno & honorando munere, verùm illum sibi præferre, ità nemo Filii bonam dispositionem, in argumentum malæ trahat: Sic qui ignorantiam illi affingit, & literæ adhæret, non tenebitur reus blasphemiæ: Certè dictionis accurata ratio, ut deinceps doceo, non præbebit alicui occasionem minùs rectè sentiendi: Licet enim nunc concessum sit, literam indicare filii ignorantiam, nihil tamen absurdi, aut pietati contrarium, animo rectè contemplante, constituamus: Sed nec litera favet iis, qui ut gloriam imminuant Unigeniti, adhiant istam ignorantiam: Ego scio, quippe qui olim sene quodam theologiam apprimè sciente utebar, qui cùm externas disciplinas fastidiret, de præsenti quæstione talem instituebat considerationem: *Scire*, duplex esse dicebat, Unum, per experientiam, alterum per artem; secundùm artem aut cognitionem dicebat, eque ac Patrem filium illum diem & horam cognoscere, non secundùm experientiam; Patrem enim experientia cognovisse, & talem scientiam adsumpsisse, cùm omne judicium in Filium transcriberet: judicabat enim tunc pater convenire, ut judicium sic transcriberet, & quantum ipsius suffragium attinebat, proprium suum judicium consummâsse: At constat Filium actu nondum judicâsse, nec in effectum rem illam, cui ipsum præfecit pater, duxisse: Quocirca pater experientiâ horam novit: Filius licet ut pater secundùm artem novit, nondum tamen experientiâ novit: Sciet autem tum, cùm judicium faciet, tum cognitio, quæ est per scientiam, transibit in cognitionem per experientiam: Hanc tibi explicationem proposui; non quòd veram per omnia censeam; sed ut hominis ejus tanta simplicitas, tam variam & multipliciter agitatam cogitationem sensúmque satagebat: Porrò autem

τῆς αἰτίας προνομίοις τιμᾶν τὸν πατέρα, καὶ τὴν τῆς ἡμέρας ἐκείνης καὶ ὥρας γνῶσιν, ὥσπερ δὴ καὶ ἄλλα πολλὰ ἐκείνῳ προσανατίθησι· οὐχ ἑαυτὸν (ἄπαγε) ταύτης ἀποστερῶν, ὅτι μηδ' ἄλλου τινὸς τῶν τιμίων τε καὶ καλῶν, ἀλλ' ἐκεῖνον κἂν ταύτῃ προτιμῶν· καὶ οὐδήπου τις τὸ εὐγνῶμον τοῦ υἱοῦ ὑπόθεσιν ἀγνωμοσύνης ποιούμενος· εἶτα τὴν ἄγνοιαν περιάπτων αὐτῷ, καὶ πρὸς τὰς τῆς λέξεως καταφεύγων συλλαβάς, τῆς βλασφημίας ἀπολυθήσεται· οὐδὲ γὰρ οὐδ' ἡ τῆς λέξεως ἀκρίβεια, ὡς ὕστερον ἐπιδειχθήσεται, ἀφορμή τισιν εἰς τὸ μὴ βούλεσθαι τὰ ὀρθὰ φρονεῖν ποριαθήσεται. Εἰ γὰρ καὶ συγκεχωρημένον νῦν τὰς λέξεις δηλοῦν ἀγνοεῖν τὸν υἱόν, ὅμως οὐδὲν τῶν ἀτόπων παρεπόμενον εὐσεβῶς τὸν νοῦν θεωρήσαντες παρεστήσαμεν. Ἀλλ' οὔπω, οὐδ' αἱ λέξεις τι χαριοῦνται τοῖς ἐπὶ καθαιρέσει τῆς δόξης τοῦ μονογενοῦς, τὴν ἄγνοιαν περιχαίνουσιν. Ἐγὼ δὲ οἶδα πάλαι ποτὲ γέροντι σοφῷ τὰ θεῖα ἐνωμιληκώς, ὃς καί τοι τῶν ἔξω θεωρημάτων πολλὴν ἔχων τὴν ὀλιγωρίαν, ὅμως τοιαύτην τινὰ περὶ τοῦ προκειμένου διέγραφε θεωρίαν· Τὸ εἰδέναι διττὸν ἔλεγεν εἶναι· τὸ μὲν ἐπιστήμῃ, τὸ δὲ τῇ πείρᾳ· κατὰ μὲν οὖν ἐπιστήμην ὁμοίως εἰδέναι τῷ πατρὶ τὸν υἱὸν τὴν ἡμέραν ἐκείνην καὶ ὥραν· κατὰ πεῖραν δὲ οὐκέτι· Τὸν μὲν γὰρ πατέρα καὶ εἰς πεῖραν ἐλθεῖν, καὶ προσλαβεῖν τὴν τοιαύτην γνῶσιν, ἡνίκα πᾶσαν ἐδεδώκει τῷ υἱῷ τὴν κρίσιν· ἐκεκρίκει γὰρ τότε ὁ πατὴρ τὴν κρίσιν ἅπασαν ἐγχειρίσαι τῷ υἱῷ, καὶ ὅσον ἧκεν εἰς ψήφους τὰς αὐτοῦ ἐνεργῆσαι τὴν ἰδίαν κρίσιν καὶ συμπεραίνεσθαι. Ὁ δέ γε υἱός, δῆλον ὡς οὔπω κέκρικεν, οὐδ' εἰς ἔργον τὴν πρᾶξιν, ἧς αὐτὸν ὁ πατὴρ ἀνεῖπε κύριον, ἤγαγεν. Οὐκοῦν ὁ μὲν πατὴρ καὶ πείρᾳ τὴν ὥραν οἶδεν· ὁ δὲ υἱός, εἰ καὶ κατ' ἐπιστήμην, ὥσπερ ὁ πατήρ· ἀλλ' οὖν οὔπω δὲ καὶ πείρᾳ· ἔσεται δὲ ἐπειδὰν δηλονότι τὴν κρίσιν οἴσῃ, τῆς κατ' ἐπιστήμην εἰδήσεως εἰς τὴν κατὰ πεῖραν γνῶσιν προελθούσης. Ἀλλὰ ταύτην μὲν ἐξεθέμην σοι τὴν ἑρμηνείαν, οὐ τὴν ἐν αὐτῇ θειάζων ἀλήθειαν, ἀλλ' ὅπως ἀνδρὸς ἁπλότης τοσαύτη, ποικίλην οὕτω καὶ περινενοημένην ὑπελθεῖν ἐφρόντισεν ἔν-

νοιαν· ὅτι δὲ οὐδ' αἱ λέξεις αὐταὶ καταφυγῆς εἶεν τόπος τοῖς δυσφημίαν ποιουμένοις τὴν ἄγνοιαν, ἐκ τῶν δὲ ῥᾴδιον μαθεῖν· Matth. 24. 36. Ὁ μὲν οὖν ἱερὸς Ματθαῖος τὴν δεσποτικὴν φωνὴν ἀναγράφων, Οὐδεὶς οἶδε, φησι, τὴν ἡμέραν, οὐδὲ τὴν ὥραν, οὐδὲ οἱ ἄγγελοι, εἰ μὴ ὁ πατήρ μου μόνος· σκόπει γὰρ λοιπόν· πρῶτον μὲν, ὅπως εἰπὼν, οὐδ' οἱ ἄγγελοι, οὐκέτι προστίθησιν, οὐδὲ ὁ υἱός. Οὕτω γὰρ ἦν ἡ λέξις ἴσως ἀναχώρησις τοῦ δυσσεβήματος, εἰ καὶ τὸν υἱὸν τοῖς ἀγγέλοις προσθεὶς ἐπήγαγεν, εἰ μὴ ὁ πατήρ μου μόνος. Νῦν δὲ οὐχ οὕτω φησί· πόθεν; ἀλλὰ μέχρι τῶν ἀγγέλων παρατείνας τὴν ἄγνοιαν, οὐκέτι ταύτῃ τὸν υἱὸν ὑπάγει· ὡς ἂν μὴ χώραν ἔχοι κατ' αὐτοὺς ὁ πατὴρ ἐπιφερόμενον τὴν πρὸς τὸν υἱὸν ἀπαγορεύειν διαστολήν· ἀλλὰ γὰρ κάτωθεν, ἀπὸ τῶν ἀνθρώπων ἀνιὼν, καὶ τοὺς ἀγγέλους φθάσας, οὐκέτι πρόεισι περαιτέρω· ἐκεῖσε δὲ συγκατακλείσας τὴν ἄγνοιαν, τὴν ὑπερούσιον καὶ δημιουργὸν οὐσίαν μακρὰν ἀπάγει ταύτης καὶ ὑπερτίθησιν· ἀνθρώπων μὲν γὰρ ἦν ἡ τῶν μαθητῶν ἐρώτησις, ἧς ἀπόκρισις, Οὐδεὶς οἶδεν, ἀνθρώπων δηλονότι· εἶτα, οὐδ' οἱ ἄγγελοι· βαθμὸς οὗτος (μετά γε τὸ ἀνθρώπινον ἡ τῶν ἀσωμάτων φύσις) δεύτερος. Τί οὖν ὁ υἱός; εἰ μὲν ὥσπερ δὴ καὶ νόμος υἱῶν, τῆς πατρικῆς δόξης κληρονόμος καὶ φύσεως, μάτην περιχαίνεις τὴν ἄγνοιαν; Εἰ δ' οὐκ ἂν ἔχῃ, τρίτην σοι τῶν κτισμάτων ἀναπληρώσει τάξιν καὶ πῶς ὁ λόγος αὐτὸν ὑπεραλλόμενος ἐπὶ τὸν πατέρα διέβη; ἔδει γὰρ αὐτὸν, εἰ μὴ ἡ τοῦ πατρὸς, ἀλλὰ τρίτη τάξις εἶχε, τὸν μονογενῆ, πρότερον εἰπεῖν, οὐδὲ ὁ υἱός· εἶθ' οὕτω τὴν γνῶσιν ἀναθεῖναι τῷ πατρί· νῦν δὲ ἀνθρώπων, φησι, καὶ ἀσωμάτων νόων διελθὼν, οὐκέτι διαβιβάζει τὴν ἄγνοιαν, ἐπὶ τὸν υἱὸν, ἀλλ' εὐθὺς τῇ πατρικῇ φύσει, ἧς κληρονόμος γνήσιος υἱὸς, τὴν γνῶσιν μαρτυρεῖ. Πόθεν οὖν σὺ τὴν ἄγνοιαν λαβὼν, ἐφ' ὕβρει κατασκευάζεις τοῦ υἱοῦ; εἰ μὴ ἄρα σοι τοῖς ἀγγέλοις καὶ δούλοις ὁ μονογενὴς καὶ δεσπότης συντετάξεται· ὃ, μέχρι νῦν, οὐδεμία ὤφθη δυσσέβεια μελετήσασα· Εἰ δὲ μὴ τοῦτο τολμᾷς, ὑπεξαίρεις δὲ τὸν υἱὸν τῆς ἀγγελικῆς οὐσίας· κἂν τῆς πατρικῆς οὐδέπω

quòd nec ipsa dictio refugii locum præbitura sit, qui ex ignorantia blasphemant, facilè potest ex hisce disci: Sacer vir Matthæus Domini dictum edisserens refert, *Nemo novit horam, neque diem, non Angeli, nisi solus pater meus:* Nota primùm, quòd ubi dixerat, *Nec Angeli*, non adjecit, *Nec Filius:* Hoc enim dictum fortè viam impietati muniret, si cum Angelis ubi Filium posuerat intulisset, *Nisi Pater meus solus:* At non ità loquitur, sed ignorantiam ad Angelos neque ubi deduxerat, non eidem subjecit Filium; nè, quod volunt, inde Pater infertur cum Filio diastolem prohibere: Desursum ab hominibus progressus, & ad Angelos perveniens, ulteriùs non progreditur: Hic jam concludens ignorantiam supersubstantialem & creatricem substantiam longè ab illa semotam transcendentémque ponit: Nam quæstio discipulorum humana fuit, cujus responsio erat, *Nemo novit, Nemo,* nimirum, *hominum,* sed nec Angeli, gradus alter, post homines incorporalium ordo, subsistit in secundis: Quid autem Filius? siquidem, quod obtinet, per legem Filiationis paternæ gloriæ & naturæ hæres sit, frustrà ignorantiam hianti ore infers: Sin non ità sit, tertium creaturarum ordinem adimpleat, at unde factum, ut saltu trans illum facto, sermo ad patrem pervenerit? congruum enim fuerat, si non paternus ordo, sed tertius quis tenebat filium, illum ante patrem nominare; sic, *Neque Filius,* ità Patri cognitio attribueretur: Ast in præsenti hominum & Angelorum ordines transgressus, ignorantiam non transfert ad Filium, sed continuò, cùm Filius naturæ paternæ genuinus hæres sit; testificatur de eo cognitionem: Unde igitur tu arreptam ignorantiam in Filii eam transfers contumeliam, nisi secundùm te unà cum hominibus & Angelis hoc est servis censebitur Dominus? quod hactenus apud omnes impios inauditum est: sin hoc non audeas, sed Filium ab Angelica substantia separes, licet Patri adhuc eum æqualem non fa-

cias;

cias; non consequeris, cùm tam clarè de Angelis ignorantiam verba prædicent, ut liceat tibi ipsi eandem affingere, utcunque multoties violenter transferre illam coneris, in ordinem à Patre suo diversum: Et tamen vel sic, ut refugias, licet secundum te Unigenitus Patri coadunitus scientiæ naturam omnem & sublimitatem transcendenti, quia paterna est, ridebit tuam tertiam extra lineas ambulantem ordinationem: Et ubinam hoc pacto apparet, quod Hæreticorum insania fingit, ignorantia Christo insiliens, vel secundùm literam, aut sensum? Imò aiunt, quia addit, *Nisi Pater solus*, rectè, & valde sapienter: Nè existimes, quòd cùm intelligentias prætererit incorporeas, locum habiturum usque ad naturam primam progressum facit. Certè ab hac sola conditrice & dominante universorum uti omnia cætera quæ consignant creaturam, ità & ignorantia longissimè disjungitur: Quòd si vox, *solus*, turbas conciet, intellectum sit potiùs quod à quibus, ignorantiam citans, Patrem disjunxit, contra illos & divisit illud, *solus*: Quæ ratio est, Angelis tribuere ignorantiam, tum ut illis omissis, ad differentiam Filii, de quo aut contra quem nihil dixit, illud putetur dictum, *Nisi Pater meus solus*: Quòd si *solus* turbet, turbæ illæ dispelluntur per *Pater meus*: Patet enim quòd non ad seipsum relatione facta, cujus naturalem conjunxionem insinuavit, dicens, *Pater meus*, sed ad illos, quorum ignorantiam notavit, dixit, *solus*: Non enim in illo dicto, *Nisi Pater meus solus*, intelligendus est seipsum disterminare ab eo cùm & verbis & factis testetur; *Ego & Pater unum sumus*; *Omnia quæ habet Pater, mea sunt*: Scientia pars est, licet exigua, eorum quæ cum infinitis aliis generans habet: sed absque his dictis, si erat unigenitus qui illis ignorantiam, patri scientiam assignat, quæ est illa superflua sapientia, cum se dignatus sit eorum participem facere, quæ majora sunt & Deo soli æterno

ἴσον ἂν ἔχῃ. Οὐκ ἕξεις δήπουθεν λαμπρῶς οὕτω τῶν λέξεων, ἐπὶ τῶν ἀγγέλων ἀπαγγελλόντων τὴν ἄγνοιαν οὐδαμόθεν αὐτῷ ταύτην περιάπτειν, κἂν μυριάκις εἰς ἄλλην τάξιν ἀπάγειν παρὰ τὸν πατρῷον κλῆρον ἐκβιάσῃ· καὶ οὕτω πάλιν, κἂν μὴ βούλῃ τῇ καὶ κατὰ σὲ ὑπερφυεῖ καὶ ὑπερτάτῃ καὶ πατρικῇ γνώσει ὁ μονογενὴς τῷ πατρὶ συναπτόμενος, τὴν σὴν ὑπερόριον ἐκμυκτηριεῖ καὶ τρίτην διάταξιν. Ποῦ δὲ τοίνυν ἐνταῦθα φαίνεται κατὰ λέξιν ἢ διάνοιαν, ὡς ἡ τῶν αἱρετιζόντων παράνοια τῷ υἱῷ ἡ ἄγνοια ἐπιπηδῶσα; Ναί φησιν ἀλλ' ἐπήγαγεν, εἰ μὴ ὁ πατήρ μου μόνος· καλῶς γε λίαν καὶ σοφῶς· ἵνα μὴ νομίσῃς ὡς καὶ τοὺς ἀσωμάτους νόας διαδραμοῦσα, χώραν ἔχοι καὶ μέχρις αὐτῆς τῆς πρώτης φύσεως προϊέναι. Ταύτης γὰρ δὴ ταύτης μόνης τῆς δημιουργοῦ καὶ κυρίας τῶν ὅλων, ὥσπερ τὰ ἄλλα πάντα ἐν οἷς ἡ κτίσις γνωρίζεται, οὕτω δὲ καὶ τὸ τῆς ἀγνοίας διέῤῥιπται ὡς ποῤῥωτάτω· εἰ δὲ τὸ, μόνος, ἔτι τάραχον κινεῖ, συνείτω μᾶλλον, ὅτι ὧν τὴν ἄγνοιαν εἰπὼν διέστειλε τὸν πατέρα, πρὸς ἐκείνους διώρισε καὶ τὸ μόνος. Ἐπεὶ τίνα λόγον ὅλως ἔχοι, ἀγγέλοις μὲν ἐπιφέρειν τὴν ἄγνοιαν συνειδέναι, εἶτα τούτους ἀφέντα εἰς διαστολὴν οὗ μηδὲν καὶ εἶπεν υἱοῦ, τὸ Εἰ μὴ ὁ πατήρ μου μόνος νομίζειν εἰρῆσθαι· ἔτι δὲ εἴπερ τὸ μόνος θορυβεῖ, διὰ τοῦ ὁ πατήρ μου τὸ θορυβοῦν διαλυέσθω. Δῆλον γὰρ ὡς οὐκ ἂν πρὸς ἑαυτὸν, οὗ τὴν φυσικὴν οἰκείωσιν ἀνεκήρυξεν εἰπὼν ὁ πατήρ μου, ἀλλὰ πρὸς ἐκείνους, ὧν τὴν ἄγνοιαν ἐφ' ᾗ συναπεφήνατο καὶ τὸ μόνος· πῶς δ' ἂν ἐν τῷ λέγειν, Εἰ μὴ ὁ πατήρ μου μόνος, ἑαυτὸν νομισθείη διαστέλλειν, ὁ καὶ τοῖς λόγοις, καὶ τοῖς ἔργοις ἐφ' ἴσης βοῶν, Ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν· καὶ, Πάντα ὅσα ἔχει ὁ πατὴρ, ἐμά ἐστι· δῆλον γὰρ, ὡς καὶ ἡ γνῶσις, ἕν τι καὶ τὸ βραχύτατον ὧν ὁ γεγεννηκὼς ἔχει, καὶ μυρία ἄλλα. Χωρὶς δὲ τῶν εἰρημένων, εἰ αὐτὸς ἦν ὁ μονογενὴς, ὁ τοῖς μὲν τὴν ἄγνοιαν τῷ πατρὶ δὲ διαιτῶν τὴν γνῶσιν, τίς ἡ περιττὴ σοφία αὕτη, ἑαυτὸν ἀξιοῦντα τῶν μειζόνων, καὶ ἃ μόνῳ θεῷ * ἀΐδια πρέπει, πράγματος,

* ἴσ. ἀϊδίως;

εἰς πάντας ὕστερον καὶ σπουδαίους καὶ φαύλους ὁμοίως ἐκκαλυφθησομένου, τῆς γνώσεως ἀνάξιον ἀποφαίνειν; Ἆρ' οὖν πανταχόθεν γνώριμον, ὡς οὐδαμόθεν ἡ ἄγνοια τοῖς αἱρετίζουσι συνδραμεῖν; Ὁ μὲν γὰρ κοινὸς διδάσκαλος, καὶ τοῦ γένους ἡμετέρου σωτὴρ, οὓς ἀφώρισε μαθητὰς παιδεύων τὰ οἰκεῖα συνιέναι μέτρα, καὶ ζητημάτων ἀναχωρεῖν, ἃ βίον μὲν οὐδένα βελτίω ποιεῖ, ὄγκου δὲ καὶ κενοῦ φυσήματος, ἔσθ' ὅτε πολλοῖς ὑπόθεσις γένοιτ' ἂν, ἀλύπως τε αὐτοῖς τὰ τῆς ὠφελείας εἰσηγεῖσθαι διοικονομούμενος, καὶ τῇ πειθοῖ μᾶλλον, ἢ διὰ τῆς βίας· τοὺς ἀγγέλους αὐτοῖς προκομίζει εἰς παράδειγμα, ἵνα ὥσπερ αἱ ἀσώματοι καὶ ὑπὲρ ἡμᾶς οὐσίαι τὴν γνῶσιν οὐκ ἔχοιεν, τούτων μηδ' αὐτοὶ λαβόντες, μήτε ἀνιᾶσθαι, μήτε τῷ διδασκάλῳ μηδὲν ἐπικαλεῖν ἔχοιεν μὴ βουληθέντι διδάξαι, ἃ μηδ' ἡ τῶν ἀσωμάτων καὶ ὑπὲρ αὐτοὺς φύσις ἐγίνωσκε. Τί οὖν; οὐκ ἤρκει τοῦτο τοῖς μαθηταῖς, εἴς τε τὸ ἀλυπότατον αὐτοῖς τὴν τῆς αἰτήσεως ἀποτυχίαν διαθέσθαι, καὶ τὰς γνώμας, εἰς τὸ μηδὲν τῶν ὑπὲρ αὐτοὺς ἐρευνᾶν καταρρυθμίσαι· ἀλλ' ἔδει ἄρα καὶ τὴν ἐνυπόστατον σοφίαν τὸν υἱὸν εἰς τὴν ἐκείνων, ὡς ἔοικε, περιελεύσεσθαι ἄγνοιαν· καὶ τί παραμύθιον, ἢ παράκλησις ποία θεοῦ ἄγνοια τοῖς λατρευταῖς, προνοίας τε τῆς ἐκεῖθεν καὶ σοφίας δεομένοις; μᾶλλον δὲ πῶς οὐχὶ βαθὸς ἀπογνώσεως, καὶ δυσσεβὲς ἄλλως καὶ σκότος βαθὺ, καὶ ἀθυμία ἐσχάτη, καὶ πλάνη μηδ' ἔλεον ἔχουσα, Θεὸν ἔχειν ἀγνοίας ἥττονα, καὶ τοῦτον ἀνομολογεῖν τοῦ σοφίσοντος δεῖσθαι, καὶ τῆς ἑτέρου προνοίας, ἵν' ἔχοι μαθεῖν ἃ μηδέπω τέως, ὥσπερ οὐδ' ἡ λοιπὴ κτίσις, οἶδεν. Εἰ μὲν γὰρ κατὰ τὸ ἀνθρώπινον παραδέχοιτό τις τὴν ἄγνοιαν, εἴρηται καὶ πρόσθεν, ὡς οὐδὲν δυσχερὲς τὴν τῆς σοφίας πηγὴν, τὸν, ὅσα ὁ πατὴρ, καὶ εἰδότα καὶ ἔχοντα, ὥσπερ τὰ ἄλλα ἀνθρώπινα, οὕτω καὶ τὴν ἄγνοιαν ὑποδύεσθαι. Εἰ δ' εἰς τὴν θείαν αὐτοῦ καὶ ἀκήρατον φύσιν, τὴν ἀπὸ τῆς ἀγνοίας ὕβριν ἀναφέροι, πῶς οὐ πανταχόθεν χαλεπόν τε καὶ μεῖζον συγγνώμης τὸ δυσσέβημα; Σὺ δέ μοι κἀκεῖνο συνεπισκόπει· ἔφη πού ὁ σωτήρ, Οὐδεὶς

competunt, indignum arbitrari cognitione rei olim omnibus & bonis, & malis revelandæ? Itaque omnimodo patet, quòd neutiquam ignorantia ei, prout Hęretici volunt, competet: Communis doctor & generis nostri salus, instituens, quos selegerat discipulos, proprios suos modulos agnoscere, & à quæstionibus abstinere, quibus neutiquam vita melior redditur, sed tumore vano & inflatione repletos ità agit, & disponit, ut sine mœrore, quæ ipsis utilia sunt, apprehendant, ídque suasu potiùs quàm violentiâ: ità Angelos in exemplum prosternit iis; ut quemadmodum illæ incorporeæ, & supra nos substantiæ harum rerum scientiam non percipiunt: ità nec ipsos se consecuturos opinentur, non tamen inde affligantur, aut magistrum incusent, si docere nollet, quæ nè incorporeæ, & supernæ substantiæ sciunt: Quid ergò, an non satisfactum hinc Apostolis, ut sine tristitia ferrent petitionem non obtinere, & ad animi sententiam ità confirmandàm, ut nè investigent, quæ sunt supra ipsos, nisi etiam filius illa sapientia inhypostata in eorum ignorantiam assumatur? & quodnam quæso solamen, quæ consolatio Dei ignorantia erit colentibus Deum, qui providentia & sapientia cœlesti, opus habent? Potiùs desperationis quoddam profundum, impietas, densæ tenebræ, extrema disconsolatio & error non miserandus erit, Deum habere ignorantiæ subjacentem & in confesso indigentem institutione & directione alterius, ut ea intelligat, quæ nondum, nè magìs quàm cæteræ creaturæ, intellexit: Si quis humano more accipiat ignorantiam, jam ante dictum est, non esse offendiculo, si fons sapientiæ, qui omnia novit, habet omnia quę Pater, uti cætera humanitus, ità & ignorantiam subiisse: Sin in divinam ipsius & impollutam naturam ignorantia contumeliosè ingeratur, impietas est extrema, & indulgentiam excedens. Sed & considera sis mecum istud, dixit alicubi servator, *Nemo no-*

vit

vit Patrem, nisi Filius: Hîc an Patrem excludes à sui cognitione per illud, *Nemo novit*, & illud, *Nisi Filius?* at hæc insania conspicua est: Nam hoc intelligendum est, ad antidiastolen eorum quæ post primam naturam subsistunt, & non ut Patrem comprehendũt: Quocirca cùm eum unà conceptum, & unà inductum cum Filio memoria recolis, & cùm audis, *Nemo novit horam nisi Pater*, nonne ex eadem lege agis, & Patre commemorato Filium intelligis? illud, *nemo novit*, ad creaturam transcribis rationalem, ubi creaturarum naturam secundùm species recensuit: de quibus propius est, ut *Nemo novit*, intelligatur in illo dicto, *Nemo novit Patrem*, vocem adhibet indefinitè, nec habentem ad quod è præcedentibus referatur: si ergò in illo, *Nemo novit Patrem, nisi Filius*, genitorem blasphemare non vis, nec in illo, *Nemo horam novit, nisi Pater*, in contumeliam Filii feraris: sin hoc audes, multò magìs illud priùs aude: nam stupidius est seipsum quàm alium ignorare: Quidni multò horridius & contumeliosius prius quàm secundum? sin illud furorem & impietatem omnem excedat, quid de hoc dicendum? Iterum ait, *Nemo novit Filium, nisi Pater:* nec contradicet aliquis, Filium seipsum ignorare, si non post alia absurda, minorem statuat scientiam Patris: dum Filio relinquitur illa, quæ ad sui ipsius propriam non pertingit: Si ergò in hoc effato, *Nemo novit Filium, nisi Pater*, Filium à sua scientia non excludunt; ità nec in illo, *Nemo novit horam nisi Pater*, ab illa cognitione excludent Filium: sin ab hac eliminent, jam priùs ab illa excluserunt, utcunque suæ impiæ sententiæ labiorum ministeria non accommodarunt: Figura orationis, unde imprimis errore se implicuerunt, & spem blasphemandi arripuerunt simillima est; & Filii scientiam, nè si magìs adhuc insanire velint, non inficiabun-

οἶδε τὸν πατέρα, εἰ μὴ ὁ υἱός. Τί οὖν; ἆρα τὸν πατέρα, διὰ τὸ, οὐδεὶς οἶδε, καὶ διὰ τὸ, εἰ μὴ ὁ υἱός, τῆς ἑαυτοῦ ἀποκλείσεις γνώσεως; καὶ πῶς οὐχὶ τοῦτο μανία λαμπρά; Ἀλλὰ ταῦτα μὲν πρὸς ἀντιδιαστολὴν τῶν, ὅσα μετὰ τὴν πρώτην ἐστὶ φύσιν, νοήσεις, οὐδαμῶς δὲ κατὰ τοῦ πατρός· συνεπινοούμενον δὲ μᾶλλον αὐτὸν, καὶ συνεισαγόμενον τῇ μνήμῃ τοῦ υἱοῦ· καὶ πῶς κἂν ἐπειδὰν ἀκούοις, οὐδεὶς οἶδε τὴν ὥραν, εἰ μὴ ὁ πατὴρ, οὐχὶ τὸν αὐτὸν θεσμὸν συντηρεῖς, καὶ τῇ μὲν τοῦ πατρὸς μνήμῃ συνεπινοεῖς τὸν υἱόν· τὸ δὲ, οὐδεὶς οἶδε, τῇ κτίσει νέμοις τῇ λογικῇ; καίτοι ἐνταῦθα μὲν καὶ κτισμάτων φύσιν, κατ' εἶδος, ἀπηριθμήσατο, καὶ ἐγγύτερον ἦν τὸ, οὐδεὶς οἶδεν, ἐπ' ἐκείνων ἐκλαβεῖν· * ἐν δὲ τὸ, οὐδεὶς οἶδε τὸν πατέρα, ἀπόλυτον φέρει τὴν φωνὴν, καὶ οὐκ ἔχουσαν ὅσον ἐκ τῶν προειρημένων, ἐφ' ὧν μερισθῇ. Εἰ οὖν ἐν τῷ, οὐδεὶς οἶδε τὸν πατέρα εἰ μὴ ὁ υἱὸς, φεύγεις τὸν γεννήτορα βλασφημεῖν, μηδὲ ἐν τῷ, οὐδεὶς οἶδε τὴν ὥραν, εἰ μὴ ὁ πατὴρ, εἰς ὕβριν τοῦ γεννήματος περιτρέπῃς. Εἰ δὲ τὸ δεύτερον τολμᾷς, προτετόλμηταί σοι πολλῷ μᾶλλον καὶ τὸ πρῶτον· ἀμαθέστερον γὰρ ἑαυτὸν ἀγνοεῖν, ἢ ἕτερον· τί μὴ εἰδέναι καὶ φοβερώτερον εἰς ὕβριν τοῦ δευτέρου τὸ πρότερον; Εἰ δ' ἐκεῖνο μανίας καὶ δυσσεβείας οὐδενὶ καταλείπει ὑπερβολὴν, τί ἄν τις ἐρεῖ περὶ τούτου; Πάλιν φησὶν, οὐδεὶς οἶδε τὸν υἱὸν εἰ μὴ ὁ πατήρ· καὶ οὐκ ἄν τις ἑαυτὸν ἀγνοεῖν καταψηφιεῖται τὸν υἱὸν, εἰ μὴ μετὰ τῆς ἄλλης ἀτοπίας, ἐλάττονα θείη καὶ τὴν γνῶσιν τὴν περὶ τοῦ πατρὸς εἴγε αὐτὴ μὲν τῷ υἱῷ κατείληπται, τῆς δὲ ἰδίας οὔπω ἐφίκετο. Εἰ τοίνυν, ἐν τῷ, οὐδεὶς οἶδε τὸν υἱὸν εἰ μὴ ὁ πατὴρ, οὐδαμῶς τῆς περὶ αὐτὸν εἰδήσεως ἐξωθοῦσι τὸν υἱόν· οὐδ' ἐν τῷ, Οὐδεὶς οἶδε τὴν ὥραν, εἰ μὴ ὁ πατὴρ, τῆς περὶ τὸν καιρὸν ἐκεῖνον προγνώσεως ἐξωθήσουσι. Εἰ δὲ ταύτης ἐλαύνουσι, προαπήλασαν κἀκείνης, κἂν οὔπω τεθαῤῥήκασι διδόναι τὰ χείλη τοῖς δυσσεβέσι λογισμοῖς ὑπηρετήσασθαι· τό τε γὰρ σχῆμα τοῦ λόγου, ἐφ' ᾧ μάλιστα τὴν ἀπάτην ἑαυτοῖς συγκατεσκεύαζον, καὶ τὰς τοῦ δυσσεβήσειν ἐλπίδας ἀνεῖχον ὁμοιότατον· καὶ τὴν περὶ τὸν υἱὸν γνῶσιν, οὐδ' ἂν πλέον ἐκμανεῖεν, οὐδ' αὐτοὶ ἂν

* ἴσως.

ἀρνηθεῖεν, μὴ μακρῷ τῆς περὶ τὴν ὥραν ἐκείνην περιγνώσεως, θειοτέραν τε καὶ ὑψηλοτέραν εἶναι. Ἀλλ' ἣν μὲν τοῦ ἱεροῦ Ματθαίου ῥῆσις, ἐν τούτοις τε καὶ τοιαύτην ἔχουσα τὴν θεωρίαν. Ὁ δέ γε μακάριος Μάρκος, πνεύματί τε τῷ αὐτῷ ἐμπνεόμενος, καὶ τὴν αὐτὴν πλουτῶν χάριν, καὶ τὸν αὐτὸν τοῦ κηρύγματος ἐμπεπιστευμένος λόγον, δῆλον μὲν ὅτι καὶ χωρὶς τῆς τοῦ ῥητοῦ διασκέψεως, οὐκ ἂν οὔτε τῷ συνιεροφάντῃ καὶ συμμυσταγωγῷ, οὔτε τῇ παρ' αὐτῶν μυσταγωγηθείσῃ, διὰ πολλῶν δὲ καὶ νῦν ἐπιδεδειγμένῃ λαμπρῶς ἀληθείᾳ, οὐδαμῶς ἂν μαχόμενα φθέγξαιτο. Ὅμως δὲ καὶ ἡ τοῦ ῥητοῦ μεταχείρησις, μᾶλλόν τε αὐτῶν τὴν συμφωνίαν, καὶ τὸ πρὸς τὴν ἀλήθειαν ἐνάμιλλον παραστήσει. Καί μοι συνόρα λοιπὸν, ὡς οὔτε ὁ θεῖος ἀνὴρ, οὐδὲ πρόφασίν τινα λιπεῖν τοῖς αἱρετίζουσι προνοούμενος, πάντα δὲ κατασείων ἐκ βάθρων αὐτῶν τὰ μηχανήματα, οὐδὲ τὸ μόνος, ὅπερ ἂν ἦν ἐκείνοις ἐνταῦθα προσκείμενον, εἰ καὶ μάτην, καταφυγὴ δ' ὅμως τοῦ δυσσεβήματος, οὐδὲ τοῦτο τῇ οἰκείᾳ γραφῇ προσηρμόσατο· περιελὼν δὲ τὴν λέξιν καὶ συνεξελὼν αὐτοῖς τῆς πονηρίας τὴν πρόφασιν, ἄνεισι μὲν καὶ αὐτὸς, ὥσπερ ὁ συνιεροφάντης, ἐκ τῶν κατωτέρω μέχρι δὲ τῶν ἀγγέλων φθάσας, καὶ συμπεριγράφει, τὴν ἄγνοιαν συναπαρτίζων αὐτῇ, καὶ τὴν τοῦ λόγου περίοδον· ἀπ' ἄλλης δ' ἀρχῆς λοιπὸν ἀπαρχόμενος, οὐ μόνον οὐδεμίαν ἄγνοιαν ἐπιφημίζει τῷ μονογενεῖ· ἀλλὰ καὶ πᾶν τοὐναντίον καθαρῶς αὐτῷ τὴν πατρῴαν γνῶσιν ἐπιμαρτύρεται· καὶ οὐ τὴν γνῶσιν μόνον, ἀλλὰ καὶ τὸν τρόπον συναναπτύσσει τῆς γνώσεως, τὴν τῶν ἄλλων φυσικῶν τε καὶ θεοπρεπῶν ἀξιωμάτων πηγὴν τὸν πατέρα· τοῦτον αἴτιον εἶναι τῷ υἱῷ καὶ τῆς γνώσεως θεολογῶν. Τί γάρ, φησιν, Οὐδὲ
Marc. 14. ὁ υἱὸς ἂν ᾔδει εἰ μὴ ὁ πατήρ; τουτέστιν, ἐκεῖθεν πηγάζεται τῷ υἱῷ ἡ γνῶσις, ὅθεν αὐτῷ καὶ τῆς γεννήσεως ἡ αἰτία. Οὐδὲ γὰρ ἄναρχος καὶ ἀναίτιος, ὥσπερ ὁ πατὴρ, ἀλλ' εἰς ἀρχὴν ἀναφέρεται καὶ συμφυὲς αἴτιον τὸν γεγεννηκότα· οὐδὲ ὁ υἱὸς ἂν ᾔδει, μὴ ὁ πατήρ. Τί ταύτης τῆς μαρτυρίας λαμπρότερόν τε καὶ ἐμβριθέστερον; οἶδεν ὁ πατὴρ· οἶδε καὶ ὁ υἱός· εἰ λέληθέ τι τὸν υἱὸν, ἐκ τοῦ πατρὸς ἕλκει τὴν αἰτίαν·

tur, ultra cognitionem illius horæ, ad alia magìs divina, & sublimia extendere. Atque hæc quidem fuit Matthæi sententia, tali theoria considerata: At Beatus Marcus, eodemmet spiritu inspiratus, eadem abundans gratia, eundem prædicationis sermonem sibi concreditum habens, nihil planè repugnans prolocutus est, ídque sine accurata dicti inspectione patet, synhierophantæ, & symmystagogo, neque veritati quam illi tradiderunt, & multipliciter etiamnum manifestatæ: Sed si verba ejus exponenda susceperimus: adhuc magìs illius consensum, & cum veritate conspirationem intelligemus: Nota mihi ergò, quòd divinus iste vir, nè prætextum quidem hæreticis relinquere voluit, sed omnes illorum machinas funditus concutiens, nè quidem vocem, *Solus*, quo licet frustraneo utebantur refugio impietatis suæ, suæ scriptioni insertam adhibuit: Vocem ergò amputans, & unà eximens impietatis occasionem, à deorsum & ipse, quemadmodum synhierophanta ascendit usq; ad Angelos, & apud eos ignorantiam circumscribit, cum qua orationis periodū finit, ab alio deinceps principio exorsus, non solum nullam Unigenito ignorantiam ascribit, sed è contra planè Patris cognitionem habere illum profitetur; non illam modo, sed illius modum & mensuram declarat, cujus ut & divinarum naturaliúmque dignitatum fontem esse Patrem Filio theologicè docet. Quid autem, *An nesciret Filius, si non Pater revelaret?* hoc est, ab eo fonte flueret cognitio, unde & generationis causa: Nam non est filius sine principio, & causa, ac est Pater; sed in principium refertur, & causam congenerem: nempe Patrem, *Nec Filius intelligeret, nisi priùs Pater:* Quid isto testimonio illustrius, aut validius est? *Novit Pater, & Filius novit*, si latet Filium quicquam id à Pa-

tre

tre habet: Sed Patris ſcientiam nihil fugit: Quocirca, nec Filii communis natura, Deitas communis, communis ſubſtantia, harum communio & alia Deo congrua axiomata indiviſa reddit, & communia: *Quos vult Pater vivificat, & Filius vivificat quos item vult: Nemo venit ad Patrem, niſi per Filium, & ad Filium nemo, niſi per Patrem, Cognoſcit Pater Filium*, ſed & ita *cognoſcit Filius Patrem:* Omnia quæ habet Pater, præter Ingenitum, habet Filius, & omnia quæ habet Filius præter Genitum, habet Pater: *Tua enim*, inquit, *mea ſunt*, & *mea ſunt tua:* Horum uti erat initiatus ipſe, ita nos initiavit ſcientiâ B. Marcus, theologiam accuratè, & circumciſè definiens, clarè clamat, quod *Nec Filius novit, niſi Pater*, quod copulatum erat extulit, orationis metalepſin, utpote cunctis claram, nec in dubio poſitam omiſit: Non eſt enim, nec erit ille impietatis artifex, nec labiis eructabit tale, qui nec Patri ſcientiam diei illius & horæ attribuit; hoc conceſſo, cum difficultate & invitus licet, concedet tamen Filio eam cognitionem: Nam, *Neque Filius niſi Pater*, cùm in circumſcripta ratione Pater ſciat, in eandem cognitionis menſuram & Filium aſcribet: Ita non eſt dicendum, quòd accuratiorem & diviniorem modum tangit, ſcientiam in Patre communem prædicat cum Filii: Tu autem, quod reſtat, ſancti Dei Spiritus ſapientem & multiplicem diſpenſationem recolito: quæ in utroq; Evangeliſta operabatur; per unam & alteram dicendi formam, in unam & eandem pietatis cogitationem deducens: Sanctus Matthæus vocem *ſolus* annectens, non interſerit, *Neque Filius*, nè videatur cum hæreticis à paterna gloria Filium ſeparare, & in cohortem compingere Angelorum: Marcus adjiciens illud, *Neque Filius*, & principium alterius periodi ſtatuens, tollit *ſolus*,

ἀλλ᾽ οὐδὲν τὴν τοῦ παιδὸς διαφεύγει γνῶσιν· οὐδ᾽ ἄρα τοῦ υἱοῦ κοινὸν ἡ φύσις, κοινὸν ἡ θεότης, κοινὸν ἡ οὐσία· τούτων δὲ ἡ κοινωνία, καὶ τὰ ἄλλα θεοπρεπῆ ἀξιώματα κοινὰ ποιεῖται καὶ ἀδιαίρετα· οὓς θέλει ζωοποιεῖ ὁ πατήρ· καὶ οὓς θέλει πάλιν ὁ υἱὸς ζωοποιεῖ· οὐδεὶς ἔρχεται πρὸς τὸν πατέρα εἰ μὴ διὰ τοῦ υἱοῦ· καὶ οὐδεὶς ἔρχεται πρὸς τὸν υἱὸν, εἰ μὴ διὰ τοῦ πατρὸς· γινώσκει ὁ πατὴρ τὸν υἱόν· ἀλλὰ καθὼς γινώσκει αὐτὸν, οὕτω καὶ ὁ υἱὸς γινώσκει τὸν πατέρα. Ὅσα ἔχει ὁ πατὴρ, πλὴν τῆς ἀγεννησίας, πάντα ἔχει ὁ υἱός· ἀλλὰ καὶ ὅσα ἔχει ὁ υἱὸς, πλὴν τῆς γεννήσεως, πάντα ἔχει ὁ πατήρ· τὰ γὰρ ἐμὰ, φησι, σά ἐστι· καὶ τὰ σὰ ἐμά· ὧν δὲ μεμυσταγωγημένος καὶ μυσταγωγῶν ἡμᾶς ὁ θεῖος Μάρκος τὴν θεολογίαν, εἰς τε τὸ ἀκριβὲς ἅμα καὶ σύντομον ἀφοριζόμενος τὴν διδασκαλίαν, ὡς οὐδὲ ὁ υἱὸς ἂν ᾔδει, διαπρύσιον βοᾷ, εἰ μὴ ὁ πάτηρ, καὶ τὸ συνημμένον, εἰπὼν τοῦ λόγου, ὡς αὐτόθεν ἅπασι δήλην οὖσαν, καὶ μηδ᾽ ἀμφιδοξουμένην τινὶ τὴν μετάληψιν παρῆκεν· οὐ γάρ ἐστιν, οὐκ ἔστιν, οὐδ᾽ οὐ μὴ γένηται, οὐδ᾽ ἂν αὐτὸς ὁ τῆς κακίας ἀρχιτέκτων πάλιν, εἰς ἀκοὰς τινῶν αὐτοῖς ἐρεύξοιτο χείλεσιν, ὃς οὐχὶ τῷ πατρὶ τὴν γνῶσιν ἐκείνης τῆς ἡμέρας καὶ ὥρας προσαναθήσει· τοῦτο δὲ δεδιὼς καὶ δυσχεραίνων, οὐ λήξει συγχωρήσει πάντως καὶ ἄκων, τὴν αὐτὴν ἐνεῖναι γνῶσιν τῷ υἱῷ· τὸ γὰρ, οὐδὲ ὁ υἱός, εἰ μὴ ὁ πατήρ, ἀπεριγράπτῳ λόγῳ τοῦ πατρὸς εἰδότος εἰς τὴν αὐτὴν συνάγει γνῶσιν τὸν υἱόν. Ὥστε, οὐδ᾽ ἔστιν εἰπεῖν, ὅσον εἰς τὸ ἀκριβέστατόν τε καὶ θεοπρεπέστατον τὴν ἐν πατρὶ γνῶσιν κοινὴν ἀνακηρύττει καὶ τοῦ υἱοῦ. Σὺ δέ μοι λοιπὸν τὴν τοῦ παναγίου καὶ θείου πνεύματος σοφὴν οἰκονομίαν καὶ πολυμερῆ συνεπιλογίζου· ὅπως ἐνεργοῦν ἐν ἑκατέρῳ τῶν εὐαγγελιστῶν, δι᾽ ἑτέρας καὶ ἑτέρας λόγου συμφράσεως, εἰς τὴν αὐτὴν αὐτοὺς τῆς εὐσεβείας ἔννοιαν συνάγει. Ὁ μὲν γὰρ ἱερὸς Ματθαῖος, τὸ, μόνος, τοῖς λογίοις συνάπτων, οὐδαμῶς ἐπιτίθησι τὸ, οὐδὲ ὁ υἱός· ἵνα μὴ δόξῃ τὸν υἱὸν τοῖς αἱρετίζουσι τῆς μὲν πατρικῆς δόξης διαιρεῖν, εἰς δὲ τὴν τῶν ἀγγέλων τάξιν συνελαύνειν. Ὁ δὲ θεῖος Μάρκος, προστάξας τό, οὐδὲ ὁ υἱός, καὶ ἀρχὴν τοῦτο δευτέρας περιόδου ποιησάμενος, ἀφαιρεῖται τὸ μόνος, ἵνα

μὴ

μὴ τοῦτο πάλιν ἐνταῦθα προσκείμενον, ἅρπαγμα τοῖς δυσσεβέσι γένηται· καὶ οὐκ ἀρχὴ μᾶλλον ἑτέρας περιόδου, Οὐδὲ ὁ υἱὸς νομισθῇ, τῆς προτεταγμένης δὲ πέρας καὶ συναπαρτισμὸς ῥαδιουργηθῇ· καὶ γὰρ ἐκείνως μὲν ἡ πατρικὴ γνῶσις τῷ υἱῷ κοινὴ καθίσατο καὶ αὐτοτελής· διὰ δὲ τῆς κακουργίας, ἡ ἄγνοια δέχεται, καὶ ὁ τῶν ἀγγέλων καὶ δούλων βαθμὸς, ὅπερ ἐστὶ τῶν θεομαχούντων σπούδασμα, τὸν δεσπότην καὶ δημιουργόν. Ὧν τὸ κακοῦργον ἐκτέμνων ὁ εὐαγγελιστὴς, τὴν τοῦ μόνος πρόφασιν περιδιακόπτει καὶ περιαναιρεῖ. Οὕτως οὖν δι᾽ ἑκατέρου τῶν θεσπεσίων καὶ ἱερολόγων ἀνδρῶν, τὰ τῶν αἱρετιζόντων ὁρῶν ἐμφραττόμενα στόματα, καὶ τὰς λύσεις ὧν ἠπόρεις, δι᾽ αὐτῶν ἐκείνων καταπλουτιζόμενος, τήν τε τῆς δυσσεβείας εἰς τὸ βεβαιότερον ἐκτρέπου* κακόνοιαν, καὶ τῆς εὐσεβείας θερμότερον αὐτὸν ἐραστὴν καὶ ὑπέρμαχον ἐπιδείκνυσο.

*ἴσ. κοινωνίαν

nè ſi acceſſerit, ab impiis arriperetur: & non principium alterius periodi eſſet, *Neque Filius*, ſed præcedentis clauſula ac terminus inanis: Ibi enim ſcientia paterna Filio communicatur conſummatè, per improbitatem ignorantia ſuſcipitur, & gradus aſſignatur Angelorum ſervorúmque, hoc conantur qui Deo bellum indicunt, Domino & Creatori affingere: Quorum impietatem amputans Evangeliſta, prætextum ab illis, *ſolus*, præſcindit & prætollit. Atque ità per utrumque divinum, & ſacrum Scriptorem, cùm ora videas hæretiſantium obturata, & cùm abundanter habeas dubiorum à te propoſitorum ſolutiones, impietatis communionem conſtantiùs evitabis, & pietatis te magìs fervidum amatorem, & defenſorem præſtabis.

NOTÆ.

BArbaricum nomen Arſaber, & erat Scytha πάτροθεν. Eſt epiſtola, libellus potiùs, ſed erudita, in qua totus verſatur in explicando textu quodam tam Matthæi cap. 24. quàm Mar. 14. De Ignorantia diei judicii: de hac quæſtione vide Baſil. Tom. 2. pag. 1167. Gregorium Turonenſ. Hiſtor. 1. in principio, & Eulogium in Bibliotheca Photii pag. 465.

Ἐπιϛ. σκθ΄.

Δωροθέῳ ἡγουμένῳ μονῆς Κεδρώνων.

ΣΥ΄ μὲν ὀλοφύρῃ καὶ θρηνεῖς ἐφ᾽ οἷς πάλαι τῆς ἡμῶν ἐν Κυρίῳ ἀγάπης διΐστασο· καὶ καλῶς ποιεῖς· οὐδὲ τοῦτο γὰρ ἔλαττον τῶν ἄλλων εἰς ἀρετῆς λόγον ἀγάπης ζημίαν ὀδύρεσθαι, καὶ μὴ μόνον ἐθέλειν ὀρθοῦσθαι, ἀλλὰ καὶ πικρῶς ἀλγεῖν, ὅτι τὴν ἀρχὴν ἡ πτῶσις ἐκράτησεν. Ἐγὼ δὲ τοσοῦτον ἀπέχω τοῦ μέμψασθαί τι τῆς πρὶν διχονοίας, διὰ τὴν καθαρότητα τῆς νῦν ὁμονοίας, ἢ πρὸς συγγνώμην βραδὺς εἶναι, ὥστε καὶ χάριτας τῇ πάντα σοφῶς πρυτανευούσῃ προσομολογῶ προνοίᾳ, καί σε φημὶ δεῖν. Τῶν γὰρ τότε φίλων εὐαρίθμητοι μὲν διεσώσαντο τὸ τῆς ψυχῆς εὐγενές· τῶν δὲ λοιπῶν, τοὺς μὲν ὁ ἐπικρεμασθεὶς φόβος ἀφεῖλε τὴν ἀρετήν· τοὺς δὲ κολακείας ὄντας πρόσωπον ἤλεγξεν ὁ καιρός· τοὺς δέ, ὧ, μέχρι τοῦ

Epiſt. 229.

Dorotheo Hegumeno Monaſterii Cedronorum.

TU quidem plangis & lachrymaris, eo quòd à noſtro olim in Chriſto amore ſeparabare; rectè facis: Non enim eſt minus cum virtute conjunctum, amoris jacturam deflere; & non modo velle emendare, verùm acerbe ferre, quòd aliquando lapſus invaluit: Tantum abeſt, ut ego alienationem priorem vituperem, propter præſentis concordiæ ſinceritatem, aut ut tardè veniam concedam, ut gratias Divinæ Providentiæ omnia adminiſtranti ferendas tibi aſſeram: Qui enim tum profitebantur amicitiam, ſatìs numerabiles generoſam ſanè mentem tenuere: Cæteros vel impendens timor abſtulit à virtute, vel adulationem ſimulâſſe tempus conuicit: quoſdam, quod dum experirer,

experirer, non metuebam, audacia exarmavit in contrarium; & tamen factum est, ut qui cum illis staret, ab illorum suspicione non esset purus; verùm per istiusmodi tempora sinceram amicitiam viriliter conservâsse, & dispositionis laudem egregiam habet, & futurorum sine dubio pignus, & præteritorum apologia, quæ nullam aliam requirat exigentiam, sed cum omni venia, de inertia in judicium si vocetur, apud tribunal nullis muneribus corrumpendum rectè & egregiè factum in præsenti ipsum per se honorem & venerationem consequetur.

γενέσθαι μηδ' ἐλπιζομένην τόλμα καὶ ἀπεναντίας ἱσαμένους· καὶ συνέβαινεν, εἰ καὶ συνέβαινε, τὴν μετ' ἐκείνων ἔχοντι τάξιν μηδὲ τῆς ἐκείνων καθαρεύειν ὑποψίας· τὸ δὲ ἐν καιρῷ τοιούτῳ καθαρὰν οὕτω καὶ ἀνδρείαν ἐπιδείξασθαι τὴν φιλίαν, καὶ τῆς παρούσης ἐστὶ διαθέσεως ἐγκώμιον μέγα· καὶ τῶν μελλόντων οὐκ ἔχουσα δισαγμὸν ἐγγύη· καὶ τῶν παρεληλυθότων ἀπολογία, μηδεμιᾶς μὲν ἄλλης δεομένη πεισάσεως, ἀλλὰ καὶ συγγνώμη πάσῃ δικάζουσα, τὴν ἀργίαν, ἐξ ἀδωροφορήτου τοῦ βήματος τοῦ παρόντος κατορθώματος αὐτῇ καθ' ἑαυτὴν τὸ αἰδέσιμόν τε καὶ ἀξιόπιστον χρηματίζει.

Epist. 230.

Eidem.

MUnus ab amore est genuino; at hoc tempore missum ardenti desiderio: sed tantis periculis impendentibus Martyrio zelo: Pro quo Deus noster Christus, nobis tacentibus, in regni sui sortem te transmittat: Tua autem præsentia futura est mihi cum illustri & notabili salute, & spe sacra, cui anima tua sancta affigitur, non per procrastinationem rejecta, sed reipsa conspicuè firmata.

Ἐπιστ. σλ'.

Τῷ αὐτῷ.

ΤΟ' μὲν δῶρον γνησίας ἀγάπης· τὸ δὲ ἐν καιρῷ τοιούτῳ διαπύρου πόθου· τὸ δὲ καὶ τηλικούτων ἐπικρεμαμένων κινδύνων μαρτυρικοῦ ζήλου· ἀνθ' ὧν Χριστὸς ὁ θεὸς ἡμῶν, καὶ ἡμῶν σιγώντων, εἰς τὸν αὐτοῦ σε τῆς βασιλείας ἐναπογράφεται κλῆρον. Εἴη δ' ἡμῖν καὶ ἡ σὴ παρουσία μετὰ λαμπρᾶς καὶ μεγάλης τῆς σωτηρίας, καὶ τῶν ἱερῶν ἐλπίδων, αἷς ἡ σὴ πανιερὸς ψυχὴ προσανέχει· μηδὲν εἰς ἀναβολὰς ἐπι * ὡρημένον ἀλλ' ἐπ' αὐτοῖς ἔργοις τὸ βέβαιον λαμπρῶς κατορθώμενον.

* ἴσ. ἀπιωρημένων.

Epist. 231.

Arsenio Monacho Anachoretæ.

QUorsum scribo? abiit deprecatio, virtus hominum abiit, libertas apud Deum aufertur, virorum vita vacua est, qui de cœlo in terram providentiam devocant: Justitia (quid dicam? certè nollem dicere,) quiescit: Iniquitas ingentes spiritus sumit, nulla verecundia est legum Divinarum aut humanarum: Homines prisca illa virtute præditi, qui vinculis & custodiis non antevertuntur, qui in exilio non agunt, montibus & speluncis se includentes, qui tanquam invento fortuito, in communem incidunt calamitatem, à turbulentis quidem mundi procellis re-

Ἐπιστ. σλα'.

Ἀρσενίῳ μονάζοντι καὶ ἡσυχαστῇ.

ΤΙ' γράφω; οἴχεται μὲν εὐχή· οἴχεται δ' ἀνθρώπων ἀρετή· ἐκκέκοπται δὲ παῤῥησία πρὸς θεὸν, καὶ ἀνδρῶν ἔρημος ὁ βίος ἑλκόντων τοῖς ἐπὶ γῆς τὴν ἄνωθεν πρόνοιαν· ἡ δίκη (πῶς εἴπω; οὐ γὰρ ἐβουλόμην εἰπεῖν) ὅτι καθεύδει· μέγα φυσᾷ τὸ παράνομον· καὶ θεσμῶν οὔτε θείων, οὔτε ἀνθρωπίνων αἰδὼς οὐδεμία· οἱ δὲ τῆς παλαιᾶς ἐκείνης ἀρετῆς ἄνθρωποι, ὅσους μὴ προκατελάβοντο δεσμὰ καὶ φυλακαὶ καὶ ὑπερόριοι καταδίκαι, τοῖς ὄρεσι καὶ ταῖς πέτραις ἐγκατακλείσαντες ἑαυτοὺς, καὶ, ὥσπερ ἑρμαίῳ, τῇ κοινῇ συμφορᾷ περιτυχόντες, αὐτοὶ μὲν ὡς ποῤῥωτάτω τῆς ἐν κόσμῳ ζάλης

ζάλης ἵστανται, οὐδεμίαν δὲ τὴν ἐν αὐτῷ κλυδωνιζομένων καὶ βαπτιζομένων ἐστὶν ὧν φροντίδα βάλλονται. οὐδὲ γὰρ ἱλαστηρίους χεῖρας ἀπλοῦσι πρὸς θεόν· οὐδὲ τὰ Μωσέως φθέγγονται, ἂν μὲν ἀφῇς, ἄφες· καὶ τὴν ὑπόλοιπον ἐκείνην φίλτρου γέμουσαν καὶ θαυμαστῆς παρρησίας φωνήν· οὐδὲ λύσιν τῶν ἀμηχάνων κακῶν οἷς τὸ συγγενὲς συνέχεται δαπανώμενον. Εἰ δὲ ψεύδομαι, ὑμέτερον μὲν ἐστὶ λοιπὸν ἐλέγχειν, ἐμὸν δὲ μεταθέσθαι καὶ προσοφλεῖν αἰσχύνην, ὁμολογεῖν χαρᾶς ἀϊδίου πρόξενον.

Ἐπισ. σλβ'.

Λέοντι καὶ Γαλάτωνι ἀδελφοῖς ἀσηκρῆτις.

Τῶν Ἀνατολίου τοῦ καλοῦ πλασμάτων, (οὐκ οἶδα δὲ πότερον αὐτὸς ἐστὶ πατήρ, ἢ ὑποβολιμαίους ἑτέρων ποιεῖται γονάς) πλήρης ὁ πόντος ἐγένετο· καὶ οὕτω μὲν σφοδραί, οὕτω δὲ συνεχεῖς αἱ τοῦ ψεύδους αὖραι καταπνέουσιν, ὡς μηδ' οἷς ἡ τῶν ἐν Ἀργοῖ πλωτήρων πλάνη σεμνύνεται, τὸ χρυσόμαλλον δέρας, καὶ τοὺς πυρπνόους ταύρους, καὶ τοὺς πολυμόρφους δράκοντας, καὶ τὴν ἄλλην τερατείαν, μηδὲ ταῦτα λοιπὸν εἰς μύθους ἀναφέρεσθαι· τῇ γὰρ νεωτέρᾳ τοῦ ψεύδους ὑπερβολῇ, ἔχει ἀνελθεῖν ἐκεῖνα τὰ παλαιὰ εἰς εἰκόνα τοῦ πιστεύεσθαι· οὐδὲ γὰρ οὐδ' ἡμερῶν πρὸ πέντε, οὐδὲ πρὸ δύο, οὐ μὲν οὖν ἀλλ' οὐδὲ πρὸ μιᾶς ὥρας, οὐδεὶς ἀφίκετο πρὸς ἡμᾶς, οὐ τῶν ἀρχὴν λαχόντων, οὐ τῶν ἑτέροις πειθαρχούντων· οὐ γραμματηφόρος· οὐκ ἐπισημότερος γραμμάτων· οὐκ ἀγαθῶν ἄγγελος· οὐχ ὑπηρετούμενος τοῖς ἐναντίοις· ἀλλὰ γὰρ καὶ τὰ νῦν ὑπεσχημένα τοῖς ἔμπροσθεν συναπώλετο, τὸν ἀέρα μόνον κτυπήσαντα. Τί δὲ δεῖ λέγειν ὑπεσχημένα; οὐ γὰρ ὑπεσχημένα μόνον, ἀλλά γε τοῖς χαριεστάτοις τούτοισι καὶ πρὸ ὀφθαλμῶν λαμπρῶς κείμενα, εἰ καὶ μηδ' ὀνείροις ὠράθησαν· καὶ γὰρ τὴν ἀρχὴν, εἰς ἀνυπάρκτους διαπεπλασμένα φαντασίας, περὶ αὐτὰς καὶ κατερρυήκεσαν· πλὴν ἀλλ', ὅπερ οὐχ ἡγοῦμαι, ἡ συνέχεια δὲ τοῦ ψεύδους, τὴν

moventur, nullam autem curam & sollicitudinem habent illorum, qui in salo immersi fluctuantésque agitantur: Propitiantes manus ad Deum non attollunt: Nec cum Mose aiunt, *Si dimittes, dimitte:* & quæ in illo sermone mirabilis amoris sequuntur: non liberationem à malis ineluctabilibus quibus eadem natura præditi continuò depascuntur. Si mentior, tuæ partes sunt convincere, meæ mutare sententiam & pudore suffundi & pudorem agnoscere lætitiæ æternæ conciliatorem.

Epist. 232.

Leonti & Galatoni fratribus, à secretis.

ANatolio illo bono (nescio an ipse fictiones illas commentus est, an alterius fœtum supposititium in suum adoptat?) Pontus impletur; tam vehementes, tam frequentes sunt mendaciorum venti; ità undique perflant, ut nec Argoæ puppis Nautæ celebrentur, nec vellus aureum, nec spirantes ignem tauri, vel multiformes dracones, nec quæ sunt aliæ monstrosæ fabulæ, deinceps fingantur: Novitia mendaciorum hyperbole efficiet, ut illa absoleta ferè fidem mereantur, neque enim ante quinque dies, non ante duos, imò nè ante unam horam ad nos accessit aliquis inter eos numeratus, qui sunt cum imperio, nec qui imperio parent; non tabellarius, non literas annotans, non bonorum nuntius, non adversantium famulus; imò quæ nunc in promissis dabantur, cum prioribus disperiêre, aerem tantum verberantia? Quid dico in promissis? non enim promittebantur tantùm; sed placituris istisce clarê ob oculos repræsentabantur, utcunque nè per insomnium cernebantur: Nam ab initio per imaginationes haud alicubi subsistentes conficta, circa easdem quoque diffluxere: Veruntamen, quod nullus arbitror, mendacii conti-

nuatio

nuatio cuivis de iis divinandi faciet poteſtatem exaccuratam: Quòd ſi, contra opinionem, cum veritate coinciderint; omnia ille apud me obtinebit, quæ per vos ut obtineret recuſavit. Valete.

ἐπ' αὐτοῖς μαντικὴν παντὶ παρέχεται ἀκριβώσασθαι· ἀλλ' οὖν εἰ καὶ παρὰ δόξαν, ὅμως εἴ ποτε πρὸς ἀλήθειαν περιτραπείησαν, ἔσοιτο πάντα παρ' ἡμῶν τῷ ἀνδρί, ὅσα γενέσθαι αὐτῷ δι' ὑμῶν παρῃτήσατο. Ἔρρωσθε.

Epiſt. 233.

Arſaber Aſpathario.

MUnus quidem cùm ſit magnificum, & quod ſine diſpoſitione alia quoſvis allexiſſet, me, ut magnificè acciperem, invitavit: At diſpoſitio, ſemoto quidem dono, cùm quod ſuum erat peragere cogitaret, utpote aliam quamlibet honorandi cauſam excedens, omni beneficio majus, & cum pro tali cenſeri & nominari magnopere cuperet, in nulla re à primis deficit. Si ejuſmodi munera afferantur, utcunque eximia ſint, nihil per illa tamen voluntati accedet magnum, niſi & illa adſit; ſolitudine magis illuſtratur: ut ſol à nube ſubductus, & materiam illam diſpellens, illimes & puros & defœcatos amicæ compellationis radios, ab accipiente refractos admittentem mittunt: Quare non ulteriùs propter munerum indigentiam affari te tardabo: Sed ſalutatio in animi affectu evecta, & unà ſecum tuas apportans ſalutationes, citiùs advolet: Non eſt, nec erit terrenorum donorum aliquod magis jucundum, aut quod oblectationem majorem & gaudium operetur.

Ἐπιστ. σλγ'.

Ἀρσαβὴρ Ἀσπαθαρίῳ.

ΤΟ μὲν δῶρον, μεγαλοπρεπὲς ὄν, καὶ χωρὶς τῆς ἄλλης διαθέσεως ὃ καὶ ἄλλους ἂν ἐπεπείκει, μεγαλοπρεπῶς ἡμᾶς παρεσκεύασε δέξασθαι· ἡ δὲ διάθεσις καὶ χωρὶς τοῦ δώρου τὸ οἰκεῖον ποιεῖν διανοουμένη, ἅτε δὴ μείζων μὲν πάσης ἄλλης φιλοτιμίας, μείζων δὲ παντὸς εὐεργετήματος καὶ εἶναι καὶ ὀνομάζεσθαι μεγαλοφρονοῦσα οὐδενὶ ἑτέρῳ τῶν πρωτείων ὑπεξίσταται. Εἰ δὲ ταῦτα ἄν τε παρῇ τὰ δῶρα κἂν μέγιστα ᾖ οὐδὲν ἐκείνη δι' αὐτῶν περιβάλλεται μέγα, ἄν τε μὴ παρῇ, τῇ μονώσει πλέον ἀπαστράπτει· ὥσπερ νέφος ἥλιος τὴν ὕλην διαφυγοῦσα καὶ καθαρὰς καὶ αὔλους τὰς αὐγὰς τῆς φιλικῆς προσαγορεύσεως ἐκ τοῦ δεχομένου ἀντανακλῶσι τῷ πέμποντι. Διὸ μηκέτι σοι δώρων ἀπορίᾳ ἡ πρόσρησις βραδυνέτω· ἀλλ' ἐποχουμένη τῇ διαθέσει καὶ τὰς σὰς συνεπικομίζουσα ὑγιείας θᾶττον ἀφικνείσθω· οὐ γάρ ἐστιν οὐκ ἔστιν οὐδ' οὐ μὴ ἔσοιτο τῆς δι' αὐτῆς ἡμῖν ἐγγινομένης χαρᾶς καὶ θυμηδίας οὐδὲν τῶν περιγείων δῶρον χαριέστερον. *ἴσ. δώρων.

Epiſt. 234.

Taraſio Patricio, fratri de obitu filiæ ſuæ Conſolatoria.

UBi nunc Elias? ubi Heliſæus? ubi Petrus, Paulus, aut aliquis ſimilis ſanctus & ſacer homo? Certè non eſſet epiſtolam ſcribere opus, ſi vel pedes illorum alicujus apprehenderem, neque enim res manibus agetur, ſanè omnia tentarem, nec abſiſterem, donec vitæ reſtitutam parentibus ſuis puellam traderent. At nunc quid? certè talibus

Ἐπιστ. σλδ'.

Ταρασίῳ Πατρικίῳ ἀδελφῷ παραμυθητικὴ ἐπὶ θυγατρὶ τεθνηκυίᾳ.

Ω Ποῦ νῦν Ἠλίας; ποῦ δὲ Ἐλισσαῖος; ποῦ δὲ Πέτρος, ἢ Παῦλος, ἤ τινες τῶν κατ' ἐκείνους ἱερῶν καὶ ἁγίων ἀνδρῶν; οὐ γὰρ ἂν ἐπιστολῆς ἐδεήθην, αὐτῶν δέ τινος λαβόμενος τῶν ποδῶν, ἐπεὶ τὴν χάριν οὐκ ἔχω τῶν χειρῶν, οὐκ ἂν ἀπέστην ἅπαντα ποιῶν, ἕως ἂν ζῶσαν τοῖς λυπησαμένοις παρέθεντο τὴν παῖδα. Νῦν δὲ τί; οὐδὲ γὰρ οὐδὲ ταῖς τηλικαύταις

συμφοραῖς τοῦ γένους, ἡ καθ' ἡμῶν ὑπερόριος φυγὴ δυσωπεῖται. Ἐπιστολῆς δέομαι ἐπιστολῆς, οἴ μοι, θρήνου ἀδελφοῦ, ἐπὶ θυγατρὶ κειμένῃ διαπραϋνούσης· ὅτε τέκνων παρῆσαν ἐλπίδες, καὶ τὸν γάμον εἶχε δυσφημία· ὅτι μὴ θᾶττον τὴν παῖδα μητέρα ἐδείκνυ, μηδὲ παιδὸς παῖς χερσὶ προπατόρων ἐναθύρει τε καὶ ἐνάλλεται, περιλαλῶν τοῖς ψελλίσμασιν· ἀλλ' ὅτε τὰ μείζω ἠλπίζετο, τότε καὶ ἃ κατείχομεν ἀνηρπάζετο· οἴ μοι τῆς παλαιῶν προπατόρων ἀπάτης καὶ παράβασις καὶ δίκη· πῶς εἰς τὸν παράδεισον εἵρπυσεν ὁ πονηρὸς ἐκεῖνος καὶ σκολιὸς ὄφις; [* Πῶς ἠπάτησεν.] *πῶς ἔπεισεν; ἢ πῶς ἐκεῖθεν μέχρι τοῦ νῦν τὸ πικρὸν τοῦ θανάτου παρατείνεται κέντρον; ἔφθασεν αὕτη καὶ καθ' ἡμῶν ἡ πληγὴ βέλους ὀξύτερον, σκηπτοῦ φοβερώτερον· καὶ κεῖται παῖς, ἄρτι τὴν ὥραν ἀνθοῦσα, δεινὸν καὶ σκυθρωπὸν ὀφθαλμοῖς τεκόντων θέαμα· ὅτε τὸ ἄνθος ἐφύετο τῆς παιδοποιΐας, τότε αὐτὸ τὸ φυτὸν συναπεμαραίνετο ταῖς ῥίζαις· ἡ φύσις πρὸς βλάστην εἱστήκει, καὶ τὸ τοῦ θανάτου δρέπανον ἐμβαθυνόμενον τοῖς σπλάγχνοις, καὶ αὐτὴν ζωὴν ἐξεθέριζε τοῦ βίου. Ποῖον δάκρυον ἀρκέσει τῷ πάθει; τίς στεναγμός; ὀδυρμὸς δὲ ποῖος; σιγᾷ στόμα τὴν μακρὰν ἐκείνην καὶ φευκτὴν σιωπήν, καὶ χείλη μέμυκεν, οὐ σεμνότητα διηγούμενα, οὐδὲ τὸ τοῦ ἤθους κόσμιον ἀπαγγέλλοντα, πρὸς δὲ λύσιν συστελλόμενα· ὀφθαλμοὶ δὲ τί; φεῦ πάθους καὶ σιγὴν νικῶντος καὶ λόγων οὐκ ἀνεχομένου· ὀφθαλμοί, πῶς εἴπω, πᾶσαν ζωτικὴν λιβάδα κενώσαντες, νεκραῖς ταῖς βλεφαρίσι τὰ λείψανα περιστέλλουσι· τὰς παρειὰς ἀντὶ ἐρυθήματος, καὶ βαφῆς ἐμφύτου σκοτεινὸν καὶ νεκρὸν ὑπαλείφει χρῶμα, μορφῆς ἁπάσης ἐξαφανίζον εὐπρέπειαν· τὸ πρόσωπον ὅλον, ὡς ἐκ τοιούτων, φρικτὴν καὶ φοβερὰν τοῖς ὁρῶσι τὴν θέαν παρέχει. Τίς βασκανία; τίς ἐπήρεια τοιαῦτα καθ' ἡμῶν ἀκοντίζει τὰ βέλη; οὔπω παρῆλθε τὸ πρότερον πένθος, καὶ πάλιν ἕτερον ἐπέπεσε μεῖζον· τὸ μὲν εἶχεν ὑπομάζιον παῖδα· τοῦτο δὲ καὶ μητέρα ἐπὶ ἂν θᾶττον τὸ κακὸν ἐπέστη. Πόθεν αἱ τηλικαῦται καὶ τοσαῦται πληγαί; πληγαὶ ἐξ ἀνθρώπων

consanguineorum ærumnis exilium nostrum non alleviatur. Epistolâ opus est, epistola, hei mihi, qua luctum mei fratris ob filiæ excessum leniam: Cùm liberorum spes esset, & accusarentur nuptiæ, quòd citiùs filiam matrem non declararent; nec filii filius in avorum manibus ludit, & circumsultat, crepundiis abblandiens: sed cùm majora sperabantur, tum quæ habebamus, eripiebantur: Hei vetustissimorum proavorum fraudem, transgressionem, pœnam: Quomodo in paradisum se insinuavit ille malus & perversus serpens? quomodo persuasit? quomodo exindè ad hunc usque diem acerbus ille mortis stimulus extenditur? ad nos transivit ista plaga, telo velocior, fulgure terribilior; ità ut jaceat defuncta puella vix horæ spatio efflorescens, grave & aversandum parentum oculis spectaculum; quo primum momento puerperii flos exeruit se, eodem exaruit, etiam radicitus: Natura parata est ad germinationem, & falx mortifera visceribus altiùs immissa vitæ vitam demessuit. Quæ suffecturæ huic casui lachrymæ? luctus, lamenta, gemitus qualis? os longo illo & fugiendo silentio obturatur, clauduntur labia, non gravitatem demonstrantia, non mores compositos referentia, sed ad dissolutionem conclusa: at quid? oculi, heu, passio hæc silentium superat, nec admittit consolationem, oculi, (quo modo id exprimam?) omnem vitalem liquorem evacuantes, reliquias immittunt in cilia; malas pro rubicunda tinctura naturali tenebrosus & mortifer inungit color, formæ omnem expolians venustatem: Vultus denique totus ut in tali casu, spectaculum intuentibus timendum exhibet & terribile. Quæ hæc invidia? quæ injuria ejusmodi in nos contorquet tela? ubi transiit luctus unus, insequitur alter vehementior; ille lactantem infantem occupauit, hic matrem mox futuram, nisi prævenisset mala mors. Undenam tot & tantæ plagæ? ab hominibus plagæ, ab

occultis

occultis inimicis, undique circumſiſtunt mala, mittuntur in nos jacula, in liberos; Tragediis ſcena ſimus, chorum in nos ſaltant luctus, dolor, triſtitia, vultus dejectio, omnis planè malorum Erinnys: Clotho, neſcio quæ, ut videtur, chorum in nos ducit, fuſus & infelices illius glomi vitam noſtram actibus innectunt, & argumenta miniſtrant tragicorum modorum acerbis choreutis. Sed quid mihi accidit? quo ego feror? qui inſtitueram conſolationem ſcribere, neſcio quo pacto, luctu unà abreptus, cùm non valeret ratio, contra curſum mali in contrarium obnixi, quò nollem delatus ſum; & ſolatii ſermonem exorſurus, ad lachrymas plangentium abripiebar: Sed revertar ad meipſum; nec mœroris profundo immergar: multos dolor peſſundedit, non modo corpus deſtruens, ſed læthaliter ipſam animam vulnerans: Hoſtibus nè gratificemur; oblectat hoſtes noſtra dejectio injuriis affectorum: Nè committamus in paterna fortitudinis certamina: Viderunt illi liberorum mortes, mortes non ejuſmodi noſtræ ſunt, Deus avertat: Horum proles ignis, aqua, lacus diviſerunt; exilium acerbiſſimum & intollerandum incubuit; omnibus amicis, & affinibus deſtituti erant: Nihil denique non auferebatur, quod tantillum ſolatii afferre poſſet; & tamen gratias agentes tulere, & tamen ſupernum numen venerabantur; quod res humanas, ultra hominum cogitationes gubernaret. Cogitemus, qui ſumus: unde orti, non è mortalibus mortales? nonne è non exiſtentibus, mox futuri ipſi quod non ſumus? ubi Pater? ubi mea mater? an non poſtquam pauxillum in hac vitæ ſcena colluſerant, niſi quod Martyrum illos corona & patientiæ cohoneſtabat, quantocius theatro exceſſerunt? Reges autem & Tyranni, ſupercilio, & tumore immortales, annon cùm ſuis poteſtatibus morte ſubmerſi ſunt? Natura omnis humana, utcunque potentiâ fruatur, licet privati, ſenes, juvenes,

πληγαὶ ἐξ ἀδήλων μηνιμάτων· πανταχόθεν ἔσηκε τὰ δεινά· τὰ βέλη φέρεται εἰς ἡμᾶς αὐτοὺς, εἰς παῖδας· γεγόναμεν σκηνὴ τραγῳδίας, καὶ χορεύουσιν ἐν ἡμῖν θρῆνος καὶ πένθος καὶ λύπη καὶ κατήφεια, καὶ πᾶσα κακῶν ἐριννύς· συνάγει δ' ἄρα, ὡς ἔοικε, τὸν καθ' ἡμῶν χορὸν Κλωθώ τις καὶ * ἄτρακτοι καὶ τὰ δυστυχῆ ταύτης νήματα, τόν τε ἡμέτερον βίον τοῖς δράμασι διαπλέκουσα, καὶ χορηγοῦσα τὰς ὑποθέσεις τῶν τραγικῶν ἀσμάτων τοῖς πικροῖς χορευταῖς. Ἀλλὰ τί ἔπαθον; ποῖ φέρομαι; γράφειν ἀρξάμενος παραμύθιον, αὐτὸς, οὐκ οἶδ' ὅπως, τῷ πένθει συναρπασθεὶς, οὐκ ἀντισχόντων τῶν λογισμῶν πρὸς τὴν φορὰν τοῦ δεινοῦ, εἰς τοὐναντίον, ὧν ἐσκόπουν, παρεσύρην· καὶ παραψυχῆς εἰσηγούμενος λόγον, εἰς τὰ τῶν ὀδυρομένων ἀπηνέχθην δάκρυα· ἀλλὰ γενώμεθα ἡμῶν αὐτῶν, μηδὲ τῷ βυθῷ τῆς λύπης βαπτιζώμεθα· πολλοὺς ἀπώλεσε λύπη, οὐ σῶμα μόνον διαφθείρασα, ἀλλὰ καὶ ψυχῆς αὐτῆς λυμηναμένη τὰ καίρια· μηδὲ τοῖς ἐχθροῖς χαριζώμεθα· μέγα γὰρ ἐχθροῖς εἰς θυμηδίαν, ἡ κατήφεια τῶν ἐπηρεαζομένων· μηδ' εἰς τοὺς πατρικοὺς τῆς καρτερίας ἐξυβρίζωμεν ἄθλους. Εἶδον ἐκεῖνοι θανάτους παίδων· θανάτους, οὐχ οἷοι παρ' ἡμῖν, μηδὲ γένοιτο· τούτων τὰ ἔκγονα, πῦρ καὶ ὕδωρ καὶ λάκκος ἐμερίζετο, καὶ τό τε πικρᾶς καὶ βαρείας τῆς ὑπερορίας ἐπικειμένης, καὶ πάσης ἐρημίας φίλων συγγενῶν περιεστηκυίας, καὶ πάντων ἁπλῶς ὅσα ψυχαγωγίαν τινὰ φέρει περιῃρημένων· ἀλλ' εὐχαρίστως ἤνεγκαν· ἀλλ' ἐδόξασαν τὸν * κρείττονα ἢ κατὰ λογισμοὺς ἀνθρώπων, τὰ ἀνθρώπινα διακυβερνῶντα. Ἐννοήσωμεν τίνες ἐσμέν· πόθεν γεγόναμεν; οὐκ ἐκ θνητῶν θνητοί; οὐχὶ ἐξ οὐκ ὄντων μετ' ὀλίγον οὐκ ἐσόμενοι; ποῦ μοι πατήρ; ποῦ δέ μοι μήτηρ; οὐχὶ μικρὰ τῷ βίῳ προσπαίξαντες· πλὴν ὅσα μαρτυρικὸς αὐτοὺς καὶ τῆς ὑπομονῆς διεκόσμει στέφανος θᾶττον λιπόντες τὸ θέατρον ᾤχοντο· οἱ δὲ βασιλεῖς καὶ τύραννοι, οἱ τῷ φρυάγματι καὶ ταῖς ὄφρυσιν ἀθάνατοι, οὐχὶ τῷ θανάτῳ δυναστείαις αὐταῖς καταδύονται; πᾶσα φύσις ἀνθρώπων, κἂν ἐξουσιάζουσα ᾖ, κἂν ἰδιώτης, κἂν γερόντων,

* Ἄτροπος.

* ἴσ. θεόν.

κἂν

κἂν νέων, κἂν ἀνδρῶν, κἂν γυναικῶν, θανάτῳ πάντως τέμνεται τοῦ βίου· καὶ οὐδὲν οὐ μὴ διαφύγῃ τὸ ἐκείνου δρέπανον· οὐδὲν καινὸν· οὐδὲ παράδοξον· οὐδὲ τῆς φύσεως ὑπέστη μὲν ὑπερόριον· θνητὴ προεληλύθει ἐκ σπλάγχνων θνητῶν καὶ τῷ θνητῷ βίῳ νόμῳ φύσεως λειτουργήσασα, τῷ αὐτῷ τῆς φύσεως νόμῳ πρὸς τὴν ἀθάνατον πολιτείαν ἀπεδήμησεν· οὐκ ἔλιπε παῖδας ὀδυρομένους ὀρφανίαν· οὐκ ἀπῆλθε τὸν περὶ τὰ ἔκγονα πόνον πικρότερον τοῦ θανάτου συνεπιφέρουσα κέντρον· οὐκ ἔλαβε πολλὴν πεῖραν τῶν ἀνιαρῶν· οὐκ ἐζήτησε θάνατον, οὗ πολλοὶ πολλάκις συμφοραῖς ἀφύκτοις * περιστοιχηθέντες ἐπεθύμησαν· γονεῦσι προσομιλοῦσα τῆς ζάλης ἐξῆλθε τῶν προσκαίρων χερσὶ μητρικαῖς ἀπῆλθεν ὑπηρετουμένη· χερσὶ τεκόντων ἐναπέθετο τὸ πνεῦμα· ἐκηδεύθη τὸ σῶμα· παρεδόθη τάφῳ, καλοῖς ἐνταφίοις εὐσεβείᾳ καὶ σωφροσύνῃ καὶ πολλῶν εὐχαῖς ἐλεημόνων προπεμπομένη· ἀπῆλθεν εἰς χῶρον, ἐξ οὗ πᾶσα λύπη καὶ στεναγμὸς ἀπελήλαται· τί πλέον ἔδει· εἰς τοὐναντίον μοι τρέπει τὸ ἄλγος, τὰ περὶ τὸ μακάριον ἐκεῖνο θυγάτριον οἰκονομηθέντα· καὶ μακαρίζω ταύτην τῆς ἀποδημίας· καὶ τὸν θρῆνον εἰς δόξαν θεοῦ μεταβάλλω, καὶ τὴν ἀμηχανίαν εἰς εὐχαριστίαν, οὕτως αἰσίως καὶ ὡς ἄν τις μόλις εὔξαιτο ἀπηλλαγμένην ὁρῶν τῶν παρόντων. Ἀλλ' οὐ πολὺν ἐπεβίω χρόνον· καὶ τί διαφέρει ἄντε πλείους, ἄντε ἐλάττους τὴν ζωὴν ἡμῶν διαμερίσωσιν ἡμέραι, ὅτε καὶ τὸ πλεῖον καὶ τὸ ἔλαττον, εἰς τὰς αὐτὰς τοῦ θανάτου πύλας διαβιβάζει; οὐδεὶς ἥδεται τοῖς παρελθοῦσι, τὸ μέλλον οὐκ ἔστι, τὸ παρὸν ἐν ᾧ ἄν τις καὶ τὸ ἥδεσθαι θείη παντελῶς ἀκαριαῖον· ὥστε καὶ ὁ μακρὸς καὶ βραχὺς τοῦ βίου χρόνος, τῷ παρόντι μόνον τὴν αἴσθησιν τῶν ἡδέων περικλείων, εἰς ἴσην καὶ ὁμοίαν ἀπόλαυσιν, τόν τε εἰς γῆρας βαθύνοντα, καὶ τὸν ἐνακμάζοντα τῇ νεότητι, συνάγει· ἑκατέρου μὲν τὴν αἴσθησιν τῇ παρούσῃ τέρψει διαπλανῶν· οὐδενὸς δὲ, οὔτε τῶν παρεληλυθότων· οὔτε τῶν μελλόντων, οὐδεμιᾶς ἡδονῆς, οὐδ' ἑτέρῳ μετέχειν ἐνδιδοὺς· οὕτως ἀδιάφορον πολὺν ἢ ὀλίγον χρόνον ἐμβιῶναι·

* περιτυχόντες

viri, mulieres, per mortem de vita tollitur, nec est quod ejus falcem evitare queat: Novum non est, aut paradoxum, quòd naturæ exilio subjiciamur, mortalis illa prodiit è visceribus mortalibus, & vitæ mortali ubi juxta legem naturalem inservisset, per eandem legem ad immortalem statum peregrinatur: Liberos haud reliquit orphaniam gementes suam; non excessit unà secum desiderium circa prolem asportans morte acerbiorem stimulum, experientiam miseriarum multiplicem non habuit, mortem non quæsivit, quam multi multoties malis inevitabilibus oppressi optârunt, cum parentibus versata à temporali procella exiit, exiit ministerio maternarum manuum, in manibus parentum emisit spiritum: Curabatur corpus, mandabatur sepulchro fasciis tumularibus egregiis involuto pietate & modestia, multorum miserantium precibus comitata in regionem abiit, unde exulat luctus & gemitus universim: Et quid ultra desiderari potest? In contrarium dolorem me adigunt, quæ circa beatam illam filiam tuam admistrabantur; excessum hunc illius felicem prædico; luctum in Dei gloriam muto, infortunium in gratiarum actionem: cùm tam feliciter, ità ut vix optares, videam præsentibus liberatam: Verùm haud ità diu in vita fuit; quid interest si plures, an pauciores dies vitam nostram dividant; cùm minùs & magìs in easdem mortis portas nos transmittant? Præteritis nemo delectatur; quod futurum est, nondum est; præsens, in quo omnis oblectatio, momentaneum est: Longum ergò vitæ, & breve tempus, cùm delectamentum præsenti tantùm circumscribat, unâ & eadem fruitione illum, qui longævam attigit senectutem, & qui juventa floret, constringit; utriusque sensum oblectamento præsenti errabundè definiens; nullius autem vel è præteritis, aut futuris, voluptate gaudere cui vis permittens; adeò res indifferens est, longo vel brevi spatio superesse: Imò potiùs

potiùs haud eſt indifferens; ſi enim à maculis nemo prorſus eſt immunis, quod & dicto & facto confirmatum videmus, nè ſi vita ejus ſit unius diei, certè qui & abbreviato magìs tempore iſtius vitæ exuit tabernaculum luteum, cum paucioribus corporis ſordibus hinc excedit: Quocirca qui luget illius obitum, eò quòd à præſentibus tam citò liberatur, eò quòd minus macularum participavit, polluentium lachrymas fundit, & inter calamitates computat, quòd ſplendidior ſponſo præſentetur: Sed exceſſit ante tempus; Quin hanc ego vocem nullus audiam, dictu audacem, cogitatu audaciorem: Ante tempus, ais? Cùm naſceretur, cur non dicitur ante tempus in lucem edita? Naſcebatur de Divino nutu & tempeſtivè: An noſmet nos ſtatuemus arbitros de tempore, quo ad conditorem hinc abibit? An non ille opifex produxit in tempore, ad ſe aſſumet neſciens opportunum tempus? de gutta in carnem ſolidavit, in utero formavit, in lucem produxit, ab infantia ad ætatem puerilem cuſtodivit, ad thalamum, ad perfectam ætatem, ecquid horum intempeſtivè? ut cùm in æternum vitam permutat, tùm ſolum agit intempeſtivè? ſit longè à lingua pietatem meditante hæc blaſphemia, longè ab animo moderato; dignum id eſt longis lamentis, & multis lachrymis, obrutum hominem tali cogitationum nequitia; non autem mortalia immortalibus mutare: Quocirca lugere non oportet illam quæ corpus mortale reliquit, ſed illum qui mortificat mentem immortalem, non quam thalamus cœleſtis complectitur; ſed qui ſpe mortifera animam ſepelivit: ſed prævenit abiens parentes; & quid tum? operata forſitan patris & matris interitui, hinc tunc excedere debuit tot plagis cœſa. Hæc qui ait, non patris viſcera, ſed novercę affectum refert, non patris aut matris certè amorem; magìs illum, qui quod ſe oblectet quærat, quàm quod filiæ exiſtat gratum, quique ſub deſideriis filiæ ſui ipſius curam meditatur.

μᾶλλον δὲ οὐδ' ἀδιάφορον· εἰ γὰρ οὐδεὶς ἄνθρωπος ἀπὸ ῥύπου καθαρὸς εἴρηται τε, καὶ τοῖς ἔργοις ὁρᾶται πιστούμενον, οὐδ' ἂν εἰ μία ἡμέρα ὁ βίος αὐτῷ, ὁ ἐν ἐλάττονι χρόνῳ τὸ πήλινον τοῦτο σκήνωμα καταλιπὼν, ἔλαττον ἔχων ἀπῆλθε καὶ κηλίδων τῶν σωματικῶν. Οὐκ οὖν ὁ πενθῶν τὴν ἀπελθοῦσαν, ὅτι θᾶττον ἀπήλλαξε τῶν παρόντων· ὅτι ἔλαττον μετέσχε τῶν μολυνόντων· τοῦτο δάκρυον ποιεῖται, καὶ τὸ καθαρωτέραν αὐτὴν τῷ ἐκεῖθεν ὀφθῆναι νυμφίῳ, νομίζεις συμφοράν· ἀλλὰ πρὸ ὥρας μετέστη· μή μοι γένοιτο τοιαύτην φωνὴν ἀκοῦσαι· φωνὴν ῥηθῆναι μὲν τολμηράν· ἐννοηθῆναι δὲ τολμηροτέραν· Πρὸ ὥρας καὶ πῶς ὅτε τὰς μητρικὰς ἔλυσεν ὠδῖνας; οὐκ ἐνομίζετο λύειν πρὸ ὥρας; ἀλλ' ἐτέχθη μὲν νεύσει Θεοῦ καὶ καθ' ὥραν· ἀπελθεῖν δὲ πρὸς τὸν πλάστην ἡμᾶς αὐτοὺς καθιζόμενοι ὁροθετεῖς; καὶ παρήγαγε μὲν ὁ δημιουργὸς καθ' ὥραν, λαμβάνει δὲ πρὸς ἑαυτὸν οὐκ εἰδὼς τὴν ὥραν; ἀπὸ σταγόνος ἔπηξεν εἰς σάρκα, διέπλασεν ἐν μήτρᾳ, προήνεγκεν εἰς φῶς, ἐκ βρέφους διετήρησε μέχρι παιδὸς, μέχρι παστάδος, μέχρι τελείας ἡλικίας· τούτων οὐδὲν οὐ καθ' ὥραν; ὅτε δὲ πρὸς τὸν ἀθάνατον ἀμείβει βίον, τότε μόνον οὐ καθ' ὥραν; πόῤῥω γλώσσης εὐσέβειαν μελετώσης ἡ τοιαύτη δυσφημία· πόῤῥω φρονήματος σωφρονοῦντος· τοῦτο θρήνων μακρῶν, τοῦτο δακρύων πολλῶν ἐγκαταχωσθῆναι τὸν ἄνθρωπον τηλικαύτῃ μοχθηρίᾳ λογισμῶν· ἀλλ' οὐχὶ τὸ διαμεῖψαι τὰ ἄφθαρτα τῶν φθαρτῶν· οὐ μὲν οὖν οὐχὶ πενθεῖν τὴν διαφυγοῦσαν σῶμα θνητὸν δεῖ, ἀλλὰ τὸν νεκρώσαντα τὸν ἀθάνατον νοῦν· οὐδ' ἣν οὐράνιος παστὰς θαλαμεύει, ἀλλ' ὃς ἔθαψε τὴν ψυχὴν ἐλπίσι νεκραῖς· ναί φησιν, ἀλλὰ τεκόντων προαπῆλθε· τί δαὶ ἄρα, ἐβούλετο δέ τις αὐτὴν μητρὸς καὶ πατρὸς θανάτῳ προκατεργασθεῖσαν πρότερον, οὕτως ἀπελθεῖν; τηλικαύταις πληγαῖς μεμαστιγωμένην· παιδὸς οὐ μοι σπλάγχνα μητρυιᾶς διάθεσιν ἐνδεικνύμενος, ἀλλ' οὐ πατρὸς οὐδὲ μητρὸς φίλτρον ἀπαγγέλει· καὶ ζητοῦντος τὸ οἰκεῖον ἡδὺ ἢ τὸ τῇ θυγατρὶ κεχαρισμένον, καὶ σοφιζομένου πόθῳ παιδὸς τὴν ἑαυτοῦ θεραπείαν. Τί

γὰρ

γὰρ λυπηρὸν ἰδεῖν στεργομένων θάνατον; οὐκ οὖν ἀπῆλθεν ἡ παῖς ἐλευθέρα τούτου· ἀλλ' οὐ λυπηρόν· καὶ τί δαπανῶμεν ἑαυτοὺς τῇ λύπῃ; Εἰ δ' αὕτη σοι παρῆν ἐκεῖθεν ἡ παῖς ἐπιστᾶσα, καὶ χειρὶ χεῖρα ἐμβαλοῦσα, ἱλαρῷ δὲ καὶ χαίροντι προσώπῳ κατεφίλει τε καὶ προσεφθέγγετο, τί δὲ ἄρα κόπτεις σεαυτὸν ὦ πάτερ; τί δὲ θρηνεῖς, ὡς ἐπὶ κακοῖς, ἀπελθοῦσαν; ἐμοὶ παράδεισος ἔλαχεν οἰκεῖν· γλυκὺ μὲν τι θέαμα ὀφθαλμοῖς ἰδεῖν· γλυκύτερον δὲ ἐναπολαῦσαι· μείζω δὲ πίστεως ἁπάσης ἡ πεῖρα· παράδεισος ἐκεῖνος ἡ πρώτη καὶ θαυμασία τοῦ γένους πατρὶς, ἐν ᾧ πάλαι τῆς δεσποτικῆς παλάμης τὸ φιλοτέχνημα τῆς φύσεως οἱ προπάτορες, πρὶν ἢ τὸν ὄφιν ὑποψιθυρίσαι, τῆς εὐδαίμονος καὶ μακαρίας ἀπήλαυον ζωῆς. Ἀλλὰ νῦν οὐδὲ ὁ σκολιὸς ἐκεῖνος καὶ πονηρὸς ὄφις, χώραν ἔχει ὑφερπύσαι, οὐδέ τινας ψιθύρους λόγους ὑπομηχανᾶσθαι· ἀλλ' οὐδ' ἐν ἡμῖν ἐστί τις, οὗ μὴ ἐστὶν ἡ γνώμη μηχανῆς ἁπάσης καὶ τέχνης ἀμείνων· οὐδ' ὀφθαλμοὺς δέ τις ἀνοιχθῆναι δεῖ) ἢ τινος μείζονος ἐπιθυμίας ἀπολαῦσαι. Ἐσμὲν γὰρ ἅπαντες σοφοὶ μετὰ τὴν θείαν καὶ οὐράνιον σοφίαν· ἐν ἀφθόνοις δὲ καὶ ἀνεκλαλήτοις ἀγαθοῖς ὁ δὲ πᾶς βίος ἡμῖν ἑορτὴ καὶ πανήγυρις· λαμπροὶ δὲ λαμπρῶς ἐν ἀφθάρτοις καὶ καθαρωτάτοις πολιτευόμενοι σώμασι, Θεὸν ὁρῶμεν, ὡς ἐστὶν ἀνθρώπῳ δυνατὸν ἰδεῖν, καὶ τούτου τῷ ἀφράστῳ καὶ ἀπερινοήτῳ κάλλει ἐντρυφῶντες, διαπαντὸς ἀγαλλόμεθα, καὶ κόρος τούτων οὐδείς· ἀλλὰ τὸ ἄφθονον τοῦ τρυφᾶν ἀκμὴ γίνεται τοῦ ἐρᾶν, καὶ τῷ ἔρωτι συμπαροῦσα ἡ ἐξουσία τῆς ἀπολαύσεως, ἄφατόν τινα καὶ ἀνεκδιήγητον, ὡς ἀληθῶς, τὴν χαρὰν ἐκείνην καὶ ἀγαλλίασιν ἐργάζεται· ὡς καὶ νῦν ἐμοίγε ταῦτα σοι προσομιλούσῃ, δεινὸς καὶ ἀμήχανος πρὸς ἐκεῖνα ἔρως ἐπιστρέφει, καὶ οὐδὲ τὸ βραχύτατον αὐτῶν παραχωρεῖ διηγήσασθαι· ἐλθούσῃ δέ ποτε καὶ αὐτὸς ἐκεῖσε ἅμα φίλῃ μητρὶ, καὶ τότε πολλὰ μὲν ἐμὲ τοῦ μικρὰ περὶ τηλικούτων εἰπεῖν· πολλὰ δὲ σαυτὸν τοῦ πένθους αἰτιάσῃ· οἵων καλῶν κἀγαθῶν ἡμῖν κατωδύρου· ἀλλά με λοιπὸν, ὦ φίλτατε πάτερ, χαίρων ἔα καὶ προπέμπε·

Quid tristitiæ est intueri mortem amatorum? excessit hinc filia, à morte libera, hoc triste non est: & quid nos tum consumimus tristitia? si rediviva tibi adesset nata, & astans manum manui misceret; si blando & exhilarante vultu oscula daret & alloqueretur, Quid te affligis pater? quid lamentaris, quasi mala me excedentem ambirent? Habitare paradisum sortita sum, jucundum oculis spectaculum, jucundius fruitione, experientia omnem excedit fidem: Paradisus ille sedes paterna & principalis nostri generis, in quo dominicæ manus opificium naturale primi nostri parentes, antequam insibilaret serpens, hoc est, beatam vitam agebant: Hunc campum ille nequam & incurvus serpens illabi nequit adhuc, nec insusuratos sermones insinuare fraudulenter: Inest ibi nobis mens omni machina superior, omni arte major, non est ibi oculus aperiendus aut majoris oblectationis fruendæ desiderium: Sumus omnes sapientia divina & cœlesti sapientes; vita omnis transigitur in inenarrabilibus nec invidendis bonis, inde tota nobis festivitas & Panegyris: Splendidi splendidè in corporibus incorruptibilibus & purissimis versantes, Deum videmus, quomodo homini videre fas est Deum, illius inexplicabili & incomprehensibili pulchritudine, quasi luxuriantes continuò tripudiamus, nec satietas adest: Luxuriæ abundantia illius summitas fit dilectionis, & illam comitata fruitio inenarrabile illud gaudium, & inexplicabilem exultationem operatur: adeo ut amor me immensus eò revehat, dum tecum hos sermones fero, nec possum illorum partem vel minimam referre: Accedes tu aliquando eò cum dilecta mea matre, & tum me pauca quædam de multis, & minutiora enarrâsse censebis, téque ipsum de hac tristitia accusabis, qui me in talibus bonis versantem deploras: verùm dilectissime pater, de cætero me lætus

præmitte

præmitte isthinc, nec diutiùs detine, nè plus incommoderis, & idcirco vehementiùs affligaris. Si apud te hæc vel similia tecum beata tua filiola colloqueretur, an non permotus i de gemitus abigeres, & lætus lætam abire permitteres? Deinde si filia hæc diceret, an meliori statu erimus, & lumenta rejiciemus? sin communis conditor, & Dominus clamet, *Qui credit in me, etiamsi moriatur, vivet; & qui præparavit diligentibus se, quæ oculus non vidit, nec auris audivit, nec in cor hominis ascendit*: tanquam infideles nihilo erimus meliores, & plus dolebimus? ubi bonum, justum, ubi ratiocinationes conjunctæ cùm decenti aut utili? Ulteriùs, nonne pudet ornatissimam meam sponsam virilem conditionem in muliebres lachrymas diffundendo & irruendo, fœmineæ imbecillitatis curam omittere, nè rationabilis & conducens compassio dissipet irrationalem, & inutilem: Si viri, per quos fœminæ firmantur, non minùs quàm fœminæ plangunt, unde illæ solamen acquirent? quos laudandos proponemus ob strenuitatem imitandos? ad quos respiciemus? Verùm noli tu quicquam te ipso vel genere tuo indignum perpeti, aut, ut magis tempori congruum dixero, adulterinum: in luctum nè ultra decorum efferamus, nec cùm viri sumus, muliebriter passionem feramus, cùm multoties multis in locis fortes nos præstiterimus: Opifex ad se transtulit opificium; sed plus dedit quàm abstulit: & subsistant precor diu viventes, & parentes gaudio afficientes filii alii filiæque: dolet quod præteriit; lætitiâ afficiant præsentes, gratias de ablatis agamus, ut stabiliter fruamur iis quos habemus, déque iis gaudium & exultationem habeamus: pulchrum est successuros possidere, possidemus: præclarum est primitias largitori consecrare & omnium datori, quod fecimus, offerre: Incertum prius erat, quos è liberis Deo primitias dare, quos generis destinare successioni oporteret:

μηδὲ πλέον κατέχῃς, ἵνα μὴ πλέον ζημιώσῃς, καὶ διὰ τοῦτο πικρῶς ἀνιάσῃς. Εἰ ταῦτα δὲ καὶ τοιαῦτα ἕτερα τὸ μακάριον ἐκεῖνο θυγάτριον διεξίοι, ἆρ' οὐκ ἂν δυσωπηθεὶς καὶ τὸν ὀδυρμὸν ἀπέθου καὶ χαίρων χαίρουσαν ἀπιέναι περιέπεμπες; Εἶτα ἂν μὲν ἡ παῖς ταῦτα λέγῃ, βελτίους ἐσόμεθα καὶ τοὺς θρήνους ἀπορρίψομεν; ἂν δ' ὁ κοινὸς πλάστης καὶ δεσπότης βοᾷ, ὁ πιστεύων εἰς ἐμὲ κἂν ἀποθάνῃ ζήσεται· καὶ ὅτε ἡτοίμασεν τοῖς ἀγαπῶσιν αὐτὸν, ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη· ὡς ἀπιστοῦντες οὐδὲν ἄμεινον διακεισόμεθα, ἀλλ' ἐπὶ πλέον θρηνήσομεν; καὶ ποῦ τοῦτο καλὸν; ποῦ δὲ δίκαιον; ποῦ δὲ λογισμὸν ἐγγὺς ἑστηκότων τοῦ πρέποντος ἢ συμφέροντος; Εἶτα οὐδὲ τὴν ἐμὴν αἰσχύνῃ κοσμιωτάτην νύμφην, εἰς τὰ τῶν θηλέων δάκρυα τὸ ἀρρενωπὸν διαχέων καὶ καταφερόμενος· οὐδὲ φείδῃ τῆς γυναικείας ἀσθενείας· οὐδ' ἡ περὶ αὐτὴν εὔλογος συμπάθεια καὶ ὠφέλιμος τὴν παράλογον διαλύει καὶ ἀσύμφορον. Εἰ γὰρ ἄνδρες, παρ' ὧν ταῖς γυναιξὶν ἡ ἀνάκτησις, ἴσα γυναίοις κόπτονται τί τὸ περὶ αὐτὰς ἔσται; πόθεν τὸ παραμύθιον ἕξουσι; τίνας δὲ παραινέσομεν εἰς καρτερίαν μιμεῖσθαι, πρὸς τίνας ἀφορᾶν; ἀλλὰ μὴ σύγε, μηδὲ σεαυτοῦ ἀνάξιον πάθοις, μηδὲ τοῦ γένους, ἵνα τι καὶ τοῦ καιροῦ φιλοτιμότερον εἴπω, νόθον καὶ ἀλλότριον· μὴ δὴ τοῦ καλοῦ πλέον εἰς οἰμωγὰς ἐκφερώμεθα, μηδὲ γυναικιζόμεθα τῷ πάθει ἄνδρες πολλαχοῦ ἐν πολλοῖς καὶ χαλεπωτάτοις περιστασμοῖς ἀναφανέντες· ἔλαβε πρὸς ἑαυτὸν ὁ πλάστης τὸ πλάσμα· ἀλλ' ἔδωκε πλείους ὧν ἀφεῖλε· καὶ εἴησάν γε ἐπὶ μακρότατον εὖ βιοῦντες, καὶ τοὺς τεκόντας εὐφραίνοντες υἱοὺς καὶ θυγατέρας· λυπεῖ τὸ παρελθὸν· εὐφραινέτωσαν οἱ παρόντες· εὐχαριστήσωμεν ὑπὲρ ὧν ἀφεῖλεν, ἵνα οἷς ἐχαρίσατο χαίρειν καὶ ἀγαλλιᾶσθαι βεβαίαν ἔχωμεν τὴν ἀπόλαυσιν· καλὸν ἔχειν τῷ βίῳ γένους διαδόχους· ἔχομεν· καλὸν παρέχειν ἀπαρχὰς τῷ κοινῷ πλάστῃ, καὶ τῷ ἀγαθῶν ἁπάντων δωτῆρι προσενηνέγκαμεν· πρὶν μὲν ἄδηλον ἦν τίνες τῶν παίδων εἰς ἀπαρχὰς Θεῷ· τίνες δὲ εἰς διαδοχὴν γένους λογισθήσονται·

σονται· νῦν δὲ ἂν μόνον εὐχαρίστως τὴν ἀπαρχὴν δώσωμεν, οὐκέτι ἐν ἀδήλοις τὰς ἐλπίδας σαλεύσωμεν, ἀλλ' ἐν τῷ βεβαίῳ πεπηγότες ἐσόμεθα· οὐδέποτε λαβὼν οὐ παρέσχε φιλοτιμότερον· ἀεὶ δὲ μεγίστοις καὶ ἀνελπίστοις ἀγαθοῖς τὰ ἐλάχιστα διαμείβεται. Εἰ δὲ θρήνοις, ὡς ἀδικούμενοι, τὰς ἀπαρχὰς καθυβρίσωμεν· ἀλλ' ἐγὼ μὲν οὐδὲν ἐρῶ δυσχερὲς, ἐπεὶ μηδ' ὑμᾶς ἐλπίζω τοῦ λοιποῦ θρήνους καὶ λύπας καὶ τοιαῦτα πάθη, ἃ τοῦ δυσχεροῦς ἐστιν αἰτία, περιβάλλεσθαι· εἴη δέ μοι καὶ τὸ θεῖον τῇ τε ψήφῳ, καὶ τῇ ἐλπίδι συνεφαπτόμενον· καὶ ἔστι γε· αὐτός μοι τὴν παῤῥησίαν χορηγεῖ ὑμῶν, ὅπερ ἔφην, ἀπὸ τῆς ἀθυμίας εἰς εὐχαριστίαν ἀνενεγκόντων, πολλὰ δὲ καὶ νέα καὶ παλαιὰ τοῦ συνενεχθέντος εἰς ψυχαγωγίαν ὑποδείγματα· μᾶλλον δ' ἀληθέστερον εἰπεῖν, ὅλος ὁ βίος τούτου παράδειγμα, ὃν τοῖς λογισμοῖς ἐπιδιελθόντα, πᾶσαν ἐστὶ ῥᾷον ἀποθέσθαι τὴν κατήφειαν. Εἴπω τὸ μεῖζον, μᾶλλον δὲ τὸ φρικῆς γέμον· τίνων ἐστὶ τὸ λυπεῖσθαι τοὺς ἀποιχομένους; μᾶλλον δὲ οὐδ' αὐτὸς ἐρῶ, τὸν κήρυκα δὲ τῆς οἰκουμένης καλῶ, διὰ τῆς οἰκείας φωνῆς ἀπαγγεῖλαι τὸ οὐράνιον ψήφισμα· Οὐ θέλω ὑμᾶς ἀγνοεῖν ἀδελφοὶ περὶ τῶν κεκοιμημένων, ἵνα μὴ λυπῆσθε καὶ ὑμεῖς, καθὼς καὶ οἱ λοιποὶ, οἱ μὴ ἔχοντες ἐλπίδα· Παῦλος ἐστὶν ὁ σαλπίζων ταῦτα, ὁ τῷ οὐρανίῳ παιδευθεὶς διδασκαλείῳ, ὁ τὴν οἰκουμένην πᾶσαν περιλαβὼν τῷ κηρύγματι· τὸ τοῦ Χριστοῦ στόμα ἀπίστων ἐστὶ βοᾷ, τὴν ἐπὶ τοῖς τελευτῶσι λύπην σβεννύντων τῆς ἀναστάσεως τὴν ἐλπίδα, ἀπιστούντων τοῦ κατὰ Χριστὸν μυστηρίου τὴν δύναμιν· ἀλλ' ἀποθώμεθα τὴν λύπην, ἵνα μὴ τηλικούτοις κακοῖς ἔνοχοι φανῶμεν· ἵνα μὴ ὡς ἀληθῶς τότε τὴν παῖδα ζημιωθῶμεν· νῦν μὲν γὰρ κόλποι θάλπουσιν αὐτὴν Ἀβραμιαῖοι κἀκεῖ ταύτην, εὐφραινομένην καὶ χαίρουσαν, μετ' ὀλίγον θεασόμεθα· ἐὰν δὲ παρὰ τοὺς δεσποτικοὺς θεσμοὺς ἐγὼ τὴν παῖδα θρηνῶ, ἐλαύνομαι τοῦ καλοῦ θεάματος ἐκείνου· ποθεῖς τὴν παῖδα θεάσασθαι; ῥῖψον ἀπὸ σοῦ τὴν λύπην· δεῖξον σεαυτὸν, δι' ὧν εὐχαριστεῖς, ἄξιον τῆς ἐκεῖθεν εὐφροσύνης· ἀλλ' εἰ ἔτι στεργόμεν τοὺς θρήνους, ἑαυτοὺς στερίσκομεν τοῦ ποθουμένου· οὐκ οἶδε θρήνους

Nunc ſi gratanter primitias dederimus, non inter incerta vacillabit ſpes, ſed immoto in ſtatu defixi erimus: Deus nunquam accepit, quin ampliùs largiatur; ſemper vel minima maximis & inſperatis bonis remunerat: Sin planctu, ut injuria affecti primitias dedecoremus: quanquam nihil ego proloqui infauſtum velim, quippe qui ſperem te de cætero nullam talem paſſionem, lamenta, mœrorem admiſſurum, unde infauſti quicquam procuretur: mihi Numen & ſpe & ſuffragio faveat; favet autem, & libertatem loquendi concedit, te ab animi mœrore in gratiarum actionem converſo, plurima cùm antiqua tum recentia exempla, quæ ſolamen afferant, repræſentare poſſum: Quin, ut quod res eſt dicam, tota hominum vita hujus eſt exemplum, quam cogitatione rememorans facilè dejectionem omnem amolietur: Majus adhuc dixero, & tremendum illud; ad quos pertinet defunctos deplorare? hîc ipſe non dicam, ſed orbis præconem compello, ut voce ſua enuntiet cœleſte decretum: *De dormientibus nolo vos ignorare fratres: ut nè triſtitia vos ità afficiemini, quemadmodum & cæteri, qui ſpem non habent:* Paulus horum eſt buccinator, cœleſti inſtitutus ludoliterario, qui totum mundum obivit prædicando: Chriſti os clamat, infideles decere, de defunctis triſtitia affici, reſurrectiones ſpem extinguere, non credendo virtutem myſterii ſecundùm Chriſtum: Triſtitiam igitur exuamus, nè reatum contrahamus tanti mali; nè filiam tuam vero damno afficiamur; nam nunc Abrahami ſinu fovetur, ibidem non ità longo poſthac tempore illam lætam & exultantem intuebimur: ſin contra Domini legem puellam defleo, ab illo pulchro ſpectaculo expellor: Víſne ergò filiam intueri, repelle luctum, per actionem gratiarum declara te dignum lætitia illa? ſi luctibus adhuc indulgeamus, deſiderato nos privamus: Lætitia inibi ploratus neſcit:

Exultarionis

Exultationis & gaudii nuptialis thalamus locum lugentibus non concedet; nec admittet lachrymantes, quos hæredes gaudii inexplicabilis habet: Viſum eſt factori figmentum refingere ad immortalitatem: Hanc felicem ego ſortem puellæ non invideo, nec ſententiam contra murmurabo eam, quam amplecti deberem: Dominicam largitatem in argumentum ingratitudinis non traxero. Morbo aliquando laborabat filiolus magni regis David, morbus ſepulchrum monſtrabat: Ille morbum calamitatis loco habens, pronus ſternitur, lachrymis implorat numen, à cibo & omni corporis cultu abſtinet: At ubi exceſſit puellus, ſtatim deponebat luctum: Orabat priùs ut viſcerum ſtirps ſubſiſteret; poſtquam vidit fictorem determinâſſe abitum, per luctum judicis ſententiam violare non erat auſus: ſed ſublimiorem ſe omni dejectione præſtans, voces emiſit gratias agentes, & uſitato more ſe refecit: Ità nos affectos eſſe decet; ſi infirmatur filius, cognatus, amicus, ſi morbus mortem parturiat; Deum veneror, ut auferat morbum, det, donet deſiderantibus deſiderium ſuum: ſed tranſlationem ille utiliorem judicat; decet deinceps de illa diſpenſatione gratias agere, contentos eſſe, nec luctu & gemitibus Creatoris judicium violare: Si quis nobis inſidietur dæmon, & Jobum rurſus depoſcit, ſi malevolum cum ſervo ſuo committere Deus velit, ſi patientiam vult explorare ad convictionem adverſarii, ſi ſtadiũ certamini aperit, ut pudefaciat antagoniſtam, antagoniſtam coronet: mœſtitię argumentum virtutis deprædicationẽ facere non oportet, nec tempus coronarum lamentorum tempus conſtituere, non certaminis diem diem lachrymarum; Non per eos quos coronavit patientia; non per coronas ipſas immarceſſibiles & ſplendidas: hæc generoſum tuum animum dede-

ἡ ἐκεῖθεν εὐφροσύνη· οὐδ᾽ ὁ τῆς ἀγαλλιάσεως καὶ χαρᾶς νυμφὼν ἀνέχεται γενέσθαι χωρίον πενθούντων· οὐδ᾽ ἐθέλει παραδέχεσθαι τοὺς ὑπὸ δάκρυσι τιθέντας· οὓς αὐτὸς ἀνεκλαλήτου χαρᾶς ἔχει κληρονόμους. Ἔκρινεν ὁ πλάστης τὸ πλάσμα πρὸς ἀθανασίαν μεταπλάσαι· μὴ βασκαίνω μὲν τῆς εὐδαιμονίας τὴν παῖδα, μηδὲ τῆς κρίσεως ἣν ἔδει θαυμάζειν καταγογγύζωμεν· μηδὲ τὴν δεσποτικὴν φιλοτιμίαν εἰς ὑπόθεσιν ἀγνωμοσύνης βιαζώμεθα. Ἐνόσει ποτὲ παιδίον τοῦ μεγάλου βασιλέως Δαβὶδ, καὶ ἡ νόσος τὸν τάφον ἐδείκνυ· Ὁ δὲ συμφορὰν τὴν νόσον ποιούμενος, πρηνὴς ἔκειτο, καὶ δάκρυσιν ἐξεμειλίσσετο τὸ θεῖον, τροφῆς τε αὐτῆς ἀπεχόμενος καὶ τῆς ἄλλης ἐπιμελείας τοῦ σώματος, ἀλλ᾽ ὅτε τὸ παιδίον ἀπῆλθεν, αὐτίκα συναπέθετο καὶ τὴν λύπην· πρὶν μὲν γὰρ ἐκέλευε παραμένειν τὸ φυὲν τῶν σπλάγχνων· ἐπεὶ δὲ κρίναντα τὴν ἀναχώρησιν τὸν πλάστην εἶδεν, οὐκ ἐτόλμησε τοῦ κριτοῦ τὴν ψῆφον ἐγκαθυβρίσαι τῷ πένθει· ἀλλ᾽ ἀνώτερον ἑαυτὸν πάσης παρασκευασάμενος κατηφείας, εὐχαριστηρίους ἠφίει φωνὰς, καὶ τῆς συνήθους εἴχετο διαίτης· οὕτω χρὴ διατίθεσθαι καὶ ἡμᾶς· ἀσθενεῖ παιδίον, συγγενὴς ἄλλος, ἢ τῶν φίλων τις, καὶ ἡ νόσος θάνατον ὠδίνει· δέομαι θεοῦ παρελθεῖν τὴν νόσον, δοῦναι, παρεῖναι τὸ ποθούμενον τοῖς ποθοῦσιν· ἀλλ᾽ ἄμεινον αὐτὸς τὴν μετάστασιν ἡγεῖται· εὐχαριστεῖν λοιπὸν οἷς ᾠκονόμησε προσήκει· στέργειν τὸ πραχθὲν καὶ μὴ τῷ θρήνῳ καὶ τοῖς ὀδυρμοῖς ἐγκαθυβρίζειν τὴν κρίσιν τοῦ κτίσαντος. Εἰ δέ τις καὶ ἡμᾶς ἐνεδρεύει δαίμων, καὶ τὸν Ἰὼβ πάλιν ἐξαιτεῖ, καὶ θεὸς ἀφίησι τῷ θεράποντι* βάσανον συμπλακῆναι, καὶ δοκιμάζει τὴν ὑπομονὴν ἐπ᾽ ἐλέγχῳ τοῦ ἀντικειμένου, καὶ ἀγώνων στάδιον ἀνοίγει, καταισχῦναι μὲν τὸν ἀνταγωνιστὴν, στεφανῶσαι δὲ τὸν ἀθλητήν· οὐδ᾽ οὕτω χρὴ ἀνίας ὑπόθεσιν τῆς ἀρετῆς τὴν ἀνακήρυξιν, οὐ μὲν οὖν οὐδαμῶς ποιεῖσθαι, οὐδὲ καιρὸν θρήνων ἀποφαίνειν τὸν καιρὸν τῶν τροπαίων· οὐδὲ ἡμέραν δακρύων, τῆς ἀθλήσεως τὴν ἡμέραν· οὐ μὰ τοὺς δι᾽ ὑπομονῆς στεφανωθέντας, καὶ τοὺς ἀμαραντίνους αὐτοὺς καὶ λαμπροὺς στεφάνους· οὐκ ἔστιν ἄξια ταῦτα τῆς σῆς γενναίας ψυχῆς, οὐ-

* ἴσ. βάσκανον

δὲ τοῦ εὐσταθοῦς φρονήματος, οὐδὲ τῆς ἄλλης ἀρετῆς. Τοιγαροῦν στῶμεν ἀνδρείως· στῶμεν εὐθαρσῶς, ὡς τοῦ οὐρανίου στρατιῶται βασιλέως. τῷ ἐχθρῷ συμπλεκώμεθα· μηδὲ καταισχύνωμεν τὴν μαρτυρίαν τοῦ ἀγωνοθέτου· μηδὲ τοῦ ἀντιπάλου τὸ θράσος ἐν τῷ δυσφορεῖν συγκροτήσωμεν· μηδ' εἴ τι πρότερον ἡμῖν * ἀνδρείας κατορθωθῇ, τοῖς ὑστέροις ἐκθηλύνωμεν· μηδὲ κινῆσαι μὲν φθόνον ἐχθροῦ γινώμεθα ἀγαθοί· νικῆσαι δὲ διὰ τῆς ὑπομονῆς εἰς τέλος ἐλεγχθῶμεν ὀκνηροί· ἕτοιμος εἰς πτῶσιν ὁ πολέμιος, ὅταν ἴδῃ μακροθύμως φέροντας τοὺς πειρασμοὺς, θᾶττον ἀφίσταται τῆς πείρας, ὁρῶν τὸν ἄνθρωπον ἐπὶ στερρᾶς τῆς καρτερίας ἑδραζόμενον· ἐγγὺς ὁ στεφοδότης, λαμπρύνει τοῖς στεφάνοις ἀντὶ τῶν ἄθλων δεξιούμενος τὸν ἀγωνιστήν· καὶ οὐκέτι συγχωρεῖ προσβαλεῖν τὸν ἐχθρόν· πόῤῥω δὲ τοῦτον ἐλαύνει· κἂν ἔτι δόξῃ ἀναισχυντεῖν, σὺν αὐταῖς ἁπάσαις τέχναις καὶ ἐπιβουλαῖς· ἀμείβει δὲ καὶ τὰ ἄλγεινα πολλαπλάσιον τῇ εὐδαιμονίᾳ καὶ χαρᾷ, καὶ τούτων ἁπάντων ἀπαράγραπτος μάρτυς, αὐτὸς πάλιν Ἰὼβ, οὗ, ὥσπερ ταῖς πληγαῖς ἐκοινωνήσαμεν, οὕτω καὶ τῆς εὐφροσύνης, καὶ τῆς δόξης, καὶ τῆς λαμπρότητος ἀπολαύσομεν, νῦν τε καὶ εἰς τοὺς ἀτελευτήτους αἰῶνας, πρεσβευούσης τῆς ὑπερενδόξου δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, καὶ πάντων τῶν ἁγίων. Ἀμήν.

* ἴσ. ἀνδρείας

cent, judicium solidum, virtutes reliquas; Quocirca, stemus viriliter; stemus confidenter; ut milites cœlestis Regis cum hoste congrediamur: Agonothetæ testimonium nè pudefaciamus; nec adversarii audaciæ in maleferendo applaudamus: Nec siquid à principio viriliter gessimus, posterioribus mollefaciamus; nè simus fortes ad movendam hostis invidiam, in fine autem vincere inepti, & sesides convincamur: Hostis proclivis ad lapsum, cùm videat ferre nos patienter tentationes, ociùs absistit à tentando, videns hominem firmiter à fortitudine fundatum: In proximo stat qui coronas donat, splendidis remunerat agonistam coronis ad se susceptum, nec ulteriùs permittit cum hoste impetendum; quin illum longiùs amovet: Quòd si impudentiùs instet, artes ejus & insidias difflat: Patientis dolores remunerat felicitate & gaudio multiplicato: Horum omnium exemplum præbet beatus rursus Job, cujus participes velut & plagarum facti sumus, gaudii, gloriæ, & resplendentiæ, vel fiemus saltem, vel in præsenti, vel in seculo interminabili, intercedente gloriosissima Domina nostra, Deipara, semper Virgine Maria, cum omnibus sanctis. Amen.

Ἐπισ. σλε.

Νικηφόρῳ φιλοσόφῳ μονάζοντι.

Ἐφ' οἷς μὲν ἡ ἀχθηδὼν, ἀγνοῶ· οἶδα δὲ κατ' ὄψιν ἀξιωθεὶς, ῥητορικὰς ἀφορμὰς παρασχεῖν, ὅσας τε γλῶττα χαρίζεται, καὶ εἴ τι βίβλοι παρεκδιδάσκουσι· καὶ ἁπλῶς μὲν προβαλλομένῳ καὶ ἀπροσδιορίστῳ ῥήματι τὴν ἀξίωσιν συνοῖδα καὶ αὖθις ὁμοίαν σοι καὶ κοινὴν πεποιημένος τὴν ἐπίνευσιν· σοῦ δὲ, τὸ λοιπὸν, μηδὲν προσθέντος, μήτε ὅτι παραγενέσθαι δέοι ἵνα καὶ γλῶττα λέγειν ἔχοι, ἅττα ἂν καὶ λέγοι,

Epist. 235.

Nicephoro philosopho, Monasticam amplexo.

DE quibus accedat gravamen, ignoro: novi autem, tanquam per insomnium rogatus, Rhetoricas exhibere tibi occasiones, vel præcepta, tum quæ linguâ efferuntur, tum quæ libris repræsentantur: Novi etiam præterea similem assensum exhibere, & in communi positum, verbis simpliciter & indefinitè prolatis, interrogatus: Cùm verò tu in causa nihil adjeceris, nec quidem quòd in rem præsentem adesse me oporteat, ità ut lingua facultatem dicendi illa habeat, quæ dicenda sunt; neque

neque aliquid protuleris, quod particulari congruat, definitæque interrogationi, nè quidem communi, & generaliori modo: Nec perſpicuè edixeris, quorum tibi librorum uſus eſt, quas deſideres Rhetorum ſcriptiones, cujus artificis artificioſas texturas: Quomodo putas poſſe me vocis repercuſſionem tuæ, cùm tanto intervallo ſimus diſterminati, ad tuas uſque aures derivatam extendere? niſi fabulam de Stentorea voce deponere me poſſe putes? Deinde, & incuſare debes, quòd ingentem librorum acervum hinc inde conquiſitum, non incaſſum ad te miſerim: Ignorantia certè rei quæſitæ, hoc eſt, cùm ipſius artis, tum librorum ad illam pertinentium, in neceſſitatem conjeciſſet conquirendi (omnes libros, de quacunque arte ſcriptos:) ſi dolor hinc tuus ſortiebatur originem, nihil ille quidem ad me ſpectat; ſin quid ſit aliud, tu mihi ignoſcas, virorum optime, qui temporis diuturnitate, & morbi inſuper acerbitate, oblivionem obrepentem repellere nequii. Sed valeas animo atque corpore, & noli tam facilè gravaminum umbras, quas ipſe projicis, ſubire, nec ab alio quoquam allevamen requiras doloris tui, qui nullam alibi ſortitur originem quàm apud tuas ſuſpiciones, non illas ego arbitror legitimè natas. Vale.

Epiſt. 236.

Arſenio Monacho & Anachoretæ, poſtquam dimiſsi ad illum fuerant, qui de Bulgaria profecti, vitam Monaſticam ingredi cupiebant.

SI & tunc quoque oculis ego, quibus olim, videbam (hoc enim de me mihi tuæ literæ occinuerunt, & illam gratiam prædicarunt, quam alioquin ego non libenter admitterem) non obſcuræ meæ ignorantiæ convictionem affero: Verùm ſi quovis modo ego videns eram, quare ducem me cœcum exhibebam iis, qui ad lucem veritatis feſtinabant? Non eſt hoc videntis opi-

μήτε εἰς τὸ ἐπὶ μέρους καὶ ὡρισμένην ἀξίωσιν, τὴν κοινοτέραν καὶ ἀόριστον περιενεγκόντος. μηδὲ σαφῶς δεδηλωκότος, τίνων ἐστί σοι χρεία βιβλίων, καὶ ποίας τῆς ῥητορικῶν τεχνῶν πραγματείας, καὶ τίνος τεχνογράφου· πῶς ἂν δυναίμην ἐγὼ, ἢ τῆς φωνῆς τὴν ἀπήχησιν τοσούτῳ διεστηκότων διαστήματι, μέχρι τῶν σῶν ὤτων παρατείνειν; εἰ μή με καὶ Στεντορείους μύθους, ὅτι μὴ μακρὸν φθεγγόμενος, ἀποκρύπτω· πάλιν αἰτιάσῃ, ἢ βιβλίων πλῆθος ἀόριστον, ὧδε κἀκεῖσε διερευνᾶσθαι, εἶτα μάτην διαπέμπεσθαι. ἡ γὰρ ἄγνοια τοῦ ζητουμένου, τῆς τέχνης ἁπάσης δὲ τῆς περὶ αὐτὴν τὰς βίβλους, εἰς ἀνάγκην ἂν ἀπῆγε συναγείρειν· ἀλλ' εἰ μὲν ἐν τούτοις ἔχει τὰς γονὰς ἡ ἀλγηδὼν, οὐδὲν ὦ βέλτιστε πρὸς ἡμᾶς· εἰ δ' ἄλλο τί ἐστι, σὺ δέ μοι σύγγνωθι, καὶ χρόνῳ μακρῷ, καὶ νόσῳ πικρᾷ τὸ κρατεῖν λαβούσης λήθης ἡττηθέντι. Ἀλλά μοι ἔρρωσο τὴν ψυχὴν σὺν τῷ σώματι, καὶ μήτε ῥαδίως οὕτω σκιὰς ἀλγηδόνων αὐτὸς διεκπέμπων, ταύτας ὑπόδεχε, μήτε ζήτει παρ' ἄλλου λύπης ἐξευρεῖν ἀπαλλαγὴν, ἧς οὐκ ἔστι τὴν γένεσιν εὑρεῖν οὐδαμοῦ, ἀλλ' ἢ παρὰ τὰς σὰς τῆς ὑπονοίας οὐ γνησίους οἶμαι γονάς. Ἔρρωσο.

Ἐπισ. σλϛʹ.

Ἀρσενίῳ μονάζοντι καὶ ἡσυχαστῇ μετὰ τὸ ἀποσταλῆναι πρὸς αὐτὸν τοὺς ἐκ Βουλγαρίας ζητοῦντας μονάσαι.

ΕΙ βλέπων ἐγὼ καὶ τότε ὀφθαλμοῖς, τοῦ πάλαι βλέποντος (τοῦτο γάρ με τὸ σὸν ἀνύμνησε γράμμα, καὶ χάριν ἔδωκεν ἐν καιρῷ, ὃ οὐκ ἂν ἄλλως ἡδέως οὐδ' ἁπλῶς ἐδεξάμην) μὴ λάθω διδοὺς ἔλεγχον τῆς ἐμαυτοῦ ἀγνοίας· ἀλλ' εἰ μὲν βλέπων ὁπωσοῦν ἐγὼ, πῶς τυφλὸν ὁδηγὸν τοῖς πρὸς τὸ φῶς τῆς ἀληθείας ἐθέμην ἐπειγομένοις; Οὐ γὰρ οὐ βλέποντος τοῦτο μό-

νον,

ιον, πολλοῦ γε καὶ δεῖ· ἀλλὰ καὶ τὸ χαλεπώτατον τυφλοῦντος, ἑτέρους βλέπειν ἑλομένους· καὶ διαπλανῶντος μακρὰ τρίβου τῆς εὐθείας, τοὺς ὅλῳ ποδὶ μητιέναι ταύτην ἐκζητοῦντας. Εἰ τοίνυν μὴ παντελῶς ὁ ὕμνος ὄνειρος, καὶ δῶρον σκηνῆς βλέποντι παρεθέμην ἐγὼ τοὺς χειραγωγίας δεομένους· καὶ κρίσεως ἦν ἀδεκάστου ψῆφος, καὶ γνώμης εὐθύτης, ἀλλ᾽ οὐ στοργῆς τὴν δίκην διαγελώσης, οὐδὲ σπλάγχνων, τῶν φιλοστόργων τέκνων, εἰς παράλογον προσπάθειαν διαχεομένων, τὸ τῇ σῇ τελειότητι τοὺς ἄνδρας * παραπέμψαι. Οὐκοῦν ἐρρέτω τὸ παρ᾽ ἀξίαν, καὶ τὸ θαῦμα φυγὸν τὸ θαῦμα· γινέσθω τὴν συνήθη τῶν ἐν πράξεσι πρέπουσαν μεθαρμοζόμενον ἀκολουθίαν, καὶ ἡμεῖς οὐδὲν τῇ σῇ κεχαρίσμεθα μακαριότητι, τῶν εἰς ἔκπληξιν ἀγόντων· ἀλλ᾽ οὐδὲ τῶν ἐπὶ τὸ μέτριον διαβαινόντων· χάριν δὲ μᾶλλον τὴν ὅτι μάλιστα ἀπειλήφαμεν, ἐν οἷς ἔχομεν ἀδελφοὺς, ἄρτι τῆς ἐν βίῳ ζάλης ὑποχωροῦντας, ἡσυχίας καὶ φιλοσόφου ζωῆς διὰ σοῦ λιμένι ἐγκαθορμίσαι· ἡμᾶς δὲ νόσος ἔσχεν (εἴγε χρὴ ταύτην νόσον καλεῖν ἀλλὰ μὴ θανάτου πρόθυρα) ὀξεῖα καὶ ἀπροσδόκητος· ἀλλὰ ταῖς ὑμῶν εὐχαῖς τῆς σφοδρᾶς ἀνῆκεν ἐπιθέσεως, θεοῦ πάλιν ἄνωθεν ἡμῖν τὴν ζωὴν ἐπὶ μετανοίᾳ, ἴσως, ὃ καὶ γένοιτο, κατανεύσαντος· καὶ λοιπὸν ἤδη ζῶμεν, εἰ καὶ τὰ λείψανα τοῦ πάθους ἔτι παραλυπεῖ τὸ σωμάτιον.

* ἴσ. παραπέμψαιμι.

nor, imò longè aliud, imò quod gravius est, ad eum spectat qui excœcat videre cupientes: & longo tramite aberrare facit à veritate illos, qui rectis pedibus viam virtutis premere volebant: Si igitur hymnus non omnino insomnium sit, & scenicum videnti donum, ego illos contradiderim, qui manuductione indigebant; & si sententia processit ab incorrupto judicio, si animum dirigebat rectitudo, & non amor, cui ludibrio justitia habebatur, nec à visceribus per indulgentiam filialem in affectus irrationales diffusis, tuæ absolutæ perfectioni homines transmittere? Eat igitur quò velit id quod præter dignitatem accidit, & admiratio fugiens admirationem: Fiat aliquid solitum, quo imitetur actionum congrua consequentia, tuæ beatitati nos nihil condonamus, quod possit ad stuporem impellere, aut quod excedat moderationem: Potiùs gratissimum nobis est, quòd ejusmodi affectos fratres habeamus, qui de fluctibus istius vitæ emerserunt, & per te cupiunt, in portum tranquillitatis & vitæ philosophicæ deduci: Me morbus habuit (si morbum tamen, & non mortis potiùs vestibulum dicere debeam) acutus & inexpectatus: Sed per vestras preces, de acerbitate aliquid remisit; Deo demum de cœlo mihi vitam ad pœnitentiam, quod optaverim factum, annuente: Quocirca vivimus adhuc, licet mihi corpusculum reliquiæ illius mali malè habeant affectum.

Ἐπιστ. σλζ.

Νικηφόρῳ φιλοσόφῳ μοναχῷ.

Ἀμηχανοῦντί μοι, καὶ ἀπορουμένῳ, καὶ ἀσχάλλοντι περὶ τὰ κατ᾽ ἐμαυτὸν, (ἐμὰ γὰρ τὰ τοῦ ἐμοῦ αἵματος, κἂν μὴ θέλω·) καὶ ὅσα πάθη συνέχει τοὺς φίλους, παραμύθιον ἧκεν (εἶδες καινὰ) ἐκ συμφορῶν πολυτρόπων ἠρτημένον φίλου· ἐλθὲ δὴ οὖν, ὥσπερ ἤτησας· ἐλθὲ τὴν ταχίστην· ἐν μέρει μὲν ἴσως (σὺν θεῷ δὲ φάναι) τὴν ἀπαλλαγὴν εὑρήσων τῶν παραλυπούντων· ἐν μέρει δὲ καὶ ἡμᾶς τῇ φίλῃ παρουσίᾳ τῆς πολυωδύνου κουφίζων ἀθυμίας.

Epist. 237.

Nicephoro philosopho Monacho

Hærenti mihi dubio, & vacillanti de mearum rerum statu (mea enim sunt, velim nolim, quæ mei sanguinis sunt) & quot malis amici premerentur, venit solatium (vide rei novitatem) à multiplicibus illis malis quibus amicus urgebatur: veni autem juxta quod expetebas, & celerrimè quidem veni ad partes inventurus, favente Deo, liberationem ab iis quæ mœrore te afficiunt: veni etiam in partes alleviandi per amicam tuam præsentiam multimodam tristitiam.

Epiſt. 238.

Eidem.

TRanſiit hyems, & hibernam tempeſtatem illam admodum congruè tuæ tarditatis cauſas diſcutiens, ſudum cœlum ſecutum eſt: Rurſus tamen in nos hyems cogitationum nives & imbres immiſit cum fragore: Quid autem factum? Num aliquid accidit inſperatum? num impedimentum? num ſine magna neceſſitate aliqua quieſcere potuit tantus ille impetus atque ardor ad regreſſum? Talibus nos curis & cogitationum tempeſtatibus, etiam cùm ſudum erat, jactabamur: Modus enim, neſcio unde, ſe vobis per crepidinem oſtentavit, fortaſſis ab aſſiduitate poetica, unà enim ſecum attrahebat verſus quoſdam licentiæ apud poetas uſurpatæ, quaſi generis elatione tumens, & nobis oſtendere volens, quàm ſit juris ſui, & poteſtatis: Veruntamen iſte modus nondum ſatìs libertatis nactus eſt, ad nos ingrediendi (qui magìs ruſtici moris ſumus) ſpeciem quandam prætextus potiùs ſubiens, quàm veram cauſam habens, unde manifeſtetur: Nondum addo, quòd ſi prohibuit hyems, fruſtrà eſt rei modus: ſin ignoratus autem regrediendi modus inhibuit, hyemis illa vis prætextus eſt ſupervacuus: non quòd poſt multos dies & periodum tam longi propoſiti modi cognitio jam tandem inquiritur: Sed hoc, uti dixeram omitto: Cùm jam ceſſaverit hyems, & cœlum ſudum diem ridendo ſerenaverit; nuſquam tamen comparet amicus, & ideò obnubilum & tetricum rurſus ejus vultum facit: Et tamen ſi à ſcena proſpexerit apologia, & præclarus ille mos ſe unà cum tempeſtate Choreuten prodat; mihi jucundum eſt, ſi ſic vel in ſcena agant: Cùm enim eſſet procul-dubio aliud, quod doleret, & adventum poſſet deſtinere, per amotionem à ſeipſis illius cauſæ, liberationem & exemptionem indicavit. Gaudium porrò gaudere ſincerum è literis datum eſt iis, qui è literis tuis reſciſcunt, te meliuſculè de morbo habere, à quo optarim te perfectè liberari, ſub conditione nè deinceps aliquid tale committas.

Ἐπιστ. σλη.

Τῷ αὐτῷ.

Ὁ Μὲν χειμὼν ἐγεγόνει, καὶ τὴν χειμέριον ὥραν, ὥσπερ ἐπιτηδὲς, ταῖς σαῖς προαναστέλλων τῆς βραδυτῆτος αἰτίας, ἀὴρ εὔδιος ὑπεδέχετο· καὶ χειμὼν πάλιν καθ' ἡμῶν πολλὰς νιφάδας λογισμῶν ἀφιεὶς κατερρήγνυτο· τί δὲ γέγονε; μή τι τῶν ἀδοκήτων ἀπήντησε; μή τι σπάνις τῶν * μολυσμάτων; ἄρα δὲ θερμὴν ὕπω πρὸς τὴν ἄνοδον ὁρμὴν, ἄνευ μεγάλης ἀνάγκης, οἷόν ἡσυχάσαι· τοιαύταις ἡμεῖς οἱ ὑπὸ τῆς εὐδίας ἐκκλυδωνιζόμεθα φροντίσιν· ὁ γὰρ τρόπος, οὐκ οἶδ' ὅθεν, ὑμῖν * παρακύψας, τάχα δὲ ἐκ τῆς ποιητικῆς συντεχείας· συνεφείλκε γὰρ αὐτῷ καὶ στίχους τῆς ἐκεῖθεν πεποιημένους ἀδείας, ὥσπερ ἐπιγαυρούμενος τῷ γένει, καὶ ἐπιδεικνὺς ἡμῖν τὸ αὐτόνομον· ἀλλ' οὗτος οὐδὲ ὕπω τοῖς ἀγροικότερον ἴσως ἡμῖν, πρὸς τὰ τοιαῦτα βιοῦσιν, οὐδαμῶς παρρησίαν ἔχει ἐπεισιέναι· σχῆμα προφάσεως ὑποτρέχων μᾶλλον ἢ αἰτίαν ἔχων πόθεν ἐμφανίζοιτο· καὶ οὔπω λέγω, ὡς εἰ μὲν ὁ χειμὼν ἀπείργει, περιττὸν ὁ τρόπος· εἰ δ' ὁ τῆς ἀνόδου τρόπος, οὐκ οἶδ' ὅπως ἀγνοούμενος, ἐπεῖχε, παρέλκουσα πρόφασις ἡ τοῦ χειμῶνος βία· οὐδ' ὅτι μετὰ πολλὰς ἡμέρας, καὶ περίοδον οὕτω μακρᾶς προθεσμίας, ἡ τοῦ τρόπου μάθησις νῦν ἐπιζητεῖται. Ἐάσθω μὲν οὖν, ὥσπερ ἔφην, ταῦτα. Ἀλλὰ γὰρ ὁ μὲν χειμὼν ἠρέμει, καὶ γαληνὸν μειδίαμα τὴν ἡμέραν διεγέλα· παρὼν δ' ὁ φίλος οὐδαμοῦ σκυθρωπὸν αὐτῆς καὶ συγνὸν τὸ πρόσωπον ὑπεδείκνυ· πλὴν εἰ καὶ σκηνῆς προέκυψεν ἡ ἀπολογία, καὶ ὁ καλὸς οὗτος τρόπος συγχορευτὴν ἑαυτὸν ὑπέβαλε τοῦ χειμῶνος· ἀλλ' ἡμῖν γε καὶ οὕτω χαρὰν ἐπέστησαν θεατρίσαι· πάντως γὰρ ἄλλου παραλυποῦντος, καὶ κωλύειν ὡς ἀληθῶς τὴν ἄφιξιν δυναμένου τὴν καθ' ἑαυτὴν μετάστασιν τῆς αἰτίας, ἀπαλλαγὴν ἐμήνυε καὶ ἐλευθερίαν· χαρὰν μέν τοι γε καθαρὰν ἔδωκε χαίρειν, ἐκ τοῦ γράμματος μαθοῦσι τὸ ῥᾷόν σε τῶν νοσημάτων ἔχειν, καὶ εἴης ἡμῖν μετὰ τοῦ μηδὲν ἔτι τοιοῦτον διαμαρτάνειν εἰς τὸ τέλειον ἀπηλλαγμένος.

* ἴσ. κωλυμάτων.

* ἴσ. παρακύψας.

Ἐπιστ. σλθʹ.

Κωνσταντίνῳ Νοταρίῳ.

Βραδὺς μὲν ἦσθα πρὸς μνήμην τῶν ἀπεσταλμένων· βραδύτερος δὲ πρὸς πρᾶξιν τῶν ἐπηγγελμένων· τῇ μὲν οὖν περὶ τὰς ἐντολὰς λήθῃ, ἔστι τι καὶ συγγνώμης· τὸ δὲ μηδέν σε τῶν ὑπεσχημένων ἐκτελέσαι, ἂν μὴ προπετείας ἦν ἡ ὑπόσχεσις δῶρον, μόνης ἐστὶν ἀμελείας.

Epiſt. 239.

Conſtantino Notario.

Tardus fuiſti in memoria miſſorum recolenda; tardior ad promiſſa exequenda; de oblitis mandatis concedenda eſt tibi venia; at quòd promiſſum non præſtiteris, ſi fervoris cujuſdam donum erat, ad negligentiam ſolam ſpectat.

Ἐπιστ. σμʹ.

Νικήτᾳ Ἀσπαθαρίῳ καὶ ἐπὶ τοῦ ἰδικοῦ ὑπὲρ τῶν μητροπολιτῶν τοῦ Κυζίκου καὶ τῆς Λαοδικείας.

Οἶδα μὲν τὴν φιλόθεόν σου ψυχὴν αὐτοπαράκλητον οὖσαν πρὸς τὸ ἀγαθὸν, καὶ συμπάσχουσαν ἐμφύτῳ διαθέσει τοῖς ὑπὲρ Χριστοῦ τὰ ἔσχατα πάσχουσι· πλὴν ἐπεὶ καὶ ἡμεῖς ἐγκαυχᾶσθαι σοῦ ταῖς ἀρεταῖς ποιούμεθα μέγα, καὶ συναλγεῖν τοῖς μέλεσιν ἡμῶν καὶ ἀδελφοῖς χρέος ἀπαραίτητον ὁρῶμεν· διὰ ταῦτα τὴν διάνοιαν πρὸ τῶν λόγων, καὶ πρὸ τῆς χειρὸς τοὺς λόγους, καὶ σὺν αὐτοῖς τὴν χεῖρα πρὸς ἱκεσίαν κινοῦμεν. Ἀρκεῖ ταῦτα πρὸς σε, οἶδα, καὶ δυσχεραίνεις ἴσως, ὅτι βραδύνω τὴν αἴτησιν, καὶ ἀγωνιᾷς τὴν παράκλησιν, καὶ μήπου ἄρα τῆς σῆς ἐπιλελήσμεθα τελειότητος, καὶ ὅτι πολλαχοῦ προφθάνων ὤφθης τὴν δέησιν οὐκ ἀναμείνας παραίνεσιν. Πείθομαι ταῦτα· ἀλλὰ τὸ περὶ τοὺς συναθλητὰς καὶ συναιχμαλώτους ἄλγημα, οὕτω με ποιεῖ διατίθεσθαι, καὶ μακρότερον τῆς ἱκεσίας ἐφάπτεσθαι· ἐρῶ δὴ ἤδη· οἱ τοῦ θεοῦ τῷ ὄντι ἀρχιερεῖς, καὶ ἡμῶν τῶν ταπεινῶν συναρχιερεῖς χειμῶνι καὶ ἡλίῳ διατηκόμενοι· λογίζου μοι χρόνος ὅσος ἠναγκάσθησαν ἐξ ἐράνου καὶ χρεῶν βαρυτόκων, εἰ μή τι ἄλλο, ἀλλ' οὖν ὥσπερ τὰ πετεινὰ τοῦ οὐρανοῦ ἑαυτοῖς περινοήσασθαι κατασκηνώσεις, καὶ ζωῆς τινος μικρὰν παραμυθίαν, οὐκέτι λέγω πολλά· δεῖξον σεαυτὸν ἀπαράλλακτον σεαυτοῦ, καὶ τὸν ἔνδοθέν σου περὶ τὸ θεῖον πόθον

Epiſt. 240.

Nicetæ Aſpathario, & de rebus privatis pro Metropolitis Cyzici & Laodiceæ agenti.

Animam ego tuam Dei amantem novi ſua ſponte in bonum ferri, & ab ingenita diſpoſitione illis compati, qui pro Chriſto patiuntur: Sed propterea quòd magni faciam de tuis virtutibus gloriari, & debitum à me illud exigi videam, ut comembris & fratribus compatiar: idcircò, ante orationem cogitationes, ante manus orationem, & unà cum iis manum ſupplicem prætendo: Hæc apud te ſufficient, ſcio; & fortaſſis fers ægerrimè, quòd petitionem non exponam, & laboras de admonitione meæ interceſſionis, nè ſcilicet fortaſſis tuæ perfectionis me oblivio ceperit, cùm tu multoties interceſſionem præveneris, non expectata admonitione: Et mihi quidem iſta ſunt perſuaſiſſima: Sed dolor mihi conceptus de coathletis & concaptivis meis ità me diſponit, ut à longè exordiar interceſſionem: At nunc expediam; Dei veri ſacerdotes, & noſtri conſacerdotes ab æſtu & frigore conſumuntur: Subeat tibi cogitatio, quanto jam tempore decurſo de emendicata ſtipe, & pecunia graviſſimis uſuris mutuò accepta vix vitam ſuſtinuerint, coacti non aliter quàm volucres cœli nidos ſibi conſtruere, & aliquod vitæ ſolatium vel exiguum procurare: Oſtende teipſum non diſſimilem tui, & Dei deſi-

derium

derium tibi inhærens extra te diffunde; dum illorum miſerearis, leniorem nobis redde maxima ex parte dolorem, illorum ſolando indigentiam: Animæ procurat indulgentiæ veniam, ſi quis animabus pro Chriſto afflictis, auxilium ferat: Quid autem aliud ego ſcribo? quàm ut is qui ſupplicat rogando, conceſſa petitione gratias agat; propterea quòd in cæteris mei benè memor fueris, & præſentem petitionem fervidè, & ſine prætexta excuſatione adimpleveris potiusquam adimplebis: Chriſtus omnis miſericordiæ & conſolationis Dominus ad omne tui voti deſiderium aurem apertam habeat, & reliquam vitæ partem omnigenis bonis adaugeat; uſque dum regni illius, ubi nulla eſt ſucceſſio, beati participem faciat.

Epiſt. 241.

Theophani Diacono & à Notariis, roganti quaſi à ſeipſo profectam dubiorum quorundam ſolutionem: revera autem de mandato Imperatoris quæſtiones inſtituenti.

QUid tu paſſus? quâ cogitatione motus tu vir Dei? poſt tam longum tempus, & noſtri tam profundam oblivionem, poſt amneſtiam horrendam, nec facilè commemorandam, ab olim mihi amicis profectam, poſt mala tot exantlata tantum ſilentium, haud dixerim ego æquali mea condemnatione, ea proponere tibi viſum fuerit, quæ curioſiùs ab iis inquiri ſolent, qui jucundè vitam iſtam tranſigunt, & accuratiùs philoſophantur: At nos, quorum jam olim vita malis emarcuit, qui plurima ex parte mortui ſumus: qui nunc, ut obſcurum quoddam ſimulachrum, & vix agnoſcendum, veteris illius noſtræ inſtitutionis, & diſcendi cupiditatis, in hac carne miſella (ô, quouſque vivendi deſiderio teneberis) circumagimur: unum eſt, de quo philoſophemur, Mors, & angimur, quod ſic tardet; nec nos citiùs de iſtis miſeriis

περιχεόμενον ἔξω, διὰ τῆς εἰς αὐτοὺς συμπαθείας, πραΰνον ἡμῖν τὸ πολὺ τοῦ ἄλγους, τὴν αὐτῶν παραμυθούμενος ἀπορίαν. Ψυχῆς ἐστὶν ἄφεσις καὶ λύτρον, τὸ ψυχαῖς ἐπικουρῆσαι διὰ Χριστὸν ταλαιπωρουμέναις. Τί ἄλλο γράφω; ἢ ὡς τὴν αἴτησιν ἔχων, λοιπὸν πληρουμένην * εὐχὴν, καὶ εὐχαριστίαν ἀνθ' ὧν, τά τε ἄλλα μνήμην ἡμῶν ἀγαθὴν ἔχεις, καὶ πρὸς τὴν παροῦσαν αἴτησιν ἀπροφάσιστος καὶ θερμὸς (πῶς εἴπω;) γέγονας πληρωτὴς, ἢ γίνῃ. Εἴη σοι Χριστὸς, ὁ τοῦ ἐλέους καὶ πάσης παρακλήσεως κύριος, ἐπὶ πάσῃ μὲν δεήσει τὸ οὖς εὐήκοον παρέχων, καὶ τὸν ἄλλον δὲ βίον παντοδαποῖς ἀγαθοῖς συναύξων τῆς ἀδιαδόχου καὶ μακαρίας ἐκείνης μέτοχον ἀναδεικνὺς βασιλείας.

* ἴσ. ἔχειν

Ἐπισ. σμα΄.

Θεοφάνει διακόνῳ καὶ ἀνοταρείῳ, αἰτησαμένῳ ὡς δῆθεν ἐξ ἑαυτοῦ λύσιν ἀποριῶν, ἐκ βασιλικοῦ δὲ τῇ ἀληθείᾳ προστάγματος τὴν ἀξίωσιν πεποιηκότι.

ΑΝθρωπε τοῦ Θεοῦ, τί παθών; τί δὲ διανοηθείς; μετὰ τοσοῦτον χρόνον μακρὸν, μετὰ λήθην ἡμῶν οὕτω βαθεῖαν, μετὰ φοβερὰν καὶ ἀνιστόρητον ὑπὸ τῶν ποτὲ φιλούντων ἀμνηστίαν, μετὰ τοσούτων πεῖραν δυσχερῶν, μετὰ τηλικαύτην ἐκ καταδίκης (οὐ λέγω ποίας) σιγὴν, ἐκεῖνα προτείνειν ἔγνως, ἃ τοῖς ἐνευημεροῦσι τῷ παρόντι βίῳ καὶ φιλοσοφοῦσιν ἀκμαιότερον, πολυπραγμονεῖσθαι εἴωθεν· ἡμεῖς δὲ, καὶ αὐτῆς ἡμῖν τῆς ζωῆς πάλαι τοῖς κακοῖς ἐναπομαρανθείσης, τὸ πλέον τεθνήκαμεν· καὶ νῦν, οἷά τις εἰκὼν ἀμυδρὰ, καὶ μικροῦ μηδ' ἐπιγνωσκομένη, τῆς παλαιᾶς ἐκείνης ἀγωγῆς καὶ φιλομαθείας, τῷ ταλαιπώρῳ τούτῳ σαρκίῳ (ὦ μέχρι τίνος φιλοζωήσεις,) περιπλανώμεθα. Ἓν μόνον ἡμῖν φιλοσοφεῖται, ὁ θάνατος κἀκεῖνος παραλυπεῖ ὅτι βραδύνει· καὶ οὐκ ἀπάγει θᾶττον τῶν θλί-

ψεων, αἷς ἀδιαλείπτως οὐκ ἐνδιδόντων τῶν ἐπιτιθεμένων συνεχόμεθα· πλὴν εἰ γέγονε πόθεν φίλον, ὡς οὐκ οἶδ' ἀνθ' ὅτου, οἷς ἀκμάζει μὲν τὰ τῆς εὐδαιμονίας, ῥητόρων δ' ἀγέλαι χαίρουσιν ὑπηρετεῖν τῇ γλώττῃ, καὶ τῆς ἐκ τάφων φωνῆς ἐπακοῦσαι· φθέγξεται μὲν τὸ ἐμὸν εἴδωλον· οὕτω γὰρ εἰπεῖν τοῖς παροῦσιν οἰκειότερον· τάχα γὰρ καὶ γραφὴ τὴν σιγὴν ἐνεδρεύει, καὶ ζητεῖ πρόφασιν ἄλλης τραγῳδίας. Εἰ δὲ καὶ λοχᾷ τοὺς λόγους, πάλαι τῶν λοχώντων πεπειράμεθα· δι' ὃ φθέγξεται μᾶλλον, ἢ σιωπήσει· φθέγξεται δὲ βραχέα καὶ ταπεινά, καὶ οἷα εἰκός, τοῖς οὕτω διακειμένοις, ἀποκρίνεσθαι.

Ἓν μὲν οὖν τό, ἐσοφίσατο Σολομῶν ὑπὲρ πάντας ἀνθρώπους, καὶ ὑπὲρ Γεθὰν τὸν Ἰσραηλίτην καὶ ἑξῆς· πρῶτον μὲν ἐκεῖνο φαμέν, ὡς οὐκ Ἰσραηλίτην εὑρομέν που γεγραμμένον, ὡς αὐτοὶ τὸ ῥῆμα παρέθεσθε· εἰ μήπω καὶ αὐτὴν ἡμῶν τὴν μνήμην προσαφείλοντο αἱ θλίψεις· ἀλλ' ἀντὶ τοῦ Ἰσραηλίτην, Ζαραΐτην ἀνέγνωμεν· Ἰσραηλῖται μὲν γὰρ τὸ Ἰουδαίων ἅπαν φῦλον, καὶ κοινὴν ἕλκει τὴν κλῆσιν τὸ ἔθνος, κοινότητι δὲ χαρακτηρίζειν τινάς, εἰς ἣν ἅπαντας συναναφέρει τὸ γένος, οὐκ ἔστι δικαίαν λαβὴν ἐκφυγεῖν· ἀλλὰ τοῦτο μὲν ὀρθῶς ἂν εἴη ἔχον, εἰ ἀντὶ τοῦ Ἰσραηλίτης, Ζαραΐτης, μεταληφθείη· τὸν δὲ Αἰθάν, ἔνια τῶν ἀντιγράφων Γαιθὰν ὀνομάζει, διωνύμῳ τάχα κλήσει, τὸν αὐτὸν ὑποδηλοῦντα· τὸ μέν τοι ἑξῆς τοῦ χωρίου καὶ εἰς δύο σχίζεται ἐδάφη, καὶ διπλῇ ποικίλλεται θεωρίᾳ. Εἰ μὲν γὰρ Αἴναν καὶ Χάλκαδ, καὶ Κάρδαλα, τὸ ἔδαφος ἀναπτύσσει παλαιοὺς ἄνδρας ἐπὶ σοφίᾳ γεγενημένους ὑποφαίνει, οἳ κατὰ τὴν Αἴγυπτον προεφήτευσαν, οὔπω Μωσέως εἰς αὐγὰς ἡλίου προελθόντος· γονῆς δ' ἄρα εἶεν οὗτοι τοῦ Ζαρά, ὃς ἐκ τῆς Θάμαρ ἐγεγόνετο τῷ Ἰούδα· ἦν δὲ αὐτοῖς μετὰ τῆς προφητείας, καὶ τῆς ἄλλης σοφίας, καὶ περὶ ποίησιν ᾠδῶν ἡ φύσις λαχοῦσα τὴν εὔκλειαν, ὡς καί τινας τῶν ψαλμῶν εἰς τὸ ἐκείνων ὄνομα τὴν ἐπιγραφὴν ἀναφέρειν· φησὶ τοιγαροῦν ἡ θεία γραφή, ὡς οὐ μόνον τῶν ἄλλων ἀνθρώπων, ἀλλὰ καὶ τούτων Σολομῶν ἐκράτει τῇ σοφίᾳ. Εἰ δὲ κατὰ θάτερον τῶν

educit, quibus quotidiè nos premimur, dum nihil se remittunt persequentes: Quòd si cupitis, & cur quæso cupietis, qui summa fruimini felicitate, quorum linguæ libenter Rhetorum greges famulantur, de tumulo vocem audire; loquetur certè simulachrum mei, ità enim magìs congruum præsenti statui: Fortassis silentio insidiatur scriptum, & alterius Tragœdiæ quærit occasionem: Si per insidias sermones feruntur, jamdudum est, cùm experti simus istiusmodi insessores: Quocircà, loquetur potiùs, quàm silebit; at loquetur breviusculè, & humiliter, ut par est illum respondere quæsitis, qui in mea constituitur conditione.

Unum è dubiis illud est, *Sapientia excelluit Salomon omnes homines; erat super Getham Israelitam*, &c. Respondeo imprimis, me nusquam reperisse scriptum *Israelitam*, quod à te positum est; nisi mihi memoriam tribulationes excusserint: sed pro *Israelita*, *Zaraitam* legi: Israelitæ erant natio Judaica, & communiter ità vocabantur: at charactere communi denotare aliquem, cùm ad illum omnes suum genus referant, justè repræhenditur: Quocirca pro *Israelites*, omnino rescribendum *Zaraites*: *Æthan*, in quibusdam exemplaribus *Gethan* dicitur: fortassis eundem binomine voce exprimente: Quod igitur deinceps sequitur in loco isto, dividitur in duplicem aream, & gemina consideratione variatur: Si Ænam, & Chalcad, & Cardala exhibeat, significat antiquos ob sapientiam olim celebres Ægyptiorum Prophetas, ante natum Moysen; Posteri erant Zara, qui Thamaris è Juda filius erat, & illi præter prophetiam & aliam sapientiam, præditi erant scientia pangendi odas, quò eos naturalis inclinatio ducebat; adeò ut quidam psalmi eorum de nominibus inscribantur: Ait ergò Divina Scriptura, quòd *præstabat Solomon non modo cæteris hominibus, sed & istis.* Si dicatur Solomon secundùm utram-

vis

vis ſpeciem rationis ſuperâſſe omnes ſapientia, etiam & Æthan & Æman prętergreſſus; ſciendum eſt, quòd Æthan & Æman non commemorantur ut Chalcad opinionem de ſe tam celebrem reliquiſſe; ſed eadem ætate quâ Solomon admirabili ſapientia præceſſit omnes, & ipſi illi, partim naturæ beneficio, partim ſapientiæ divitiis ultra omnes congeneres elati cernebantur: Qua autem alia in re, niſi hac, quòd glorioſi à Rege conſtituti in ſecundis ferebantur, & undique non æquandi prædicabantur: Pſalmis concinendis periti, quam ob cauſam erant cunctis admirationi: cùm ipſi cynaris, nabliis, cymbalis mirabilia Dei decantarent: Erat autem arbitror Merari Æthanis progenitor, qui tertio filiorum Levi ordine cenſebatur: Æman filius Joelis erat, nepos Prophetæ Samuelis; quem ſacra Oracula ſtirpitus Core aſſignant, exinde per carnalem progeniem deſcendebat Æman. Hæc ad quæſitum tuum primum.

λογισμῶν εἶδος ἀποκρύψασθαι μὲν λέγοιτο Σολομῶν ἀνθρώπους πάντας, σοφίσασθαι δὲ καὶ ὑπὲρ Αἰθὰν, καὶ ὑπὲρ Αἰμάν· ἐκεῖνο προσῆκεν εἰδέναι, ὡς Αἰθάν τε καὶ Αἰμὰν οὐκ ἐν μνήμῃ, καθάπερ οἱ περὶ Χαλκὰδ, κατέλιπον τὴν αὐτῶν σωζομένην δόξαν· ἀλλ' ὑπὸ τοὺς αὐτοὺς χρόνους, ἐν οἷς καὶ Σολομῶν ἐπὶ σοφίᾳ πάντας κατέπληττε θαύματι, καὶ αὐτοὶ, τοῦτο μὲν μεγέθει φύσεως, τοῦτο δὲ σοφίας πλούτῳ, τῶν ὁμογενῶν ἁπάντων ὑπερέχοντες ὡρῶντο· καὶ τί ἄλλο, ἢ τὴν δόξαν δι' ὧν ἔφερον τὰ δεύτερα τῷ βασιλεῖ περιφανεστέραν ἀνεκήρυττόν τε, καὶ τοῖς πέρασι περιηχεῖν κράτος ἦσαν ἄμαχον ἐμπεριειληφότες· ψαλμῳδοὶ δὲ πρὸς οἷς ἐθαυμάζοντο, τοῖς ἄλλοις ἐχρημάτιζον καὶ οὗτοι διὰ κινύρας καὶ νάβλας καὶ κυμβάλων τὰ τοῦ Θεοῦ θαυμάσια μελῳδοῦντες· ἦν δὲ τῷ μὲν Αἰθὰμ πρόγονος οἶμαι ὁ Μεραρεί· ὃς εἰς ἀρίθμησιν τῶν παίδων τοῦ Λευὶ τρίτην ἀνεπλήρου τάξιν· Ὁ δὲ Αἰμὰν παῖς μὲν ἦν Ἰωὴλ, υἱδοῦς δὲ τοῦ προφήτου Σαμουήλ· ὃν τὰ λόγια εἰς τὴν Κορὲ συνάπτει συγγένειαν· ἀνεψιαδοῖ δὲ Μωσέως τοῦ νομοθέτου, οἱ περὶ Κορέ· ὥστε καὶ τῷ Αἰμὰν ἐκεῖθεν ἡ σωματικὴ ἀπορροὴ τοῦ γένους. Ἀλλὰ περὶ μὲν τοῦ πρώτου ζητήματος ταῦτα.

Davidem ſemel inunctum ſcimus; ſecundò inauguratum Regem, inunctum à Samuele Propheta, inauguratum per ſuffragia tribûs Judæ in Hebron; poſt ſeptem annos à reliquis tribubus communibus ſuffragiis priorem ejus electionem confirmantibus: Communi quadam ratione Scriptura priorem declarationem & generalem in Regem inunctionem vocat: Videtur David Regium diadema ſibi impoſuiſſe, quantum memoria mihi ſuggerit, cùm Joab apud Ammonitos bellum gerente Remath urbs Regia caperetur, ſed priùs quàm Joab illam caperet, Rex per ſuum adventum obſidioni terminum impoſuit, tum enim inter ſpolia coronam Milchol cepit, & regnavit ipſe ſuper captivos; & ut ſplendidam atque indubiam victoriam ſe obtinere

Τὸν δὲ Δαβὶδ ἅπαξ ἴσμεν χρισθέντα, δεύτερον δὲ ἀναγορευθέντα εἰς βασιλέα· καὶ χρισθέντα μὲν ὑπὸ Σαμουὴλ τοῦ προφήτου· ἀναῤῥηθέντα δὲ, πρότερον μὲν ψήφῳ τῆς Ἰούδα φυλῆς ἐν Χεβρών· ἑπτὰ δὲ μεταγενέστερον ἐτῶν, παρὰ τῶν ὑπολοίπων φυλῶν τὴν φθάσασαν κρίσιν συμφώνοις γνώμαις ἐπικροτησάντων· κοινότερον δὲ, τὰ λόγια, καὶ τὴν προτέραν, καὶ τὴν ὑστέραν ὑπὸ τοῦ πλήθους ἀνάῤῥησιν, χρῖσιν ὀνομάζει· βασίλειον μέν τοι στέφανον φαίνεται περιθέμενος Δαβὶδ (ὅσα γε ἐμὲ μεμνῆσθαι) ἡνίκα προπολεμήσαντος Ἰωὰβ ἐν Ῥεμὰθ τῶν υἱῶν Ἀμὼν, τὴν βασιλίδα πόλιν, ἐγγύς τε ἐγκαταστήσαντος τοῦ ἁλῶναι, ἐπιστὰς ὁ βασιλεὺς τέλος ἐπέθηκε τῇ πολιορκίᾳ· τότε γὰρ λάφυρον ἔχων τὸν στέφανον τοῦ Μελχὼλ (ἐβασίλευε δὲ καὶ αὐτὸς τῶν ἑαλωκότων) ἅτε δὴ κατ' αὐτοῦ τε καὶ παντὸς τοῦ πλήθους ἀδήριτον καὶ λαμπρὰν αὐτῷ περιπεποιημένος τὴν

νικὴν, τῇ ἰδίᾳ περιῆψε κεφαλῇ, λίθῳ μὲν τιμίῳ περιηνθισμένον, ἕλκοντα δὲ σταθμὸν εἰς τάλαντον χρυσίου.

Τὴν δὲ κωλέαν ἡ τοῦ Ἀκύλου ἔκδοσις κνήμην ἀναγράφει. Εἴη δ᾽ ἂν ἀκριβέστερον εἰπεῖν, σκέλος· ὅπερ καὶ δυσὶν ἑτέροις ὀνόμασι δηλοῦται· λέγω δὴ ὁ μετάμηρον κωλῆν, καὶ τὸ μετὰ τὸν μηρὸν ἀκροκώλεον· τὸ γὰρ τῆς κνήμης ὄνομα διαφόροις πράγμασιν ἐπιπλανᾶται. Εἰώθασι γὰρ καλεῖν κνήμην καὶ τὸ ἔμπροσθε μὲν τοῦ σκέλους εἰς μυῦ ἐπηρμένον, ὥσπερ τὸ ὄπισθεν ἀντικνήμιον· καὶ αὐτὸ δὲ τοῦτο τὸ συγκείμενον ἔκ τε τοῦ προκνημίου καὶ τῆς παρακνημίδος, ἅμα τῆς ἐπαλειφούσης αὐτὰ σαρκὸς, καὶ τῆς δερματίδος, ἣν παλαιὰ τῆς Ἑλλάδος γλῶττα κνήμην ὀνομάζει· Παρέθηκεν δ᾽ οὖν ὁ Σαμουὴλ τὴν κωλέαν ἐνώπιον τοῦ Σαοὺλ· τιμὴν αὐτῷ τῶν ἄλλων προαπονέμων· σύμβολον δὲ τὴν τιμὴν ἐξοσιούμενος τῆς βασιλείας· καὶ τοῦ δεῖν αὐτὸν ὑπὲρ τοῦ λαοῦ πάντας ὑφίστασθαι πόνους, καὶ προκινδυνεύειν· διὸ καὶ ἐπήγαγεν, φάγε, ὅτι εἰς μαρτύριον τέθειταί σοι. Τὸ δ᾽ ἐφεξῆς, ἔνια μὲν τῶν παλαιῶν γραμμάτων, παρὰ τοῦ λαοῦ· ἔνια δὲ, παρὰ τοὺς ἄλλους, ὑπαγορεύει· ἀλλ᾽ εἰ μὲν εἴη παρὰ τοῦ λαοῦ, ἀντὶ τοῦ ἐνώπιον τοῦ λαοῦ τὸ διὰ μαρτύριόν σοι προσενήνοχα σημαίνει· εἰ δὲ παρὰ τοὺς ἄλλους, ἀντὶ τοῦ ἐξαίρετόν σοι, παρὰ τοὺς ἄλλους προκρίτῳ μερίδι τὴν τιμὴν ἀνῆψα. Εἴη δ᾽ ἂν τὰ μέλη ταῦτα τοῦ σώματος καὶ εἰκόνα φέροντα τῆς βασιλείας· ὥσπερ γὰρ ταῦτα τῷ σώματι τοῦ ζώου βραχύτερα πολλῶν μελῶν ὄντα, ὅμως ὑπεστήρικται, καὶ ἀναβαστάζει τὸν ὅλον τοῦ συγκρίματος ὄγκον· οὕτω καὶ ἡ βασιλικὴ στερρότης, καί τοι ἐφ᾽ ἑνὶ ἀνδρὶ συστελλομένη, καὶ σαλεύουσα σύμπαν τὸ σῶμα τῆς πολιτείας ἀνέχει τε καὶ ὑπερείδει· καὶ οὐκ ἐᾷ εἰς αὐτὴν καταπεσεῖν τε καὶ περιθραυσθῆναι. Ἀλλὰ ταῦτα μὲν ἴσως, καὶ φωνῆς εἰδώλου περιεργότερον· σὺ δὲ ψυχὴν καὶ σώματι ἔρρωσο· καὶ μηκέτι τοῖς ἐν ᾅδου τὰ τοιαῦτα προτίθει· ἀλλ᾽ ἐκείνοις, οἷς τὰ κατὰ τὸν βίον εὐροεῖ, καὶ ὁ νοῦς, καὶ οἱ λόγοι, καὶ αἱ χεῖρες οὐ παρείθησαν.

doceret, suo circundedit capiti lapidem fulgentem pretioso, pendentem auri talentum coronam.

Κωλέαν versio Aquilæ κνήμην transtulit: sed exactiùs loquendo σκέλος esset; quod per alia duo nomina indicatur: Intelligo autem μετάμηρον κωλῆν, & μετὰ τὸν μηρὸν ἀκροκώλεον· Nomen enim illud κνήμη, in rebus variis divagatur: solent enim nominare κνήμην, id, quod ante σκέλος est, & ad μῦν pertingit: ut quod à retro est nominant ἀντικνήμιον· Idem quoq; dicitur id quod componitur è προκνημίου, & παρακνημίδος, unà cum obvelante illud carne, & cuticula, quam vetus Gręcorum lingua κνήμην vocat. Apposuit ergò Samuel κωλέαν coram Saul, illi honorem ante alios exhibens, quem honorem, regni insigne velut consecravit, quasi ipsum oporteret pro populo labores omnes subire, & adire pericula: Ideò superaddidit, *Comede id quod tibi in testimonium apponitur.* Quod sequitur, in quibusdam veteribus libris legitur παρὰ τοῦ λαοῦ, in aliis παρὰ τοὺς ἄλλους, si legamus, παρὰ τοῦ λαοῦ, hoc vult, testimonium tibi exhibui in præsentia populi: sin, παρὰ τοὺς ἄλλους, per partem tibi præcipuam appositam honorem ante alios eximium exhibui: Nam membra hæcce corporis regni præ se ferunt imaginem: Nam ut ista in corpore breviora sunt quàm multa, tamen substrata sustinent molem totius compositi: ità & regalis firmitas, utcunque in uno aliquo comprimatur coarctata, & sic vacillet, tamen corpus totius reipublicæ compactum continet & substrata sustentat, nec permittit eam in se collisam diffringi. Ast hæc fortassis multo curiosiùs, quàm vox εἴδωλον, explicantur. Tu autem animo valeas atq; corpore, nec ulteriús istiusmodi iis offeras, qui sunt apud inferos: sed apud illos expone, quibus vitæ cursus est ad beneplacitum; quorum mens, oratio, manus non defecerunt.

NOTÆ.

NOTÆ.

AD Theophanem istum Notarium extat epistola 83. apparet eum à parte Ignatii, & postea Imperatoris Basilii contra Photium stetisse: & tamen amicum se simulâsse: sub quo prætextu, nomine suo, sed revera ex instituto Imperatoris, sequentes proponit quæstiones. Vocat eum Photius, ἄνθρωπον Θεοῦ, quòd erat in sacro Diaconatus ordine constitutus, sunt autem quæstiones non ordinariæ. 1. De iis quos Solomon sapientiâ vicit. 2. De unctionibus David. 3. De femore quod apposuit Sauli Samuel.

Epist. 242.

Nicephoro philosopho Monachismum amplexo.

PAvidus est ad amicitiam contrahendum; timidior erga meam dispositionem: Tu autem vide in quantum ego tibi confido, cùm nec pavescenti pepercerim, sed ulteriùs adhuc & alîus timiditatis semina jaciam; in quo timiditatem reprehendam, & exagitem: sed tu viriliter age, vale, & me eum esse intellige, quem non existimas: Cùm tamen præsens hoc tempus non tibi sufficiat, ut in opinione confirmeris, quam qui aderit, aperiet (ut cum bono Deo dicam) cùm timiditatem tuam re & opere redarguet: sed diligentem operam à te impensam in sanctam Martyrem laudando, cùm pro tua dignitate percenseamus, seminis Asiatici germen genuinum apprehendimus (ut id ità usurpem, absque musarum nominis usurpatione, & ipse tecum Asiatico more agens:) Errata nulla video, nisi forsan in syntaxi; quod & ipsum rarissimè indicavi: Quòd si ad sermonis verborúmque pulchritudinem hoc unum laude dignum videatur deesse, tamen & sic ad congenerem de cætero pulchritudinem universam operis pulchritudinem copulavit.

Ἐπιστ. σμβ΄.

Νικηφόρῳ φιλοσόφῳ μονάζοντι.

ΔΕιλὸς μὲν εἰς τὴν φιλίαν, δειλότερος δὲ περὶ τὴν ἡμετέραν διάθεσιν· ἀλλ' ὅρα ἡμᾶς εἰς ὅσον σοι τεθαῤῥήκαμεν, ὅτι καὶ δειλιῶντος οὐ φειδόμεθα, ἀλλ' ἑτέρας πάλιν δειλίας ἴσως καταβαλλόμεθα σπέρματα, τὸ δειλὸν ἐπιτιμῶντες καὶ ἐξονειδίζοντες. Ἀλλ' ἀνδρίζου καὶ ἔῤῥωσο καὶ γίνωσκε ἡμᾶς οὐχ οἵους νομίζεις· ἀλλ' ἐπεὶ ὁ παρὼν καιρὸς οὐκ ἀποχρῶν ἐστί σοι πρὸς βεβαίωσιν οἵους ὁ προσέχων (σὺν Θεῷ δὲ φάναι) δείξει τὴν σὴν δειλίαν ἔργοις ἐλέγχοντας· τὸ δὲ εἰς τὴν μάρτυρα τῆς ὑμῶν εὐφυΐας φιλοπόνημα, κατὰ τὴν σὴν ἀξίωσιν ἐπελθόντες, τῆς μὲν Ἀσιανῆς σπορᾶς (ὡς ἄν τις εἴποι μηδὲ τῷ Μουσῶν ὀνόματι χρώμενος ἅμα δὲ καὶ ἀσιανίζων) γνησίαν γονὴν κατειλήφαμεν· σφαλμάτων δὲ οὐδὲν, πλὴν εἴπου τι περὶ σύνταξιν· καὶ τοῦτο σπάνιον ἐπεσημηνάμεθα. Εἰ δέ τι πρὸς τὴν ἄλλην καλλονὴν τῶν ῥημάτων, καλὸν ὂν ὅμως ὑστερεῖν ἐδόκει, καὶ τοῦτο πρὸς τὴν συγγενῆ μορφὴν τὸ λόγου κάλλος μεθηρμόσατο.

Epist. 243.

Eidem.

QUemadmodum pusillanimitatem tuam negare non potes, ità nequis inficiari me benè satis de te persuasum, antequam suavem hanc epistolam missitares: Passio ipsa ità est manifesta, ut volentem animadvertere latere non possit: At quomodo fieri possit ut in amicitia colenda pusillanimitas, in utramque partem, nempe fortunæ adversæ, & sanctæ imitationis referri possit, conjecturis adhuc assequi nequeo?

Ἐπιστ. σμγ΄.

Τῷ αὐτῷ.

ὩΣ μὲν οὐκ ἔχεις ἐξαρνεῖσθαι τὴν δειλίαν, οὐδ' ἂν ἀρνηθείης καὶ πρὸ ταύτης σου τῆς γλυκείας ἐπιστολῆς σαφῶς ἐπεπείσμην. Τοῦ πάθους γὰρ τὸ περιφανὲς, οὐδὲ λαθεῖν δυνηθῆναι συγχωρεῖ βουληθέντι. Ὅπως δέ σε τὸ περὶ τὴν φιλίαν δειλὸν, ἅμα μὲν εἰς δυστυχημάτων κλῆρον, ἅμα δὲ εἰς ἁγίαν μίμησιν ἀναφέρει, τοῦτο συμβαλεῖν οὐκέτι δυνατὸς ἐγενόμην;

νόμην;

νόμην. Οἴμοι δυστυχὴς ἐγώ, διὸ καὶ περὶ φιλίαν δειλός· ἀλλὰ καὶ τῶν ἀγίων σύμπας ὁ χορός· καὶ δειλία ἄρ' οὐ γλυκεῖα ταῦτα ἡδονῆς στάζει, καὶ οὐδενός, ὅσα πέφυκε τῷ ἀνακολούθῳ τέρπειν, εἰς χάριν ἐλάττω. Εἰ μὲν γὰρ δυστυχεῖς, πόθεν σοι τῶν ἀγίων ἡ μίμησις; Εἰ δ' ἐφ' οἷς δειλιᾷς καὶ τρέμεις, ἀγίων σε χορὸς ἔχει, ποῦ σου τὰ ἐν ἔθει δυστυχήματα; καὶ εἰ τοῦτο δυστυχήματος, τί ἂν εἴη τὸ εὐτύχημα; Παῦλος φησιν ὁ πτηνὸς καὶ μετάρσιος ἄνθρωπος· Πέτρος ἐφ' ᾧ τὰ τῆς πίστεως κεῖται θεμέλια· τῶν ἄλλων ἁπάντων ἀγίων ἡ πληθὺς παραδείγματά μοι τῆς δειλίας καθεστήκασιν. Ἀλλὰ φεῦ τῶν ἐμῶν κακῶν, τοσούτους ἔχων εἰκονίζειν εἰς ὅσον δυστυχῶ· διὰ τοῦτο γὰρ καὶ περὶ ὧν οὐκ ἴσασιν ἄλλοι, τὴν δειλίαν ἐγὼ δειλιῶ. Ἆρ' εἴ τις γρίφους, ἢ τὰ Σφιγγὸς αἰνίγματα βίον εἶχεν ἐκμιμεῖσθαι, ἄμεινον ἄν, ἢ ὁ ταῦτα λέγων ἀπηλλάγη τῆς ἐπιδείξεως. Παῦλον, ὦ βέλτιστε, καὶ τοὺς κατ' αὐτόν, ὁ ἱερὸς φόβος, ὃς ἀρετῆς ἁπάσης, ὡς καὶ συγγράφεις, κρηπὶς ὑπεβέβλητο, εἰς τοὺς ἀμαραντίνους ἀπάγει στεφάνους· σὺ δέ, οὐκ οἶδα δὲ ὅπως, ὡς μὲν Παῦλος φοβῇ, ὡς δ' Ὀδυσσεύς, ἢ εἴ τις ἄλλος δυστυχέστερος, εἰς τὰ συνήθη δυστυχήματα τὸν φόβον ἀνάπτεις· καὶ δέον μὲν μὴ παράδειγμα νομίζειν τὸν θεῖον Παῦλον τῆς τοιαύτης διδασκαλίας νομίζεις; δέον δέ, εἴπερ ἐκείνου μιμητὴς ἦσθα, χαίρειν, καὶ πρὸς τοὺς στεφάνους ἐπιστρέφεσθαι, θρηνεῖς καὶ ὀδύρῃ τὴν δυστυχίαν· δειλία σε στροβεῖ προσλαβοῦσα. Τί σοι καὶ Παύλῳ κοινόν; μέμφου σεαυτόν· ἔκστηθι τοῦ πάθους· ἀλλὰ Παῦλός σοι διδάσκαλος ταύτης· χαῖρε τῇ μιμήσει· τῶν ἄθλων εὐφραίνου· ἀλλὰ μὴ ἀκκιζόμενος καὶ ὑποκορίζων τὴν δυστυχίαν, φύρῃς πάντα καὶ συγχέῃς· καὶ τῇ τῶν ῥημάτων κοινωνίᾳ, τὰ πλεῖστον ἀλλήλων διεστῶτα εἰς τὴν αὐτὴν φύσιν βιάζῃ συνάπτειν· ὡς ἂν καλλωπίζοιτό σου, καὶ εὐπρόσωπος ἡ δειλία δόξῃ. Τί γὰρ ἔχει κοινὸν φόβος ἔνθεος, καὶ δειλία ὑβρίζουσα εἰς φιλίαν; ἢ δυ-

Miſerum me fateor, quocirca timidior in amicitia; ſed eodem modo afficitur & ſanctorum cohors: à puſillanimitate non diſtillant dulcedo, vel voluptas, nec aliquid, quod per ſuam naturam oblectat per inconſequentiam, minus gratiæ habet: ſi enim adverſa cum fortuna confligis, ſanctos non poteris imitari: At ſi in quibus timidior trepidas, ſanctorum accenſeare choris, ubi infelicitas tuæ vitæ conſiſtit? Sin hanc adnumeres infelicitatem, quid eſt, quod voces felicitatem? Paulus, ais, ille volucer & in ſublimi raptus; Petrus, in quo repoſita ſunt fidei fundamenta; cæterorum ſanctorum univerſa multitudo meæ ſunt argumenta timiditatis: Eheu mea mala, qui tot mihi poſſum imagines repræſentare meæ infelicitatis: Enimvero timore timeo in rebus quas alii non capiunt. Quidni qui griphos, aut Sphingis ænigmata, vitam vitalem imitari ſtatuat, ſatiùs & meliùs à declaratione eorum ſemoveretur, quàm qui hæc pronunciat. Sanctus timor, qui virtutis cujuſlibet, ut tu pronuncias, fundus eſt, Paulum & conſocios ejus ad immarceſſibiles coronas hinc abduxit: Tu autem, neſcio quomodo, ut Paulus quiſpiam metuis; ut Ulyſſes aliquis, vel alius eo infelicior in conſuetas infelicitates timorem refers: Arbitrari autem minimè debes eſſe congruum, ut ſanctus Paulus in exemplum talis timoris producatur doctor: Par autem fuit, ſiquidem tu illum volebas imitari, gaudio ut affecereris converſus ad coronarum intuitum, nequaquam plangeres infelicitatem; puſillanimitas te arreptum verſat: Quid tu cum Paulo commune habes? Temetipſum corripe; à paſſione recede: Imò inquis hîc Paulum præeuntem habeo; lætare tum de imitatione; de certaminibus tuis exulta; neutiquam verò muliebriter ludens infelicitatem tuam palpitare, ità ut permiſceas omnia & confundas, aut per ſermonis communionem, illa, quæ ab invicem multis diſparantur paraſangis, per vim ſub eadem natura compingas; ut te excolat & glorioſum reddat pulchra facie puſillanimitas: Quid inter ſe commune habent divinus timor, & puſillanimitas quæ offendit in amicitiam; vel infortunio-

rum

rum gravamen, cum ratione rectè factorum? Quin ità affirmas: Verùm voca Paulum, cujus sunt, *Vereor nè dum aliis prædico, ipse fiam reprobus:* Quid hoc vult sibi? separantur, aiunt, Musarum termini atque Phrygum: Neque enim de promissionibus Dominicis, ut noster ille Paulus, expavescimus; quasi ille præ timore despondèret animum: non de amicitia angebatur: non metuebat nequis inæstimabilem margaritam, piratica quadam arte & impostura abripiens expoliatam omnibus derelinquat: Hæc sunt proschemata illa gravitatem præferentia timiditatis: De nullo istorum metuebat ille; è contrario confidens erat, & resolutus, si quis aliùs, de promissis illis mirandis; firmus erat planè, & totus inconcussus in Domini amicitiam recolendo: utilitatem volebat omnibus communem exhiberi: Judæos ad communionem thesauri vocabat: vocabat Gentes, omnes barbaros, principes, subditos, imò, si lubet, latrones, piratas, & universam mortalium naturam ad participationem margaritæ convocabat: Nec hoc simpliciter, sed cum conatu, cursu, & omni tolerantia, ut sic omnes vel aliquem saltem pulchritudinis inde resultantis faciat participes: Quapropter, cum multa confidentia ait, *Bonum certavi certamen; absolvi meum cursum: fidem conservavi; de cætero, reposita est mihi justitiæ corona.* Verum erat ille in istis tam imperterritus & obfirmatus, ut nihil metueret; nè videretur in aliquo deficiens, aut præter congruum quicquam omisisse. Quam ob causam & cum anxietate dicebat; *Ità curro, ut non in obscuro positus, Ità concerto, ut non tanquam aerem verberem, sed subigo vibicibus corpus meum, & in servitutem redigo, nè forsan dum aliis prædico, ipse fiam reprobus.* Quocircà, de proposito non erat dubius, desiderio non deliquium patiebatur, margaritam non metuit abripiendam; sed nè quid ipse eo indignum pateretur, nè quem defectum, nè quid admittat quod mentem emoveat: Alius hic erat metuendi modus, alius qui respiceret retribu-

συχημάτων ὄγκος, καὶ λόγος κατορθωμάτων; Ναί φησιν· ἀλλὰ Παῦλος βοᾷ, Φοβοῦμαι μή πως ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι. Καὶ τί τοῦτο; χωρεὶς, φασιν, τὰ Μυσῶν, καὶ Φρυγῶν ὁρίσματα· οὐδὲ γὰρ οὐδὲ περὶ τὰς δεσποτικὰς ὑποσχέσεις, ὥσπερ ὁ ἡμέτερος Παῦλος, ἄπαγε, δειλιῶν ἐφοβεῖτο· οὐδ' ἀγωνιῶν τὴν φιλίαν, οὐδ' εὐλαβούμενος μή τις αὐτοῦ τὸν ὑπέρτιμον μάργαρον, ἐκ πειρατικῆς τριβῆς καὶ μελέτης ἀφαρπάσας, ἔρημον παντὸς ἀφήσῃ· τὰ σοφὰ ταῦτα καὶ σεμνὰ τῆς δειλίας προσχήματα· ἐν οὐδενὶ τούτων ἐκεῖνος ἐδεδίει· τοὐναντίον δὲ, πεποιθὼς μὲν ἦν καὶ θαρρῶν, εἴ τις πώποτε, περὶ τὰς θαυμασίους ἐκείνας ἐπαγγελίας· βέβαιος δ' ἦν ὅλος καὶ ἀδόνητος τὴν δεσποτικὴν φιλίαν· κοινὸν δ' ἐβούλετο τὸ ἀγαθὸν πᾶσιν προκεῖσθαι· Ἰουδαίους πρὸς κοινωνίαν τοῦ θησαυρίσματος συνεκάλει. Ἕλληνας ἐκάλει, βαρβάρους ἅπαντας, ἄρχοντας, ἀρχομένους· εἰ βούλει δὲ, καὶ λῃστὰς καὶ πειρατὰς, καὶ πᾶσαν ἁπλῶς τὴν ἀνθρωπίνην συνήγειρε φύσιν εἰς ἀπόλαυσιν τοῦ μαργαρίτου. Καὶ οὐχ ἁπλῶς οὕτως· ἀλλὰ καὶ σπεύδων, καὶ τρέχων καὶ πάντα πάσχων, ἵνα πάντως τινὰ τοῦ ἐκεῖθεν κάλλους καὶ τῆς θέας ἀξιώσῃ· διὸ καὶ σφόδρα θαρρῶν ἔλεγε. Τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισμαι τὸν δρόμον τετέλεκα, τὴν πίστιν τετήρηκα, λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος· ἀλλ' ἐν μὲν τούτοις τοιοῦτος ἦν ἀπτόητος καὶ στερρός· ἐφοβεῖτο δὲ τί; μήτι αὐτὸς ἐλλείπων ὀφθείη τοῦ δέοντος συνεισενεχθῆναι τοῖς ἐπαγγέλμασι· διὰ τοῦτο γὰρ ἀγωνιῶν ἔλεγεν· Οὕτως τρέχω ὡς οὐκ ἀδήλως, οὕτως πυκτεύω, ὡς οὐκ ἀέρα δέρων· ἀλλ' ὑπωπιάζω μου τὸ σῶμα, καὶ δουλαγωγῶ, μήπως ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι. Οὐ μὲν οὖν, οὐκ ἐδίσταζε τὴν ὑπόσχεσιν· οὐκ ἠγωνία τὸν πόθον· οὐ τὴν ἁρπαγὴν ἐδεδίει τοῦ μαργαρίτου· ἀλλὰ μή τι αὐτὸς ἀνάξιον τούτου διαπράξηται; μή τι ἐνδέον, μή τι σαλευομένης γνώμης ἀκόλουθον· ἄλλος οὗτος δειλίας τρόπος· καὶ ἄλλος ὁ περὶ τὰς ἀμοιβάς·

τὰς· ἐκεῖνος ἐπαινετὸς· οὗτος ψεκτός· ἐκεῖνος σαλευομένων· οὗτος ἡδρασμένων· ἐκεῖνος ἀπάγει τῶν βραβείων· οὗτος συγκατασκευάζει τὰ ἔπαθλα· οὗτος Παύλου· ἐκεῖνος ἡμέτερος. Ἀλλὰ γὰρ φιλῶ, φησιν, ἵνα μὴ ὡς οὐδεὶς εἴπω πλέον· ὡς εἴ τις ἄλλος δέδοικα δὲ τοὺς ἐν βίῳ πειρατὰς, μή με συλήσωσι τῆς φιλίας ἀπόνασθαι· μὴ τὸν ἐμὸν μαργαρίτην λοχήσωσι. Τί λαλεῖς ἄνθρωπε; μαργάρους τοὺς φίλους ποιεῖς, οὐκ ἐκ τοῦ βελτίονος, ἵνα τὸ κάλλος θαυμάζῃς, καὶ ταῖς μαρμαρυγαῖς τῆς ἐν τῇ φιλίᾳ λαμπρότητος περιαστραπτόμενος χαίρῃς, καὶ τρυφᾷς ταῖς ἀμείνοσιν ἐλπίσιν· ἀλλ' ἵνα ἐξῇ σοι τοῦτο μὲν, ὡς περὶ ἀψύχων προδοσίαν πλάττειν, καὶ λῃστῶν ἐφόδους καὶ ἁρπαγήν· τοῦτο δὲ, ὡς ἂν δυνηθείης τὸν περιπλακισμὸν κρύπτειν τῷ τεχνάσματι καὶ τῷ ἐσχηματισμένῳ ὕβρεως, ἅμα μὲν εὐλαβείας δόξαν θηρᾶσαι, ἅμα δὲ βαθύτερόν τε καὶ πικρότερον τῶν φίλων καθάπτεσθαι· ὅτι καθ' ὃν τρόπον, οὐχ' οἱ μάργαροι, λέγω, οὕτως οὐδ' οἱ φίλοι τῆς δειλίας εἰσί μοι παραίτιοι· ἀλλ' ὅτι ὁρῶ τὴν περὶ αὐτοὺς ἐξουσίαν, καὶ τὸ κράτος τοῦ βουλήματος, ὅλον εἰς τοὺς καταποντιστὰς μεταχωρῆσαν, καὶ τοὺς λοχῶντας καὶ τὰ ναυάγια. Ἀλλ' ὕβρις, ὦ καλὲ καὶ ἀγαθὲ, σὺν τέχνῃ προϊοῦσα, λανθάνουσα μὲν, τάχα τι καὶ συνήσει, τῆς ψυχῆς τὸ οἰδαῖνον ἔξω ῥηγνῦσα, παρηγοροῦσά τε καὶ διαπραΰνουσα· ἐπειδ' ἂν δὲ καταφωρὸς γένηται, εἰς ταυτὸν ἄτοπα πολλὰ συνάγει· ἦθος βαρὺ· ψόγον ἐπαίνους ὑποκρινόμενον· αἰσχύνην, ἐφ' οἷς ὁ κρύπτων οὐκ ἔλαθε· καὶ παρατρέχω τὰ πλείονα. Καί τοι, εἰ μὲν ὑβρίζειν ἔδει· τίς ἡ μηχανὴ τοῦ κρύπτειν; εἰ δὲ λαθεῖν ἐχρῆν· ἄμεινον ἦν μηδὲ τὴν ἀρχὴν εἰς ὕβρεις ἐλθεῖν. ὁ δὲ κρύπτων μὲν ἐν τῷ μαργάρῳ τὴν ὕβριν· λαθεῖν δὲ οὐκ ἔχων τὴν τέχνην· οὐκ οἶδ' ὅπως, ὧν βούλεται οὐ διαπίπτει· οὔτε γὰρ ἔλαθεν ὑβρίσας· καὶ τὴν σκηνὴν (ἵνα μηδὲν εἴπω πλέον) ἐλέγχεται μάτην διαπλώσας. Βούλει μαργαρίδας, τοὺς σοὺς ἐξονομάζειν φίλους· μὴ σαυτὸν διαστ-

tiones, ille laudandus, vituperandus iste, ille fluctuantium, confirmatorum iste, à brabio abducit ille, hic componit victoriæ præmia, ille erat Pauli, hic est noster: Atenim amo, inquies, nè quid nullus ego plus edicam: Metuo autem vel maximè (si quis alius) Piratas in vita obeuntes, nè me spolient amicitiæ fructu, nè insidias struant margaritæ meæ. Quid homo tu balbutis? amicósne malevolos facis? nec in bonam partem, ut venustatem habeas admiratione, ut splendore coruscante ex amicitia illustratus afficiaris gaudio, & spe meliori luxuriere: sed utì proclive tibi sit, tanquam res inanimes prodere, latronum incursibus & rapinis cedens, partim ut ingestam contumeliam occultare queas perartificiosé; & contemptus velo religiosæ verecundiæ famam veneris; simul etiam ut amicos morsu graviore & profundiore corripias: Ità ut, non quomodo solent malevoli, ità & amici sint ob pusillanimitatem cavillandi; sed ideò quod videre videor, omnem in eos potestatem, omnem voluntatis dominationem, ad mergendos fluctibus abiisse; quod insidiatores observem, & naufragia. Enimverò vir bone & laudande, artificiosè procedens convitium, licet nihil tale intenderit, proderit tamen fortasse, dum foris illatum mentis tumorem compescat, frangendo illum quidem, sed & consilium adhibendo, & sedatiorem operando: At cùm publicè convicietur aliquis, multas superinducit absurditates, intolerandos mores, vituperium sub prætextu laudis, pudefactionem de iis quæ voluit sed frustrà occultare; Plurima prætereo: Quòd si convitiari propositum fuit, quid opus occultandi artificio? sin clam esse & latere, certè præstitisset ab omni prorsus contumelia abstinuisse in initio: Qui verò contumeliam per margaritam occultat: nec celare novit artificiosè, tamen fit, nescio quo pacto, à spe sua non excidit & desiderio. Neque enim latuit contumeliosiùs agens, & scenam illam nequid graviùs dicam frustrà convincitur adornâsse: Vísne amicissimos tuos palam nominare? Noli te-

metipsum

metipſum diſtractioni ſubjicere, ità ut candorem amoris & ſplendorem in nigredinem convertas inimicitiarum: Noli ità meticuloſus eſſe, ut tui inſtituti ſoliditatem, & ſtatum undiquaque æqualem, atque labe omni immunem, in angulos inæquales confictæ opinionis collidere: Sed curam dejiceris, nè fortè quod pretioſiſſimum eſt violenter à te rapiatur: Amicus non eſt ſine anima, nec immobilis naturâ ſuâ; à parte deteriore deducitur hujus exempli uſus: Is qui ſe dicit rapinam metuere, quod in ipſa imagine utile habetur, idem oppugnat ex inſidiis: Metuis porro, nè inſidiantibus præda fiat: Quidni autem diſertim affirmas? vereor nè deſertor noſtri ad partes ſe transferat inſidiatorum; vereor nè obliviſcatur amicitiæ, laborum, certaminum, quæ pro Chriſto ſuſtinemus & Eccleſia: Hæc qui pronunciat, & metus ſui cauſam ſic revelat, rem ſuam agit ſine machina, & eum facilè reducit in viam rectam qui eſt in culpa, & ſe in iis ſpem ſuam ponere agnoſcit, quos advocat in auxilium: At qui ſcenam ſtatuit, & in illam introducit actores, qui perſonas maledictis inceſſant, pro ſcena quam aliis adornavit, ſeſe induit in labyrinthum, unde, quod facilè apparet, non licet extricari; ſed à qua parte quis proſpicere tentaverit, occurſat ei labyrinthi paratura; ut ad ea, quę allata ſunt, non attendas, ſi adhuc nunc amicitiam reformides, quid non illam abjicis, quæ ſic te per totam tuam vitam exagitando deludit? Quòd ſi aliquando confidebas, cur non & in præſenti, per ſtatum eum qui eſt & de futuro tibi acquiris ſecuritatem? Sed de rebus præſentibus minimè lætaris, quæ ſuſpicaris futura, non aliter gemis, quàm ſi iiſdem conſtrictus tenereris. Adhuc magìs te accuſet aliquis (is enim egomet non profiteor eſſe) quod utcunque non verbo re tamen ipſa profiteris, ex iis quæ ventura ſunt, quòd te conturbant, te nè quidem præſentibus adhibere fidem: Tu autem amice mi, quæ à me dicuntur ſimpliciter & apertè, velim conſideres: Non permitto te tuam prodere margaritam, quæ tamen facilè prodi non poteſt; eſt hæc ante illam

μῷ περιτρέποις, ὡς τὸ λευκὸν τῆς ἀγάπης καὶ λαμπρὸν, εἰς τὴν μέλαιναν διαχύσωσιν ἔχθραν· μηδὲ δειλίας τὸ τῆς διαθέσεως ἔντορον, καὶ πανταχόθεν ἴσον καὶ καθαρὸν, ὡς εἰς ἀνίσους γωνίας πλαστῆς περιθραυσθήσεσθαι γνώμης. Ἀλλὰ δειλιᾶς, μὴ ἁρπαγῇ σου τὸ τιμιώτατον· Οὐκ ἔστιν ἄψυχος οὐδὲ ἀκίνητος ὁ φίλος τὴν φύσιν· ἐκ τοῦ χείρονος ἡ τοιαύτη χρῆσις τοῦ παραδείγματος· καὶ ὁ τὴν ἁρπαγὴν λέγων δεδιέναι, τῆς εἰκόνος ἐπιβουλεύει τὸ χρήσιμον. Ἀλλὰ φοβῇ, μὴ ἅρπαγμα τοῖς λοχῶσι γένηται. Καὶ τί μὴ λέγεις ἁπλῶς; ἀλλὰ φοβοῦμαι μὴ αὐτὸς ἀποστὰς ἡμῶν μετὰ τῶν λοχόντων γένηται· μὴ ἐπιλήσεται φιλίας, πόνων, ἄθλων, οὓς διὰ Χριστὸν, καὶ τὴν αὐτοῦ ἐκκλησίαν, ἠνέγκαμεν· οὕτως ὁ λέγων καὶ ἀποκαλύπτων τῆς ἀγωνίας τὸ αἴτιον, καὶ τὰ ἑαυτοῦ χωρὶς μηχανῆς πράττει, καὶ τὸν αἴτιον ῥᾷστα διορθοῦται, καὶ δείκνυσι θαῤῥεῖν ἑαυτὸν, οἷς ἐπικαλεῖ· ὁ δὲ σκηνὴν πηγνὺς, εἶτα δραματουργῶν ἐν αὐτῇ, μετὰ προσωπείου τὸ βλάσφημον, ἀντὶ τοῦ σκηνὴν ἑτέροις περιβαλεῖν, λαβύρινθον ἑαυτῷ λανθάνει περιτιθείς· ὡς καὶ νῦν ὁρᾷς οὐκ ἔστιν ἐξελθεῖν· ἀλλ᾽ ὅθεν ἄν τις προκύψαι πειραθείη, ἀπαντῶσαν ἔχει πανταχόθεν τοῦ λαβυρίνθου τὴν κατασκευήν· χωρὶς γὰρ τῶν εἰρημένων· εἰ μὲν νῦν δειλιᾷς τὴν φιλίαν, τί μὴ * ῥίπτης, ἢ σε διὰ βίου σαλεύουσα παίζει; Εἰ δὲ ἐθάῤῥηκας, πῶς ἐκ τοῦ παρόντος, καὶ περὶ τῶν μελλόντων, οὐ λαμβάνεις τὴν ἀσφάλειαν; ἀλλ᾽ οἷς μὲν ἔχεις, οὐ χαίρεις· ἃ δ᾽ ὑπονοεῖς, ὡς ὑπ᾽ αὐτῶν κατειλημμένος, στένεις· μᾶλλον δ᾽ ἄν τις ἕτερος αἰτιάσοιτο (οὐ γὰρ ἔγωγε ἂν φαίην) ὡς ἐξ ὧν περὶ τῶν μελλόντων τεθορύβησαι, ἔργῳ κἂν μὴ λόγῳ διομολογῇς, ὡς οὐδὲ τὰ παρόντα σοι πέπηγεν· ἀλλ᾽ ἡμεῖς, ὦ φίλος, οἷα λέγομεν ἁπλᾶ καὶ σαφῆ συνεπισκόπει· οὐκ ἐπιτρέπω μέν σοι προδοῦναι τὸν μαργαρίτην· ἀλλὰ μηδ᾽ εὐπρόδοτον λογίζου· τοῦτο γὰρ πρὸ

* ἴσ. ῥίπτεις.

ἐκείνου πικροτέρα μᾶλλον καὶ βαθυτέρα προδοσία· μὴ προδῷς τὸν σὸν μαργαρίτην· ἀλλὰ μηδ᾽ ἀναίσθητον καὶ ἀκίνητον ὑπονόει· μηδὲ τοῖς ἐχθροῖς εἰς ἅλωσιν πρόχειρον· μὴ δειλία τὴν φιλίαν· ὕβρις ἐστὶ πάντως ἢ τοῦ δειλιῶντος, ἢ περὶ ὧν δειλαινόμεθα· τὸν μὲν γὰρ μαργαρίτην ἐξαίρει τῆς αἰτίας τὸ ἄψυχον· τὸν ἄνθρωπον δὲ οὐδὲν ἕως ἂν ἄνθρωπος μένῃ, καὶ τῆς ἐπ᾽ ἄμφω ῥοπῆς κύριος. Τί ἄλλο; μὴ νόμιζε τοὺς ἁγίους ταύτην τὴν δειλίαν νοῆσαι· μὴ σύ γε, ὦ βέλτιστε, μηδ᾽ ἐπὶ ταύτῃ καθαρὸς ἀπιέναι μώμων· μὴ ὅτι γε στεφάνων σὺν αὐτοῖς τεύξεσθαι· οὕτως ἡμεῖς σοι προσφερόμεθα· οὕτω καί σε πρέπον ἡμῖν προσφέρεσθαι· ἐπιτιμήσεως δεῖ· καθαρῶς ἐπιτίμησον· οὐδὲν ἀπαίτει· μηδὲ μετὰ τέχνης ἐπίβαλλε· ἀφορμὰς δεδώκαμεν δειλίας; ταύτας ἐπίδειξον· οὐκ ἔχεις εἰπεῖν· μηδὲ ἐν ἐχθρῶν προσώπῳ, καθ᾽ ἡμῶν ῥίπτῃ τὸν ὄνειδον· καὶ μυρία δ᾽ ἂν κατόψαιτ᾽ ἄν τις, ἀπὸ τῶν ὑμετέρων γραμμάτων προκύπτοντα· ἀλλ᾽ ἴσως καὶ ταῦτα πλέον, ἢ κατ᾽ ἐπιστολῆς νόμους. Τὸ λοιπὸν ἀνδρείζου τὴν φιλίαν, καὶ ἔντεινε, καὶ κατευοδοῦ· τοὺς πειρατὰς καὶ λοχῶντας, καὶ εἴ τι ἄλλο κακοῦργον γένος, εἰς τὴν τῆς αἰσχύνης ἀπωθῶν καὶ βυθίζων θάλασσαν· σαυτὸν δ᾽ ἐκεῖθεν ἀνάγων, τὸν λαμπρότατόν σου, λαμπρῶς περιφέρων μαργαρίτην· κἂν πᾶς ὀφθαλμὸς πρὸς αὐτὸν ἐπιστρέψηται, ἢ ἐποφθαλμιῶν, ἢ ἀπολαύων τοῦ κάλλους, ὅλον ἔχειν παρά σοι κείμενον νόμιζε. Ταῦτα παίζων ἅμα καὶ σπουδάζων ἔγραψα· παίζω μέν, ἵνα γνῷς, ὡς ἔστι καὶ ἡμῖν καταρρητορευομένοις ὑπὸ τῶν σφριγώντων τὴν ῥητορείαν, ἀμύνης ἀκμή, καὶ λόγος λύων σοφίσματα· σπουδάζων δέ, ἵνα μηκέτι δειλὸς ᾖς, περὶ ὧν προσῆκεν ἀνδρίζεσθαι· ἡ δὲ παρακαταθήκη, (σὺ δὲ πάλιν δειλία) καὶ σώζεται καὶ σωθήσεται.

acerbior & profunda magis proditio: Nè tuam prodas margaritam; sed nec insensatam crede vel immobilem, nec hostili direptioni expositam: Amicitiam nè metuito; est enim planè illud injuria vel metuentis, vel de quibus metuimus: Margaritam culpâ eximit, quòd sit inanimatum quid; hominem nihil eximet quamdiu manet homo, & dominus est inclinationis suæ in utramque partem. Ecquid aliud restat? Noli accedere sanctos hunc timorem intellexisse: Neque enim tu hoc modo à reprehensione immunis abiveris; nec coronas cum illis communes consequeris: Atque hoc modo ego te allocutus sum; ità & te me alloqui par est; si correptione opus sit, sincerè corripias velim; noli aliquid efflagitare; noli quicquam artificiosè adjicere; occasiones meticulositatis dedimus? hasce revela, sed proferre nequis. Noli igitur personatus hostis in me exprobrationem projicere: quorum satis tantam supellectilem è tuis literis proreptantiam videre licet; & hæc fortè pluribus quàm secundùm leges epistolicas. Quod restat, fortiter tuere amicitiam; eam extende, rectâ incede; piratas, insidiatores, & cæteros maleficos in pudoris pelagus propelle, & demerge profundo: Expedite indè, & splendidam illam margaritam tuam splendidè circumferto, oculus quicunque in eam convertetur, vel lippitudine, vel sua pulchritudine fruiscens, tu tamen apud te depositam custodito: Hæc partim seriò, partim jocò scripsi: Et ideò quidem jocor, ut intelligas apud me rhetoricantem esse & vigere ultionis aciem, & solvendi sophismata scientem orationis vim, ab iis edoctam qui valentissimè rhetoricantur: seriò autem scribo, nè deinceps sis meticulosus ubi virum temet præstare oportet: Depositum verò apud me tuum, & servatur, & noli metuere, servabitur.

Epist.

Epist. 244.

Eidem.

NEc scenam ego nec theatrum sub alis meis gestans prodigiosè sum locutus; sed quod æquum & justum fuit, liberè pro veritate constiti; ego non contra amicos, sed & nec contra hostes tela, arcus, belli ordines institui; nullos hostes, clypeos nullos somniavi; ut solent illi, qui cum aere depugnant; sed liberè locutus sum pro amicis: Quòd si tibi arridet, ut ab ulceribus suis Lazarus liberetur, quibus conflictatur, nec deinceps ab iis molestiam patiatur; si omnem fluctuum ingruentium vim in caput pirataram convertas, tum demum mare vitæ istius sine metu licet navigare: Vide autem, quòd ego minimè tibi insidias struam per hoc exemplum; nec indigentis voluntatem subverto, cum gemitibus divitem prosequor, & sitim inextinguibilem, & Chasma illud, & ignem, & tormenta: Non enim à parte deteriore (quanquam rectè tu illud in manus sumpseris) sed in meliore sumitur; arbitror me non frustià operam dedisse libertati linguæ: Quòd si mihi virum amicissimum nancisci contigit, (quod à te scriptum gaudio me replevit & lætitia) qui timiditatem quâ nullâ premebatur longè à se removit, ejus autem loco elegit sibi moribus suis & rectè factis congruam & congenerem fortitudinem; quique piratas illos cum suis artificiis & machinamentis profundo demersos obruit, ipse autem omnibus malorum ventorum flatibus & fluctibus super extans, spe se fulcit & sublimat bona. Hæc porrò exempla nequaquam mala mente à me proferuntur, & nè malè mulctent, rationem inivi: Illa autem quænam est? Nequis scilicet, fontem & fluvium à natura sincera in exemplum trahens (quo tuum te lapsum sustinere posse exemplo putas,) deinde metuit, nè sibi veneratio dilabatur, aut deploret tanquam ab aliis per rivulos deducta, dispareat: nec metuit nè aliquando ausum illis det sibi

Ἐπιστ. σμδ΄.

Τῷ αὐτῷ.

Οὔτε σκηνὴν καὶ θέατρον ὑπὸ μάλης φέροντες ἐτερατευσάμεθα· δικαίᾳ δὲ λόγων ἐλευθερίᾳ τῆς ἀληθείας προέστημεν· οὔτε κατὰ φίλων, ἀλλ᾽ οὐδὲ κατ᾽ ἐχθρῶν, ὡπλισάμεθα βέλη καὶ τόξα καὶ παρατάξεις· καὶ πολεμίους καὶ ἀσπίδας ὀνειρώττοντες· ὥσπερ οἱ πρὸς ἀέρα πυκτεύοντες· ἀλλ᾽ ὑπὲρ φίλων ἐπαῤῥησιασάμεθα· εἰ βούλει δὲ, καὶ ἵνα ὁ Λάζαρος ἀπαλλαγῇ τοῦ περιλυποῦντος ἕλκους, καὶ ἀνώτερος τοῦ διοχλοῦντος γένηται, πᾶσαν κυμάτων ἐπιφορὰν εἰς τὰς τῶν πειρατῶν κεφαλὰς ἐπαναστρέφων, καὶ λοιπὸν ἀδεῶς διαπλέοι τοῦ βίου τὴν θάλασσαν· καὶ ὅρα ὡς οὐκ ἐπιβουλεύω τῷ παραδείγματι, οὐδὲ περιτρέπω τοῦ κεχρημένου τὸ βούλημα, τὸν πλούσιον ἐπιστένων, καὶ τὴν ἄσηκτον δίψαν, καὶ τὸ χάσμα, καὶ τὸ πῦρ, καὶ τὴν βάσανον. Οὐ γὰρ ἐκ τοῦ χείρονος, (ἀλλ᾽ εὖγε σοὶ μεταχειριζομένῳ κατὰ τὸ βέλτιον εἴληπται) οἶμαι δ᾽ ὡς οὐδὲ μάτην ἡ παῤῥησία, καὶ τὸ ἐλεύθερον τῆς γλώττης μοι διεσπούδασται. Εἴ γε τὸν φίλτατον ἔχομεν (ὡς καὶ σὺ γράφεις χαρᾶς ἡμᾶς καὶ εὐφροσύνης πληρῶν) παρωσάμενον μὲν τὴν οὐδαμόθεν αὐτῷ προσήκουσαν δειλίαν, ἀνθελόμενον δὲ τὴν συγγενῆ τῶν ἄλλων τρόπων καὶ κατορθωμάτων ἀνδρείαν· καὶ βυθῷ μὲν τοὺς πειρατὰς, αὐταῖς μηχαναῖς καὶ τέχναις τῆς σφῶν βδελυρίας, ἐπικλύσαντα· αὐτὸν δὲ πάσης τρικυμίας πονηρῶν ὑπερανασχόντα πνευμάτων, καὶ ταῖς καλαῖς ἐλπίσιν γεγενημένον μετάρσιον. Τὰ μέντοι παραδείγματα οὐ μὲν ὅπως οὐ κεκακούργηται παρ᾽ ἡμῶν· ἀλλ᾽ ἵνα μὴ κακουργῆται, λόγον ἀπείληφεν· τί γε λέγω; ἵνα μή τις πηγὴν καὶ ποταμὸν, ἐπὶ τῆς ἀκεραίου φύσεως ὑπόδειγμα λαβὼν (ὃ καὶ τὸ σὸν ἀνέχειν ὑπείληφας παρολίσθημα) ἔπειτα τὸ μὴ διαῤῥυῆναι αὐτῷ τὸ σέβας δειλιᾷ· μηδ᾽ ὡς ὑφ᾽ ἑτέρων παροχετευόμενον καταδύρηται· μηδ᾽ ἔχοι φόβον, ὡς τοῖς ἐνεδρεύουσί ποτε δοίη κροτῆσαι τὴν ἅλωσιν·

ἢ τοὺς λοχῶντας περιόψει), ἀποστερεῖν ἐπιχειροῦντας τοὺς ἐραστὰς αὐτοῦ τῆς δικαίας ἀπολαύσεως. Οὕτως ἡμεῖς πρεσβυτικῶς τε καὶ φιλαλήθως, ἀλλ' οὐκ ἐπιδεικτικῶς, οὐδὲ κατὰ νεανίσκους, περὶ ὧν ἐχρῆν, διεξήλθομεν. διόπερ οὐδὲ τὴν φιλίαν ῥῖψαι προὐτρέψαμεν (μή μοι γένοιτο μὴ οὕτω τῆς πολλῆς ἡμῶν ἁπλότητος τὸ δεινὸν τῆς ῥητορείας κατεντρυφάτω) ἀλλ' ἥ τις ἐστὶν τοὺς φίλους παίζουσα, ἥτις σαλεύουσα· ἐκείνην ἀποσείσασθαι, ἐκείνην ῥῖψαι· ἥ τό γε ἑαυτῆς μέρος προαπέστη, καὶ καταλέλοιπεν ἐκείνην μὴ φέρειν ἄχθος μάταιον, τὴν λόγοις μόνον ἐπιμειδιῶσαν· ἔργῳ δὲ τὸ σκυθρωπὸν καὶ τὴν κατήφειαν μετὰ τῶν ἐχθρῶν συσκευάζουσαν· τὰ δ' ἄλλα, ὥσπερ ᾔτησας, πτέρυγες φιλίας ἥρπασαν, καὶ προνοίας περιέπουσι θάλαμοι καὶ οἰκειοῦμαι τὰ ἐμά· καὶ οὐκέτι δέομαι φαρμάκων, οὐδὲ θεραπείας, μηδ' ἱλεοῦντος, αὐτός γε, μηδὲ πρεσβεύοντος· ἔχω γὰρ τὸν ποθούμενον πάσης ἀρρωστίας ἀνώτερον· καὶ τὸ ἴχνος αὐτὸ τοῦ νοσήματος, τὴν μικρὰν δειλίαν, εὐγενῶς τε, καὶ ὥσπερ ηὐχόμην, ἀπορρίψαντα.

Ἐπισ. σμέ.

Εὐσεβείᾳ μοναζούσῃ καὶ ἡγουμένῃ παραμυθητικὴ, ἐπὶ ἀδελφῇ τελευτησάσῃ.

Εἰ μὲν ἀφ' ἡμῶν ὁ θάνατος ἤρχετο, καὶ πρῶτοι διὰ τοῦ γένους εἰς πεῖραν αὐτοῦ καθιστάμεθα· εἰκότως ἂν ὡς ἀπροσδοκήτῳ καὶ καινῷ περιπεσόντες ἐθορυβούμεθα τῷ συμπτώματι· ἐπεὶ δὲ, ἀφ' οὗ γεγόνασιν ἄνθρωποι, ζωῇ καὶ θανάτῳ μερίζόμεθα· καὶ προγονικὸν ὑπάρχει τὸ ἐπιτίμιον· καὶ οὐκ ἔστιν ὃς ζήσεται, καὶ οὐκ ὄψεται θάνατον· τί τὸ κοινὸν χρέος ἰδίαν ζημίαν λογιζόμεθα; καὶ, ὡς καινὴν ἀπαιτηθέντες εἴσπραξιν ἀπολοφυρόμεθα; καὶ ὃ ἐστὶν ἄλλως γενέσθαι, οὐδ' ἡ φύσις ἄλλον νόμον ἐπίσταται, ὡς τὶ τῶν παραδόξων ὑπερεκπληττόμεθα; καὶ δίδομεν ἑαυτοὺς

applaudendi de furto, qui ut auferant insidiantur, aut negligat insidiatores, quibus id in votis est, ut amatores justa fruitione defraudent. Hæc nos senili consilio secundùm veritatem diximus, non autem ostentandi nos gratiâ, aut ut juvenes solent, disseruimus. Quocirca, non hortati sumus ut abrenuncies amicitiæ; (absit, ut aliqua rhetoricæ gravitas sic simplicitati meæ insultet,) sed illi nuntium remittendum, quæ illudit amicos, quæ fluctuat, & vacillet; illam rejiciendam esse, quæ quod ipsam spectat, jam recessit & reliquit sedem, cùm non esset oneri sustinendo par, quæ verbis tenus arridet tantùm, re autem ipsa per tetricitatem & dejectum vultum à partibus consistit hostium. Quod reliquum est, id quod volebas, alæ amicitiam abripuere, & providentiæ refocillant thalami: ego res meas mihi reddo familiares; nec adhuc mihi medicina opus est, aut curatione ulla, vel à quoquam miseratione, nedum alicujus intercessione: Quem enim desidero, hunc possideo, omni morbo & valetudine superiorem, quique vestigium omnis ægritudinis metum vel minimum generosè, ut optaverim, rejiciat.

Epist. 245.

Eusebiæ Monachæ, & Hegumenæ de sorori obitu, consolatoria.

SI à nobis mors inciperet, & omnium in genere nostro primi nos illam experiremur, meritò quidem, ut de re inexpectata, & inusitato casu conturbaremur: At cùm post homines primùm natos inter vitam & mortem dividamur, cúmque majoribus nostris inflictum sit supplicium, nec est qui vivit, quin gustabit mortem: commune debitum quorsum nos ut peculiare damnum reputamus, & tanquam ad noviter superinductam solutionem adacti gemimus? & cùm aliter fieri non possit, nec legem admittat natura aliam, cur tanquam præter opinionem contingentem ad eam conturbamur, & tradimus nos mœrori immergendos, non

sancto

ſancto aliquo more, aut ſecundùm leges ſpiritûs? Nos nè latet dum mortem nobis affinium lugemus, nos mortem nobis ipſis per luctum adornare: Quòd ſi res adeò dura mors eſt, cur eam ità nobis acceleramus? & contra legem Creatoris noſtri inſurgimus, ut eam præveniamus? Sin è bonis ſit & ſalutaribus, quorſum defunctos de Domini ſententia ultra omnem modum deploramus? ſoror me reliquit inquies, ſolum poſt Deum ſolamen meum, doloris lenimen, acerbitatis diſſipatrix, principale lætitiæ meæ ſubjectum: Et quid tum poſtea? Pater te & mater an non dereliquerunt, cognati quoque alii, & ab Adamo longum genus? & tu poſt te relinques alios, nec invenies virum quem non plurimi deſeruere: Soror deſeruit ſororem, ſed parentes invenit præcedentes; deſeruit ſororem, ſed ad Dominum & parentem communem abiit; in illam migravit rempublicam, ad quam nos quoque pergimus: Tu, quòd te deſeruit, commemoras; at quos invenit, non recolis: Quòd corpus non intuearis, gemis; at quòd anima non impediendam tecum conjunctionem invenit, hoc non commemoras, cum gaudio intueri non curas: Quòd à corruptione expedita ſit, gravatim fers; quòd fruatur incorruptione non magni facis: Verùm te quomodo dereliquit? Certè ſi in non ens reciderit; ſi in alienam juriſdictionem & poteſtatem abiit, tum fatebor eam nos dereliquiſſe: Quòd ſi eadem conditoris ſui manibus cuſtoditur; ſi eundem nos & illa Dominum imperantem, & procurantem habemus; ſi eadem habitatio, & converſatio utriſque apparatur, utcunque illam habet vita tumultuum expers, nos autem fluctibus etiamnum jactati circumferimur: quare dicenda eſt illa nos dereliquiſſe? niſi non ad eundem quietis portum curſu directi ferimur: Si non eadem inſiſtamus via: ſi non & nos quoque finis idem expectet; tum ratiocinandum fuit eam dereliquiſſe; tum divortium factum deplorandum fuit: Sin verò quicquam

οὐκ εὐαγῶς; οὐδὲ κατὰ τοὺς νόμους τοῦ πνεύματος, ὅλους τῇ λύπῃ βαπτίζεσθαι· καὶ λανθάνομεν, θάνατον συγγενῶν ὀδυρόμενοι, ἑαυτοῖς τῷ θρήνῳ τὸν θάνατον συγκατασκευάζοντες. Καίτοι, εἰ μὲν χαλεπὸν ὁ θάνατος, τί τοῦτον ἑαυτοῖς ἐπιταχυνόμεθα; καὶ τὸν ὅρον τοῦ πλάστου φθάσαι διανιστάμεθα; Εἰ δ' ἀγαθὸν καὶ σωτήριον· τί τοὺς ἀποιχομένους, καὶ τότε κρίσει τοῦ δεσπότου πέρα τοῦ μετρίου κοπτόμεθα; Ἀδελφή με, φησίν, ἐγκατέλιπεν, ἡ μόνη μετὰ θεὸν παραψυχή, τῶν λυπηρῶν ἡ παράκλησις, τῶν ἀλγεινῶν ἡ διάλυσις, ἡ πρώτη τῶν εὐφραινόντων ὑπόθεσις· Καὶ τί τοῦτο; καὶ πατήρ σε καὶ μήτηρ παραλέλοιπεν, καὶ συγγενεῖς ἄλλοι, καὶ τὸ μέχρις Ἀδὰμ γένος ἀναφερόμενον· σὺ δὲ πάλιν ἄλλους καταλείψεις· καὶ οὐκ ἔστιν εὑρεῖν, ὃν οὐ πλεῖστοι καταλιμπάνουσιν. Ἀδελφὴ κατέλιπεν ἀδελφήν· ἀλλ' εὗρεν τοὺς προλαβόντας γεννήτορας· κατέλιπεν ἀδελφήν, ἀλλ' εἰς τὸν κοινὸν δεσπότην καὶ πατέρα ἀπεδήμησεν· ἀλλὰ πρὸς ἐκείνην τὴν πολιτείαν, πρὸς ἣν καὶ ἡμεῖς πορευόμεθα. Εἶτα ὅτι μέν σε κατέλειπεν, λογίζῃ· οὓς δὲ κατέλαβεν οὐκ ἐννοεῖς; καὶ τὸ μὲν σῶμα στένεις ὅτι οὐχ ὁρᾷς· ἡ δὲ ψυχὴ ὅτι μᾶλλον ἀκώλυτον εὗρεν τὴν πρός σε συνάφειαν, οὐ χαίρεις συνορᾶν· καὶ ὅτι μὲν φθαρτῶν ἀπηλλάγη, δεινὰ ποιεῖς· ὅτι δὲ τῶν ἀφθάρτων ἀπολαύει, οὐ μέγα ἡγῇ. Πῶς δαὶ καὶ κατέλιπεν; εἰ μὲν εἰς τὸ μὴ ὂν ὑπεχώρησεν, εἰ ὑπ' ἄλλην ἐξουσίαν καὶ κυριότητα γέγονεν· τότε ἂν ἡμᾶς ὡς ἀληθῶς ἐγκατέλειπεν. Εἰ δὲ τῇ αὐτῇ παλάμῃ φρουρεῖται τοῦ πλάσαντος, καὶ τὸν αὐτὸν κύριον δεσπόζοντά τε καὶ προνοούμενον ἔχομεν, καὶ ἡ αὐτὴ ἑκατέροις διατριβή τε καὶ κατασκήνωσις ἑτοιμάζεται· κἂν τὴν μὲν ἤδη θορύβων ἔχῃ βίος ἐλεύθερος, ἡμεῖς δὲ ἔτι τῷ κυμαίνοντι περιφερόμεθα· πῶς ἡμᾶς ἐγκατέλειπεν; εἰ μὴ πρὸς τὸν αὐτὸν καὶ ἡμεῖς κυβερνώμεθα τῆς καταπαύσεως λιμένα· εἰ μὴ τὴν αὐτὴν ὁδὸν διανύωμεν· εἰ μὴ τὸ αὐτὸ ἡμᾶς ἐκδέχεται τέλος· ἔδει τότε λογίζεσθαι τὴν ἐγκατάλειψιν, ἔδει τότε πενθεῖν τὴν διάστασιν. Εἰ δὲ ὅσα

ἄν τις καὶ βουλεύσῃ τε καὶ πράξῃ, πάντα πρὸς ἐκείνην τὴν μόνην ἀπάγει· τί μάτην κοπτόμεθα; τί δὲ κατὰ τοῦ νόμου τῆς φύσεως χαλεπαίνομεν; ὅτι θνητὸς ὢν τὴν φύσιν ἄνθρωπος τῷ θανάτῳ ἐλειτούργησεν· ὅτι τὰ ἴσα καὶ ὅμοια πατρὶ καὶ μητρὶ καὶ τῷ λοιπῷ γένει, τὸν παρόντα βίον διεπέρασεν; Τί δ' ἐχρῆν ἐφ' ἡμῶν μόνον ἀνατραπῆναι τὴν φύσιν, καὶ συγχυθῆναι τοὺς ὅρους τῆς κτίσεως; τί γὰρ παρέκυψεν διὰ γενέσεως, οὐ διὰ λύσεως πάλιν καὶ θανάτου καταδύεται; παραλείπω βοτανῶν ἄνθη καὶ κάλλη, οὐ τὴν ὄψιν μόνον, ἀλλὰ καὶ τὰς ἄλλας αἰσθήσεις τέρποντα· παρατρέχω φυτῶν ὡραιότητας ἀγέλας τε παντοδαπῶν ζώων· ἅπαντα τῷ χρόνῳ παρέρχεται, καὶ τὴν γένεσιν εὑρίσκει προοιμιάζουσαν τὴν διάλυσιν. Ἀλλ' ἐννόει μοι τὸν εὔτακτον χορὸν τῶν ἀστέρων, ὅπως τε ποικίλλουσι τὸ στερέωμα, βαφαῖς λαμπροτέραις περιανθίζοντες τὰ οὐράνια· καὶ ὅπως δαδουχοῦσι τὴν νύκτα, τὸ στυγνὸν αὐτῆς ὑπαυγάζοντες, καὶ τὴν θέαν ἄλυπον τοῖς ὁρῶσι παρεχόμενοι· τὴν σελήνην πάλιν ἐπισκόπει, ὅπως ἐκ τοῦ ἡλίου δανειζομένη τὸ φῶς, προῖκα τὸν ἀέρα πυρσεύει, καὶ φιλοτιμεῖται τὸ δῶρον, καὶ πρὸ ἡμέρας ἄλλην ἡμέραν φιλονεικεῖ ἀπεργάζεσθαι· ἀλλὰ καὶ ταῦτα πάντα πρὸς τέλος ὁρᾷ, καὶ τὸ χρέος οἶδε καὶ τρέχει πρὸς τὴν ἀπαίτησιν· αὐτὸς ὁ ἥλιος οὐ λαμπρὸς μὲν ἰδεῖν, θαυμάσιος δὲ τὸ κάλλος; καὶ τι γὰρ ἄλλο εἰπεῖν, ἢ ὅτι ὡς γίγας ἀγαλλιώμενος, ἀπ' ἄκρου τοῦ οὐρανοῦ, ἕως ἄκρου τοῦ οὐρανοῦ, ἐκεῖνον τὸν ὑπερφυῆ δρόμον καὶ εὔτακτον ἐν αὐτῷ μέσῳ τῷ κόσμῳ ἀνελίττων, θεατρίζει τε καὶ ἐπιδείκνυται· καὶ τὰ σύμπαντα ταῖς ἀκτῖσι βάλλων, καὶ τοῦτο μὲν ζωογονῶν, τοῦτο δὲ θάλπων καὶ συνέχων τὰ περίγεια λόγῳ καὶ νόμῳ τοῦ κτίσαντος, οὐχὶ τοσούτῳ μακροῖς ταῦτα πράττων οὐ γηράσκει χρόνος, οὐδ' ἀλλοιοῦται τὸ κάλλος, οὐδὲ τὸν δρόμον ὀκλάζει, οὐδ' ἔχει πρᾶξιν, δι' ἣν τὴν λύσιν ἀπαιτηθήσεται· ἀλλὰ καὶ οὗτος ὁ τοιοῦτος καὶ τηλικοῦτος οὐ διαφεύγει τὸ τέλος, ἀλλ' ὑποκύπτει τοῖς νό-

quis consilio agitet, & agendo perficiat, eò tantùm contendat: Quid frustrà plangimus? Quid legi naturæ obmurmuramus? eò quòd, cùm mortalis existeret, morti subservivit: Quòd æqualibus spatiis cum patre, matre, universo genere vitam hanc transivit: An erat æquum ut nostrâ causâ subrueretur natura? & ut Creationis termini confunderentur? Nam quid unquam prodiit per generationem, quod non demum per dissolutionem & mortem remergitur? Omitto herbas florentes, pulchras, quibus non modò oculi, sed & sensus cæteri oblectantur: plantarum transeo decorem, & universorum animalium greges, quæ omnia temporibus transeunt, & sortiuntur generationem eam, quæ procemium pangit dissolutioni: Sed recole astrorum chorum benè dispositorum, quanta firmitate exornant firmamentum, illustrioribus aerem coloribus florum in morem illuminantes; noctem qualiter funalibus exornant, dum horriditatem illius radiis emissis temperant, ità gratum hominibus spectaculum exhibentia: Lunam deinceps intuere, quæ mutuata à sole lucem suam, sine dote gratis aerem illustrat, & donum acceptum impertit longè latéque; ità ut diem diei antecedaneum constituere nitatur: Sed terminum ista omnia respiciunt suum, debitum agnoscunt suum, & ad faciendam solutionem maturant: Sol ipse nonne mirabilis est aspectu, pulchritudine planè admirabilis? de quo non aliud edixeris, *Quàm quòd ut Gygas exultat conficere cursum suum, ab una cæli extremitate ad alteram cursu quodam ordinato*, licet supernaturali, in orbis medio se explicans, tanquam in theatro manifestatur, & radiis omnia percutiens, partim vita dotata imbuit, partim fovet; & compingit in se, quæcunque sublunaria secundùm edictum conditionis suæ: neq; interea, dum hoc peragit tantis & tam productis spatiis consenescit, neque decoris sui deliquium vel diminutionem patitur, non in cursu fatiscit, nihil agit, unde de dissolutione postuletur; & tamen ille talis tantúsque finem suum & consummationem non diffugit, sed de-

cretis

cretis ſuccumbit naturalibus: Omnia quippe immutantur, nec quicquam eſt, quod per generationem ſubſtantiatur, quin ante mortem aſpiret immortalitatem: Quid ergo? Hæc omnia refinguntur, & ſe immutant, nec de fine conditionis ſuæ murmurant, ſed opificis ſui beneplacitum æquo animo ferant: at nos, qui fruſtrà plangimur, per noſtram illam querelam numen irritare non gravamur: neque cùm tot habeamus præ oculis exempla ad eorum aliquod excitati velut de ſomnio ſapimus: Sed potiùs nos iis tradimus exagitandos, quæ Diabolus ſuggerit & affectus noſtri. Tranſtulit opificium ſuum ad ſeipſum artifex; tu autem ægrè fers, ut à laboribus & curis, quæ paſſim per vitæ curſum occurrunt, ſe expediat: Pati non potes ut reſurgat illa; ſed talem & tantam gratiam collatam doles; Deus illam reddidit immortalem, & tu idcirco, quaſi non adhuc extaret alicubi, in leſſus te dedis & lamenta: Hæccine tuam an non dedecent virtutem? Recolligamus nos ipſos autem, naturam noſtram recolamus, conditorem agnoſcamus, abyſſum Divinæ miſericordiæ cogitemus: Mortem ille conſtituit tanquam pœnam; ſed per propriam ſuam mortē januam immortalitatis mortem conſtituit: Sententia fuit irati, & indignantis Dei, ſed tamen eximiam judicis bonitatem indicat; rationis viam omnem exuperat cogitatio: Per mortem natura ſolvitur ea, quæ conterebatur per primi parentis tranſgreſſionem; ſed illa diſſolutio fit prooemium noſtræ recreationis: Corpus & animam ſeparat mors; illa autem conjunctionis alterius & illuſtrioris, & divinioris initium reperitur: *Seminatur enim corpus animale, ſurgit corpus ſpirituale; ſeminatur corpus in dedecore, ſurgit in gloria:* Opus enim manuum ſuarum aſſumit opifex, ad ſe transfert; ſeponit ab humanis oculis; ſed habitare facit in coruſcante illuminatione Angelorum: An lachrymæ hic jam congruunt? an lamenta? quàm longè hinc removetur planctus? Hæc tu revolvens, & apud animum tuum cogitans, & præter hæc omnia illius impri-

μοις τῆς φύσεως· πάντα γὰρ μεταβάλλεται· καὶ οὐδὲν, ὃ διὰ γενέσεως οὐσιώθη, ἐπιζητεῖ πρὸ τοῦ θανάτου μαθεῖν τὸ ἀθάνατον. Τί οὖν; ταῦτα πάντα μεταπλάττεται καὶ μεταβάλλει καὶ πρὸς τὸν ὅρον οὐκ ἀγανακτεῖ τῆς πλάσεως, ἀλλ' εὐπειθῶς φέρει τοῦ τεχνίτου τὸ βούλημα· ἡμεῖς δὲ δι' ὧν μάτην κοπτόμεθα, καθ' ἡμῶν τὸ θεῖον παροργίζειν οὐκ ὀκνήσομεν; καὶ τοσαῦτα πρὸ ὀφθαλμῶν ἔχοντες παραδείγματα, ὑπὸ τούτων μὲν οὐδενὸς ἀνανήψομεν; ὅσα δὲ τὸ πάθος καὶ ὁ πονηρὸς ὑπαγορεύει, τούτοις ἑαυτοὺς παραδώσομεν; Ἔλαβεν ὁ πλάστης πρὸς ἑαυτὸν τὸ πλαστούργημα· καὶ σὺ οὐκ ἀνέχῃ ἵνα λύσῃ πόνων καὶ φροντίδων ἃ τῷ βίῳ πάντως συνανακύπτουσιν· καὶ σὺ δυσχεραίνεις ἵνα ἀναστήσῃ· καὶ σὺ τὴν τοσαύτην χάριν ὀλοφύρῃ· αὐτὸς ἀπαθανατίζει, καὶ σὺ, ὡς μηκέτι οὔσης, εἰς ὀδυρμοὺς καταπίπτεις· καὶ ποῦ ταῦτα τῆς σῆς ἀρετῆς ἄξια; ἀλλ' ἀναλάβωμεν ἑαυτοὺς, ἐπιγνῶμεν ἡμῶν τὴν φύσιν, ἐπιγνῶμεν τὸν πλάστην, ἐννοήσωμεν τὴν ἄβυσσον τῆς δεσποτικῆς φιλανθρωπίας· ἔδωκεν εἰς ἐπιτιμίου λόγον τὸν θάνατον· ἀλλ' ἀθανασίας αὐτὸν πύλην δι' ἰδίου μετεσκεύασεν θανάτου· ὀργῆς καὶ ἀγανακτήσεως ἀπόφασις ἦν· ἀλλὰ τὴν ἄκραν ἀγαθότητα τοῦ κριτοῦ μηνύει· ἀλλ' ὑπερβαίνει λογισμῶν μεθόδους τὸ ἐννόημα· λύει μὲν γὰρ θανάτῳ τὴν φύσιν, ἥτις διὰ τοῦ προγονικοῦ συνετρίβη παραπτώματος· ἀλλ' ἡ λύσις προοίμιον τῆς ἀναπλάσεως γίνεται· διαιρεῖ τοῦ σώματος τὴν ψυχήν· καὶ ἡ διαίρεσις ἀρχὴ συναφείας λαμπροτέρας τε καὶ θειοτέρας εὑρίσκεται· σπείρεται γὰρ σῶμα ψυχικὸν, ἐγείρεται σῶμα πνευματικόν· σπείρεται ἐν ἀτιμίᾳ, ἐγείρεται ἐν δόξῃ· ἀναλαμβάνει τὸ φιλοτέχνημα τῶν οἰκείων χειρῶν ὁ δημιουργὸς, ἕλκει πρὸς ἑαυτὸν· χωρίζει μὲν τῶν ἀνθρωπίνων ὀφθαλμῶν, ἀλλ' ὑπὸ ταῖς ἀγγελικαῖς ἀστραπαῖς καὶ λαμπρότησιν ἐγκατοικίζει. Ποῦ ταῦτα θρήνων, ποῦ δὲ δακρύων; πόσον ἀπέχει τούτων τὸ πένθος; Ταῦτα διαγινομένη καὶ μελέτην ἔχουσα, καὶ πρό γε τούτων ἁπάντων ἐκεῖνο

λαβοῦσα

λαβοῦσα τῆς μνήμης, ὅτι ἐκ βρέφους θεῷ ἐκολλήθης, καὶ τῷ ἀφθάρτῳ καὶ ἀθανάτῳ νυμφίῳ Χριστῷ συνηρμόσθης, γεννήτορας μὲν καὶ ἀδελφοὺς καὶ συγγένειαν πᾶσαν ἀρνησαμένη, αὐτῷ δὲ μόνῳ τὸν βίον ὅλον καὶ τὴν ζωὴν καθυποσχομένη· μὴ καθύβριζε τοῖς ὀδυρμοῖς τὴν ὁμολογίαν, μηδὲ τῷ πένθει τὴν χάριν ἐκείνην ἀμαυρώσῃς, μηδὲ τῇ νῦν σκυθρωπότητι τὴν τῶν ἀγγέλων τότε χαρὰν ἀνταλλάξῃ· ἂν γὰρ οἷς ἐκεῖνοι νυνὶ χαίρουσι παρθένον ψυχὴν καὶ τῶν παθῶν ἀνωτέραν, εἰς ἀναπλήρωσιν τῶν ἀποῤῥυέντων δαιμονίων εἰσδεξάμενοι, σὺ ταῦτα πένθους κατασκευάζεις ὑπόθεσιν· ὅρα ὅπως τοῖς δευτέροις πικρῶς ἐξυβρίζεις τὰ πρότερα. Οὐδεὶς ἀκμάζων τῷ πρὸς τὸν νυμφίον ἔρωτι, λείπει μὲν τὸν πόθον, γίνεται δὲ τοῦ πένθους· καὶ ὅτι μὲν ἐκεῖνον ἔχει, ἐπιλανθάνεται· θανάτους δὲ περισκοπεῖ καὶ περιεργάζεται καὶ τούτοις περιοδυνᾶται· τῷ πάθει τὸν πόθον βαπτίζων, καὶ τὴν χαρὰν προδιδοὺς τῇ λύπῃ αἰχμάλωτον· εἰ μὲν οὖν ὁ τελευτήσας μᾶλλον δὲ ἡμᾶς ἡ προλαβοῦσα τῶν ἀμελῶς καὶ οὐκ εὐσεβῶς βεβιωκότων ἐτύγχανεν· τάχα ἂν συγγνώμην εἶχεν ὁ στεναγμὸς καὶ τὰ δάκρυα, καίτοι γε ὁ κύριος ἡμῶν καὶ σωτὴρ ἡ τῆς φιλανθρωπίας πηγὴ οὐδὲ πρὸς τούτους ἐπιστρέφεσθαι τοῖς ἀκολουθεῖν αὐτῷ προαιρουμένοις νόμον ἔθετο· Ἄφες γὰρ ἔφη τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκρούς· σὺ δὲ ἀκολούθει μοι. Ἐπεὶ δὲ τῶν ὁσίως καὶ θεοφιλῶς διαζησάντων, καὶ θεῷ τὴν πίστιν καθαρὰν τετηρηκότων, τὸ παρθενικὸν ἐκεῖνο καὶ μακάριον σκεῦος ἐτύγχανεν· πῶς τὴν δεσποτικὴν φωνὴν οὐ δυσωπούμεθα; πῶς οὐχ εὑρίσκομεν ἐν αὐτῇ πᾶσαν κατηφείας διάλυσιν; Ὁ πιστεύων εἰς ἐμὲ, κἂν ἀποθάνῃ ζήσεται· διὰ θανάτου ζωὴν ἀθάνατον εὕρατο· διὰ λύσεως τὴν ἀδιάλυτον κατασκήνωσιν ἐκληρώσατο· ἔφη πάλιν ὁ κοινὸς ἀνθρώπων σωτὴρ, καὶ τῶν σωζομένων νυμφίος· Οὐ δύνανται πενθεῖν οἱ υἱοὶ τοῦ νυμφῶνος, ἐφ' ὅσον χρόνον μετ' αὐτῶν ἐστὶν ὁ νυμφίος· ἀκούεις τί λέγει; μὴ καταδικάσῃς σεαυτῆ, διὰ τοῦ πένθους, τοῦ τη-

mis reminiscens, quòd Deo ab incunabulis addicta fueras, incorruptibili & immortali sponso Christo copulata, parentes, fratres, consanguineos abnegans, ipsi soli vitam universam & vivendi rationem stipulata: Noli igitur lamentando illam tuam professionem dedecorare; noli luctu illam gratiam obfuscare, nè pro præsenti tetricitate gaudium commutes Angelorum: Si enim, quibus illi nunc lætantur, animam virgineam passionibus superiorem humanis, ad supplendum locum & statum Dæmoniorum, qui de illo exciderunt, suscipientes: tu in argumentum doloris transtuleris, vide an non priora tua rectè facta, per ista posteriora vities? Nemo amore sui sponsi inflammatus amori nuntium remittet, ut se dedat luctui: oblitus quod illum amplectatur, mortes circumspicit, & curiosè inquirat, & ob illas vehementer se affliget, passionibus immergens desiderium suum, & gaudium in vinculis constrictum luctui dedens: Si autem illa suo fato functa, vel ut veriùs dicam, quæ nos antecessit, in earum fuisset numero, quæ securæ sui, nec secundùm Deum vixerant, tum certè gemitibus indulgendum tibi foret: Nam Dominus & Servator noster ille fons & origo humani amoris sequaces suos nequaquam permisit talibus affectionibus abduci; *Permitte* inquiens, *mortuos suos mortuos sepelire: Tu autem sequere me.* Cùm verò inter eos qui secundùm Dei dilectionem vixerunt, & Deo fidem sinceram & illibatam servaverunt, virgineum illud & beatum vas fuerit, unde est, quòd Dominicam vocem non vereamur? cur non in eo vase dissipationem obnubilationis requirimus potiùs? *Qui credit in me, licet moriatur vivet*, per mortem nempe adeptus immortalitatem, per solutionem nactus indissolubile tabernaculum: Dixit iterum, communis ille hominum servator, & salvandorum sponsus, *Filii sponsalis thalami lugere non possunt, quamdiu cum illis manet sponsus.* Audin quid dicit? Noli te tuamet sententia damnare, ad

separatio-

ſeparationem talis ſponſi per lamenta; nec illud in teipſum decretum ſanciaș, quòd ſi quis alius tuliſſet, injuriam non ferres irrogatam, ſed in loco hoſtis, & malum tibi machinantis habere velles, & omnimodo à te relegandum diceres: Noli tu lugendo gloriam illam, qua fruitur illa, te ipſam lachrymis dignam facere: *Lugere non poſſunt, qui aſsiſtunt ſponſo:* Hoc effatum quid ſibi vult? Quid voce hac Dominica terribilius? Deploras? itaque disjungis à ſponſo; lamentaris? atque ità genialem thalamum contumeliâ afficis, id quod homines plerique & vilis multitudo facit, nempe è thalamo excidiſti: Quocirca nè ut mortuam deploremus eam, quæ cum Domino vivit; nè per ea illam dehoneſtemus, quibus eam amore proſequi videri volumus: Planctus convitium illis facit, qui cœleſtes thalamos incolunt; lachrymæ convitiantur beato illorum ſtatui; de fruitione dubitant, qui dubitant de reſurrectione, nè dicam qui tollunt: Hoc tu ruminans, & ſobrio atque jejunante velut animo perpendens, amove luctum, lætitiam exprime, paſſionem hanc abdica, leſſus, lamenta, dolores, lachrymas: Hoc efficies, cum ad ea quæ diximus attendendo, & imprimis ſi te abducas penitus ab omnibus aliis, ſolummodo beatum illum & duraturum ſemper amorem Chriſti, puriſſimi illius, & impolluti ſponſi integrum integrè aſſumptum convertas, & nequaquam deſinas ſic converſa illum anhelare.

λικοῦτου νυμφίου τὴν διάστασιν, μηδὲ ψῆφον κατὰ σεαυτῆς ἐξενέγκῃς, ὃ καὶ ἄλλου τολμῶντος οὐκ ἂν αὐτὴ τὴν ἐπήρειαν ἤνεγκας· ἀλλ' ἐχθρὸν ἀλλὰ πολέμιον ἀλλὰ πάντα κακὸν ἀπεκήρυξας· μηδὲ τὴν δόξης ἀπολαύουσαν θρηνοῦσα σεαυτὴν ἔνοχον θρήνων ἀποδείξῃς· οὐ δύνανται πενθεῖν οἱ συνόντες τῷ νυμφίῳ· τί ταύτης τῆς φωνῆς, μᾶλλον δὲ τῆς δεσποτικῆς διαμαρτυρίας, φοβερώτερον; πενθεῖς; ἀπέστης τοῦ νυμφίου· ὀδύρῃ; τὸ θάλαμον ὑβρίζεις· τὰ τῶν πολλῶν καὶ χυδαίων πράττεις, ἐκπίπτεις τῆς παστάδος· ἀλλὰ μηκέτι τὴν ἐν Θεῷ ζῶσαν ὡς νεκρὰν θρηνῶμεν· μηδὲ δι' ὧν στέργειν αὐτὴν νομίζομεν, καὶ αὐτὴν ἐκείνην ἀτιμάζωμεν· ὕβρις ἐστὶ τοῖς τὸν οὐρανὸν θαλαμηπολοῦσιν ὁ ὀδυρμός· καὶ τὰ δάκρυα δυσφημούντων ἐστὶν αὐτῶν τὸ μακάριον, δισταζόντων τὴν ἀπόλαυσιν, ἀμφιβαλλόντων (ἵνα μὴ ἀπιστούντων λέγω,) τὴν ἀνάστασιν· ἃ πάντα λογισαμένη, καὶ νηφούσῃ κρίσει ἐπισκοπήσασα, ῥῖψον τὸ πένθος, ἀπόθου τὸ πάθος, τοὺς στεναγμοὺς, καὶ τὰ δάκρυα· ἔσται δὲ τοῦτο τοῖς τε ἄλλοις, οἷς προείπομεν· καὶ ἐὰν πρὸ ἑαυτὴν πάντων τῶν λοιπῶν ἀποσπάσασα, μόνον τοῦ καθαροῦ καὶ ἀχράντου νυμφίου Χριστοῦ τὸν μακάριον καὶ ἀνώλεθρον ἔρωτα, ὅλον καθ' ὅλην σεαυτὴν ἀναλαβοῦσα, πρὸς ἐκεῖνον οὐ λήγεις ἐπιστρεφομένη καὶ ἀτενίζουσα.

Epiſt. 246.

Euſchæmoni Cæſariæ Archiepiſcopo.

PAulus ille Divinus Apoſtolus, qui ex inflammato deſiderio, & amore Chriſti, & inexſuperabili prędicationis curſu cœleſtem illam Jeruſalem occupatam ſuam fecit, patriam habuit jam olim à majoribus ſuis ſecundùm corporis propagationem Giſcala (viculus eſt ille nunc in Judæa olim urbecula cenſebatur:) Bello autem Roma-

Ἐπιστ. σμϛʹ.

Εὐσχήμονι Ἀρχιεπισκόπῳ Καισαρείας.

ΠΑῦλος ὁ θεῖος Ἀπόστολος, ὁ τῷ διαπύρῳ πόθῳ τῆς εἰς Χριστὸν ἀγαπήσεως καὶ τῷ ἀνυπερβλήτῳ δρόμῳ τοῦ κηρύγματος, τὴν ἄνω Ἱερουσαλὴμ ἑαυτῷ καταλαβόμενος πατρίδα, τὴν ἐκ παλαιῶν προγόνων, καὶ τῆς σωματικῆς φύσεως τὰ Γίσχαλα (κώμη δὲ νῦν τὸ χωρίον τῆς Ἰουδαίας, πάλαι πολίχνιον χρηματίσαν) πατρίδα λαχὼν εἶχε· τῷ Ῥω-

μαϊκῷ δὲ δόγματι τῶν γεννησαμένων ἅμα καὶ πολλοῖς ἑτέροις τοῦ ἔθνους συνεαλωκότων, Ταρσοὺς αὐτῷ τὸ συνενεχθὲν, ἐν οἷς καὶ τὰς μητρικὰς ἔλυσεν ὠδῖνας, δίδωσι πατρίδα· Ἐγὼ γάρ εἰμι (φησιν) ἀνὴρ Ἰουδαῖος, γεγεννημένος ἐκ Ταρσῷ τῆς Κιλικίας· εἶτα τῆς Ῥωμαίων φιλοτιμίας, τῷ μεγέθει τοῦ κράτους παραμιλλωμένης, καὶ μέχρις αὐτῶν τῶν ἀλλοφύλων τὸ φιλότιμον καθυπαλευούσης, εἰς τὴν τούτων εὐγένειαν, καὶ τῆς πολιτείας καὶ τοῦ ὀνόματος, τοῦτο μὲν προῖκα τοῦτο δὲ καὶ χρήμασι πολλοῖς ἀναδραμεῖν ἐχαρίσθη ἐξουσία· γίνεται τοίνυν ἐκ τούτου καὶ τοῖς γονεῦσι τοῦ θεσπεσίου Παύλου συλλαβαῖς ὀλίγαις καὶ νόμοις ἀνθρωπίνοις πατρὶς ἡ Ῥώμη, καὶ τὸ Ῥωμαίων πολίτευμα· καὶ τοῦτό ἐστιν, ὃ καὶ ὁ θεῖος ἐκεῖνος ἀνὴρ ἐπεσημήνατο λέγων πρὸς τὸν χιλίαρχον αὐχοῦντα τὴν ἐξ ἐμπορείας Ῥωμαίων συγγένειαν, ὡς, Ἐγὼ δὲ καὶ γεγέννημαι· ἀντὶ τοῦ, κατὰ κλῆρόν μοι πατρῷον ἡ Ῥωμαϊκὴ συγγένεια, κάτεισι καὶ οὐκ ἰδιωτεύουσι τοῖς γονεῦσιν λαγόνων μητρῴων προῆλθον εἰς φῶς, ἀλλ' ἤδη καὶ τοῦ Ῥωμαϊκοῦ τοῖς γράμμασιν αὐτοὺς σεμνυνόντος αἵματος· ὥστε οὐ μόνον δύο πατρίδες, ὅπερ αὐτὸς ἀμφισβητεῖς, τῷ τῆς ἀληθείας εὑρίσκεται ῥήτορι· ἀλλ' ἤδη πρὸς ταύταις καὶ τρίτη· ὧν εἰς μὲν τὰ Γίσχαλα, ἐν τῇ μερίδι καὶ δικαίῳ τῆς Βενιαμίτιδος φυλῆς ἀναφέρεται· οἱ Ταρσοὶ δὲ τῆς αἰχμαλωσίας δῶρον ἐγένοντο· Ῥωμαῖον δὲ τῶν τεκόντων ἡ εἰς τοὺς Ῥωμαίους ἀναγραφὴ ποιεῖ, καὶ τὸ πατρικὸν διὰ τοῦ κλήρου διαβαῖνον εἰς αὐτὸν ἀξίωμα.

no, parentibus ipsius cum plerisque aliis in captivitatem abductis Tarsum migrarunt, hîc ille editus in lucem dicitur, & patriæ ascribebatur: *Ego sum*, dixit ipse, *vir Judæus, natus Tarsi in Cilicia:* benignitate verò Romanorum cum victoria contendente, & ad alienigenas se extendente, concessa fuit facultas partim gratìs, pretio partim transcriptionis in nobilitatem & reipublicæ & nominis participandam: Hinc factum, ut parentes Pauli, & ipse per syllabas paucas, secundùm humanas leges Romam patriam obtinerent, & rempublicam Romanam: Hoc est, quod Divinus ille vir insinuavit, inquiens apud Chiliarcham, qui de civitate Romana pretio obtenta prædicabat, *Ego autem liber natus fui*; id est, forte paterna Romana illa affinitas mihi contigit, nec de materno utero vulgaribus parentibus genitus in lucem prodii, sed qui beneficio codicillorum Romanorum, de eorum affinitate gloriabantur: Ità duæ patriæ, de qua re tibi quæstio instituitur, veritatis illi præconi contingebant; sed erat adhuc tertia: Prima nempè, Giscala in tribu Benjamini; Tarsus beneficio captivitatis; Romana civitas per parentes, qui censu Romano describebantur, quæ dignitas per sortem paternam ad illum transibat.

Ἐπιστ. σμζ'.

Τῷ αὐτῷ.

Ὥσπερ ὁ κλεινὸς Βαρνάβας, τὸ τῆς πρᾳότητος καὶ συμπαθείας ὡς ἀληθῶς σκεῦος, αἵματι προγόνων Ἰουδαῖος ὤν, κύπριον τὸ ἀπὸ τῆς πατρίδος εἷλκε γένος· καὶ ὁ λόγιος Ἀπολλὼς, ὁ τῷ κηρύγματι τὴν Ἔφεσον φθάσας, καὶ πρὸς τὴν Ἀχαΐαν διαβὰς, Ἰουδαϊκῆς ὑπάρχων φυλῆς, ὅσα εἰς φύσιν ἀναφέρεται τῶν γεννησαμένων, διὰ τῆς παροικίας τὴν Ἀλεξάνδρειαν ἐπεγράφετο πατρίδα· οὕτω καὶ

Epist. 247.

Eidem.

Quemadmodum preclarus ille Barnabas, comitatis & compassionis vas per majorum sanguinem Judæus erat, sed patriâ ortus Cypro: & disertus ille Apollo, qui per suam prædicationem Ephesum occupavit, & inde transiit in Achaiam, cùm, quod parentes spectat, de tribu Judæ esset, provinciâ tamen Alexandrinâ oriebatur; sic

&

& sanctus Paulus, à Judæis ortus, & ad tribum Benjamini relatus, eò quòd parentes Tarsum Græcam urbem incolebant, eam sibi patriam habuit: Chiliarcha itidem per Genitores suos patrem & matrem à Romana origine longissimè aberat, sed datâ pecuniâ, quod fatetur ipse, in illorum nobilitatem assumebatur: Et velut urbs Philippi, Macedonici regiminis Metropolis, nec affinitatem habuit cum Romanis ullam, tamen de Romano nomine potuit illustrari: Nam herus illius ancillæ è qua spiritus Pythonicus fuit, indignatus contra veritatis præcones, & trahens illos ad magistratum puniendos, qui creaturam Dei à Diabolo liberaverat, eò quòd per curationem illam illorum quoque lucrum absciderat, *isti homines*, inquiens, *cùm sint Judæi, nostram conturbant civitatem, & quasdam nobis obtrudunt consuetudines, quas admittere non debemus, cùm Romani simus:* Vides hîc Philippenses titulo se Romano venditantes: Et post ea tempora, Josephus à Judaica propagine genuina genitus, & patriam sortitus Hierusalem, è sacerdotum stirpe sacerdos ipse, tamen more Romano Flavius dicebatur: Quem illi honoris titulum, Vespasiani prænomen dedit, cum illis communem, qui consanguinitate cum Romanis efferebantur: Nec Josepho, qui Romanum & Flavium indigitabat, dicam aliqui ξενίας inscripsere; cùm tamen ex invidia illi plures adversarentur; sed nec rapiebatur κατ' ἔνδειξιν, ad Judicii Tribunal: Verùm & ipsa urbs Hierosolymitana, sequenti sæculo, de Adriani nomine Æliæ titulo insigniebatur, & genus hoc pacto indutum Romanum communiter semper vocabatur: Quemadmodum autem isti omnes, natione & patria cùm alienigena essent, in civitatem Romanam asciti fuerant; sic & beati Pauli parentes cùm

ὁ ἱερὸς Παῦλος, ἐξ Ἰουδαίων τε φὺς, καὶ εἰς τὴν Βενιαμῖτιδα φυλὴν ἀνηγμένος, Ταρσοὺς τῶν τεκόντων τὴν Ἑλληνίδα πόλιν ἐπῳκηκότων, ἐκτήσατο πατρίδα· ὥσπερ δὲ πάλιν ὁ χιλίαρχος, διὰ μὲν τῶν φύντων καὶ τῆς ἐνεγκούσης, ὡς πορρωτάτω τοῦ Ῥωμαϊκοῦ διΐστατο γένους· χρήμασι δὲ, ὡς αὐτὸς ἐκεῖνος διωμολόγει, εἰς τὴν ἐκείνων εὔκλειαν ἀνελήφθη· καὶ ὥσπερ ἡ Φιλίππων πόλις τῆς Μακεδόνων ἐπαρχίας μητρόπολις οὖσα, καὶ οὐδὲν δίκαιον ἔχουσα πρὸς συγγένειαν Ῥωμαίων, ὅμως ἠδυνήθη τῷ ταύτης ὀνόματι λαμπρυνθῆναι· καὶ γὰρ οἱ κύριοι τῆς παιδίσκης, ἐξ ἧς τὸ τοῦ πύθωνος ἀπηλάθη πνεῦμα, ἀγανακτοῦντες κατὰ τῶν τῆς ἀληθείας κηρύκων, καὶ πρὸς τοὺς στρατηγοὺς ἕλκοντες τοὺς ἀπαλλάξαντας τὸ πλάσμα τοῦ δαιμονίου, ἐπείπερ ἡ θεραπεία τῷ πάθει συναπήλαυνεν αὐτῶν καὶ τὴν ἐμπορείαν, Οὗτοι οἱ ἄνθρωποι, φασὶν, ἐκταράσσουσιν ἡμῶν τὴν πόλιν, Ἰουδαῖοι ὑπάρχοντες, καὶ καταγγέλλουσιν ἔθη, ἃ οὐκ ἔξεστιν ἡμῖν παραδέχεσθαι οὐδὲ ποιεῖν, Ῥωμαίοις οὖσιν· ὁρᾷς ὅπως οἱ Φιλιππήσιοι, τῇ Ῥωμαίων ἑαυτοὺς ἐπισεμνύνουσι κλήσει· ὥσπερ δὲ πάλιν, τούτων ὕστερον, Ἰώσηπος Ἑβραίων τε γνησίας ἀπορρὰς ἐκβλαστήσας, καὶ αὐτὰ πατρίδα τὰ Ἱεροσόλυμα κεκληρωμένος, ἐξ ἱερέων τε καὶ ἱερεὺς αὐτὸ τοῦτο χρηματίσας, πλὴν πρὸς τῇ Ῥωμαίων κλήσει, καὶ τὴν Φλάβιος ἐπεγράφετο προσηγορίαν· ὃ γέρας ἡ τοῦ Οὐεσπασιανοῦ ἐπωνυμία τοῖς Ῥωμαϊκὴν αὐχοῦσιν τὴν συγγένειαν ἐδίδου· καὶ οὐ μόνον Ῥωμαῖον αὐτὸν καὶ Φλάβιον ἀναγράφων οὐδαμοῦ ξενίας ὁ Ἰώσηπος ἑάλω· καίτοι πολλῶν τῷ φθόνῳ κατ' αὐτοῦ βαλλόντων· ἀλλ' οὐδ' ἔνδειξιν εἰσήχθη· εἰ βούλει δὲ καὶ αὐτὴ τῶν Ἱεροσολύμων ἡ πόλις, γενεαῖς ὑστέραις ἐκ τῆς Ἀδριανοῦ προσωνυμίας τὴν Αἰλίων κλῆσιν λαχοῦσα, δημοποιητὸν ὡς φάναι τὸ ἔπος, τὸ Ῥωμαίων γένος ὑπέδυ. Ὥσπερ οὖν οὗτοι πάντες, ἔθνους καὶ πατρίδος ὄντες ἀλλόφυλοι, εἰς τὴν Ῥωμαϊκὴν ἐτέλεσαν πολιτογραφίαν· οὕτω καὶ οἱ τοῦ θεσπεσίου Παύλου γονεῖς, οὐκ ἐν

τῷ λεληθότι τῆς Ἰουδαϊκῆς πολιτείας βιοῦντες, ἀλλὰ καὶ τῶν πολλῶν ἔχοντές τι πλέον, τῆς Ῥωμαϊκῆς φατρίας φυλέται διὰ τῆς ἐγγραφῆς ἐκρίθησαν οὐκ ἀνάξιοι χρηματίσαι· ἐξ οὗ καὶ ὁ σοφὸς Παῦλος διαδοχῆς κλήρῳ τὴν Ῥωμαίων εὐγένειαν πατρόθεν αὐτῷ κατιοῦσαν οὐκ ἠγνόει· τὸ λοιπὸν μηκέτι σοι τὸ ἀπορεῖν μόνον· ἀλλὰ πολὺ μᾶλλον τὸ ἐπιζητεῖν τὸ οἰκεῖον τῶν λύσεων, καὶ ἀγαπᾶν ἐπιμελεῖσθαι γινέσθω· ὥσπερ γὰρ εἴ τις τὰ κατὰ διαλεκτικὴν ζητήματα, ἐξ ἀμέσων τε καὶ πρώτων καὶ τῶν καθ' αὐτὸ, πειρῷτο διαλύσασθαι, διδοὺς τὸ γέλοιον, οὐδὲ τὴν τοῦ ψεύδους δίκην διαφεύγει· καὶ ἐν ῥητορείᾳ γραμμικὰς ὁ ἀπαιτῶν ἀνάγκας, καὶ ὁ τῶν κατὰ τὰ μαθήματα θεωρημάτων πολιτικάς τε καὶ ἐπιπολαίους πίστεις ἐπιχειρῶν προσκομίζειν παραπλήσιόν τι, ἵνα μὴ ἀσχημονέστερον εἴπω, καταλαμβάνει· καὶ τοὺς ὅσοι τῶν καθ' ἱστορίαν ζητημάτων οὐχ ἱστορικῶς, ἀλλ' ἐξ ἑτέρου γένους, ἐλπίδας ἀνέχουσιν, εἰς μάθησιν ἐλθεῖν τῆς ἀληθείας.

vitam suam agerent non in obscura gente Judæorum, sed ultra communem popularium sortem digni habebantur, qui tribubus Romanis adscripti & societate eorum gauderent: Paulus prudenter sortis paternæ successionem, & nobilitatem ad se à parentibus derivatam non ignorabat: Deinceps igitur tibi curæ sit non modò dubia proponere, sed & peculiarem illorum solutionem acceptare, & illâ contentum esse: Nam si quis Dialecticas quæstiones, ab immediatis, & primis, & καθ' αὑτὸ conetur solvere, ludibrio habebitur, nec mendacii effugiet actionem; & si quis in Rhetoricis regulas elementares ut necessarias requirat; si in Mathematicis politica theoremata & superficiales persuasiones in medium proferre voluerit, nè quid fœdius dicam, ità est & hîc; sed, & si quis etiam Historicas quæstiones, non ex historia sed aliunde solvat, non est sperandum posse illum ad historicam veritatem pervenire; ità & hîc.

Ἐπιστ. σμη'.

Γεωργίῳ Μητροπολίτῃ Νικομηδείας.

ΤΟ μὲν βαθύτερον τῆς προνοίας, δι' ἣν Ἰησοῦς ὁ Χριστὸς καὶ Θεὸς ἡμῶν, σαρκὶ τὴν περιτομὴν ἔσχεν, εἰς τὸν ἀνεξερεύνητον αὐτοῦ τῶν κριμάτων βυθὸν, τῆς ἀνθρωπίνης ἀναχωροῦν διανοίας, καταδύεται· ἃ δὲ, καὶ τῶν μακαρίων ἡμῶν πατέρων διδασκόντων, καὶ αὐτοὶ διασκεπτοῦντες συνιδεῖν, οὐχ εὑρίσκομεν ἄπορον· πρῶτον μὲν εἰς ἔλεγχον τέμνεται τὴν σάρκα τῶν τὴν παλαιὰν δυσφημούντων διαθήκην, καὶ τὸν ἐν αὐτῇ νομοθετήσαντα ὕβρεσι βαλόντων· δι' ὧν γὰρ τὴν ἐκεῖθεν δοθεῖσαν περιτομὴν, ὡς οὐδ' ἂν αὐτοὶ ἀρνηθεῖεν, ὁ ἀγαθός τε καὶ ἀληθὴς Θεὸς ὑπέστη, τοῖς ἔργοις αὐτοῖς μαρτυρεῖ, τὴν τῆς περιτομῆς νο-

Epist. 248.

Georgio Metropolitæ Nicomediæ.

PRofunditas Divinæ Providentiæ, per quam Jesus Christus Deus noster in carne sua circumcidebatur, in judiciorum abyssum imperverstigabilem humanam exuperantem cogitationem immergitur: Hoc è doctrina beatorum patrum acceptum, denique ipsi ad cognitionem cogitationes nostras convertentes, cognoscemus non esse penitus insolubile: Imprimis enim caro illi circumcidebatur, ad redarguendum eos qui vetus Testamentum blasphemabant, & convitiis legislatorem prosequebantur: Cùm enim circumcisionem ibi institutam, quod negare non possunt, is subiret, qui bonus, & Deus existebat, apertè patet, legem de circumcisione ferentem,

tem & bonum quoque esse, & boni largitorem fuisse, ejusdem, cujus illi erant, participem naturæ: Non enim si quis ex opposito fuisset, bonitatis fons ab ipso guttas aliquas de carne distillantes ostenderet: Quocirca, ut patentia contra patrem ora, vel contra filium blasphemè loquentia obturaret, *Omnia enim Patris Filii sunt, ea quæ facit Pater, facit & Filius,* carnem sui præputii circumcidit; & unà sustulit multarum impiarum hæresium occasiones & ansas. Secundò, recole mecum & istud: Audebat olim impius ille Hæresiarcha Apollinarius prodigiosa quædam comminisci, quòd caro assumpta per Deitatem consubstantialitatem Deitatis simul possideat: Carnem scilicet confinxit, qualem volebat, non qualem agnoscit suam natura humana, sed qualem elongatæ rationis phantasia, ipsi suggerebat: Quocirca carnis abscissio perspicuè prædicat aliam naturam, distinctam à Deitate, quam consubstantialem nostræ carnis naturæ præstat. Tertiò accedunt Manichæi, qui docebant Christum tantùm secundùm apparentiam carnem sumpsisse: Quod per circumcisionem exscinditur ut blasphemum: Namque apparentia sectionem, passionem, sanguinis emissionem non admittit: Nec veritatis opera consistunt cum veritate. Iterum Valentinus fatuè deblaterat carnem Verbo adunitam, non è purissimo virginis sanguine solidatam, sed ipse deorsum à pietate recidens, de cœlo sursum corpus ei devocat; cujus impium pronunciatum rejectum manifestè rejicit circumcisio: Ad hoc itaque circumciditur, ut mandatum de circumcisione datum ratum fixum & firmum manere debere doceat, & non violandum usque ad ejus adventum, cui famulabatur, nec interea calumniis subjaceret: Nam si is, cui non erat opus circumcisione, circumcisionem tamen subiit: is qui sub lege existens eam transgrederetur, pœ-

μοθέτην ἀγαθόν τε ἐστὶ), καὶ ἀγαθῶν δοτῆρα, καὶ τῆς αὐτῆς φύσεως κοινωνόν· οὐ γὰρ ἄν τινος ὄντος ἐναντίας, ἡ τῆς ἀγαθότητος πηγὴ τὰς ἐκεῖθεν τοῦ νόμου ῥανίδας διὰ τῆς σαρκὸς ἐπεδείκνυ προερχομένας· ἵνα οὖν τὰ ἀπύλωτα στόματα, τὰ κατὰ τοῦ πατρὸς, ἢ καὶ κατ' αὐτοῦ γε τοῦ υἱοῦ τὴν βλασφημίαν λαλήσαντα ἐπιστομίσῃ· (πάντα γὰρ τὰ τοῦ πατρὸς τοῦ υἱοῦ ἐστί· καὶ, ἃ ποιεῖ ὁ πατὴρ καὶ ὁ υἱὸς ποιεῖ·) τέμνεται καὶ τὴν σάρκα τῆς ἀκροβυστίας· συνδιατέμνων αὐτῇ πολλῶν δυσσεβῶν αἱρέσεων ἀφορμάς. Δεύτερον δὲ ἐκεῖνό μοι νόει· ἐτόλμησέ ποτε ὁ δυσσεβὴς Ἀπολινάριος τερατεύσασθαι, ὡς ἡ προσληφθεῖσα σὰρξ, τῇ προσλαβούσῃ θεότητι τὸ ὁμοούσιον συνδιέσωζε· σάρκα γὰρ ἀνέπλαττεν, ὡς ἠβούλετο, οὐχ οἵαν ἡ ἀνθρωπίνη φύσις οἶδεν· ἀλλ' οἵαν ἡ φαντασία τῶν ἐξεστηκότων λογισμῶν ἐδημιούργει· ἡ τοίνυν τομὴ τῆς σαρκὸς, καὶ τὸ πρὸς τὴν θεότητα λαμπρῶς ἀνακηρύττει ἑτεροφυὲς, καὶ τὸ πρὸς τὴν ἡμετέραν σάρκα ὁμοούσιον παρίστα. Τρίτον δὲ πρὸς τοῖς εἰρημένοις, οἱ τῶν Μανιχαίων παῖδες, φαντασίᾳ τὴν σάρκα τὸν Χριστὸν περιειληφέναι δογματιοῦσιν). ἀλλ' ὡς ὁρᾷς, περιαποτειχίζεται τῇ περιτομῇ καὶ τοῦτο τὸ δύσφημον· ἡ φαντασία γὰρ τομὴν καὶ πάθος καὶ ῥύσιν ὁρωμένην αἵματος οὐκ ἀνέχεται· οὐδὲ τὰ τῆς ἀληθείας ἔργα, τὸ πλάσμα καθαρῶς παραδέχεται· πάλιν Οὐαλεντῖνος κενοφωνεῖ, οὐκ ἐκ τῶν παρθενικῶν καὶ ἀχράντων αἱμάτων τὴν ἑνωθεῖσαν τῷ λόγῳ σάρκα παγῆναι· κάτω δὲ τῆς εὐσεβείας πεσὼν, ἄνωθεν αὐτῷ πόθεν καταβιβάζει τὸ σῶμα· ἀλλὰ καὶ τούτου πόρρωθεν, ὡς δῆλον, ἡ περιτομὴ τὸ θράσος περιαποτέμνεται· καὶ πρὸς τούτοις περιτέμνεται, ἵνα τὸ βέβαιον τῆς δοθείσης ἐντολῆς διατηρήσῃ· διαμένειν γὰρ αὐτῇ τὸ ἀπαράβατον μέχρι τῆς αὐτοῦ παρουσίας, ἐξ ὧν ὑπηρετήσατο, μετὰ τοῦ ἀνεπιλήπτου, συγκατασκευάζει· εἰ γὰρ ὁ μὴ δεηθεὶς ὅλως περιτομῆς, ὅμως ὑπέρχεται ταύτην, χώλη γὰρ τις ἀλλοίη τὸν ὑπὸ τῷ νόμῳ ταύτην παρεωραμένος,

οὐκ ὀφείλων δίκας. Πάλιν τῶν Ἰουδαίων ὁ δῆμος φιλαιτιώτατος ὤν, καὶ τὰς μὴ οὔσας δεινὸς προφάσεις ἀναπλάττειν, εἰ μὴ τὴν περιτομὴν ὑποστὰς, οὕτως αὐτοῖς τὰ σωτήρια εἰσηγεῖτο· τίνος ἂν οὐκ ἐνόμιζον περιδράττεσθαι δικαιολογίας, διωθούμενοι τὴν διδασκαλίαν ὅπερ ἀπερίτμητον ὄντα καὶ ἐξ αὐτῆς ἑστίας πάντα λύοντα θεσμὸν, πῶς ἐνῆν παραδέχεσθαι σωτῆρα; ἵνα οὖν αὐτῶν ἀναχώρησιν πᾶσαν ἀποκλείσῃ, καὶ τὸ οἰκεῖον ἁμάρτημα, μηδεμίαν ἔχωσι χώραν, εἰς τὸν ἀναίτιον περιτρέπειν, περιτεμνόμενος τὴν ἀκροβυστίαν, συναποτέμνει τὴν ἀχαρίστων πᾶσαν εὐπρόσωπον πιθανολογίαν· σκόπει δέ μοι κἀκεῖνο· εἰ μὲν μὴ περιτμηθεὶς, ἔπαυε τὴν πρᾶξιν· τάχα ἄν τισιν ὁ δεσπότης, ὡς ἑαυτὸν ἀπαλλάσσων αἰτίας, καὶ τῆς ἰδίας προθέσεως προϊστάμενος, τὴν τῆς περιτομῆς ἀναίρεσιν διὰ τῶν μαθητῶν ὑπενοεῖτο μεθοδεῦσαι· ἐπεὶ δὲ καὶ περιτέμνεται, καὶ παύει τὸ ἔργον, καὶ ταύτην περιαφαιρεῖται τὴν ὑπόνοιαν τῶν φιλαιτίων· σὺ δὲ μηδ᾽ ἐκεῖνο παραδράμῃς· τύπος ἦν καὶ σύμβολον τοῦ βαπτίσματος ἡ περιτομή· μή πω τοιγαροῦν τῆς ἀληθείας φανερωθείσης, τὸν τύπον ἐπικρατεῖν ἔδει· ἐπιστάσης δ᾽ ἐκείνης ταύτην ὑποχωρεῖν· διὸ περιτέμνεται μὲν τὸ κρύφιον τῆς σαρκὸς, οὔπω τῆς ἐν χάριτι περιτομῆς φανερωθείσης· ἐκείνης δὲ τῷ δεσποτικῷ βαπτίσματι πάντα περιαυγαζούσης, καὶ λαμπρὰν τὴν ἀλήθειαν ὑποδεικνυούσης, τὰ ἐν σκιᾷ καὶ αἰνίγματι παρρησιάζεσθαι τόπον οὐχ εὑρίσκει· χωρὶς δὲ τῶν εἰρημένων, ἀναμνησθῆναι κἀκεῖ δεήσει, ἐν τῷ σπέρματι τοῦ Ἀβραὰμ τὰ ἔθνη πάντα ἐνευλογηθήσεσθαι· ὅρκον καθ᾽ ἑαυτοῦ διδοὺς ὁ θεὸς τῷ δικαίῳ, ποιεῖται λογάδα πάντων ἐθνῶν τὴν ἐκείνου φυλὴν καὶ οἱονεὶ σφραγίζων αὐτὴν διὰ τοῦ φυλάρχου τῇ περιτομῇ, τήν τε πίστιν ἐπισημαίνεται τοῦ πατριάρχου, καὶ τὸ γένος ἅμα ἐν ἀφορισμῷ συντηρεῖ. Ὁ τοίνυν ὅρκος παραβάσεως ἂν παρεῖχεν αἰτίαν εὐλογουμένων μὲν ἁπάντων ἐθνῶν διὰ μόνου τοῦ κοι-

nas meritas dare debebat. Tertiò cùm querula eſſet Gens Judæorum, & calumniis contexendis dedita, nec non egregius artifex comminiſcendi prætextus falſos, ſi incircumciſus ſalutem ipſis annunciâſſet, facilem illi cauſationem arripuiſſent, ut doctrinam allatam longè à ſe rejicerent, cùm Legem imprimis illum violâſſe contenderent. Quare, ut amputaret eorum à veritate defectionem, & nè anſam arriperent ſuum ipſorum peccatum in innocentem transferendi, circumciſus præputio, unà amputat ingratorum omnium cum aliquo prætextu plauſibilem accuſationem: Sed & ulteriùs attende, ſi non circumciſus finem circumciſioni imponeret, Dominus fortè ſuſpicionem apud quoſdam incurrere poterat, quòd ſe ut culpâ eximeret, ac ſuam ſententiam obtruderet, & diſcipulis viam ac rationem præſtaret tollendi penitus circumciſionem; circumciſus ipſe, ac non aliter ceſſare fecit hanc ſuſpicionem ab accuſaturis ſuſtulit: Sed nec illud inſuper prætereas: Erat circumciſio ſymbolum ac figura baptiſmi: par fuit ut nequaquam vim ſuam obtineret typus veritate manifeſtata, ſed illi locum daret: Circumciditur ergò caro in occulta parte corporis, cùm nondum circumciſio per gratiam compararet, ſed cum illa per Domini baptiſmum omnia collúſtrâſſet, & illuſtrem reddidiſſet veritatem, quæ fuerant umbræ & ænigmata liberè ſe exerendi ulteriùs facultatem non haberent. Præter hactenus commemorata, revocandum eſt in memoriam, *In ſemine Abrahæ benedicendas eſſe olim omnes gentes*, ità enim juſto illi viro, per ſeipſum juraverat Deus ità ejus progeniem nationum omnium collectricem facit, quam per tribuum illarum & generis principem circumciſione conſignat, qui & fidem declarat Patriarchæ & generationem ejus ſeparatam conſervat: Juramentum certè tranſgreſſionis cauſam præſtitiſſet, ſi omnes gentes per communem Servatorem

Chriſtum

Christum baptizarentur: Quocirca, ut id, quod gratuitò pollicitus fuerat Abrahamo, consummatum finem sortiretur, & contrà; veritatem subortam suspicionem Deus à falsitate juramenti immunem præstaret, *Nam ego*, dicebat aliquando, *sum veritas & vita*, circumciditur carne præputii sui, in ipso primo ingressu & primitiis gratiæ: Hæc autem est vocatio, benedictio, & adoptio Gentium, legalem politiam circumscribens & determinans: Plura hujus generis quis per otium excogitata recolet; quæ lex epistolica, & tua prudentia (nam quid in antedictis habetur, quò non & tacita vestigare liceat,) cùm gratum non habeat, supervacaneum addidisse mihi visum est.

νοῦ σωτῆρος Χριστοῦ· οὐ φέροντος δὲ τὸ ἐπίσημον τῆς Ἀβρααμιαίας σπορᾶς, ἥτις ἦν ἡ περιτομή· ἵνα οὖν καὶ τῷ Ἀβραὰμ τὸ κεχαρισμένον πέρας ἡ ὑπόσχεσις ἀπολάβῃ, καὶ τὴν κατὰ τῆς ἀληθείας ὑπόληψιν ἡ δέ ἐστιν ὁ Θεὸς, τῆς ψευδορκίας διαλύσῃ, (Ἐγὼ γάρ εἰμι (φησὶν) ἡ ἀλήθεια καὶ ἡ ζωή) τέμνεται τὴν σάρκα τῆς ἀκροβυστίας ἐν τῇ τῆς χάριτος ἀπαρχῇ καὶ εἰσαγωγῇ· αὕτη δέ ἐστιν ἡ κλῆσις καὶ ἡ εὐλογία καὶ ἡ υἱοθεσία τῶν ἐθνῶν, τὴν νομικὴν πολιτείαν συμπεριγράφων καὶ συνεκπληρῶν· καὶ πολλὰ ἄν τις ἕτερα τοιαῦτα κατὰ σχολὴν ἐπιθεωρήσοι, ὧν ὅ τε τῆς ἐπιστολῆς νόμος, καὶ ἡ σὴ σύνεσις (τί γὰρ ἐκ τῶν εἰρημένων οὐκ ἐνῆν καὶ τὰ σεσιγημένα θηρεῦσαι) ἐπεὶ μὴ ἡδὺ νομίζει, περιττὸν ἐκρίθη ἡ παράθεσις.

ΤΕΛΟΣ.

AUCTARIUM V. EPISTOLARUM PHOTII,

Ex veteri codice Orientali.

OMnia vestræ Sacerdotis summi perfectionis & spiritualis sapientiæ plena sunt, cum exactâ civilium rerum ritè administrandarum peritiâ conjunctæ. Nam & ea quæ proponebantur ad disceptationem, ad Synodicum judicium referre, nec solertiæ suæ robori fidere, quamvis sufficienti multiplex negotiorum pondus sustinere; Et sopitis primùm intestinis dissensionibus, ita demum ad ea quæ extra sunt dijudicanda procedere, quomodo non ejus sit qui ad divinæ sapientiæ regulam se comparet? Quatuor igitur initio statim ad examen propositi Presbyteri, rectè statim ex justo calculo, ab iniqua & præter rationem irrogata censura absoluti sunt; Et vecordia irrationabilis in justam sententiam impegit. Non enim fas est, non est, inquam fas, ex accusatione sola, sive exiguum, sive magnum, sive etiam maximum crimen sit, cujus intentio demonstrationem non habeat, ob illud vel Sacerdotem gradu moveri, vel irrogari censuram. Multum sanè lucrati essent sycophantæ, si quos intentorum criminum reos peragere non potuerunt, eorum pœnas pendere quasi convictos viderent. Quis enim exitus sit, si hæc ratio obtineat, quo immeritò accusati manus Sycophantarum evadant? Non convictos igitur de eis quorum accusabantur, mediocritas nostra, secundùm vestram quæ ab initio processit sententiam, omnis condemnationis immunes dimittit. Qui autem intentis criminibus teneri deprehensi sunt, sive seculares, sive in eadem causâ versantes Presbyteri, hos, censuræ ad tempus inflictæ subjici, siquidem, ut diximus, crimen notum factum sit, etiam nos pronunciamus. Quibus autem nulla indulta est venia, de eis non habemus quod judicemus, quibus de crimine non constat. De Episcopo autem hoc, secundùm ratio-

ΠΑντα τῆς ὑμῶν ἀρχιερατικῆς τελειότητος καὶ πνευματικῆς σοφίας γέμει, καὶ τῆς πολιτικῆς εὐνομίας τῇ ἀκριβείᾳ συγκέκραται. Τό τε γὰρ εἰς συνοδικὴν κρίσιν ἀναγεῖν ἃ περιεβάλλετο [1] τὴν ἀμφισβήτησιν· καὶ τὸ μὴ οἰκείᾳ ῥώμῃ τῆς συνέσεως [2] καίτοι ἱκανῶς ἐχούσῃ καὶ πολυπλάσιον βάρος ἀνέχειν ὀχλήσεων· καὶ τὸ, πρότερον τὰς ἐγκολπίους φιλονεικίας διαλυσάμενον, οὕτω χωρεῖν ἐπὶ τὴν κρίσιν τῶν ἔξωθεν, πῶς οὐκ ἔστι μὲν θείας σοφίας ἀπευθυνομένου γνώμονι; οἱ μὲν οὖν εἰς ἐξέτασιν κατ᾽ ἀρχὰς προτεθέντες τέσσαρες πρεσβύτεροι, καλῶς εὐθὺς, τῆς ἀλόγου, καὶ πολὺ τὸ ἄδικον ἐχούσης ἐπιτιμίας ἀθωωθῆναι, δικαίαν ψῆφον ἀπέλαβον. καὶ ἄνοιά τις ἀλόγιστος τῇ δικαίᾳ ψήφῳ ἀντέκρουσεν. Ου γάρ ἐστιν, οὐκ ἔστιν ἐκ κατηγορίας μόνης, κἂν μικρὸν, κἂν μέγα, κἂν τῶν μεγίστων εἴη τὸ αἰτίαμα, μηδὲ μιᾶς ἀποδείξεως τῇ αἰτίᾳ περιτεθείσης, οὐ μὲν οὖν οὔτε ἱερέα τοῦ οἰκείου βαθμοῦ παρενεχθῆναι, οὔτε τινὰ ἐπιτιμίαν ἄλλην εἰσπραχθῆναι. οὕτω γὰρ εἴη ἂν μέγα κέρδος τοῖς συκοφάνταις, ὅτι καὶ μὴ λαβόντες οἷς ἠτιῶντο τοὺς ἀναιτίους, ὡς ἑαλωκότας εἶδον τὴν δίκην ἀπαιτηθέντας. καὶ τίς ἀνευρεθείη πόρος, τῆς παραλόγου ταύτης φορᾶς κυρωθείσης, δι᾽ οὗ τὸ μάτην κατηγορούμενον τὰς λαβὰς τῶν συκοφαντησάντων διαφεύξεται; τοὺς οὖν ἐφ᾽ οἷς κατηγορήθησαν μὴ ἐλεγχθέντας, ἀθώους πως ἡ ἡμῶν μετριότης, ὡς καὶ ἡ κατ᾽ ἀρχὰς ὑμῶν προελθοῦσα ψῆφος, πάσης καταδίκης ἀφίησιν. ὅσοι δὲ τοῖς ἐγκλήμασιν ἑαλωκότες κατάδηλοι καθεστήκασι, τούς τε κοσμικοὺς φημὶ, καὶ τοὺς σὺν αὐτοῖς ἐταζομένους πρεσβυτέρους, τούτους φυλάττειν τὸ πρόσκαιρον ἐπιτίμιον, ἂν ὡς ἔφημεν, γνωστὸν καθέστη τὸ αἰτίαμα, καὶ ἡμεῖς ἀποφαινόμεθα. περὶ δὲ ὧν οὐδεμία [3] συγγνώμη περιέβη, οὐδὲν ἡμῖν παρίσταται φάναι, ἀδήλου ἡμῖν καθεστηκότος τοῦ ἀδικήματος. καὶ περὶ Ἐπισκόπου δὲ τοῦδε, ἀξιολόγως

μὲν, καὶ κανονικῶς, καὶ ἡ ζήτησις, καὶ τὸ πέρας προῆλθε τῆς ἐξετάσεως. ἡμᾶς δὲ ἐκπλήξεως παρέπεμψε θαύματι, ὅπως παντελῶς ἀλλότρια τῆς παρούσης διηγήσεως τὸ τοῦ Ἀμασείας γράμμα καὶ ἀπήγγειλε καὶ ὑπετίθετο. τὸ γὰρ μετὰ μαρτύρων χειροτονῆσαι τινὰ, κἂν ὕστερον ὁ χειροτονηθεὶς ἀνάξιος ἀπελεγχθῇ, οὐδὲν πρόσκειμα τῷ χειροτονήσαντι γίνεται. ὧν οὐδὲν τὸ γράμμα ὑπεδήλου, ἀλλὰ καὶ τἀναντία διήγγειλε. καλὸν δὲ παρουσιάσαι καὶ αὐτοὺς τοὺς τὴν μαρτυρίαν ὑποσχόντας, ὅτε τὴν χειροτονίαν ὁ ὑπαίτιος ἀνεδέχετο· ὡς ἂν πανταχόθεν τὸ καθαρὸν καὶ ἀνεπίληπτον, καὶ τοῖς ἀγνωμονέστερον περὶ τὴν ἀθώωσιν τῶν ἀδελφῶν διακειμένοις παντελῶς, καὶ μισοῦσιν, ἀποκαλυφθῇ, καὶ ὁ τοῦ Θεοῦ ἀρχιερεὺς, [3] εἰ μηδὲν τῶν ἀνηκόντων ἀρχιερεῦσι τὴν καινοτομίαν εἴη ὑποστάς. Τὸ δὲ συνοδικὸν τῆς οἰκονομίας γράμμα, ὃ τὸν Ἀρχιεπίσκοπον ἔχει τῆς Καισαρείας προσταττόμενον, γνώμῃ τε ἡμετέρᾳ ἐγράφη, καὶ δι' ἐπιτροπῆς ἀπεστάλη· καὶ οὐδὲν οἶμαι οὔτε παρὰ συνείδησιν ἔχει, οὔτε τοῖς ἱεροῖς μαχόμενον τοῦ πνεύματος. [4] πολλὴ γὰρ ἡ διαφορὰ τῶν ἐξ ἀγνοίας ἁμαρτημάτων, πρὸς τὰς ἐν γνώσει καὶ μετὰ καταφρονήσεως προϊούσας ἀθεμίτους πράξεις. καὶ ἱερέων δὲ καὶ Χριστιανῶν ἀποιχομένων οὐδεμία φροντὶς, οὐδ' ὑμνολογίας ὀφειλομένης ἱερὰ τελετὴ, πῶς οὐκ ἂν ἐκβιάσαιτο, ἐπ' οἰκονομίαν, ἀπὸ τῆς ἀκριβείας τῶν θείων μυστηρίων ἀποκλῖναι; ἀλλ' ἴσως ταῦτα περιττὸν πρὸς εἰδότα λέγειν. περὶ δὲ τῶν κεφαλαίων, ἐκεῖνα τέως ὡς ἐν καιρῷ κατεπείγοντι τυπωθῆναι διέγνωμεν. ὅσοι μὲν πρὸ τῆς διαμαρτυρίας τοὺς διγάμους ηὐλόγησαν, διά τε τὴν ἄγνοιαν, καὶ διὰ τὸ μηδὲν παρὰ τῶν ἐπισκόπων περὶ τῆς τοιαύτης ἐξασφαλισθῆναι πράξεως, μήτε μὴν τῶν κανόνων ἀλλαχόθεν ἀκρίβειαν μαθεῖν, καὶ διὰ ταῦτα τῷ τοιούτῳ ὀλισθῆσαι πταίσματι, οἱ τοιοῦτοι πάντως, εἰ μή τι ἄλλο, ἀλλ' ἐν ὅσῳ γε χρόνῳ τὸν δίγαμον τῆς κοινωνίας τῶν φρικτῶν μυστηρίων οἱ νόμοι τοῦ πνεύματος ἀποκωλύουσιν, ἐν τοσούτῳ, καὶ ὁ παραλόγως τὴν εὐλογίαν τοῖς συναπτομένοις ἐπιτεθεὶς, τῆς ἱερουργίας ἐπισχεθήσεται· εἰ μή τις ἄρα κατεπείγει χρεία ἀπαραίτητος ἄλλη, καὶ

nem, & Canones, & examen, & terminis proceſſit examinis. Nos autem ad conſternationem non mirari non poſſumus, quam prorſus aliena à præſenti ſermone Amaſiæ Antiſtitis literæ & narrent & ſubjiciant. Nam aliquem ex teſtimonio ordinare, etiamſi indignus poſtea deprehendatur, ordinantem culpæ obnoxium non reddit. Atqui nihil tale iſtæ literæ demonſtrabant, quin ejus contrarium narrabant. Rectum autem erit, adeſſe & eos qui teſtati ſunt, cum ordinationem qui incuſatur ſuſcepit, ut innocentes & inculpati, etiam iniquiùs erga abſolutionem fratrum affectis, & omnino odio habentibus, demonſtrentur: Et Dei Sacerdos, in nihilo eorum quæ Antiſtiti conveniunt, innovationem ſuſtineat. Synodicum autem de diſpenſatione ſcriptum, quod Archiepiſcopum Cęſareæ inſcriptum habet, & ex mente noſtra ſcriptum, & ex nutu noſtro miſſum eſt: Nec quicquam, ut opinor, vel præter conſcientiam, vel ſacris Spiritus legibus adverſum continet. Magna enim eſt differentia peccatorum ignorantię, ab eis quæ à ſcientibus contra jus fáſque proficiſcuntur. Sanè, Sacerdotum & Chriſtianorum defunctorum neglecta cura, & Pſalmodiæ ſacræ omiſſum debitum officium, neceſſario nos, de exacto ſacrorum Canone ad id quod eſt benignius, remittere cogit. Sed hæc fortè ſuperfluum eſt ſcienti dicere. Capitula autem definitionis ut inſtanti tempore fieri potuit, formari decrevimus. Qui quidem ante rem conteſtatam digamis benedixerunt, tum propter ignorantiam, tum quod nihil ab Epiſcopis de hac re conſtitutum fuerit, neq; aliunde exactam Canonum diſciplinam noverint, & propterea lapſi ſint, hi omnino, ſi nihil aliud, ſaltem, quamdiu digamum leges ſpirituales tremendorum myſteriorum communione prohibent, tamdiu & ipſi, qui conjugibus præter rationem benedictionem impoſuerunt, ſacris faciendis abſtinebunt. Niſi quæ alia implacabilis urgeat neceſſitas, & omnino

omnino vita hominis, tum tranquilla, tum notabilis: Quæ ſæpenumero apud Patres noſtros æquitatis intuitu, præ exacto Canone obtinuiſſe conſtat, & cenſuræ tempus abbreviâſſe. Mulierem autem, viro defuncto, novimus quidem à divinitus inſpirato Paulo veniam adeptam ſecundas nuptias adeundi. Multæ enim ſunt mulierum infirmitates, quæ pudorem incutiant, ad naturam virilem eorum imbecillitatem exigendi. Virum autem à viſceribus Apoſtolicis eâdem indulgentiâ dignari non novimus. Cenſura igitur ejus qui mulieri digamæ benedixerit, vel nulla omnino, vel mitior, quam ejus qui viro. Qui autem abſolutè conjunguntur mulieribus, quoniam non ſimplex actio eſt, proinde nec uniformis eſt cenſura, nec qui ipſis benedicunt ſub unam pœnam cadunt. Quæ quidem mulier à viro dimiſſa eſt, ipſo cauſam præſtante, quod naturalis congreſſus impotentia teneretur, hæ ſi continere elegerint, melius fuerit; quod ſi verò jungi voluerint, nec illud condemnationem in ipſis habet, nec ſi quis Sacerdos nuptias earum benedictione honoret. Quod ſi fœmina eandem cauſam præſtat, eadem libertate prædicta fruatur, quâ priùs ſolutum virum dignati ſumus. Quod ſi qui præter ætatem deſponſati ſint, deinde Lex ipſos tanquam præter Legem conjunctos ſeparaverit, tunc neutra perſonarum diſcedentium, quæ quidem in ordine Laico cenſentur, ſi ad alias legitimas nuptias accedat, cenſuram ſubibit. Qui autem ob adulterium ejectam uxorem fecerit, ſive conjugatus ſive cœlebs, adulter eſt, & adulterii cenſuræ ſubjacet. Quod ſi ſolùm propter odium citra rationem à viro invita expulſa ſit, melius erit ſi ad ſuum virum revertatur: Sin hoc, quod ipſe ad alias ſe nuptias jam applicuerit, fieri non poſſit, adulterii ipſa crimini, cum alio viro juncta, obnoxia non erit: At verò Sacerdos, ipſi ritè benedicens, ſuper ipſa inſons non erit, ſed pœnam ejus præſtabit qui digamis

παντελῶς ἀπραγμοσύνη, καὶ βίος ἄλλως ἐπίσημος τοῦ ἀνδρός· ἃ πολλάκις παρὰ τοῖς πατράσιν ἡμῶν, δι' οἰκονομίαν, τῆς ἀκριβείας ὤφθη περιγεγονότα, καὶ τὸν χρόνον τῆς ἐπιτιμίας συνάγοντα πρὸς τὸ ἔλαττον. γυναῖκα δὲ παρὰ μὲν τοῦ θεσπεσίου Παύλου μεμαθήκαμεν, ἀποβαλοῦσαν τὸν ἄνδρα, δευτέροις γάμοις ὁμιλῆσαι συγγνώμην λαβοῦσαν· πολλὰ γὰρ τὰ γυναικεῖα ἀῤῥωστήματα, καὶ δυσωπεῖν ἱκανὰ, μὴ πρὸς τὴν φύσιν τῶν ἀνδρῶν τὴν ἐκείνων ἀσθένειαν ἐκβιάζεσθαι. ἄνδρα δὲ οὐκ ἴσμεν τῆς αὐτῆς συγγνώμης παρὰ τῶν ἀποστολικῶν ἀξιωθέντα σπλάγχνων, διὸ καὶ τὸ ἐπιτίμιον τοῦ μὲν γυναῖκα δίγαμον εὐλογήσαντος, ἢ οὐδ' ὅλως ἢ πολὺ κουφότερον ἔσται τοῦ δίγαμον ἄνδρα εὐλογήσαντος. οἱ δὲ ἀπολελυμένως ἁρμοζόμενοι γυναιξὶν, ἐπείπερ ἡ πρᾶξις οὐχ ἁπλῆ, οὔτε τὸ ἐν αὐτοῖς ἐπιτίμιον πρόεισι μονοειδές· οὐ μὴν οὐδ' οἱ τούτους εὐλογοῦντες ὑπὸ μίαν τελοῦσι δίκην. ὅσαι μὲν γυναῖκες ἀπελύθησαν τοῦ ἀνδρὸς, ἐκείνου τὴν αἰτίαν παρεχομένου, ἐφ' ᾧ τῆς φυσικῆς ὁμιλίας ἡ ἀσθένεια κατεκράτησεν, καὶ αὗται δὴ αὗται, εἰ μὲν σωφρονεῖν ἕλοιντο, τοῦτο ἄμεινον· εἰ δὲ καὶ ἀνδρὶ συνάπτεσθαι βούλοιντο, καὶ τοῦτο ἀκατάγνωστον αὐταῖς τε, καὶ εἴ τινες εὑρεθεῖεν τῶν ἱερέων, διὰ τῆς εὐλογίας τὸν γάμον σεμνύνοντες. καὶ τῆς γυναικὸς τὴν αὐτὴν παρεχομένης αἰτίαν, ἧς καὶ ὁ διαλυθεὶς ἀνὴρ ὁ τῆς αὐτῆς ἐλευθερίας ἠξίωτο, καὶ ἡ μικρῷ πρόσθεν εἰρημένη γυνὴ ἀπολαύσει. κἂν παρὰ τὴν ἡλικίαν δέ τινες εἰς μνηστείαν ἔλθωσιν, εἶτα τούτους ὁ νόμος διὰ τὸ παράνομον ἀπ' ἀλλήλων διαστήσῃ, οὐδέ ποτε οὐδ' ἕτερον τῶν διισταμένων προσώπων, ἐν λαϊκῷ δηλονότι ἐξεταζόμενον τάγματι, πρὸς ἕτερον νόμιμον ἐρχόμενον γάμον εὐθύνας ὑφέξει. ὁ δὲ τὴν ἐκβεβλημένην ἐπὶ μοιχείᾳ γυναῖκα θέμενος, εἴτε γεγαμηκὼς εἴη, εἴτε καὶ γάμων ἄγευστος, μοιχός τέ ἐστι, καὶ τῷ τῶν μοιχῶν ἐπιτιμίῳ ὑπόκειται. εἰ δὲ διὰ μόνον ἄλογον μῖσος ὑπὸ τοῦ ἀνδρὸς καὶ ἄκουσα ἐξωσθεῖσα, ἄμεινον μὲν εἰ πάλιν πρὸς τὸν ἴδιον ἐπαναστρέψῃ ἄνδρα· εἰ δὲ μὴ, ἐκείνου πρὸς ἑτέραν γυναῖκα χωρήσαντος ἤδη, μοιχείας μὲν αὕτη, συνερχομένη ἀνδρὶ ἑτέρῳ, οὐκ ἂν ἐγκλήματι περιενεχθείη· οὐ μέντοι γε ὁ ἱερεὺς, τὰ νενομισμένα ἐπιτελῶν ἐν αὐτῇ, τὸ ἀκατάγνωστον ἕξει, ἀλλὰ τὴν τοῦ

διγάμους εὐλογήσαντος ἀπαιτηθήσεται δίκην. Τὸ δὲ ἐξ ἀλόγου συμφωνίας διαλύεσθαι, ἐπεὶ νόμῳ κεκωλυμένη ἡ τοιαύτη τόλμα καθέστηκεν, οὔτε τὸν ἄνδρα, πρὸς ἕτερον συνερχόμενον συνοικέσιον, ἐᾷ ἀνεύθυνον, οὔτε τὴν γυναῖκα διαπραττομένην τὸ ἴσον· μᾶλλον μὲν οὖν καὶ ποιναὶ βαρεῖαι κεῖνται τοῖς νόμοις, εἰ τοιαύτη πρᾶξις εἰς τόλμαν ἀχθήσεται· καὶ δῆλον ὡς ἐπὶ τοῖς τοιούτοις συνοικεσίοις εὑρισκόμενος ὁ ἱερεὺς, καὶ τὰ νενομισμένα τοῖς γάμοις τελῶν, παντελῶς τῆς ἰδίας τιμῆς κατὰ τὴν τῶν κανόνων ἐκπεσεῖται ἀκρίβειαν. Ἀλλὰ ταῦτα μὲν τὸ τάχος εἶπε· καὶ τὸ ἀμελέτητόν τε καὶ ἀπροσδόκητον τῶν προτεθέντων εἰς ζήτησιν· εἰ δέ τι ἄλλο ἐπιμελέστερον ἡ ὑμετέρα σύνεσις ἐπισκοποῦσα κατίδοι, νικάτω τὸ ἄμεινον· καὶ ἡμεῖς δὲ ἴσως ἐν πλατυτέρῳ καιρῷ ἀκριβέστερόν τι ἄλλο ἐπιθεωρήσομεν.

benedixerit. Citra rationem autem à conjugio discedere, quod ausum Lege prohibitum est, neque virum, ad alias nuptias accedentem, insontem dimittit, neque fœminam quæ idem faciat. Quin potiùs graves pœnæ Legibus constitutæ sunt, siquis hoc facere ausus fuerit. Et manifestum est Sacerdotem, qui adfuerit, & sacra ritè celebraverit in hujusmodi nuptiis, omnino honore suo juxta exactam Canonum disciplinam excidere. Sed hæc festinatè pronunciata sint; quod quæ inopinatæ disceptationi proposita erant considerationis moram non ferrent: Quod si quid aliud vestra solertia diligenti disquisitione perspexerit, obtineat quod melius est. Et nos etiam fortassis, laxiori tempore concesso, exactius aliquid dispiciemus.

NOTÆ.

1 Vertimus ac si scriptum esset εἰς τὴν ἀμφισβ.
2 Vertimus ac si scriptum esset συνέσεως πιστεύειν. 3 Videtur legendum γνώμη.
4 Vertimus ac si scriptum esset ἐν μηδενί.
5 Notaverat in margine apographi sui doctiss. Junius supplendum νόμοις, spirituales enim Leges vel Leges Spiritûs sæpe dictos sacros Canones in his Epistolis, 1. & 4. Hoc secuti sumus.
6 Reddidimus acsi scriptum esset αὖ ταυδὴ non αὖ ταυδὴ αὖται.
7 Inverso verborum ordine reddidimus acsi scriptum esset ἧς καὶ ὁ διαλυθεὶς ἀνὴρ ἐλευθερίας ἠξίωτο, τῆς αὐτῆς καὶ ἡ μικρῷ.

Ἐπιστ. β΄.

Ἔγραψέ σου ἡ ὁσιότης περί τινων μιαροφαγησάντων· ἡ δὲ αἰτία τῆς μιαροφαγίας ἐστὶ τοιαύτη. τύμβον ἑλληνικὸν ἀπῆλθον διορύξαι πρὸς ἀνεύρεσιν χρημάτων· ματαιοπονοῦντες δὲ καὶ μηδὲν εὑρίσκοντες, εἶπεν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ, ὅτι ἐὰν μὴ σφάξωμεν κύνα, καὶ ἐκ τῶν κρεῶν αὐτοῦ ἁψώμεθα, οὐ μὴ ἐπιδώσῃ ἡμῖν ἡ γῆ τὸ ζητούμενον. αὐτίκα γοῦν ὁ λόγος εἰς ἔργον προέβη. ἐλθόντων οὖν εἰς αἴσθησιν τῆς ἀπηγορευμένης βρώσεως, τοῖς ποσὶ προσέπεσον τοῦ ἐπισκόπου, αἰτούμενοι ἰατρείαν, καὶ λύσιν τοῦ παραπτώματος. ταῦτα διήγγειλε τὸ γράμμα τῆς σῆς εὐλαβείας· καὶ περὶ τούτου τύπος μέν ἐστιν ἐκκλησιαστικὸς, διὰ τεσσαρακονθημέρου ἐπιτιμίου, καί τινων εὐχῶν, διαλύεσθαι τοὺς ἑαλωκότας τῷ ἐγκλήματι· ἡ δὲ παροῦσα μιαροφαγία ἔχει καὶ ἑτέρας τινὸς ἀσεβείας ἐπιμιξίαν· τὸ γὰρ ἕνεκα τούτου μιαροφαγῆσαι, ὥστε τὴν γῆν ἐκμειλίξασθαι, κατὰ τὴν

Epist. 2.

SCripsit sanctitas tua de quibusdam, polluti cibi esu contaminatis: Causa autem contaminationis erat ejusmodi. Iverant Gentilis cujusdam monumentum refossuri ad inveniendas pecunias: Cùm autem incassum laborarent, nec quicquam invenirent, dixerunt inter sese, nisi canem mactemus, & de carnibus ejus gustemus, non reddet nobis terra quod quærimus. Statim factum est quod dictum erat. Cùm itaque ad interdicti cibi conscientiam venissent, genibus Episcopi accidentes medicinam petierunt, & commissi peccati indulgentiam. Hæc sunt quæ Pietatis tuæ literæ narrant. Et de hac re formula ab Ecclesia constituta est, quadraginta dierum pœnitentiâ, & precibus quibusdam absolvi, qui huic crimini innexi sunt. Præsens autem polluti cibi participatio alterius cujusdam impietatis mixturam habet. Propterea enim contaminatum cibum attingere, ut terra placaretur, secundum insanam

ipsorum

ipſorum opinionem, crimen in majus attollit: Etiamſi ſine gravioris impietatis cogitatione, ad hanc opinionem acceſſerunt. Veruntamen & hominum mores,& reliquus vitæ actæ tenor, & animi conſtitutio,tum,mentis,ſive ſimplicitas ſive ſolertia,vel producere poteſt tempus vel curtare: Cùm fortaſſe poſt quadraginta dies impoſita cenſura ſit. Quod ſi ſecunda aliqua definitio producēda eſt,ſepoſitis circumſtantiis, quæ producendo vel curtando tempori cauſam præbent, ad tres dierum quadragenas multa eorum qui in hoc crimine deprehenſi ſunt, redigenda erit: Præter reliquam victûs auſteritatem, & tremendorum myſteriorum abſtinentiam.

ἐκείνων τὴν ἀπονοίας ὑπόνοιαν, αὔξει πλέον τὸ ἔγκλημα· κἂν ἄνευ λογισμῶν τινῶν δυσσεβεστέρων πρὸς τὴν τοιαύτην ὑπόληψιν κατηνέχθησαν. πλήν γε καὶ τῶν ἀνδρῶν τὸ ἦθος, καὶ ἡ ἄλλη τοῦ βίου διαγωγή, καὶ κατάστασις, καὶ ἡ τῆς διανοίας ἁπλότης ἢ δεινότης, δύναται πολυπλασιάζειν καὶ συντέμνειν·[1] εἴτε καὶ μετὰ τεσσαράκοντα ἡμέρας ἐπιτεθῇ αὐτοῖς ἐπιτίμιον. εἰ δὲ δεῖ τι καὶ κεφάλαιον δεύτερον εἰπεῖν, ἄνευ τῶν ἐπιτεμνόντων ἢ μηκυνόντων τὸ πρᾶγμα περιστατικῶν αἰτιῶν, εἰς τρεῖς τεσσαρακοστάς, ἡ ἐπιτιμία, τοὺς ἐπὶ τῇ εἰρημένῃ μιαροφαγίᾳ ἑαλωκότας, περιστήσει ἅμα τῇ ἄλλῃ κατὰ τὴν δίαιταν σκληραγωγίᾳ, καὶ τῇ τῶν φρικτῶν μυστηρίων ἀποκωλύσει.

NOTA. 1 Nec ſacra eſt hæc lectio, nec occurrit quod ſubſtituendum ſit.

Epiſt. 3.

NOn idcirco Antiſtiti ſignificavimus, ut certiores fieremus,num ſciens Epiſcopus adulterū ſacra facere permiſiſſet,quod & gravè eſſet;ſed num ipſum, adulterum eſſe ſciens ordinâſſet: Quod gravius eſt. Ille autem, cujus nos certiores fieri velle ſignificavimus,de eo nihil nos docuit, quod autem nemo quærebat, hoc renunciavit. Veruntamen, ſiquidem ipſum adulterum eſſe ſciens ordinavit, omnino & Epiſcopatu & Sacerdotio excidit: Quod ſi ignorans adulterum eſſe eum ordinavit, tum certior factus, ad tempus quidem abſtinuit, deinde ſacra facere permiſit, etiam ipſum quidem ad tempus ſacris faciendis abſtinere oportet. Aliud enim eſt Deum contemnere,aliud errore deceptumvideri Legem obſervâſſe, etiamſi non obſerves. Cæterùm, ad tempus abſtinere ipſum decrevimus, ſi reliqua ejus merita, & virtutis copia, hujuſmodi lapſum compenſare videantur: Sin, in perpetuum cenſuræ ſubjacebit. Hæc autem dicimus, non ſi Antiſtes ipſius dicat quod ipſum adulterum eſſe ſciens Ordinavit, vel quod poſtquam Ordinâſſet,certior factus adulterum eſſe,cùm ipſum ad tempus abſtinuiſſet,deinde ſacris fungi permiſit; ſed ſi ipſe teſtibus fide dignis &

Ἐπιστ. γ΄.

ΟΥΧ οὕτως ἐμηνύσαμεν τῷ προέδρῳ, ἵνα μάθωμεν εἰ μετὰ γνώσεως παρεχώρησε τὸν μοιχὸν ἱερατεύειν ὁ ἐπίσκοπος· ἄτοπον γὰρ καὶ τοῦτο· ἀλλ' εἰ ἐγίνωσκε μοιχὸν αὐτὸν εἶναι, καὶ οὕτω αὐτὸν ἐχειροτόνησε· χαλεπώτερον γὰρ τοῦτο. ὁ δέ, ὃ μὲν ἐμηνύθη διδάξαι, οὐκ ἐδίδαξεν, ὃ δὲ οὐδεὶς ἐζήτησε τοῦτο ἀνήγγειλε. πλὴν εἰ μὲν εἰδὼς αὐτὸν μοιχὸν ὄντα ἐχειροτόνησε, παντελῶς ἐστι καθῃρημένος, τῆς ἀρχιερωσύνης τε καὶ ἱερωσύνης· εἰ δὲ ἀγνοῶν αὐτὸν μοιχὸν ὄντα ἐχειροτόνησεν, εἶτα μαθών, ἐπέσχε μὲν ἐπὶ χρόνον, ἀπέλυσε δὲ ἱερατεύειν, παυθήσεται μὲν καὶ αὐτὸς τοῦ ἱερουργεῖν ἐπὶ χρόνους τινάς. ἄλλο γὰρ τὸ [1] φρονῆσαι Θεοῦ, καὶ ἄλλο τὸ ἀπατηθῆναι καὶ δόξαι φυλάξαι, κἂν οὐκ ἐφύλαξεν· ἐπὶ χρόνους δέ τινας ἔφημεν ἐπισχεθῆναι αὐτόν, ἐάνπερ τὰ ἄλλα αὐτοῦ προτερήματα, καὶ ἡ τῆς [2] ἄλλης περιουσία δύναται ἀντιταλαντευθῆναι τῷ τοιούτῳ αὐτοῦ παραπτώματι, εἰ δὲ μή, διηνεκὲς τὸ ἐπιτίμιον ἕξει. Ταῦτα δὲ λέγομεν, οὐκ ἐὰν ὁ πρόεδρος αὐτοῦ λέγει ὅτι γινώσκων αὐτὸν μοιχὸν ἐχειροτόνησεν, ἢ ὅτι μετὰ τὸ χειροτονηθῆναι αὐτὸν μαθὼν μοιχὸν εἶναι, καὶ ἐπί τινα χρόνον ἐπισχών, εἶτα ἱερουργεῖν αὐτὸν ἀφῆκεν· ἀλλ' ἐὰν αὐτὸς διὰ μαρτύρων πιστῶν καὶ ἀδιαβλή-

τῶν ἠλέγχθη ἢ καὶ μὴ ἐλεγχθεὶς, οἰκείῳ κατετέθετο καὶ ὡμολόγησε στόματι. Ταῦτα μὲν οὖν ἡ ἡμετέρα ἁρμόζειν ἔκρινε μετριότης· καὶ περὶ αὐτοῦ ὡς κελεύει διοικήσει ἡ ὑμετέρα ἁγιότης. Σὺ δέ μοι ἐν Κυρίῳ ἔῤῥωσο.

inculpatis convictus, vel non convictus, sed ore suo assensus sit & confessus. Hæc igitur mediocritas nostra convenire censuit: De ipso autem Sanctitas vestra quod hortatur, constituet. Tu verò mihi in Domino Vale.

NOTÆ.

1 PRo τὶ φεῤῥῆσαι θεοῦ legimus καταφεῤῥῆσαι, quod facere eum significat qui mœchum Ordinat, cùm qui, quem deceptus, adulter cùm esset Sacerdotem Ordinatum, sacris faciendis abstineat primum, post altari restituat, quod suspendere appellamus, videatur Canones intueri, quos tamen non observat: Itaque reddidimus ἀπατηθῆναι, non ut habebat ἀπόγραφον, ἀπαιτηθῆναι.

2 Ἀπόγραφον habet τῆς ἄλλης περιουσία, quod, quia videtur errore scribæ repetitum, ab ἄλλα quod præcesserat, propterea vertimus ac si ἀρετῆς scriptum esset.

Ἐπιστ. δ'.

ΘΑῦμα μὲν ἡμᾶς κατεῖχε καὶ ἔκπληξις, ἐπὶ τῇ τοσαύτῃ παροινίᾳ, καὶ ἀπονοίᾳ, καὶ ἀναισθησίᾳ, καὶ παρανομίᾳ τοῦ προέδρου, καὶ τοίγε τῶν τοιούτων παθῶν παλαιά τινα ἴχνη ἐν τῇ μνήμῃ φέροντας· ἀλλ' ἡ ἐπιμονὴ καὶ αὔξησις τῶν προλαβόντων, ὡς ἐπὶ παραδόξοις, τοῖς νῦν πεπραγμένοις, παρέσχε ταραχῆς. πλὴν οὐκ ἔστιν ἀνενόχλητον τοῖς καθ' ἕκαστον τῶν κατὰ μέρος λόγων [1] ἐπιθεῖναι, ὃ πολλάκις ἔφαμεν καὶ νῦν φαμέν. ὡς ἐπείπερ καὶ ἡμεῖς ἁμαρτωλοὶ τὰς ἁμαρτωλὰς ἡμῶν χεῖρας ἐπὶ τὴν σὴν ἐθέμεθα κεφαλὴν, τὴν τελεταρχικὴν τοῦ παναγίου πνεύματος ἐπικαλούμενοι χάριν· καὶ πεπιστεύκαμεν οὐ ταῖς ἡμῶν χειροθεσίαις, ἀλλὰ τῇ τε ἄνωθεν εὐμενείᾳ, καὶ τῇ σῇ ἀρετῇ, τὴν ἐπιφοίτησιν αὐτοῦ πλουτίσαι ἡμᾶς· οὐ μόνον ὅσα ἐν τῇ ἐκκλησίᾳ παρανόμως τε καὶ ἀκανονίστως παρὰ τοῦ ταύτης προέδρου πρόεισι, ἀλλὰ καὶ ὅσα παρ' ἑτέρου τὴν ὁμοίαν ἐπιδεικνυμένου γνώμην, ταῦτα πάντα τὴν σὴν ἀρχιερατικὴν παρεγγυώμεθα τελειότητα· ὡς ἡμῶν τῶν ταπεινῶν συμπαρόντων καὶ συνεφαπτομένων τοῖς νόμοις τοῦ πνεύματος· ἀνακόπτειν τε καὶ ἀναχαιτίζειν, καὶ ἐπὶ τὸ βέλτιον καὶ ἄριστον μεταρυθμίζειν· οὐχ ἡμῶν νυνὶ τὴν τοιαύτην πνευματικὴν ἐξουσίαν χαριζομένων, ἀλλὰ τοῦ πνεύματος τοῦ παναγίου, ἡνίκα καὶ τὴν ἀρχιερατικὴν ἐδίδου δωρεάν. ἀπολυέσθωσαν γοῦν οἱ παραλόγως δεσμῷ ὑποβληθέντες τῆς ἀλόγου καταδίκης, καὶ πρὸς τὴν δικαίαν μεθαρμοζέσθωσαν θεραπείαν· καὶ οἱ τὴν παράνομον καθαίρεσιν ὑποστάντες, τῆς ἀνόμου ψήφου πεπαυμένης,

Epist. 4.

ADmiratio quidem nos invasit ac stupor super tantâ deliratione & vecordiâ, necnon insulsitate atque enormitate Antistitis, etiam vetera quædam vestigia ejusmodi affectuum memoriâ recolentes. Verùm duratio atque incrementum præcedentium, de præsentibus, tanquam præter opinionem factis, perturbationis nobis materiam præbuerunt. Cæterùm molestia non vacat, singulorum causis particulatim insistere, quod sæpius diximus, & nunc etiam dicimus. Quod cum peccatores nos peccatrices manus capiti tuo imposuimus, gratiam sancti Spiritûs Antistiti propriam implorantes, (non nostræ manuum impositioni, sed superne benignitati, & tuæ ipsius virtuti confisi, superventum ipsius nos benedictione ditaturum) non solùm quæ in Ecclesia illegitimè & contra Canones ab ipsius Antistite procedunt, sed quæ ab alio quopiam, similem animi sententententiam demonstrante, hæc omnia à tua Antistitis perfectione (tanquam humilitate nostra præsente, & spirituales Leges adjuvante) reprimi, sufflaminari, & in meliorem, sive optimum statum reformari præcipimus: Non nobis nunc hujusmodi spiritualem potestatem largientibus, sed sancto Spiritu tunc eam conferente, cùm gratiam summi sacerdotii donaret. Absolvantur igitur præter rationem vinculo subjecti ab iniqua damnatione, & ad legitimum cultum reformentur: Et qui degradationem legibus contrariam passi sunt, iniquo decreto cessante, in sacerdotio administrando

ſtrando pergant: Et qui hæc imprudenter admiſit, maximè quidem, quia corporis paſſiones congruos animi affectus exprimunt, diſcat ſi poteſt ſermonis exhortatione, ſin minus ſeveritate, ab eo quod juſtum eſt non recedere. Idcirco ad eum Epiſtola jure & rectè deſtinabitur: Poſt quam niſi ſanior evadat, ſacra quidem facere, & inanimata adminiſtrare nondum prohibeatur, cenſuras autem irrogare, & animatos ad regulas exigere, ipſe inanimis, poteſtate nobis à Spiritu Sancto indulta nè permittatur.

ἐχέπωσαν τῆς ἱερωσύνης· καὶ ὁ ταῦτα πράξας ἀφρόνως, μάλιστά γε, ὅτι τὰ τοῦ σώματος πάθη καὶ τὴν τῆς ψυχῆς συνάφειαν ὑπογράφει, μανθανέτω, εἰ μὴ δύναται παραινέσεως λόγῳ, ἀλλ' οὖν αὐστηρότερον, μὴ παραφέρεσθαι τοῦ δικαίου. διὰ τοῦτο καὶ ἡ πρὸς αὐτὸν ἐπιστολὴ καλὴ καὶ δικαία· καὶ εἰ μηδὲ μετὰ ταύτην σωφρονισθείη, ἱερουργεῖν μὲν, καὶ τῶν ἀψύχων τὴν διοίκησιν ἔχειν, τέως μὴ κωλυέσθω· ἐπιτιμᾶν δὲ καὶ κανονίζειν τοὺς ἐμψύχους, ἄψυχος αὐτὸς ὢν, διὰ τῆς ἐν πνεύματι ἁγίῳ ἡμῖν δεδομένης ἐξουσίας, μὴ παραχωρείσθω.

NOTA. 1 Pro ἐπιθῆναι quod erat in apographo reddidimus ἐπιστῆναι.

Epiſt. 5.

PErvenerunt ad nos literæ ſanctitatis tuæ Deo dilectæ, poſtulantes à mediocritate noſtrâ ſententiam ferri de Presbytero, qui præter voluntatem Parentum, non expectato eorum conſenſu, liberos ipſorum coronaverat: Quorum poſtea ſtudio ſeparati, cum aliis perſonis ad nuptiarum communionem cùm veniſſent, operâ parentum ab alio Presbytero benedictionem acceperint. De primo itaque Presbytero ſic decernimus: Si quidem contrariæ parentum voluntatis ignarus, ex inſcitia, in coronandis iſtis quæ convenerunt perſonis, in errorem lapſus ſit, talis cum ſit, non prorſus latæ culpæ obnoxius, tanquam de voluntario peccato damnandus eſt: Non tamen tanquam omnis culpæ expers dimittendus; Oportuit enim ipſum accuratè ſciſcitatum reſciviſſe, num voluntate parentum, qui ad nuptias coibant, conjugium contraherent. Idcirco Ordinis ſui jacturæ talis non ſubjicitur, ſed ad tempus conſtitutum ſacro celebrando prohibebitur: tum, eam quæ in reliquis cernitur auſteritatem, jejuniis ſcilicet atq; orationibus, ſubibit: Tempus autem pœnæ ſubeundæ, vel ad quadraginta dies, vel bis totidem extendetur, pro ratione ipſius in pœnitentia fervoris; ne ampliùs in ejuſmodi quid delicti, ex incuria, animíque ignaviâ incidat. Hoc igitur obtineat, ſi ad

Ἐπιστ. ε΄.

ΑΦίκετο ἡμῖν γράμματα τῆς σῆς θεοφιλείας, ἐπιζητοῦντα παρὰ τῆς ἡμῶν μετριότητος ψῆφον ἐπενεχθῆναι περὶ τοῦ πρεσβυτέρου τοῦ στεφανώσαντος παρὰ γνώμην τῶν γονέων τὰ τούτων τέκνα, καὶ τὴν τούτων συναίνεσιν μὴ προσδεξαμένου· εἶτα ὑπ' αὐτῶν διαζευχθέντα, καὶ πάλιν ἑτέροις προσώποις κοινωνήσαντα, καὶ πρὸς γάμον ἐλθόντα, συνεργείᾳ τῶν πατέρων ὑφ' ἑτέρου πρεσβυτέρου εὐλογηθέντα. καὶ περὶ μὲν οὖν πρώτου πρεσβυτέρου οὕτω διοριζόμεθα· εἰ μὲν ἠγνόει τῶν τεκόντων τὸ ἀβούλητον, εἶτα ἐξ ἀγνοίας περιεπάρη, ἐν τῷ στεφανώματι τῶν συνελθόντων προσώπων, ὁ τοιοῦτος μὲν οὐ παντελῶς ἐστὶν ὑπεύθυνος, [1] οὐδὲ ἑκουσίως ἁλώσιμος ἁμαρτήματι, οὐκ ἀνεύθυνος δὲ παντελῶς ἀπολύεται, ὅπερ ἔδει τοῦτον ἐξερευνῆσαι καὶ ἀκριβολογησάμενον ἀναμαθεῖν, εἰ ἄρα τῇ βουλήσει τῶν τεκόντων οἱ πρὸς γάμον συναπτόμενοι συνιστῶσι τὸ συνοικέσιον. διὰ τοῦτο, καθαιρέσει μὲν ὁ τοιοῦτος οὐχ ὑποβάλλεται, ἐπὶ χρόνον δέ τινα ῥητὸν, τῆς ἱερουργίας ἐπισχεθήσεται, καὶ τὴν ἐν τοῖς ἄλλοις ταλαιπωρίαν, νηστείαις τέ φημι καὶ προσευχαῖς, ὑποστήσεται· ὁ δὲ χρόνος τῆς ἐπιτιμήσεως, ἢ ἐν τεσσαράκοντα ἡμέραις, ἢ δὶς τοσαύταις παρατεθήσεται, πρὸς τὴν ἀναλογίαν τῆς ἐν τῇ μετανοίᾳ θερμότητος· ὡς ἂν ἐξ ἀμελοῦς καὶ ῥαθύμου γνώμης μηδέποτε μηδενὶ τοιούτῳ περιπέσῃ· ἀλλ' οὕτω μὲν οἱ πρὸς

τὴν

τὴν ἄγνοιαν μεταφέρει τὸ ἁμάρτημα· εἰ δὲ τὴν βούλησιν τῶν πατέρων ἐξηπίστατο, καὶ ὡς ἀπηρέσκετο τῇ συναφείᾳ τε καὶ συμφωνίᾳ, καὶ ταῦτα εἰδὼς, ὑπερεῖδε μὲν τὸν φυσικὸν νόμον, ὑπερεῖδε δὲ καὶ τὸν πνευματικόν, (ἑκάτερος γὰρ ἄκυρον ἀποφαίνει τὴν συνάφειαν, τῶν τεκόντων οὐ φερόντων τὴν ἐπιτρέπουσαν ψῆφον) ὁ τοιοῦτος ὑπόδικος ἔστω. εἰ δὲ ἄρα μακρῷ χρόνῳ, τῆς γάμου νομικῆς ἡλικίας τῶν παίδων ἐπιτηδείας οὔσης, ὑπερετίθεντο οἱ γονεῖς, καὶ τὴν ἀνάγκην αὐτοῖς παρέχον, καὶ μὴ βουλομένων αὐτῶν, ἐλθεῖν τοὺς παῖδας εἰς συνάφειαν, τηνικαῦτα καὶ τὸν τοιοῦτον γάμον ὁ νόμος οὐκ ἄκυρον τίθησι, καὶ ὁ ἱερεὺς παρὼν καὶ ἁγιάζων τὸν γάμον οὐδεμιᾶς αἰτίας ἐστὶν ἔνοχος· λαμβάνει δὲ ὁ τοιοῦτος γάμος τὸ κῦρος, κριτοῦ τὴν ὑπόθεσιν ἐπιτηροῦντος, καὶ τῆς τῶν τεκόντων κακουργίας, τῶν παίδων τὴν φύλαξίν τε καὶ ἔννομον θέλησιν ἐπίπροσθεν ποιουμένου. Ἀλλὰ περὶ μὲν τοῦ [1] πρεσβυτέρου ταῦτα τὸ δίκαιον ὑπαγορεύει. οὐδ' ὁ δεύτερος δὲ τὴν σκέψιν ἁπλῆν ἐπιδέξεται· ἀλλ' εἰ μὲν ἠγνόει τὸ πρότερον συνοικέσιον, οὐδεμίαν ἔνοχος ἐστὶ δίκην ὑπέχειν· τῶν γὰρ τεκόντων παρόντων τοῖς συναπτομένοις, πολλὴ ῥοπὴ ἀθῳώσεως βραβεύεται τούτῳ, τοῦ μὴ πρὸς ἔρευναν τῶν προγεγονότων καταστῆναι, καὶ λογοθετεῖν ἃ ἡ παρουσία τῶν τεκόντων λογοθετεῖν οὐκ ἐδίδου. εἰ δὲ ᾔδει μὲν τὴν προγεγενημένην συνάφειαν, καὶ ὅτι σαρκικῶς ὡμίλησαν ἀλλήλοις, ἐπεὶ οὐχ οἷόν τέ ἐστι διαστάντας τῆς προτέρας συζυγίας, ἐξ ἀνάγκης τινὸς ἀγάμους κατέχειν, ἀλλ' ἢ πορνείαις ἐκδιαιτηθήσονται, ἢ νομίμῳ γάμῳ [2] δοθήσονται· τελείως μὲν ὁ ἁγιάσας τὸν γάμον οὐ πεπαύσεται τῆς ἱεραρχίας, ἐπιτιμίοις δέ τισι μετριωτέροις ὑποβληθήσεται)· ὅτι διὰ τῆς προγεγενημένης συναφείας περιφανεστάτης γενομένης, τὸ δὲ τῆς πορνείας ἔγκλημα μὴ διαφευγούσης, ἐτόλμησεν οὗτος, τοὺς ἐπὶ προδήλῳ τῆς ἁμαρτίας ἐγκλήματι ἁλόντας, ὡς καθαροὺς καὶ ἀμέμπτους, τῆς ἱερατικῆς ἀξιῶσαι εὐλογίας, καὶ τοῖς τῶν παρθένων στεφάνοις, τοὺς ταύτην κακῶς ἀποθεμένους κοσμῆσαι. εἰ μέντοι εὐδοκίᾳ τῶν γονέων ὁ πρῶτος γάμος ἐγένετο, εἶτα

inſcitiam peccatum referat. Quod ſi voluntatem Parentem conſenſui huic & conjugio adverſari ſciret, & ejus non ignarus, tum naturalem Legem tum ſpiritualem contempſit, quorum uterque irritum conjugium pronunciat, Parentibus aſſenſus ſui ſuffragium non ferentibus, pœnæ ritè obnoxius eſto. Si tamen Parentes, poſtquam ætas liberorum per leges idonea ad nuptias eſſet, dilato per longum temporis ſpatium conjugio, neceſſitatem ipſi liberis præbuerint, etiam invitis parentibus ad nuptias accedendi, tum nec Leges hujuſmodi nuptias irritas faciunt, & qui intereſt Sacerdos, & eis benedicit, nulla culpa tenetur. Ratum autem fit hujuſmodi conjugium, Judice ex cauſæ notitia, cuſtodiam liberorum, & legitimam ipſorum voluntatem improbitati parentum præferente. De primo itaque Presbytero, iſta nobis jus ſuggerit. De ſecundo autem nec ſimplex eſt conſideratio. Nam ſi conjugii prioris ignarus fuerit, nullo jure culpæ tenetur. Præſentia enim parentum in nuptiis magnum momentum illi ad abſolutionem impendit, qui ideo ad anteactorum inquiſitionem non venit, quod præſentia parentum, ea ad examen revocari non ferret. Quod ſi factum conjugium, & ſecutam copulam carnalem noverit, quoniam quaſi ex neceſſitate, non ſunt in cœlibatu continendi qui à priori conjugio diſceſſerunt, ſed legitimo conjugio vinciendi, nè in fornicatione verſentur, non quidem ad finem arcebitur ſacrorum Præſidatu qui nuptias conſecravit, ſed moderatiores quaſdam pœnas ſubibit. Scilicet quod, cùm factas ante nuptias manifeſtum eſſet, quæ quidem fornicationis crimen evadere non poſſunt, auſus ſit eos qui flagranti peccati crimine tenebantur, tanquam puros & inculpatos, ſacerdotali benedictione dignari, & virginitatis coronis, eos qui ipſam malè depoſuerant ornare. Quod ſi priùs conjugium ex aſſenſu parentum proceſſerit, à quo

deinde

deinde, præter rationem, diſceſſerint, prior quidem Presbyter omnis culpæ abſolvetur: ſecundus, ſive interfuerint parentes, ſive non, ſacerdotio excidet. Nam alienum à Legibus ſacris Conjugium, nec abſentia & diſſenſus parentum facit, nec præſentia & aſſenſus, aut quod profanatum eſt ſanctitati reſtituit.

διέστησαν παραλόγως, ὁ μὲν πρῶτος πρεσβύτερος παντελῶς τὸ ἡττώμενον ἕξει· ὁ δεύτερος, εἴτε παρῆσαν οἱ γονεῖς, εἴτε μὴ, ζημιωθήσεται τὴν ἱερωσύνην. ἔκθεσμον γὰρ καὶ παράνομον συνάφειαν, οὔτε σύννευσις καὶ παρουσία πατέρων, 4 οὔτε ἀνάνευσις καὶ ἀπουσία, οὐ μόνον ἀθώωσιν τῆς βεβηλώσεως οὐκ ἂν μεταστήσῃ.

NOTÆ.

1 VErum videtur ἐάν ἑκουσία: ſic igitur vertimus.
2 Notaverat in margine Apographi doctiſſimus Junius ἐσ᾽ τῷ πρώτῳ πρεσβυτέρῳ, ſic itaque vertimus
3 Magìs convenire videbatur γάμῳ δεθήσονται, hoc igitur reddidimus.
4 Videtur deeſſe ποιεῖ, quod igitur reddidimus.

ΤΕΛΟΣ.

FINIS.

INDEX

Rerum & Verborum quæ in Epistolis & in Notis continentur.

Deus

INDEX Rerum & Verborum.

Mariæ

INDEX Rerum & Verborum.

INDEX Rerum & Verborum.

INDEX SCRI-

INDEX SCRIPTURARUM.

FINIS.


PHOTI
EPIST


calibrite
colorchecker CLASSIC
mm